This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

1837
ARTES VERITAS SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

Digitized by Google

1837
ARTES VERITAS SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

Google

Digitized by Google

888
H3i0
S37
D
v.6

# SCHOLIA GRAECA

IN

# HOMERI ILIADEM TOWNLEYANA

RECENSUIT

*ERNESTUS MAASS*



Digitized by Google

# SCHOLIA GRAECA

IN

# HOMERI ILIADEM

EX CODICIBUS AUCTA ET EMENDATA

EDITIONIS

A G. DINDORFIO INCOHATAE

TOMUS VI

OXONII

E TYPOGRAPHEO CLARENDONIANO

MDCCCLXXXVIII

Digitized by Google

Digitized by Google

Digitized by Google

# SCHOLIA GRAECA

IN

# HOMERI ILIADEM TOWNLEYANA

RECENSUIT

ERNESTUS MAASS

TOMUS II

OXONII

E TYPOGRAPHEO CLARENDONIANO

M DCCC LXXXVIII

Digitized by Google

London

HENRY FROWDE

OXFORD UNIVERSITY PRESS WAREHOUSE

AMEN CORNER, E.C.

Digitized by Google

VDALRICO DE WILAMOWITZ-MOELLENDORFF

PIETATIS ERGO

Digitized by Google

[*All rights reserved*]

Digitized by Google

# PRAEFATIO.

Tribvs annis post confectum volumen prius emittenti alterum verendum est, ne ob praetermissa quaedam reprehendar.

1. Ac primum quidem iure indices omisi quamvis invitus. Etenim cum totam scholiorum in Iliadem editionem Oxoniensem nominum scriptorum grammaticarum rerum indicibus plenis adcuratisque esse ita instruendam, ut simul necessaria multa ad volumina I—IV suppleantur, appareat, re dudum perpensa, quoniam ne his sex quidem voluminibus satisfactum esse litteris Homericis sed requiri quo quae minora dicuntur scholia D comprehendantur septimum intellexi, destiti, ne indicum fasciculo excludantur quae quanti ad usum cum ceterorum codicum tum Veneti A facienda essent dixi ego primus quod sciam (vol. V p. xxii sqq.). Postea et Wilamowitzius Herm. vol. XXII p. 635 sq. et ego etiam in Hesychii lexicon bonam scholiorum minorum partem quae ad explicandas voces spectat transsumptam perspeximus, et novo nuper testimonio in relationibus Academiae Borussicae anni 1887 p. 816 sqq. vulgato papyro quodam Aegyptio apertum est iam ante saeculum tertium p. Chr. illam syllogam D exstitisse: de quo subsidio Wilamowitzii commentatio (Herm. vol. XXIII p. 142–147) adeunda est. Neutrum ego nec scholiorum 'minorum' editionem qua aegre caremus neque indices conficiam; fore tamen spero qui conficiant.

2. Notulae meae marginales quid sibi velint, vol. I p. xiv dictum est. Qua in re ne parcior fuerim timen-

Digitized by Google

dum mihi esse video, cum, si A vel B vel uterque et plus et minus quam T in uno eodemque scholio exhibent, quamquam poteram novo signo ± adsumpto, minus illud non simul in margine adnotaverim. Quodsi quis obiter ex solis his signis de pretio Townleyani aestimaret, missa permagna eorum quae partim quidem tenuiora ex parte tamen vel copiosiora unus ille servavit serie, aestimaret perperam. Et audivi iam benevolentes ceteroquin viros, quibus prioris voluminis dudum finitam editionem ostenderam, hac qua dixi ratione non recte de Townleyano iudicantes. Quod caveant qui his utentur! Tenendum etiam est me in comparandis codicibus AB abstinuisse de industria manibus recentioribus ($A^2$ $B^2$).

3. Novum subsidium anno 1887 Schraderus examinato codice Laurentiano plut. XXXII 3 in Hermae Berolinensis vol. XXII p. 282–299 protulit antea propemodum neglecto: de quo quae ipse brevi Wachsmuthii relatione Museo Rhenano XVIII p. 187 inserta fisus suspicatus eram (Herm. XIX p. 287), commutata ratione quodammodo corrigenda esse iure idem dixit Schraderus. Codex igitur s. XI scriptus, Veneto B paullo antiquior, foliis 418 Iliadem cum scholiis continens non ex ipsis B et T sed ex communi horum archetypo adcurate descriptus est, ut deficientibus in B primae manus foliis 68, 69, 145, i.e. Iliadis 5. 260–353 et 11. 167–217, proba supplementa ex Laurentiano Schraderus iure repeteret p. 293–299. Quod in editione non iam licuit, Laurentianum M Schraderi cum AT nunc componam :

E.

258. *ἕτερός γε*] *γενναῖον τὸ λῆμα, εἰ μὴ ἀμφοτέρων, ἀλλά γε τοῦ ἑτέρου κρατήσειν πεπεισμένου. ἅμα δὲ καὶ ἀνθρωπίνως οὐ περὶ τῶν δύο ἀποφαίνεται, τὸ δὲ ὅλον τῇ Ἀθηνᾷ ἀνατίθησιν* BT =

1. *λῆμμα* ut BT ‖ 2. *πεπεισμένου* T : *πέπεισται* ut B

Digitized by Google

260. πολύβουλος Ἀθήνη] ἐξέκοψε διὰ τῆς θεοῦ τὸ ἑαυτοῦ καὶ Σθενέλου ἀλαζονικόν T = . §. παιδευτικὸς δὲ ὁ λόγος

263. ἐπαΐξαι] νηφαλίως ἅπαντα προορᾷ, οὐκ ἐκκρουόμενος ὑπὸ τοῦ προσδοκωμένου κινδύνου, εἴγε ὃ μὲν θεᾶς υἱός, ὃ δὲ τοξότης ἄριστος, ὃς ἤδη καὶ ἔβαλεν αὐτόν (Il. 5. 98). πολεμικοῦ δὲ ἀνδρὸς ἀντιποιεῖσθαι τῶν πρὸς τὸν πόλεμον χρησίμων· καὶ Ἕκτωρ γοῦν τὸν Διομήδους θώρακα σπεύδει λαβεῖν καὶ "ἀσπίδα Νεστορέην" (Il. 8. 192) T =

266. υἷος ποινήν] προπερισπαστέον τὸ "υἷος"· ἀπὸ γὰρ τοῦ ὑιός ἐστι κατὰ κρᾶσιν A + T =

267. ἵππων ὅσοι] ὁ μὲν Αἰνείας τὸ φορτικὸν ἐκκλίνων ἐπετέμνετο τὸν ἔπαινον (222 sqq.), ὃ δὲ ἐπιμελέστερον ἐπαινεῖ παρατείνων τὸν Σθένελον. πόθεν δὲ οἶδεν; ἐξ αἰχμαλώτων δηλονότι, ὅθεν καὶ Ἰδομενεὺς ἔπειτα ἔμαθε τὰ περὶ Ὀθρυονέα (Il. 13. 374 sqq.). δύναται δὲ καὶ ὡς Ἀργεῖος εἰδέναι ταῦτα, εἴγε Ἡρακλῆς ἐστράτευσεν ἐπὶ Τροίαν T =

268. τῆς γενεῆς] ἀντὶ τοῦ ταύτης. καὶ λείπει τὸ ἄρθρον, ἵν' ᾖ ταύτης τῆς γενεῆς T =

269. λάθρῃ Λαομέδοντος] περισπούδαστοι γὰρ ἦσαν αὐτῷ. πῶς οὖν παρὰ τῷ Πριάμῳ τὸ γένος τῶν ἵππων οὐ σῴζεται; ὅτι τοὺς Λαομέδοντος Ἡρακλῆς ἀπήγαγε πορθήσας τὴν Ἴλιον T =

ὑποσχὼν θήλεας] προπαροξυτόνως ἀπὸ τοῦ θῆλυς, ὡς "θῆλυς ἐέρση" (Od. 5. 467) καὶ "γυνὴ δὲ θῆλυς οὖσα κοὐκ ἀνδρὸς φύσιν" (Soph. Tr. 1062). οἶδε δὲ καὶ τὸ θήλεια, ὡς τὸ "ἄμφω θηλείας" (Il. 2. 767) A + T =

272. τὼ δὲ δύ'] οὐχ ὡς ἀποθανὼν Ἀγχίσης κατέλιπεν αὐτὰς τῷ υἱῷ, ἀλλ' ὅτε κἀκεῖνος ἔφηβος ἦν· νῦν γὰρ γηράσας ἐν Δαρδανίᾳ διάγει· διὸ οὐδὲ μετὰ τῶν δημογερόντων ἐστίν. διδάσκει δὲ πῶς δεῖ μερίζεσθαι ζῶντι πατρί T +

277. καρτερόθυμε] καὶ ὁ ἔπαινος τοῦ ἀεὶ ἀλαζόνος εἰρωνικός ἐστιν T =

278. ἦ μάλα] ἡ η̄ ἀντὶ τοῦ εἰ AT = . §. κατὰ τὸ "ὀιστός"

5. ἔβαλεν T : ἔβαλλεν || 7. σπεύδει Schr. : σπεύδειν || 10. ὕιος T : ὑῖος || 11, 12. ἐπετέμετο T || 13. παραγγέλλων τῷ Σθενέλῳ T || 14. Ὀθρυονέως T || 16. Τροῖαν || 18. γενεᾶς T || 28. γὰρ T : δὲ || 33. ἤ in lemmate primitus || κατὰ A : καὶ ut T

Digitized by Google

ὑποστιχθήσεται· εἰ γὰρ περισπάσομεν τὸν η̄, ἀνηθοποίητόν ἐστιν A+T=. §. ἔστι δὲ τὸ μὲν "βέλος" κοινόν, ὁ δὲ "ὀιστός" ⟨ε⟩ἰδικόν T=

283. τῷ δ' ἐπὶ μακρόν] οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γὰρ τὸ "ἄυσε" φέρεται. ἀλλ' οὐδ' εἰ πρὸς τὸ ἄρθρον ἐφέρετο, ἀνεστρέφετο ⟨ἄν⟩· ἐὰν γὰρ μεταξὺ πέσῃ μέρος λόγου, οὐκ ἀναστρέφεται εἰ μὴ ἐπὶ τέλει, ὡς τὸ "ἔπτυσε πο⟨υ⟩λὺ κατά" (? Call. p. 752 Schn.) A+T=

284. βέβληαι κενεῶνα] ἄκρως ἀλαζὼν ὁ Πάνδαρος, ὃς ἑστῶτος τοῦ πολεμίου καὶ περὶ τοῦ τόπου τῆς πληγῆς ὁρίζεται T=

289. ταλαύρινον] Ἀρίσταρχος ψιλοῖ τὸ ρ̄. οὐ γὰρ σύνθετον αὐτὸ ἐκδέχεται, ἀλλὰ καθ' ἁπλῆν ἔννοιαν τὸν εὔτολμον, καὶ πέπεισται αὐτῷ ἡ παράδοσις. Τρύφων δὲ σύνθετον δέχεται αὐτὸ παρὰ τὸ ταλαόν καὶ τὴν ῥινόν, ὁμοίως τῷ ταναόποδα ταναύποδα AT+

291. ῥῖνα παρ' ὀφθαλμόν] καὶ πῶς, φασί, πεδόθεν πολεμῶν τοιαύτην τῷ ἱππεῖ τὴν πληγὴν ἐπήνεγκεν; λύεται γοῦν διὰ τῆς ἐνεργείας τῆς Ἀθηνᾶς· ἢ εἰκὸς τὸν Πάνδαρον κύψαι πρὸς τὸ ἐκκλῖναι τὴν βολήν AT$^2$+

292. πρυμνήν] τὴν πρὸς τῇ ῥίζῃ T=. τοῦτο μὲν οὖν ὡς ἐπίθετον ὀξύνεται, τὸ δὲ ἐπὶ τῆς νηὸς βαρύνεται A+T=

παρὰ τὸ τοῦ ἀνθερεῶνος ἔσχατον μέρος T=

293. ἐξεσύθη] τῆς ὁρμῆς ἐπαύσατο T=

297. χρησίμως, ἵνα ὑπεκστῶσιν οἱ ἵπποι καὶ μὴ δύνηται ἐπιβεβηκέναι αὐτοῖς ὑπερμαχῶν Αἰνείας T=

ἀπόρουσε] Ἡλιόδωρος ἔστιξεν εἰς τὸ "ἀπόρουσε·" παραδεδώκει γάρ, φησί, τὰ ὅπλα τῷ Πανδάρῳ, ὡς μέλλων ἡνιοχεῖν, εἶθ' οὕτω κατελθὼν ἐκδιδύσκει τὸν νεκρὸν καὶ τούτοις ὁπλίζεται. ὅπερ ἄτοπον . . . τὸ ἐπιτηρεῖν Διομήδεα, ἄχρις οὗ ⟨ἂν⟩ ὁπλισθῇ Αἰνείας. ἀλλὰ μᾶλλον, ὡς καὶ Ἡρωδιανῷ δοκεῖ, κατὰ μὲν τὸ σιωπώμενον Πάνδαρος ὁπλίζεται, παράκειται δὲ καὶ τῷ Αἰνείᾳ τὰ ὅπλα παρὰ τὸν δίφρον, ὡς καὶ

5. ἤυσε T || 8. κατά || 14. ἐκδέχεται T || 20. ἐκκλίναι || 23. scholion l. 24 adhaeret: discrevi et traieci || 25. falsum lemma παρέτρεσσαν (295) delevi et ad v. 297 adscripsi, cf. T || 26. ἐπιβεβηκὼς T || ὑπερμαχεῖν T || 27, 28. παραδεδώκει || 30. lacunam indicavi ut W in T, cf. A

Digitized by Google

Νέστορι (Il. 8. 191). καὶ Αὐτομέδων παραδοὺς τὰς ἡνίας Ἀλκιμέδοντι αὐτὸς πολεμεῖ (Il. 17. 475 sqq.). ἦν οὖν τόπος ⟨τῶν ὅπλων⟩ τοῦ ἡνιόχου ἐν τῷ ἅρματι, ἵν' εἰ χρεία γένοιτο μαχέσωνται AT+

299. ἀλκί] ἐκ τοῦ ἄλκιμος ἐστὶ κατὰ ἀποκοπήν. τινὲς δὲ ἀπὸ τοῦ ἄλκις αὐτό. ἐγὼ δέ φημι κατὰ μεταπλασμὸν τοῦ ῑ εἶναι, ἐπειδὴ καὶ τὸ μακρὸν ⟨ῑ⟩ εἰς βραχὺ μεταπέπλασται AT+

302. ἰάχων] διὰ τῆς βοῆς ἀποτρέπων τοὺς ἐπιόντας ἢ πρὸς συμμαχίαν καλῶν T=. §. ἀποστέλλει δὲ τὸν λίθον, ὅτι φθάσας τὸ δόρυ προὔπεμψεν T=

304. νῦν βροτοί εἰσι] πολλῷ κατωτέρω τῶν ἡρωικῶν ἐστιν· διὸ τῷ διαστήματι τοῦ χρόνου πιστοῦται τὰς τῶν ἡρώων ὑπεροχάς T=. §. καὶ διὰ τοῦ "ῥέα" δὲ καὶ διὰ τοῦ "πάλλε" τὸ εὐμεταχείριστον δηλοῖ T=

305. κατ' ἰσχίον] ἰσχίον καὶ κοτύλην τὸ πᾶν ὀστέον· ἔστι δὲ ⟨κοτύλη⟩ τὸ κοῖλον τοῦ ὀστέου, ἔνθα ἡ κεφαλὴ τοῦ μηροῦ ἐνστρέφεται A+T=

307. τένοντε] τὰ τεταμένα λέγει νεῦρα, ὡς δύο πλατέων νεύρων συνεχόντων τὴν κοτύλην T=

309. ἔστη] ἀντὶ τοῦ ἔμεινεν, καὶ τὸ "ἐριπών" ἀντὶ τοῦ κατενεχθείς AT=

ἐρείσατο] πιθανῶς οὐκ ἀνατρέπεται, ἀλλ' οὕτω μετασχηματίζεται πρὸς τὸ εὐμετακόμιστον τῆς ἁρπαζούσης μητρός T=

311. καί νυ κεν] οὐχ ὡς καιρίας οὔσης τῆς πληγῆς πρὸς θάνατον, ἀλλ' ἴσως δεύτερον τραῦμα ὑπὸ τῶν πολεμίων πληγείς. καὶ ἡ Ἀφροδίτη τοῦτο δέδοικε "μή τις Δαναῶν ταχυπώλων χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο" (316, 7) T=

314. ἐχεύατο] τὸ τρυφερὸν τῆς θεοῦ διὰ τοῦ "ἐχεύατο" παρέστησεν T=

315. πέπλοιο] οὐχ ἵνα μὴ τρωθῇ—πῶς γὰρ ⟨ἂν⟩ ἐνόμισεν ἄτρωτον τὸν ἑαυτῆς πέπλον εἶναι, τιτρωσκομένων καὶ τῶν θεῶν;—ἀλλ' ὑπ' οὐδενὸς αὐτὸν τῶν πολεμίων ὁραθῆναι

3, 7. supplevi ex T ‖ 15. ὀστέον T: θετέον ‖ 16. supplevi ex T ‖ 17. ἐνστρ. T: συστρ. ‖ 20. καὶ scripsi ut feci in T: ἢ ut T ‖ ἐριπῶ ‖ 23. ζωῆς pro μητρὸς male T ‖ 29. ἐχεύατο T: εὐχέατο ‖ 31. ἐνόμισεν T: -αν

Digitized by Google

θέλουσα. ὡς γὰρ αὐτοὶ οἱ θεοὶ τοῖς ἀνθρώποις εἰσὶν ἀφανεῖς, οὕτω καὶ ἡ ἐσθὴς αὐτῶν ἀόρατος. πῶς οὖν ἐπιφέρει "μή τις Δαναῶν ταχυπώλων χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕληται;" ἀπὸ τοῦ ἡγουμένου ἐδήλωσε καὶ τὸ ἑπόμενον· εἰ γὰρ ὤφθη, ἴσως ἂν ἐτρώθη καὶ τρωθεὶς ἀπέθανεν· Διομήδης δὲ μόνος ἐπιδιώκει· τὴν ἀχλὺν γὰρ ἦν ἀφῃρημένος. ἔμπροσθεν δέ, φησίν, αὐτοῦ τὸν πέπλον ἐπέτασεν πρὸς τὸ καλύψαι αὐτόν· πτύγμα δὲ τὸ περίσσευμα AT –

319. ἐλήθετο] τὸ σπουδαῖον Διομήδους τὸ περὶ τοὺς ἵππους ἐνέφηνε, συσπουδάζοντα ποιῶν τὸν ἡνίοχον T =

326. φρεσίν] ὁ μὲν Σθένελος ὡς Ἕλλην τὰ ψυχικὰ προτιμᾷ, οἱ δὲ βάρβαροι τὸν Δημοκόωντα "ὁμῶς Πριάμοιο τέκεσσι τῖον, ἐπεὶ θοὸς ἔσκε μετὰ Τρώεσσι μάχεσθαι" (535) T +

327. γλαφυρῇσιν] ὅπως ἐθάδες αὐτῶν γένωνται· ἀπειρόκαλον γὰρ τὸ εὐθέως ἐναβρύνεσθαι τοῖς ἀλλοτρίοις, ὡς Ἕκτωρ (Il. 17. 194) T =

330. Κύπριν] οἱ μὲν τὴν ἐπιθυμίαν, οἱ δὲ τὴν βαρβαρικὴν ἀφροσύνην αὐτὴν εἶναι λέγουσιν AT =

331. ἄναλκις] οὐ διὰ τοῦτο ἐπεδίωκεν, ἀλλὰ διὰ τὴν Ἀθηνᾶς ἐντολήν. ἐγίνωσκε δέ, ὅτι τούτου χάριν ἐπέτρεπεν αὐτὴν ἐκείνη τρωθῆναι T =

332. κατακοιρανέουσιν] ἔμφασιν σημαίνει ἡ "κατά," εἰ συνάψεις τῷ "κοιρανέουσιν" A + T =

333. Ἐννώ] παρὰ τὸ ἐναύειν, ὃ σημαίνει τὸ ἐμφωνεῖν. τινὲς δὲ παρὰ τὸ ἔνω, ὅ ἐστι τὸ φονεύω· ἔνθεν καὶ αὐτοέντης καὶ Ἐννάλιος AT =. §. ἀνθρωποπαθῶς δὲ ἀναπέπλασται, ὡς Δεῖμος καὶ Ἔρις. εἰ δὲ θεὸς ἦν, ποῦ ἦν ἐν τῇ Θεομαχίᾳ; T =

334. ἐκίχανε] μέμνηται τοῦ ἑαυτοῦ ὁ ποιητὴς λόγου· εἶπε γὰρ "ὑπεξέφερεν πολέμοιο" (318) T +

335. ἐπορεξάμενος] τοῦτο πρὸς τὸ μέγεθος τῆς θεοῦ· καὶ ἐπάλμενος γὰρ μόγις τὴν ἄκραν ἔτρωσε χεῖρα, ὅτι μετέωρος ἦν ἡ θεός. νῦν δὲ οὐκ ἐνεργεῖ ἡ Ἀθηνᾶ· εὐτελὴς γὰρ ἡ Ἀφρο-

1. θέλει ut T ‖ 10. σπουδάζοντα T ‖ 13. τέκεσι T, παίδεσι ‖ θοὸς T: θεὸς ‖ πρώτοισι T ‖ 16. ἐναβρύνεσθαι T: ἐναμβρύνεσθαι ‖ 24. συνάπτοις τὸν τῷ T ‖ 27. πέπλασται T

Digitized by Google

δίτῃ T =. §. ἔοικε δὲ Διομήδης ἐπιθυμίας ἅμα καὶ θυμοῦ κρατεῖν, Ἄρεος καὶ Ἀφροδίτης T =

337. ἀβληχρήν] βληχρὸν τὸ ἰσχυρὸν καὶ στερήσει τοῦ ᾱ ἀβληχρόν. οἱ δὲ τὴν εὐώνυμον ἐνταῦθα χεῖρα T —. §. τὸ δὲ "εἶθαρ" οἱ μὲν τὸ εὐθύς, οἱ δὲ τὸ κατ' ἰθύ, ὃ καὶ ἄμεινον T —. §. "ἀντετόρησε" δὲ τὸν χρόα δηλονότι διέτρησεν T =

338. πέπλου] καὶ πῶς αὐτὸν προβάλλεται (315); οὐχ ὡς ἄτρωτον, ἀλλ' ὡς ἀφανείας ποιητικόν. Διομήδης δὲ ὁρᾷ αὐτήν, ὑπὸ Ἀθηνᾶς συνεργούμενος T =

339. πρυμνόν] ὑπὲρ τὸ ἔσχατον τοῦ θέναρος εἰς τὴν πρὸς τὸν καρπὸν συνάφειαν. θέναρ δὲ τὸ τῆς χειρὸς κοῖλον T =

ῥέε] καταχρηστικώτερόν ἐστι τὸ "ῥέε," ὡς τὸ "νέκταρ ἐῳνοχόει" (Il. 3. 3). §. ἰχῶρα δὲ λέγει οὐχ οἷον ἡμεῖς οἴδαμεν, ἀλλ' ἄλλης τινὸς οὐσίας παρὰ τὸ αἷμα. διὸ καὶ ἐπήγαγεν "οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν" T =

341. οὐ γὰρ σῖτον ἔδουσι] καὶ μὴν πολλὰ τῶν ζῴων οὐ σῖτον ἔδουσιν, οὐκ οἶνον πίνουσι, καὶ οὔτε ἄναιμα οὔτε ἀθάνατά εἰσιν. δεῖ τοίνυν προσυπακούειν τῷ "πίνουσι" καὶ "ἔδουσι" 'ἀμβροσίαν καὶ νέκταρ,' οἷον 'οὐ πίνουσιν οἶνον, ἀλλὰ νέκταρ, οὐκ ἔδουσι σῖτον, ἀλλ' ἀμβροσίαν' T =

342. ἀναίμονες] "ἀναίμονες" μέν, ἐπεὶ οὐ τρέφονται, "ἀθάνατοι" δέ, ἐπεὶ ἀναίμονες. ὁ γὰρ θάνατος ψύξει τοῦ θερμοῦ γίνεται T =

344. μετὰ χερσίν] ἢ τῇ μετὰ χερσὶ νεφέλῃ, ἢ πρῶτον ταῖς χερσίν, ἔπειτα τῇ νεφέλῃ T =

348. εἶκε, Διὸς θύγατερ] προπαρασκευάζει ⟨τὸ⟩ μηκέτι φανῆναι αὐτήν, μηδὲ ἐν τῇ Θεομαχίᾳ T =

352. ἀλύουσα] λύσιν οὐχ εὑρίσκουσα τῶν κακῶν· διὸ οὐδὲ φθέγγεται T =. §. ψιλωτέον δὲ τὸ "ἀλύουσα·" παρὰ γὰρ τὴν ἄλην γέγονεν T +

353. Ἶρις] ὡς κοινῶς ἅπασι τοῖς θεοῖς ὑπηρετοῦσα ἢ ὡς ἐρωτική T +

356. ἐκέκλιτο] ἀπὸ τοῦ κλίνω κτλ. BT =

3. ἀβληχρὸν τὸ male T || 4. οἱ δὲ T: οἶδε δὲ || 5. ταχὺ pro εὐθύς T || 8. αὐτὴν W in T: αὐτὸν ut T || 11. θέναρος T, -ον || 26. θυγάτηρ ut T

Digitized by Google

## Λ.

167. καπ πεδίον] εἰ ἐν τῷ μέσῳ τοῦ πεδίου ὁ ἐρινεός, πῶς φησι "λαὸν δὲ στῆσον παρ' ἐρινεόν" ἐν τῇ Ζ (433); βραχὺ οὖν διασταλτέον ἐπὶ τὸ "πεδίον·" ἐν μέσῳ γὰρ ἦν τὸ σῆμα, ὅθεν καὶ 'Αλέξανδρος τοξεύει (371) καὶ Ἕκτωρ βουλεύει (Il. 10. 414), ὁ δὲ ἐρινεὸς παρὰ τὸ τεῖχος AT+

174. τῇ δέ τ' ἰῇ] ὡς γὰρ ὁ λέων, φησί, φοβεῖ μὲν πάσας τὰς βοῦς, κτείνει δὲ τὴν πλησίον εὑρισκομένην, οὕτω καὶ 'Αγαμέμνων ἐδίωκε μὲν πάντας, ἀνῄρει δὲ ὃν κατελάμβανεν ὑστεροῦνται T=. §. "ἀμολγῷ" δὲ τῷ ἑσπερινῷ τῆς νυκτὸς καιρῷ, ἐν ᾧ ἀμέλγουσιν· τότε γὰρ ὁ λέων τοῖς τετράποσιν ἐπιβουλεύειν λέγεται A+T=

181. τάχ' ἔμελλον] δι' ὀλίγων εὐφράνας τὸν ἀκροατὴν ἐπὶ τὰ συνεκτικὰ ἔρχεται· δεῖ γὰρ συνωθεῖσθαι τοὺς 'Αχαιοὺς εἰς τὴν ἔξοδον Πατρόκλου

184. στεροπήν] ὄργανόν τι ἦν, ὅπερ τινάσσων ἀστραπὰς ἐποίει A+T=

187. μέν κεν ὁρᾷ] ὕψωσιν περιέχει ὁ λόγος, ὡς καὶ τοῦ θεοῦ παραινοῦντος τῷ ἀπονενοημένως κινδυνεύοντι ⟨ἀναχωρῆσαι⟩ T=

191. ἢ βλήμενος] ἀξιοπίστως ἐπιδιστάζων φησίν· τὸ γὰρ ὁρίζειν ὡς τρωθήσεται λύοντος ⟨ἂν⟩ ἦν τὸ μέλλον εἰσάγεσθαι πάθος ἐκ τῆς τοῦ βασιλέως πληγῆς T=

192. ἐγγυαλίξω] ἵνα μὴ λυπώμεθα, ὡς τοῖς Τρωσὶν ἡττωμένων τῶν 'Αχαιῶν ἀλλὰ Διί T=

194. δύῃ τ' ἠέλιος] ἵνα εἰδότες τὸν καιρὸν τῆς ἥττης μὴ βαρέως ἀκούοιμεν τῶν λεγομένων κακῶν περὶ 'Ελλήνων T=

198. ἵπποισι] ὅρα, τί καταλαμβάνεται πράττων ὁ βάρβαρος· ἕστηκεν ἀργὸς ἐπὶ τῶν ἁρμάτων, μήτε πολεμῶν μήτε ἐγκελευόμενος, ὃ οὐκ ἂν Ἕλλην ἐποίησεν T=

201. τεΐν] τὸ τίν Δωρικὴ ἀντωνυμία, καὶ πλεονασμῷ δὲ τοῦ ε̄ γέγονε "τεΐν·" διὸ φυλακτέον τὸν τόνον A+T=

10. τετράποσιν Schr.: τετραπόδοις T, τετράπουσιν || 18, 19. supplevi ut in T || 23. ἐγγυαλύξω

Digitized by Google

211. ἐξ ὀχέων] τοῦτο ποιεῖ ὑπόνοιαν διδοὺς τοῖς Τρωσίν, ὡς καὶ αὐτὸς μάχεται· οὐ γὰρ ἔδει λάθρα ὑποχωρῆσαι, μὴ ἄρα χαλεπωτέραν ὑποψίαν τοῖς Τρωσὶ παράσχῃ T =

217. πρῶτος] ὡς ἂν παροξυνθεὶς ἐπὶ τῷ θράσει τῶν βαρβάρων ἐπιμένῃ τῇ προθυμίᾳ T =

218. ἔσπετε] ἐπὶ τοῖς μεγίστοις κτλ. BT =

4. Absoluto opere tot quae emendatricem manum desiderent scio relicta esse, ut per totum fere librum denuo critica ars exercenda videatur. Cedendum tamen tempori est. Itaque pauca subscribam Wilamowitzii supplementis inserta:

Il. 1. 247 (I p. 26, 23) supple ⟨ἂν⟩ post ἀπ.; post προπ. supplet W ⟨τῷ δὲ Ἀχιλλεῖ συνηγορῶν πάλιν τῷ ἀδελφῷ⟩ | ib. 30 οὐδὲ W: οὐδὲν | ib. 396 (38, 1) ⟨αἱ⟩ γυναῖκες ἢν—δράσωσι W: εἰ δράσουσιν | ib. 417 (40, 31) ⟨ἂν⟩ εἴποιμεν coni. W: εἴπωμεν | ib. 440 (43, 1) ὡς delet W | ib. 6 πανουργῶν W deleto puncto: πανοῦργον || 4. 302 (p. 146, 12) τόπον ἐκτροπῆς coni. W: τρόπον ἐ. | ib. 319 (p. 147, 1) Ἀκίδωνα coni. W (cum Strabone p. 351): at apud eundem p. 348 Ἀκίδοντι, Pausanias V 5, 8 et Venetus B ut T Ἀκίδαντα || 6. 119 (p. 209, 30) ἀφέλειαν coni. W: ὠφέλειαν | ib. 150 conf. Schraderum Herm. vol. XXI p. 208, qui supplendum hoc scholion docuit ex L, de quo vide vol. I p. xxxiii | ib. 181 (213, 17) aut παρεῖχεν aut παρετίθει W: παρεῖχε παρατιθέναι || 7. 131 (241, 21) τῷ delet W | ib. 220 (247, 1) κατὰ coni. W: μετὰ || 8. 245 (261, 22) inseras *μάστιξεν] τὸν ἀέρα ἔπληξεν ὀτρύνων αὐτούς | ib. 198 (271, 34) inseras νεμέσησε] ἐβάσκηνεν ὠργίσθη ἐφ' οἷς ἀναξίως εἶπεν || 10. 1 (341, 17) interpunge θεῶν τρώσεις, μ., δ., ἐκκλησίας ἀνδρῶν τε καὶ θεῶν, πρ. || 11. 413 (403, 16) ἔλλω W: ἐλάω | ib. 31 ἢ coni. W: τοῦ | ib. 514 (408, 25) δύνηται deleto puncto coni. W: δύναται | ib. 515 (409, 22–3) ἔλαυνε—ἔκτεμνε—ἐπίπασσε coni. W: ἐλαύνει—ἐκτέμνει—ἐπιπάσσει | ib. 521 (410, 3) καιρίων W: χωρίων | ib. 547 (411, 4)

Digitized by Google

ἄλλη W: ἄλλων | ib. 600 (414, 7) Πατρόκλου coni. W: Ἀχιλλέως | ib. 629 (416, 15) κυάνου corrigas pro κυανοῦ | ib. 692 (421, 26) πρεσβύτατος W: -ύτης | ib. 29 Γερήνοις W ut A: Γερηνίοις | ib. 814 (429, 24) dele ⟨ἡ⟩ | ib. 32 adde cum W ⟨Ἀχιλλεῖ Il. 16. 3⟩ | ib. 830 (430, 18) πάσσε corrige in lemmate pro πάσσεν || 16. 233 (vol. II p. 176, 8) Δωδώνου servandum est, cf. Herm. vol. XXIII p. 615 || 24. 602 (p. 478, 5–9) quae uncis inclusi, ea Monro adhibita tinctura chemica se legisse testatur; idem l. 6 Πανδαρέῳ et l. 8 ante ὄντα legit δὲ nunc oblitteratum.

5. Scholiis T¹ alterius manus (sec.) saec. XIII additamenta inde a p. 486 subiunxi, quibus (rec)entiora quatenus non viderentur futtilia immiscui. Et brevia quidem scholia et glossae supra textum, unde lemmata ut in pr.* petivi, propemodum omnia leguntur, ampliora in margine: quae discernere inter se signis in T¹ adhibitis nolui. Intermarginalia signavi **. Ubi lemmata marginalibus scholiis ego praefixi, cancellos ⟨ ⟩ circumdedi ut soleo. Interlinearibus tacite, ut dixi, ex textu lemmata ego adscripsi.—T² cum AB componere operae pretium fuit: unde T² usum esse codice exegeticae Veneti A parti fere gemello patefactum est. Glossae et interdum longiora quoque scholia persaepe eadem sunt in D, ut dubitari non possit quin etiam hoc scholiorum corpus in T² excerptum sit.

---

Viros Oxonienses, qui, ut haec editio absolvi posset, officiosa voluntate et patientia effecerunt, dum calamum defessus sepono, animo laudo pergrato et opinor conlaudabunt operam his voluminibus navaturi.

*Dabamus in universitate Gryphiensi m. Aug.* 1888.

ERNESTUS MAASS.

Digitized by Google

# ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ

## ΕΙΣ ΤΗΝ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

### ΕΙΣ ΤΗΝ Ν.

1. ΖΕΥΣ δ' ἐπεὶ οὖν] διὰ τούτων σχεδὸν βοᾷ ὁ ποιητὴς οὐκ ἴδιον τῶν Τρώων γεγενῆσθαι τὸ κατόρθωμα, ἀλλὰ τοῦ Διός. περιπαθῶς δὲ ἄγαν τὸ "νηυσί," οἷον οὐ τῷ τείχει μόνον ἀλλὰ καὶ ταῖς ναυσίν, ἥπερ ἔτι μόνη τῶν Ἑλλήνων ἐλπίς. B=

Ζεὺς δ' ἐπεὶ οὖν] ἐρειφθέντος τοῦ τείχους καὶ τροπῆς γενομένης λοιπὸν ἦν ἀναστῆναι Ἀχιλλέα. ὁ δὲ ποιητὴς μῆκος ἅμα καὶ ποικιλίαν περιποιεῖ διὰ τῆς ἀσχολίας τοῦ Διός. ἅμα δὲ ἐπειδὴ ἔφθασε περὶ τοῦ Ἕκτορος προειπὼν "οὐκ ἄν τις μιν ἐρυκάκοι ἀντιβολήσας νόσφι θεῶν" (Il. 12. 465), ἀναγκαίως τῷ ἀνυπόστατον ἔχοντι τὴν δύναμιν τὸν Ποσειδῶνα ἀντιστρατεύει. πῶς δ' ἂν ἐτόλμησε Ποσειδῶν προελθεῖν μὴ ἀσχολουμένου Διός; §. τὸ δὲ "ἐπεί" πολλὰ δηλοῖ, καὶ ὅτι—"ἐπεὶ πολὺν ὤλεσα λαόν" (Il. 2. 115)—καὶ ὅτε, ὡς νῦν, καὶ ἐπειδή καὶ ἀφ' οὗ. B= A=

Τρῶάς τε καὶ Ἕκτορα] πρὸς τὸ δεύτερον ὑπήντησεν· πρῶτος γὰρ Ἕκτωρ εἰσῆλθεν. ὑπεξεῖλε δὲ αὐτὸν ἰδίᾳ, ὡς "⟨οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν, οὐδ' ἄρ' ἔτ' αὐτὸς ἔην,⟩ θάνε δὲ ξανθὸς Μελέαγρος" (Il. 2. 642). AB—

2. τοὺς μὲν ἔα παρὰ νηυσί] ἐὰν ἐπ' ἀμφοτέρων λέγῃ Τρώων καὶ Ἑλλήνων, ἁπλούστερόν ἐστιν· ἐὰν δὲ περὶ τῶν Τρώων μόνων, ἐμφαίνεταί τι ἦθος, κατακερτομοῦντος τοῦ ποιητοῦ ὅτι μάτην ἐπόνουν· οὐ γὰρ ἤμελλον ἁλώσεσθαι αἱ νῆες ὑπὸ τῶν βαρβάρων. B=

* παρὰ νηυσί] τινὲς "πρὸς νηυσί."

πόνον τ' ἐχέμεν] "πόνον" τὴν ἐνέργειαν—"παύσαντο πόνου" (Il. 1. 467)—καὶ τὴν κακοπάθειαν, "ἦ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα ⟨νέεσθαι⟩" (Il. 2. 291). §. Ζηνόδοτος δὲ "ὀχέμεν." B=

1–3. inscriptiones addidi: ἀρχὴ τῆς $\overline{\text{N}}$ ὁμήρου textui inscriptum ‖ 8. ἐρρειφθέντος B, ἐρριφθέντος ‖ 9. τε pro ἅμα B ‖ 10. ποικιλίας B ‖ 15. ἐπεὶ post δ. omisi ut A ‖ 23. τι om. B ‖ 28. ὀχέειν coni. Nauck



Digitized by Google

* ὀιζύν] ὀΐζω ὀιζύω.

A= B– 3. πάλιν τρέπεν] τὸ "πάλιν" τὴν ἀπὸ τοῦ εὐθέος μεταστροφὴν δηλοῖ, "ὄσσε πάλιν κλίνασα" (Π. 3. 427). οἱ δέ, ἀνὰ μέρος Μυσίαν καὶ Θρᾴκην ὁρῶν· ἔστι δὲ καὶ τοῦτο σύνηθες Ὁμήρῳ, "πάλιν ποίησε γέροντα" (Od. 16. 456)· καὶ εἰς τοὐπίσω, "χειρὶ πάλιν ἐρύσασα" (Il. 5. 836)· καὶ ἐναντίως, "οὐδὲ πάλιν ἐρέει" (Il. 9. 56).

B= * ὅτι οὐδὲν ἀθεώρητον τῷ δημιουργῷ. §. τὸ δὲ "ὄσσε φαεινώ"

B= (7) δι' ὧν δίδοται τοῖς ὁρῶσι τὸ φάος.

4. ἐφ' ἱπποπόλων] οἱ μὲν περισσῶς τὴν "ἐπί," οἱ δὲ ἐπὶ ἵππων πολουμένων, οἱ δὲ ὄνομα ἔθνους. §. τὸ δὲ "ὁρώμενος" ἀντὶ τοῦ ὁρῶν.

5. * Μυσῶν] τινὲς τῶν ἐν Μακεδονίᾳ.

A=B– καὶ Ἀγαυῶν] Ἀγαυοὶ ὄνομα ἔθνους· ἵππους δὲ ἀμέλγοντες οὗτοι τῷ γάλακτι ἐτρέφοντο. Δημήτριος δὲ ἀγαυοὺς τοὺς εὐειδεῖς.

A– 6. * γλακτοφάγων Ἀβίων τε δικαιοτάτων ἀνθρώπων] Ἄβιοι ἔθνος, οἱ γαλακτοπόται. τινὲς τούτους Σαρμάτας φασίν.

A= B– Ἀβίων] πάντων Σκυθῶν ὑποκυψάντων Ἀλεξάνδρῳ μόνους Ἀβίους φασὶν οὐχ ὑπεῖξαι, μόνον δὲ ἐπισκεψαμένους τὴν ψυχὴν τοῦ ἀνδρὸς ἐπικηρυκεύσασθαι πρὸς αὐτόν. οὓς δικαιοτάτους φησὶ διὰ τὸ ἀνεπίμικτον, ὡς καὶ "Αἰθιοπῆας" (Il. 1. 423), ἢ ὅτι οὐκ ἠθέλησαν συστρατεῦσαι Ἀμαζόσιν εἰς Ἀσίαν. §. πῶς δὲ οὐδὲν περὶ αὐτῶν εἶπεν; καὶ γὰρ οὐδὲ περὶ τοῦ δικαιοτάτου τῶν Κενταύρων (Π. 12. 832), οὐδὲ περὶ τοῦ κερδίστου Σισύφου (Il. 6. 153).

A+B– Ἀβίων] τῶν νομάδων Σκυθῶν, ὅθεν καὶ ὁ Ἀνάχαρσίς ἐστιν· οὓς δή φησι δικαιοτάτους εἶναι ἁπάντων, ὅτι κοινοὺς ἔχουσι παῖδας καὶ γυναῖκας καὶ τὰ πάντα πλὴν ξίφους καὶ ποτηρίου. τούτοις δὲ αὐτομάτως ἡ γῆ βίον φέρει οὐδέν τι ζῷον ἐσθίουσιν· τούτους Αἰσχύλος Γαβίους φησίν (fr. 190 N.)· Ἄβιοι δὲ ἐκλήθησαν ἢ παρὰ τὸν βίον ἢ ⟨τὴν⟩ βία⟨ν⟩, ἢ ἅμα βιῷ πορευόμενοι, ἢ ὅτι ἄοικοι· οἱ δέ, ὅτι μακρόβιοι· λέγουσι δὲ αὐτοὺς τοὺς ὁδίτας τρέφοντας ἄλλον ἄλλῳ διαπέμπειν.

7. * οὐ πάμπαν] οὐδὲ ὅλως.

A= 8. * οὐ γὰρ ὅ γε] Ἀριστοφάνης "οὐ γὰρ ἔτι."

9. * πρὸς τὸ "ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν" (Il. 1. 549).

2. εὐθέως A ‖ 3. ἐκ δευτέρου pro ἀνὰ μέρος B ‖ 13. schol. l. 11 adhaeret ‖ 14. τὸ γάλα B ‖ 15. Ἄβιοι scripsi cf. Et. M. s. v. Γλακτ., Λακτῖνες coni. Bekker, Ἰάζυγες W ex Strab. 306: λαητῖνες ‖ 16. Σπαρμάτας A, Σαλμάτας ‖ 18. μόνον B: μόνωι ‖ 26, 27. αὐτόματος B ‖ 27. οὐδέ τι A ‖ 28. supplevi ex A ‖ 29. βιῷ τουτέστι τόξῳ Eust.: βιῶν ut A

Digitized by Google

10. οὐδ' ἀλαοσκοπίην] ἄλη ἀλαιός ἀλαός Αἰολικῶς. §. διδάσκει B=
δὲ διαφορὰν ἐπιμελείας καὶ ῥᾳθυμίας. πιθανῶς δὲ τοὺς στρατηγοὺς B=
καταστρατηγοῦντας ἀλλήλων ἐποίησεν οὐ βιαζομένους· ὁ μὲν ⟨γὰρ⟩
Ζεὺς ἀποδημοῦντος ἐν Αἰθιοπίᾳ Ποσειδῶνος ἐπανάγει Ὀδυσσέα (Od.
1. 28), ὁ δὲ Ποσειδῶν νῦν ⟨ἐνεργεῖ⟩.

11. καὶ γὰρ ὃ θαυμάζων] θεωρῶν, "ἱστάμεναι θαύμαζον" (Il. 18. B−
496) καὶ "ἡμεῖς δ' ἑσταότες θαυμάζομεν" (Il. 2. 320)· γραφικῶς δὲ ἔχουσιν οἱ δύο θεοὶ ἀπὸ τῶν ὀρῶν θεώμενοι.

12. ὑψοῦ] πιθανῶς τὸ "ὑψοῦ," ὥστε πάντα καταθεάσασθαι.

Σάμου—Θρηικίης] πρὸς ἀντιδιαστολὴν διὰ τὴν πρὸς Ἰθάκῃ, B−
ἣν Σάμην καλεῖ (Il. 2. 634)· ἔστι δὲ καὶ ἄλλη Σάμος περὶ
Μυκαλησσόν, καὶ τρίτη ἐν Πελοποννήσῳ περὶ τὴν Τριφυλίαν.

Σάμου] Ἀρίσταρχος ὄρος ὁμώνυμον τῇ νήσῳ, οἱ δὲ ὑψηλοτέραν A+
εἶναι τὴν Σάμον τοῦ Ἄθω· οὐκ ἀπίθανος δὲ καὶ ἡ δίχα τοῦ μ̄ γραφὴ
"Σάου·" τὴν γὰρ Σαώκην τὸ ὄρος παραδηλοῦσθαί φασιν.

15. ἔνθ' ἄρ' ὅ γε] τρεῖς παράλληλοι ⟨ὀξεῖαι⟩. A+

ἕζετο] οὐ νῦν ἕζετο, ἀλλ' ὅτε ἐκάκου τὰ Ἑλληνικὰ ὁ Ζεύς. B=
ἔδει οὖν πρῶτον εἰπεῖν ὅτι ἐκάθισεν, εἶθ' οὕτως ὅτι ἑώρα τὴν μάχην.

17. * παιπαλόεντος] ἀντὶ γενικῶν. §. ἐκτροπὰς ἔχοντος ὥσ⟨τε⟩
πλανᾶσθαι.

18. κραιπνὰ ποσὶ προβιβάς] πῶς οὖν ἔφη καὶ "τρὶς μὲν ὀρέ- B=
ξατο" (20); ἢ ἀντὶ τοῦ πρόθυμα καὶ σπουδαῖα.

τρέμε δ' οὔρεα] ἐνοσίχθων γάρ ἐστιν. Δία δὲ οὐδέποτε κατιόντα
καὶ μεταμορφούμενον ποιεῖ.

20. τρὶς μὲν ὀρέξατο] ὑπερφυῶς τοσαύτην θάλασσαν καὶ ἔθνη B−
τρισὶ βήμασι παρῆλθεν. ὑπερβαλέσθαι δὲ τοῦτο θελήσας Πίνδαρος
εἰς ὑπόνοιαν ἧκε ψεύδους, "βάματι δ' ἐν πρώτῳ κιχὼν παῖδ' ἐκ
νεκροῦ ἅρπασε" (Pyth. 3. 43).

ἵκετο τέκμωρ] ἐπὶ τὸ τέλος τῆς ὁδοῦ παρεγένετο τὰς Αἰγάς. §.
τίνος δὲ ἕνεκεν ἐπὶ τὰς Αἰγὰς ἄπεισι, παρὸν ἐν Τροίᾳ εὐθὺς γε- A B−
νέσθαι τὴν Σαμοθρᾴκην καταλιπόντι; ἴσως οὖν πρὸς κατάπληξιν τῶν
Τρώων ἄπεισι τὸ ξίφος ληψόμενος, ἢ ὁπλιεῖται ὡς οὐκ ἀνεξομένου

1. ἀλεός ἀλαός B ‖ 3, 5. supplevi ex B ‖ 6. ἱστάμενοι ut B ‖ 7. δὲ ἱσταῶτες ‖ 10. Ἰθάκην ‖ 14. μ A: ν ‖ 15. Σάου· τὴν A: σαυτὴν ‖ 12. Μυκαλησσόν etiam Steph. Byz. s. v., ubi Μυκάλην coni. Meineke; Μυκάλην coni. W ‖ 16. supplevi ex A ‖ 19. γενικῶν corruptum ‖ 21. ἔφη scripsi cf. B: ἔχει ‖ 23. Δία W: διὰ ‖ 26. ὑπερβαλεῖσθαι ‖ 30. παρὼν ‖ 32. ἀνεξομένου Schrader: ἀνεξόμενος



Digitized by Google

Διός, ἢ τῷ ἐπιτερπεῖ τῆς φράσεως τὸ τῆς μάχης στυγνὸν διαλύει, ἢ ἀναχωρεῖ ὅπως μὴ ὑπόνοιαν δῷ τοῖς Τρωικοῖς ⟨ἐπελευσόμενος⟩.

A+ 21. Αἰγάς, ἔνθα δέ οἱ] ἐν Αἰγαῖς τῆς Εὐβοίας παράδοξα πολλὰ γίνεται· κατὰ γὰρ τὰς ἐτησίους τοῦ Διονύσου τελετὰς ὀργιαζουσῶν τῶν μυστίδων γυναικῶν βλαστάνουσιν αἱ καλούμεναι ἐφήμεροι ἄμπελοι, αἵτινες ἕωθεν μὲν τὰς τῶν καρπῶν ἐκβολὰς ποιοῦνται, εἶτ' αὖ πάλιν βότρυας βαρυτάτους, καὶ τούτους πρὸ μεσημβρίας πεπαίνουσι, πρὸς δὲ τὴν ἑσπέραν δρεπόμεναι ἄκρατον χορηγοῦσι δαψιλῆ ταῖς ἀπὸ τοῦ χοροῦ παρθένοις. οὐδεμία δὲ ἔνδεια γίνεται αὐτοῦ κατὰ τὴν ἐχομένην ἡμέραν, ἀλλ' ὁσάκις ἀναλίσκεται, τοσαυτάκις δαψιλεύεται· Νικοκράτης δὲ ἐν τῷ περὶ τοῦ ἐν Ἑλικῶνι ἀγῶνος οὐ ταύτας φησὶ τὰς Αἰγὰς λέγειν τὸν ποιητήν, ἀλλ' ἑτέραν τινὰ νῆσον ἐν τῷ Αἰγαίῳ πελάγει, περὶ ἣν καὶ παραδοξολογία τις εἶναι μυθεύεται· τοὺς γὰρ προσορμίζοντας τῇ νήσῳ νυκτὸς ἅπαντας ἀφανεῖς γενέσθαι· διὸ μηδὲ προσπελάζειν τινά.

B= κλυτὰ ⟨δώματα βένθεσι λίμνης⟩] τινὲς ὑποκλυζόμενα ὑπὸ θαλάσσης· οἱ δέ, διὰ τὴν δύναμιν τοῦ θεοῦ ἐν μέσῃ θαλάσσῃ εἶναι τὸ ἱερόν. καὶ τῷ βάθει τὸ ἄπιστον ἐκάλυψεν.

22. χρύσεα] ἐπεὶ Ἥφαιστος αὐτὰ ἐποίησεν, ὅτε Θέτις καὶ Εὐρυνόμη αὐτὸν ὑπεδέξαντο πεσόντα (Π. 18. 398).

B− 23. ⟨ὑπ' ὄχεσφι⟩ τιτύσκετο] ὑποζευγνὺς τοῖς ὄχεσιν εὐτρέπιζεν. οἱ δὲ παρὰ τὸ τεύχω· "Ἥφαιστος δὲ τιτύσκετο θεσπιδαὲς πῦρ" (Π. B~ 21. 342). §. διὰ τί δὲ τοὺς ἵππους καταλιμπάνει αὐτοῦ καὶ θᾶττον βαδίζει (34); ἢ οὖν καλ⟨λ⟩ιγραφῆσαι βούλεται ὁ ποιητὴς τὴν ὁδὸν αὐτοῦ, ἢ προπαρασκευάζεται τῷ Διὶ ⟨μαχούμενος⟩. §. "χαλκόποδε" δὲ ἠχόποδας, "ἐρίγδουποι πόδες ἵππων" (Π. 11. 152). §. εἰσὶν Ἐριώλης καὶ Γλαῦκος, ἢ Ἐγκέλαδος καὶ Σθένιος.

25. χρυσὸν δ' αὐτὸς ἔδυνε] ἀλλ' ὁρᾶταί φησιν ὑπὸ Διός· οὐκ ἴσασι δὲ ὅτι καιρῷ τηρεῖ αὐτοῦ τὴν ἀπουσίαν.

B= χρυσὸν δ' αὐτός] πάντα ποιητικά· ἀπὸ γὰρ τῆς παρ' ἡμῖν τιμωμένης ὕλης καὶ παρὰ θεοῖς λαμβάνει χρύσεα ⟨τὰ⟩ δώματα ⟨καὶ⟩ χρυσᾶς τὰς ἐθείρας τῶν ἵππων. καὶ χρυσὸν αὐτὸς ἀναλαμβάνει, τοῦ-

3. Ἀχαΐας ἐν Πελοποννήσῳ A D ‖ 7. καὶ τοὺς ‖ 8. τρεπόμενος, cf. Paris. 3060 (Dind. III p. 3) ‖ χορηγοῦσι Eust.: χορηγεῖ ‖ δαψιλῆ Eust.: δαψιλὲς ‖ 9. ὑπ' post γ. omisi ‖ 9, 10. κατεχομένην τὴν ἐχομένην: corr. W ‖ 16. ὑπὸ scripsi: ἐπὶ ‖ 18. τῷ δὲ β. B ‖ 23, 24. καταλιμπάνων αὐτοὺς κ. θ. βαδίζων ‖ 25. suppl. W cf. B ‖ 27. Σθένων legit Eust. ‖ 30. schol. post p. 5 l. 21 scriptum ‖ 31. supplevi ex B

Digitized by Google

τέστι πανοπλίαν χρυσῆν, καὶ μάστιγα χρυσῆν· καὶ ἑξῆς τοῖς ἵπποις περιέβαλε πέδας χρυσᾶς. §. ὥσπερ καὶ τὰ στερεά, "σιδηρέῳ ἄξονι ἀμφίς" (Π. 5. 723).

26. * χρυσείην] χρυσῇ λαβῇ χρωμένην.

27. βῆ δ' ἐλάαν] ὡς "μάστιξεν δ' ἐλάαν" (ib. 366) λείποντος τοῦ 'ὥστε,' ⟨ὥστε⟩ ἐλάαν. ἢ τὸ "ἐλάαν" ἀντὶ τοῦ ἐλάων, ὅ ἐστιν ἐλάσων. §. τὸ δὲ "ἄταλ⟨λ⟩ε" ἐσκίρτα, ἀπὸ τῶν νηπίων· ἐπὶ δὲ Ἑρμοῦ τὸ πέλαγος AB— διανύοντος (Od. 5. 51) οὐδὲν τοιοῦτον· τῷ δὲ θαλάσσης δεσπότῃ οἰκεῖα ταῦτα· ἀλλ' οὐδὲ αὐτός, ὅτε ἄνεισιν ἐξ Αἰθιοπίας θυμούμενος (ib. 282).

* ὑπ' αὐτοῦ] δι' αὐτόν, ὡς "ὑπὸ τῆς νόσου ἀδυναμεῖ." §. τινὲς δὲ A— B= γράφουσιν "ὑπ' αὐτῷ" τῷ δίφρῳ. A—

28. ⟨πάντοθεν⟩ ἐκ κευθμῶν] οἱ μὲν συγκοπήν, οἱ δὲ ὅ⟨τι⟩ κευθμός B— ὡς τεθμός, Ἰακῶς, ὡς βαθύλειμος βαθυλείμων. §. ταῦτά εἰσι τὰ AB= εἰς $\overline{\theta\epsilon\nu}$ τῷ $\bar{o}$ παραληγόμενα καὶ προπαροξυνόμενα, οἴκοθεν ἄλλοθεν ἑκάστοθεν ἔνδοθεν ἀπόπροθεν ἔκτοθεν πάντοθεν.

29. γηθοσύνῃ ⟨δέ⟩] Ἀρίσταρχος ὀρθὴν αὐτήν φησιν, ὡς "ψάμμῳ A+ B— κυανέῃ" (Od. 12. 243), ὁ μέντοι Ἡρωδιανὸς διὰ πολλῶν αὐτὴν δοτικὴν ἀποδείκνυσιν, οἱ δὲ "γηθόσυνα" τὰ κήτη, ⟨εἶτα "ἡ δέ"⟩. §. "γηθοσύνῃ δέ." τόπον παρεῖχε τῷ θεῷ, φησίν, ἡ θάλασσα καὶ οὐκ B= ἀνθίστατο κυμαίνουσα.

διίστατο] ὡδοποίει. §. καὶ τί θαῦμα; καὶ γὰρ Ἀλεξάνδρῳ φησὶ B= τὸ κατὰ Παμφυλίαν πέλαγος Καλ⟨λ⟩ισθένης.

30. * ὑπένερθε] κάτωθεν.

31. ἐύσκαρθμοι] εὖ σκαίροντες ἢ εὔποδες. τινὲς δὲ καὶ τὸν δρό- A+B= μον σκαρθμὸν ὀνομάζουσιν, ὅ ἐστι ταχεῖς.

32. * σπέος] ἀφώτιστον, παρὰ τὴν σβέσιν. B=

33. Τενέδοιο] ἡ Τένεδος Τρίοδος καλεῖται· ἔστι γὰρ μέσῃ A+ Αἰγαίου, Ἑλλησπόντου, μέλανος κόλπου.

34. * ἔνθ' ἵππους] ἄτοπον γὰρ τὸν ὁμοιωθησόμενον Κάλχαντι θεῖον ἔχειν ἅρμα. ἢ πρὸς τὸ Δία λαθεῖν.

35. βάλεν εἶδαρ] κομίσας δηλονότι· οὐ γὰρ φύει ἡ θάλασσα· πάσης δὲ ἡμᾶς ἀπέχει μαλακίας καὶ θεοὺς εἰσάγων αὐτουργοῦντας.

1. μάστιχα ‖ 2. περιβάλλει B ‖ 5. αὐτίκα ὡς ante λ. omisi ‖ 6. iteratur * ἐλάαν] ἐλάων ‖ 14. τευθμός: corr. W ‖ 15. ἔντοθεν post οἴκοθεν omisi ut A B ‖ 19. supplevi ex A ‖ 23. Παμφύλιον ‖ 29. Αἰγαίωνος

Digitized by Google

B= 37. * ἀρρήκτους ἀλύτους] διχῶς γὰρ δεσμὸς ἀφανίζεται, ἢ ῥήξει ἢ λύσει· ἄμφω οὖν παρέλαβεν.

39. Τρῶες δὲ φλογὶ ἶσοι] ἐπὶ τὰ πρῶτα ἐπαναφέρει τὸν λόγον— "οἳ δὲ—ἐσέχυντο—νῆας ἀνὰ γλαφυράς, ὅμαδος δ' ἀλίαστος ἐτύχθη" (Il. 12. 469)—καίτοι ἐκεῖνο πλησίον ἦν "ὃ δ' ἐς στρατὸν ᾤχετ' Ἀχαιῶν" (38) καὶ τάδ' ἔπραττεν. ἀλλ' ἡ διαίρεσις ἐπὶ τοὺς Τρῶας γέγονεν, ἵν' ἐπιζεύξειεν "ἀλλὰ Ποσειδάων—Ἀργείους ὄτρυνε" (43).

B= φλογὶ ἶσοι—ἠὲ θυέλλῃ] πρὸς τὸ εὐκίνητον ἁρπακτικὸν ἠχητικόν, ἅμα δὲ καὶ πρὸς τὴν ἄλογον ὁρμήν· ὅθεν οὐδὲ ἐμψύχοις ἀπείκασεν, οἷον λέουσιν ἢ λύκοις· ἀκόλουθα δὲ καὶ τὰ ἐπιφερόμενα ὀνόματα· ἀπὸ γὰρ ἀνέμου καὶ πυρὸς ἦχος γίνεται.

B— 41. ἄβρομοι αὐίαχοι] φύσει γὰρ ὄντες θορυβώδεις προσθορυβοῦσι τῇ νίκῃ· ἔλαβε δὲ τὸν μὲν βρόμον ἀπὸ τοῦ πυρός, τὴν δὲ ἰαχὴν ἀπὸ τῆς θυέλλης· "οὔτε πυρὸς τόσ⟨σ⟩ος γε ποτὶ βρόμος" (Il. 14. 396).

A+ αὐίαχοι] οἱ μὲν παρὰ τὸ αὔειν καὶ ἰάχειν, οἱ δὲ ἐξαιρεθέντος τοῦ ῡ τὸ ῠ προσελθεῖν, ὡς ἀγανός ἀγαυός, κατάξαντες καυάξαντες· οἱ δὲ "ἀίαχοι," κατ' ἐπίτασιν ὄντος τοῦ ᾱ, εἶτα πλεονάσαι τὸ ῡ.

B= 43. ἀλλὰ Ποσειδάων] τὰ ἐναντία δύο ἔλαβεν· δύο γάρ εἰσιν ὧν χρὴ προΐστασθαι, τῶν ἀσθενῶν πρὸς διόρθωσιν καὶ τῶν ὑγιῶν πρὸς παίδευσιν.

B— 45. εἰσάμενος Κάλχαντι] ἐπεὶ ὑπὲρ Ἀχιλλέως κατὰ Ἀγαμέμνονος μέλλει λέγειν, πρὸς τὸ πιστωθῆναι Κάλχαντι εἴκασται· οἱ δέ, ὅτι ὁ ποιήσας τὸ ἐν Εὐβοίᾳ ἱερὸν Κάλχαντος ἀδελφὸς ἦν.

ἀτειρέα φωνήν] οἱ μέν, ὅτι καὶ τῶν κηρύκων τῶν ἐννέα εἷς ἦν ὁ Κάλχας· οἱ δέ, τὴν ἑαυτοῦ θείαν φωνήν.

46. * μεμαῶτε] τοῦ σῴζειν ἢ μάχεσθαι.

47. * σφῷ μέν κε σαώσετε] περισσὸς ὁ "κέ."

B= 49. * ἄλλῃ] κατ' ἄλλην τάξιν· πένταχα γὰρ ἦσαν κοσμηθέντες.

50. τεῖχος ὑπερκατέβησαν ὁμίλῳ] ὑπερβάντες καθείλοντο. §. τὸ
A+ δὲ "ἕξουσιν" Ἀριστοφάνης "σχήσουσιν" γράφει (51).

52. τῇ δὲ δή] κατὰ ταύτην τὴν τάξιν.

B= περιδείδια] ὑπερδέδια. §. οὐκ ἀναστρέφεται δὲ ἡ "περί," ὅτε τὸ
A+B= περισσῶς δηλοῖ.

2. ἄ. δὲ συμπεριέλαβεν B ‖ 6. καὶ τάδ' vel καὶ τάδε καὶ τάδ' W: κατὰ δ' ‖ 9. τὸ A: τοῦ ‖ 13. πλέον θορυβοῦσι B, προσέλαβε ‖ 14. τῇ νίκῃ B: τὴν νίκην ‖ 17. ἀγανός D: ἀγαθός ut B ‖ 20. περὶ pro πρὸς coni. W ‖ 29. παράταξιν B

Digitized by Google

53. ἦ ῥ' ὅ γ' ὁ λυσσώδης] τινὲς "ἦ ὅ γε" ἀντὶ τοῦ ὅτι, ὥς φαμεν 'ἦ ὀμόσας μοι παρέβη.' §. λύσσα δὲ παρὰ τὸ λελύσθαι τὰς φρένας. B=

54. ὃς Διὸς εὔχεται] φησὶ γὰρ "τιοίμην δ', ὡς τίετ' Ἀθηναίη B+ καὶ Ἀπόλλων" (Il. 8. 540).

55. * ὧδε] οὕτως ὡς νῦν ὑπομένετε.

57. * ἐρωήσαιτε] ἡσυχάσαι ποιήσαιτε.

58. * τοῦτό ἐστι ⟨πρὸς τὸ⟩ "Διὶ δὲ κρατερῶς ἐνεμέσ⟨σ⟩α" (16).

59. ἦ, ⟨καὶ⟩ σκηπανίῳ] Κυρηναῖοι οὕτω τὸ σκῆπτρον. σκῆπ- B— τρον δὲ καὶ δόρυ Ποσειδῶνος ἡ τρίαινα. ἢ ὅτι ἐσκηπτροφόρουν οἱ μάντεις. §. σημειωτέον δὲ ὅτι θεὸς Αἴαντι τῷ Τελαμωνίῳ βοηθεῖ.

60. κεκοπώς] ὡς πεπληγώς. §. αἱ δὲ Ἀριστάρχου διχῶς "κεκοπώς" A+ καὶ "κεκοφώς·" ἐν δὲ τῇ Χίᾳ "κεκοπών."

κεκοπώς] λεληθότως· ἀμέλει θαυμάζουσιν αὐτοί. A+

61. ἐντεῦθεν μετατίθεται εἰς τὸν ἐπιτάφιον (Il. 23. 772), καὶ γίνεται ψεῦδος καὶ ἄτοπον· ἔστι δὲ ὅμοιον τῷ "ὡς ἄρ' ἔπειτ' ἠρᾶτο καὶ αὐτὴ πάντα τελεύτα" (Od. 3. 62). ἀρκεῖ δὲ τὸ "πλῆσεν μένεος κρατεροῖο" (60).

62. αὐτὸς δ', ὥς τ' ἴρηξ] παραβολικός, οὐ φανταστικὸς ὁ λόγος. B=

63. ἀπ' αἰγίλιπος πέτρης] ἐφ' ὕψους γὰρ ἕστηκε θηρᾶν μέλλων. B=

64. ὄρνεον ἄλλο] ἕτερον ⟨τῷ⟩ εἴδει· τῶν γὰρ ὁμοφύλων ἱέραξ οὐχ B= ἅπτεται. §. τῷ δὲ "πεδίοιο" λείπει ἡ ὑπέρ. §. ἔστι δέ, "ὡς δ' ὑπὸ A= δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι" (Il. 21. 22).

65. ὡς ἀπὸ τῶν ἤιξε] θέλει ἐπιγνωσθῆναι, ἵνα ἐλπίσαντες προθυμότεροι γένωνται.

66. ἔγνω πρόσθεν Ὀιλῆος] ὡς ἰδίαν ἔχων δύναμιν οὐ ταχέως B— ᾔσθετο τῆς ἐπικουρίας· ὡς δὲ ἀσθενέστερος ὁ Λοκρὸς ἐπέγνω ταχύ· ἢ ὅτι νωθὴς ὁ Τελαμώνιος, ὁ δὲ ὀξύτερος.

68. ἐπεί τις νῶι θεῶν] παρέλκει ἡ "ἐπ⟨ε⟩ί·" ἢ ὅμοιόν ἐστι τῷ "ἐπεί με κατ' αἶσαν ἐνείκεσας" (Il. 3. 59).

69. μάντ⟨ε⟩ι εἰδόμενος] οὐ διαιρεῖ, ὡς τὸ "αἴδρει φωτὶ ἐοικώς" (ib. 219).

παρὰ νηυσὶ μάχεσθαι] τὸ "μάχεσθαι" συναπτέον τῷ "καὶ ⟨δ'⟩ A= ἐμοὶ αὐτῷ θυμός" (73), τὰ δὲ ἄλλα διὰ μέσου.

1. ἦρ' ‖ ἦ ὅγε ‖ 2. ἦ ὀμ. ‖ supra εἰκ. ἀθανάτοισι v. 53 add. pr. ἡγεμονεύει ‖ 11. Ἀρίσταρχος Eust., Ἀριστοφάνης A ‖ 12. κεκοφὼς A Eust.: τετυφώς ‖ 13. post αὐτοὶ omisi ἀμφοτέρω ι— ‖ 14. lemma κεκοπὼς πλῆσεν μένεος κρατεροῖο (60) omisi ‖ 15. γίνεται Bekker: γρ. ‖ ἔπειθ' ‖ 20. supplevi ex B ‖ 21. τῷ scripsi: τὸ ‖ 23. ἴηξεν ‖ 30. μάντει textus ‖ ὥστε ἀ.

Digitized by Google

70. * οὐδ' ὅ γε] ὁ "δέ" ἀντὶ τοῦ γάρ.

B− 71. ἴχνια γὰρ μετόπισθε] ἀναχωροῦντος αὐτοῦ τὰς ἀποχαράξεις τῶν ποδῶν ἔγνων, φησί, μὴ ἀπομαξαμένας ἴχνος. §. τὸ δὲ "ῥεῖα" πρὸς
B− τὸ "ἀπιόντος" (72)· ῥᾳδίως γὰρ ἀπηλλάγη ὡς θεός. καὶ συνῳδὸν τὸ τάχος τῷ "αὐτὸς δ', ὥς τ' ἴρηξ" (62). §. ἴχνιον δὲ παρὰ τὸ ἥξω ἵγμαι
A+ ἴγνιον ἴχνιον, ὡς παίγνιον· προπαροξυτονητέον δέ. οὐ γάρ ἐστιν ὑποκοριστικόν, ἐπεὶ ἔδει ὡς "ἑρκίον αὐλῆς" (Od. 18. 102) παροξύνεσθαι.
A= §.γράφε⟨τα⟩ι καὶ "ἴθματα." Ζηνόδοτος δὲ καὶ Ἀριστοφάνης "ἴχματα."

73. * θυμὸς ἐνὶ στήθεσσι] ὁ ἐντὸς στέρνων θυμός.

75 * μαιμώωσι] ἀντὶ τοῦ αἱμώωσι.

77. οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι] ὅρα τὸ ἦθος ὡς ἁπλοῦν· οὐδὲν μὲν γὰρ περὶ θεοῦ λέγει· ἁπλῶς δὲ τὸ παριστάμενον αὐτῷ δηλοῖ.

79. ἔσσυμαι] τὸ θέμα σύω σύσω, ὅθεν καὶ σῦς.

μενοινώω δὲ καὶ οἶος] εἰ καὶ μετὰ Διός ἐστιν, ἢ ⟨χωρὶς⟩ τοῦ τάγματος.

B+ 82. χάρμῃ] κυρίως, οὐ 'τῇ μάχῃ,' ἀλλὰ τῇ πρὸς πόλεμον προθυμίᾳ.

A+ ἄλλως: "χάρμῃ" τῇ μάχῃ· τὴν γὰρ χαρὰν χάρμα φησίν· καὶ οὐκ ἂν ἐπήγαγε "γηθόσυναι," εἰ τὴν χαρὰν ἐδήλου.

83. τόφρα δὲ τοὺς ὄπιθεν] "ὄπιθεν" τῶν Αἰάντων Σαλαμίνιοι Λοκροί.

* τόφρα δὲ τοὺς—ὦρσεν] ἕως ἐλάλουν.

B+ 84. ἀνέψυχον] ἀναψῦξαι τὸ ἀναπαῦσαι· καὶ γὰρ ἡ ψυχὴ πνεῦμά ἐστιν.

B+ 86. καί σφιν ἄχος] τὴν μὲν ψυχὴν ἄχος, τὸ δὲ σῶμα κάματος ἐδάμαζεν.

B= δερκομένοισι Τρῶας] περιπαθῶς πάνυ, ὅτι ὁρῶντες ἐν ὄψει τὸ κακὸν ἐπαμύνειν ἦσαν ἀδύνατοι· ὅθεν καὶ ἐπαναλαμβάνει ⟨τὸ⟩ "τοὺς οἵ γ' εἰσορόωντες" (88)· τὰ γὰρ σχετλιώτατα τῶν δεινῶν τὰ ἐν ὄψει ἐστὶν ὁρώμενα.

A+B− 88. ὑπ' ὀφρύσι δάκρυα λεῖβον] εἰς ἔσχατον προῆκται τὰ τῶν Ἑλλήνων· ὅρα γὰρ ἐπὶ τῆς παρατάξεως στρατιώτας κλάοντας ἐν τοῖς ὅπλοις, καὶ ταῦτα Ἕλληνας· λεληθότως δὲ ἔκλαον.

89. φεύξεσθαι ὑπὲκ κακοῦ] τὸ φεύγειν γενικῇ συντάσσει· "πεφυγμένος ἦεν ἀέθλων" (Od. 1. 18)· ἔστι δὲ 'ὑποφεύξεσθαι ἐκ τοῦ κακοῦ.'

14. suppl. W || 16. οὐ scripsi : νῦν || 20. Λοκρούς || 27. supplevi ex B

Digitized by Google

91. Λήιτον] ἐγγὺς γὰρ Λοκρῶν Βοιωτοί· οὗτοι δεύτεροι μέν εἰσι κατ' ἀλκήν, πρόθυμοι δὲ πάντες καὶ νέοι.

92. * Πηνέλεών θ' ἥρωα Θόαντά τε] ἐγάμει γὰρ 'Ανακτορ⟨ί⟩αν τὴν Πηνέλεω.

Δηίπυρον] Πύλιος ἦν, ὥς τινες· οἱ δὲ ἀδελφὸν Μηριόνου· ἰσοδυναμεῖ δὲ τὸ ὄνομα τῷ Πυραίχμῃ (Il. 2. 848). §. "μήστωρας" (93) δέ, πρακτικοὺς μάχης.

95. αἰδώς, 'Αργεῖοι, κοῦροι νέοι] λείπει τὸ ἔστω. §. 'Ελληνικῶς B= τὸ τῆς αἰδοῦς προβάλλεται, τοῖς δὲ βαρβάροις ὁ Ἕκτωρ οὐ τὸ B− αἰσχρὸν ἀλλὰ τὸν φόβον· "αὐτίκ' ἐμῷ ὑπὸ δουρὶ τυπείς" (Il. 12. 250)· εὖ δὲ καὶ τῆς ἀκμῆς ὑπομιμνήσκει ἐπὶ δειλίᾳ συγγνώμην οὐ φερομένης· διὸ καὶ δὶς ἐπανέλαβε τὸ ὄνομα.

κοῦροι νέοι] εὐγενεῖς. §. ἔστιν οὖν 'αἰσχύνης ἄξια ποιεῖτε Ἕλλη- B= νες ὄντες εὐγενεῖς καὶ νέοι,' ⟨ἢ⟩ κατὰ πεῦσιν.

αἰδώς, 'Αργεῖοι] τινὲς 'αἰδοῦς ἄξιόν ἐστιν.'

ὔμμιν ἔγωγε πέποιθα] αἰσχρὸν οὖν τὴν ὑπόνοιαν ἀπολέσαι, ἣν ἔχετε παρὰ τοῖς πολλοῖς.

96. νέας ἀμάς] ἤγαγε γὰρ εἰς Ἴλιον· "καὶ νήε⟨σ⟩σ' ἡγήσατ' B= 'Αχαιῶν Ἴλιον εἴσω" (Il. 1. 71). §. κατ' ἀρχὴν δὲ μόνον Δώριον A+ ⟨τὸ "ἀμάς"⟩.

* τοιαῦτα καὶ πρὸς τοὺς Αἴαντας· "σφὼ μέν κε σαώσετε" (47).

* πέποιθα] ἐπεποίθειν.

97. εἰ δ' ὑμεῖς πολέμοιο μεθήσετε] ἐντέχνως τὸ φιλότιμον αὔξει B= τῶν νέων, τὴν αἰτίαν τοῦ σωθῆναι καὶ ἀπολέσθαι αὐτοῖς ἐπαναφέρων.

98. εἴδεται ἦμαρ ⟨ὑπὸ Τρώεσσι δαμῆναι⟩] φαίνεται. λείπει δὲ B= τὸ τοῦ, τοῦ ὑπὸ Τρωσὶ δαμῆναι. §. ἀντὶ τοῦ προφανές ἐστιν, ὡς ἐν τῇ AB= νῦν ἡμέρᾳ ἀπολούμεθα.

* δαμῆναι] ἀντὶ τοῦ ὑποταχθῆναι.

101. Τρῶας ἐφ' ἡμετέρας ⟨ἰέναι νέας⟩] ἐν τῷ "ἡμετέρας" B= μεγάλη ἔμφασις· καὶ ἔστι μυρία ὑπακοῦσαι, οἷον τοὺς βαρβάρους ἐπὶ τὰς 'Ελληνικάς, τοὺς δειλοὺς ἐπὶ τὰς τῶν γενναίων, τοὺς ὀλίγους ἐπὶ τὰς τῶν πλεόνων.

* ἐν ἤθει τὰ θαύματα ταῦτα, ὡς τὸ "Ἕκτωρ δὴ παρὰ νηυσί" (123). B−

102. ἐλάφοισιν ἐοίκεσαν] ἐντέχνως τῷ ψόγῳ τῶν Τρώων ἐνέβαλε τὴν B=

3. suppl. W ‖ 5. Δηίπυρον textus, Δηίπυλον ‖ 8. ἑλληνικῶς B: ἑλληνικὸν ‖ 9. προβάλλεται B: προβάλλεσθαι ‖ 11. συγγνώμης ‖ δ. συγγνώμην ἐχούσῃ B ‖ 14. suppl. W ‖ 18. νῆας ‖ 24. ἀναφέρων B ‖ 30. προσυπακοῦσαι B

κατηγορίαν ⟨τῶν⟩ Ἑλλήνων· ποῖοι γὰρ ⟨ἂν⟩ εἶεν οἱ ὑπὸ τοιούτων ἡττώμενοι;

A+B= 103. θώων] παραπλήσιον ὑαίνῃ ⟨τὸ ζῷον⟩· φασὶ δὲ αὐτὸ ἅμα ⟨τῷ⟩ τίκτεσθαι βαδίζειν· ἢ ὅτι μετὰ ἅλματός ἐστιν ἡ βάδισις αὐτοῦ.

A+B= ἤια] τὰ τοῦ εἶναι αἴτια βρώματα ἢ τοῦ ἰέναι· οἱ γὰρ πεινῶντες τὰ γυῖα βαρύνονται.

104. ἠλάσκουσαι ἀνάλκιδες] ἐκκλίνουσαι διὰ δειλίαν καὶ ἐν ἑνὶ τόπῳ διάγουσαι, μὴ ἐπιμιγνύμεναι τοῖς ἄλλοις.

οὐδ' ἔπι χάρμη] ἔπεστιν· τινὲς δέ, οὐκ ἐπὶ μάχῃ ἠλάσκουσαι.

107. ἕκαθεν πόλιος] τὸ "ἕκαθεν πόλιος" ἔμφασιν ἔχει ἑτέρου διαστήματος· ἐπιφέρει ⟨δὲ⟩ τὰς ναῦς, ἐν αἷς ἐστιν αὐτοῖς ἡ σωτηρία.

A+ §. Ζηνόδοτος δὲ "ἑκάς" γράφει.

B= 108. ἡγεμόνος κακότητι ⟨μεθημοσύνῃσί τε λαῶν⟩] τὰς εἰς ἀρέσκειαν τοῦ πλήθους· οἶδε γὰρ αὐτοὺς ἀεὶ παρὰ τὰς ἀτυχίας μεμψιμοίρως ἔχοντας τοῖς τυράννοις.

B– *καλῶς οὐκ εἶπεν ἀσθενείαις ἀλλὰ 'μεθημοσύναις' καὶ πάλιν "τῇδε μεθημοσύνῃ" (121).

109. οἳ κείνῳ ἐρίσαντες ⟨ἀμυνέμεν οὐκ ἐθέλουσιν⟩] ἀντὶ τοῦ ἐρί-

B= ζοντες, ὡς ἤδη ψευσάμενοι. §. εὖ δὲ τὸ μὴ φάναι 'οὐκ ἐθέλετε' πρὸς βασιλικοὺς γὰρ ἄνδρας ὁ λόγος, οὓς ἐλέγχειν ἀντικρὺς παρῃτήσατο. ἐπὶ δὲ τὸν ὑποτεταγμένον ὄχλον τὸν λόγον ἔτρεψε, καὶ δοκεῖ μὲν κατὰ τῶν ἄλλων λέγειν, ἡ δ' ἐπαναφορὰ πρὸς τοὺς ἀκούοντας γίνεται.

A– 110. *νηῶν] λείπει ἡ ὑπέρ.

111. *εἰ γὰρ καὶ εἶπεν "ἀασάμην, οὐδ' αὐτός" (Il. 9. 116), ἀλλ' ἐκμειλισσόμενος τὸ πλῆθος ἔλεγεν.

B– 115. ἀκεώμεθα] τὴν ἔριν ἢ τὴν μῆνιν Ἀχιλλέως ἢ τὴν ἀμέλειαν ἣν αὐτοῖς ὀνειδίζει.

B= ἀκεσταί] τινὲς εἰς Ἀχιλλέα· ῥᾷστον γὰρ πρὸς ἐπανόρθωσιν τὸ ἁμαρτηθὲν τοῖς ἐναρέτοις ἀνδράσιν.

B= 117. πάντες ἄριστοι ἐόντες] τῷ ἐπαίνῳ θεραπεύει καὶ μεῖζον ἐλέγχει ὡς διαφθείροντας τὴν φύσιν τῇ ῥᾳθυμίᾳ.

119. περὶ κῆρι] κατὰ ψυχήν, ἢ ὡς τὸ "περιβάλλει ἅπαντας μνηστῆρας δώροισι" (Od. 15. 17).

B= 120. *πέπονες] τινὲς προσηνεῖς· παραμυθεῖται γὰρ αὐτούς.

B= κακὸν ποιήσετε μεῖζον] "μεῖζον" τοῦ νῦν δηλονότι.

1, 3. supplevi ex B ‖ 4. τίκτεσθαι B: τίκτεται ‖ ὅτι ἁλματώδης ἡ B ‖ 6. τὰ B: λάθρῃ ‖ 21. τὸν -ον ὄχλον B: τοῦ -ου ὄχλου ‖ 23. περὶ A

Digitized by Google

122. *αἰδῶ καὶ νέμεσιν*] *τὴν αἰσχύνην καὶ τὴν ἐξ ἄλλων ἀκολουθοῦσαν μέμψιν.* B=

**δὴ γὰρ μέγα νεῖκος ὄρωρεν*] *μεγάλη φιλονεικία διανίσταται πολέμου.* B=

123. *Ἕκτωρ δὴ παρὰ νηυσί*] *μετ' ἐκστάσεως τὸ δίστιχον προενεκτέον, ὡς τὸ "Τρῶας ἐφ' ἡμετέρας ἰέναι ⟨νέας⟩"* (101). §. *τὸ δὲ "βοὴν ἀγαθός" πρὸς ἐρεθισμὸν αὐτῶν· καὶ "Ἕκτορα δ' ἐφράσ⟨σ⟩αντο βοὴν ἀγαθόν"* (Il. 15. 671). B= B–

124. ** μακρὸν ὀχῆα*] *ἑκάτερον.*

*ὀχῆα*] *τὸν ἑκατέρας πύλης· δύο γάρ εἰσιν· καὶ "τὸν δ' ἐλατῆρ' ἀφίει ἀκαχήμενον"* (Il. 11. 702).

125. *κελευτιόων*] *κελευτὴς κελευτιῶ· καὶ ἀλλαχοῦ δέ φησι "κελευτιόωντ' ἐπὶ πύργῳ"* (Il. 12. 265). *ἴσως δὲ καὶ τούτους κατὰ τὸ σιωπώμενον ἔπληξε τῷ σκηπανίῳ, ὡς καὶ τοὺς Αἴαντας* (60). §. *τινὲς δὲ "κελευθιόων" ἀντὶ τοῦ ὁδηγῶν, τοὺς Ἕλληνας.* B–

127. *⟨οὔτ' ἄν κεν⟩ Ἄρης ὀνόσαιτο*] *ἀλλὰ θαυμάσειεν. ἔστι δὲ μετὰ συλλογισμοῦ ὁ ἔπαινος, οὐκ αὐτοῦ τοῦ λέγοντος ἐκτιθεμένου τὴν εἰκόνα τοῦ πράγματος, δι' ἐμφάσεως δὲ καταλείποντος τοῖς ἀκροαταῖς σκοπεῖν ὁποῖαί τινες ἦσαν.* B=

127, 8. ** ἐκ παραλλήλου ὁ "ἄν" καὶ ὁ "κέν."* A+

128. *λαοσσόος*] *ἡ ὁρμῶσα ἢ σῴζουσα τοὺς συμμαχομένους ἢ σοβοῦσα τοὺς ἐναντίους· ὅθεν καὶ ἐγρεκύδοιμος* (Hes. Th. 925).

130. *φράξαντες*] *πάντες μὲν ἐν ἀσπίσι καὶ θώραξι καὶ κράνεσι καὶ λόγχαις, τούτων δὲ οἳ μὲν πρωτοστάται κατὰ μέτωπον ἦσαν, πάντες ὁμοίως τὰ δόρατα κατὰ προβολὴν ἔχοντες· κατόπιν δὲ τούτων οἱ δευτεροστάται, κατὰ δεξιὰ πλευρὰ τῶν πρωτοστατῶν προβεβληκότες δόρατα μείζω δυσὶ πήχεσιν· καὶ οἱ τρίτοι παρ' ἀμφοτέρους ὁμοίως, ὥστε γ' ἀκμὰς ἀνέχειν τὰ δόρατα· ⟨οἱ⟩ τέταρτοι δὲ καὶ πέμπτοι τὰς αἰχμὰς εἶχον ὀρθάς, ὡς εἴ τι κενοῖτο τῆς παρατάξεως τιτρωσκομένων ἢ φονευομένων τοῦτο πληροῦν, κυκλουμένων ⟨δὲ⟩ ποιεῖν ἀμφίστομον τὴν τάξιν.* B+

132. ** ἱππόκομοι*] *ἱππείας κόμας ἔχουσαι.* B=

*λαμπροῖσι φάλοισι*] *φάλοι συρίγγια ἐπὶ τῶν μετώπων, εἰς ἃ καθίενται οἱ λόφοι, ὥστε τοὺς ἐκ τῶν κορύθων λόφους ψαύειν ἀλλήλων.* A=B+

4. *θαύματος* B, *ἀναστάσεως* ‖ 16. *αὐτοῦ* B : *αὐτὸ* ‖ 22. *τε* post *κρ.* omisi ut B ‖ 25, 26. *προβ.* B : *παραβεβληκότες* ‖ 27. *ὥστε τρεῖς ἀκμὰς ἔχειν τὰ τοῦ μετώπου προεξέχοντα δόρατα* Eust., *ἀρχὰς* pro *ἀκμὰς* B ‖ 29. *ἀναπληροῖεν* Eust. ‖ *κυκλούμενοι* : corr. W ‖ suppl. W

Digitized by Google

B= 134. ἔγχεα δ' ἐπτύσσοντο] αὐτὰ τὰ ἔγχη κραδαινόμενα πτυσσομένοις ἐῴκει.

* θρασειάων ἀπὸ χειρῶν] θρασείαις ψυχαῖς ὑπηρετουσῶν, ὡς "ἀσπίδα θοῦριν" (Il. 11. 32).

135. * τινὲς "σειόμενοι ⟨δ'⟩ ἰθὺς φρόνεον," ὥστε εὐθεῖαν πρὸς Τρῶας χωρεῖν.

B= 136. Τρῶες δὲ προὔτυψαν] προενέσεισαν ἀθρόοι διὰ τὴν εὐημερίαν· οἱ δὲ προσέπεσον καὶ προενήλασαν.

* ἀολλέες] ἀθρόοι.

137. * ἀντικρὺ⟨ς⟩ μεμαώς] ἐπ' εὐθείας ὡρμημένος.

B= ὀλοοίτροχος] ὅλος τροχοειδής. οἱ δέ, ἐν τῷ τρέχειν δεινός.

A+B= §. καλῶς βάρβαρον καὶ ἄλογον ὁρμὴν ἀψύχῳ βάρει εἴκασε διὰ παντὸς τόπου κυλινδουμένῳ.

138. * στεφάνης] στεφανοειδοῦς.

A~ στεφάνης] "στεφάνης" τῆς ἐν πλάτει ἐξοχῆς. §. ἡ δὲ "κατά" ἀντὶ τῆς ἀπό, ἢ ἀντὶ τῆς ἐξ.

B= 139. ἀσπέτῳ ὄμβρῳ] ἀναγκαίως τὸ "ἀσπέτῳ" πρὸς τὸ δυνηθῆναι πέτρον ῥῆξαι. §. τὸ δὲ "ἀναθρῴσκων" προσκρούων καὶ ἀφαλλόμενος.

B= * ἀναιδέος] ἀνενδότου, σκληρᾶς.

B– ἔχματα πέτρης] τὰ ἐξέχοντα καὶ μὴ ἐῶντα κυλισθῆναι αὐτόν, ἢ τὰ συνέχοντα τὴν πέτραν πρὸς τὸ ὄρος.

B= 141. ὁ δ' ἀσφαλέως θέει ἔμπεδον] ἀνεμποδίστως, μὴ σφαλλόμενος τῆς τοῦ θεῖν σφοδρότητος. §. τὸ δὲ "ἰσόπεδον" (142) ἀντὶ τοῦ ὁμαλὸν πεδίον· οἷον, ἕως οὗ ⟨ἂν⟩ κατέλθῃ εἰς ἰσόπεδον πεδίον, ἀντὶ τοῦ ἴσην ἔχον γῆν καὶ ὁμαλήν.

142. * ἐσσυμένος περ] ἐψύχωσε τὸν λίθον.

B+ 143. * εἵως μέν] ἕως τινὸς μέν.

144. ῥέα διελεύσεσθαι] οὕτως Ἀρίσταρχος. οἱ δὲ "ῥεῖα δ' B– ἐλεύσεσθαι." §. τὸ δὲ ἑξῆς, ὁ δὲ Ἕκτωρ ἕως μέν τινος ἠπείλει εὐκόλως διελθεῖν μέχρι τῆς θαλάσσης—ἡ δὲ "διά" ἔμφασιν ἔχει— ἀντὶ τοῦ τοὺς σκόλοπας καὶ τὴν τάφρον διελεύσεσθαι.

145. ἐνέκυρσε] ἢ ἀπὸ τοῦ κύρω ἢ ἀντὶ τοῦ ἐνεκύρησεν.

B= 146. μάλ' ἐγχριμφθείς] ἀντὶ τοῦ λίαν ταῖς φάλαγξιν ἐμπελασθείς.

A+B– 147. ἔγχεσιν ἀμφιγύοισιν] ἀμφοτέρωθεν βλάπτουσιν, ἀπὸ αἰχμῆς

5. ἐφρόνουν || 16. post ἐξ add. sec. ἤτοι ἐξοχῆς ὅρους ut A D || 17. τὸ ἀ. B: τῷ || 18. πέτραν B || ἀναβαλλόμενος ἀναπηδῶν D || 28, 29. ῥεῖα διελ. || 32. ἀντὶ W: ἀπὸ

Digitized by Google

καὶ στύρακος· τὰ δὲ ναύμαχα “κατὰ στόμα” μόνον “εἱμένα ⟨χαλκῷ⟩” (Il. 15. 389)· οὐκ ἔχουσι γὰρ στύρακα. ἢ ἀμφοτέρωθεν πρακτικοῖς· γυ⟨ῖ⟩α γὰρ κυρίως πόδες καὶ χεῖρες δι' ὧν πράσσομέν τι.

148. * χασσάμενος πελεμίχθη] ἀντίστροφον τὸ σχῆμα.

149. διαπρύσιον] ἢ διαπύρσιμον ὅ ἐστι διαφανές, τουτέστι φωνῇ σημήνας ὡς πυρσῷ, ἢ διαπερῶν τὰς ἀκοάς. A + B–

150. Τρῶες καὶ Λύκιοι] πῶς τοὺς διασκεδασμένους ἀνεκάλει κελεύων; βάρβαρος ὁρμὴ καὶ ὑπερήφανος.

151. παρμένετε] ἀλλήλοις. αὐτὸς γὰρ ἔχει Δία, καὶ οὐ προσδεῖταί τινος. B=

152. πυργηδ[όν]] [ἐ]μφά[σ]εως δὲ χάριν εἶπεν· καὶ συνέφρασσον μὲν ἀλλήλους φαλαγγηδόν, συμβαλόντες δὲ διέλυον τὴν φάλαγγα, ἐπεὶ πῶς ὥρμων καὶ ὑπεχώρουν καὶ ἐσκύλευον; καὶ ἔοικεν ὡσεὶ πρόπειρά τις εἶναι τῆς ὑπομονῆς τῶν πολεμίων· ἢ πρὸς τὸ ἀναδέξασθαι τὸν Ἕκτορα ἐπύκνωσαν ἑαυτούς· τοῦτον δὲ τὸν συνασπισμόν, ὡς ὁ τακτικὸς Ἑρμόλυκος λέγει, ἐνομοθέτησε Λυκοῦργος, ἐδίδαξε δὲ Λύσανδρος Λάκων καὶ Ἐπαμ⟨ε⟩ινώνδας, εἶτα ὑπὸ Χαριδήμου Ἀρκάδες ἐδιδάχθησαν καὶ Μακεδόνες. §. “προθελύμνῳ” δὲ ἀλλεπαλλήλῳ, ἢ ἀλλεπαλλήλους πτύχας ἔχοντι.

153. ἀλλ' οἴῳ χάσσονται] “οἴῳ” ἄμεινον, μόνῳ, ἵνα μὴ Ἕκτωρ διστάζῃ· ἢ τὸ “ὀίω” ἀντὶ τοῦ πέπεισμαι· “ἦ γὰρ ὀίομαι ἄνδρα χολωσέμεν” (Il. 1. 78). B=

εἰ ἐτεόν] ἐπεὶ ἐτεῶς· ὁ “εἰ” συναπτικὸς ἀντὶ τοῦ ἐπεί, ὡς τὸ “χρὴ δ', εἰ σοφὸς πέφυκας” (Eur. Phoen. 86) καὶ ὁ Εὐριπίδης “οὔκουν ⟨δικαίως⟩, εἴπερ εἰργάσω τάδε” (Hec. 1254).

154. * θεῶν ὤριστος] ἀντωνομασία, ἀντὶ τοῦ ‘ὁ Ζεύς.’

155. ὤτρυνε μένος] τὴν προθυμίαν, παρὰ τὸ μένω τὸ προθυμοῦμαι· ὅθεν καὶ ὁ μέμονα παρακείμενος. B–

156. Δηίφοβος δ' ἐν τοῖσι] προσυνίστησιν αὐτόν, ὅτι μετὰ τὴν Ἕκτορος τελευτὴν διεδέξατο τὴν στρατηγίαν.

158. * κοῦφα] μετέωρα.

ὑπασπίδια προποδίζων] οὐ προβάλλων τὰ ἴχνη πρὸ τῆς ἀσπίδος. ἐν βραχεῖ δὲ δεδήλωται ὁ μετέωρα βαίνων καὶ τῷ τῆς ἀσπίδος κύκλῳ τὸ σῶμα κρύπτων· ἐξ οὗ δῆλον, ὅτι οὐκ εἶχεν ἀμφιβρότην ἀσπίδα, οὐδὲ πλαγίαν αὐτὴν ἐκράτει. A + B=

1. εἱμένα; Eust. ἐκεκάλυπτο χαλκῷ ‖ suppl. W ‖ 3. supplevi ex A Eust. ‖ 5. διαπύρσιον alterum A ‖ 7. ἐνεκάλει: corr. W ‖ 11. post πυργηδόν 4 litt. evanidae ‖ 16. Ἑρμόλυτος ut Eust. ‖ 33. ὁ B: ὅτι

Digitized by Google

B– 160. *καὶ βάλεν, οὐδ' ἀφάμαρτε*] ταὐτὸν δι' ἀμφοῖν δηλοῦται. βάλλειν γὰρ τὸ ἐπιτυγχάνειν φησὶν ὁ ποιητής· "οὐκ ἔβαλες τὸν ξεῖνον" (Od. 20. 305) καὶ "βά⟨λ⟩λ'· αἰεὶ δὲ πυραὶ νεκύων" (Il. 1. 52).

B= 161. * *τῆς δ' οὔ τι διήλασεν*] οὐδὲ τὸ τυχὸν διῆλθεν αὐτήν.

B= 162. *ἐν καυλῷ*] ἀντὶ τοῦ κατὰ τὸν καυλόν, ὡς "ἄξαντ' ἐν πρώτῳ ῥυμῷ" (Il. 6. 40). λέγει δὲ τὸ καθιέμενον εἰς τὸ κοῖλον μέρος τοῦ δόρατος.

163. * *δεῖσε δὲ θυμῷ*] ὁ "δέ" ἀντὶ τοῦ γάρ.

AB– 165. *χώσατο δ' αἰνῶς*] ἡ σύγχυσις τῆς ψυχῆς· οὔτε γὰρ ἐπὶ χαρᾶς οὐδὲ ἐπὶ ὀργῆς ⟨τίθεται⟩. καὶ φθέγγεται μὲν οὐδέν—οὐ γὰρ οἰκεῖον τῷ παρόντι καιρῷ—τὴν δὲ διάθεσιν αὐτοῦ διὰ τοῦ "χώσατο" ῥήματος ὁ ποιητὴς παρέστησεν.

166. * *ἀμφότερον*] δι' ἀμφότερα.

*καὶ ἔγχεος ὃ ξυνέαξεν*] τὸ "ὅ" ἀντὶ τοῦ ὅτι, ὡς "ὅ μοι γέρας" (Il. 1. 120). §. Ἀρίσταρχος δὲ διὰ τοῦ η̄ "ξυνέηξεν."

B= 167. *βῆ δ' ἰέναι*] πιθανῶς ὁ ποιητὴς τοὺς μὲν ὡς τραυματίας ἐξήγαγε τοῦ πολέμου, τοὺς δὲ καὶ ὅπλων ἐνδεεῖς.

A+B– 168. *οἰσόμενος*] ἑαυτῷ· οἴσων δὲ καὶ ἑτέρῳ· "οἶσε θέειον, γρηύ" B+ (Od. 22. 481)· "οἴσετε πῦρ" (Il. 16. 718). §. διὰ τί δὲ οὐκ ἔπεμψεν ἐπὶ δόρυ, ἀλλ' αὐτὸς ἄπεισιν; ἢ ὅτι ἐν τῷ θορύβῳ κεχώρισται τῶν δορυφόρων, καὶ πλησίον ἦν ἡ σκηνή, καὶ οἱ πεμπόμενοι οὐχ ὁμοίως ταχύνουσι, καὶ παρὼν ὅμοιος ἦν τῷ μὴ παρόντι δόρυ οὐκ ἔχων. τὸ δὲ ὅλον, διὰ τὸ ἀναπαῦσαι τοὺς ἀκροατὰς ἀπὸ τῆς μάχης τοῦτο πράττει ὁ ποιητής, ὅπερ ἔσται Ἰδομενέως αὐτῷ συμβαλόντος (402).

B– *ὅ οἱ κλισίηφι λέλειπτο*] δύο οὖν εἶχεν οἷς αὐτὸς ἐχρῆτο—διάφορα γὰρ τὰ τῶν βασιλέων, ὡς καὶ ἡ Ἀχιλλέως μελίη (Il. 20. 277)—ἄλλα δὲ εἶχε πολλά. §. τινὲς δὲ "ἅ οἱ," ὡς "κῆτος, ἃ μυρία βόσκει" (Od. 12. 97).

B= 171. *Ἴμβριον αἰχμητήν*] χαρίεν τὸ ἐφ' ἑκάστῳ τῶν ἐπισήμων τὴν διήγησιν κατὰ τὰς ἀναιρέσεις ἐκφέρειν· τὸ μὲν γὰρ προεκθέσθαι περὶ ἑκάστου μακρόν, τὸ δὲ ἐν τοῖς συμπτώμασι παραδιηγεῖσθαι πιθανόν. §. τὸ δὲ "Μέντορος" 'κέντορος' ἔδει. οἰκεῖον γὰρ πολυίππῳ τὸ κεντεῖν.

172. *Πήδαιον*] ὑπὸ τὴν Ἴδην πόλις πρὸς Θήβην· οἱ δὲ πρὸς Καρίαν· τινὲς δὲ τὴν αὐτὴν τῇ Πηδάσῳ.

1. *τ. δὲ ἀ.*: cf. B ‖ 8. *ψυχῆς* W cf. B *συνεχύθη τὴν ψυχήν*: *χαρᾶς* ‖ *οὔτε γὰρ* B: *οὐ μὲν* ‖ 9. *οὔτε ἐπὶ* B ‖ supplevi ex B ‖ 13. *συνέαξεν* ‖ iteratur * *ὃ*] *ὅτι* ‖ 14. *Ζηνόδοτος* A ‖ 17. *γρηί* B, *γρηοῖ* ‖ 21. *ταχεῖς* B ‖ *μὴ* pro *οὐκ* B ‖ 26. *σκηπτὸς*: corr. Heyne

Digitized by Google

175. ἂψ εἰς Ἴλιον] πάλιν ἀπὸ Πηδαίου ἦλθεν εἰς Ἴλιον· ἤδη γὰρ ἄλλοτε ἦλθεν εἰς Τροίαν διὰ τὸν γάμον.

177. ὑπ' οὔατος] ὑπὸ τὸ οὖς· κατὰ τὸ σιωπώμενον δὲ μετεσκεύαστο ὁ Τεῦκρος.

179. ὄρεος κορυφῆσ' ⟨ἕκαθεν⟩] ἐν πεδίῳ γὰρ οὐ φύεται μελία. B=
καὶ ἔμφασιν ἔχει ἄνωθεν πίπτουσα ἡ μελία. §. τὸ δὲ "περιφαινο- B−
μένοιο" κύκλῳ περιορωμένου, "ὅτε φαίνεται οἷον ἀπ' ἄλλων" (Od. 9. 192), ἡ ὑπερφαινομένου.

180. τέρενα—φύλλα] τοὺς κλάδους, ὡς οὗτος τὰ ὅπλα. §. "τέρενα" B=
δὲ χλωρά. ἔοικε δὲ ὁ ποιητὴς συνάχθεσθαι τῇ μελίᾳ.

181. *ἀμφὶ δέ οἱ βράχε τεύχεα] τὰ περὶ αὐτῷ ἢ ἐπ' αὐτῷ· "ἀμφὶ πυρὶ στῆσαι τρίποδα" (Il. 18. 344).

184. * ἰδὼν—ἔγχος] λείπει 'φερόμενον.' B=

χάλκεον ἔγχος] ἀπὸ μέρους ὡς "λευκώλενος." B−

185. ⟨Ἀμφίμαχον⟩ Κτεάτου υἷ' ⟨Ἀκτορίωνος⟩] ὅτι καὶ τὸ "υἷες, ὃ μὲν Κτεάτου, ὃ δ' ⟨ἄρ'⟩ Εὐρύτου Ἀκτορίωνε" (Il. 2. 621) ἀντὶ τοῦ Ἀκτοριώνων.

186. κατὰ στῆθος βάλε—δούπησεν δέ] διὰ γὰρ καρδίας καὶ B=
πνεύμονος ἡ πληγή· διὸ ἔπεσεν.

187. *ἀράβησε] τινὲς "ἀράδησε."

190. ὀρέξατο δουρὶ φαεινῷ] ἀντὶ τοῦ ὀρεξάμενος ἔψαυσεν. §. τινὲς δὲ "ἀκόντισε."

191. ἀλλ' οὔ πῃ χροὸς εἴσατο] λείπει ἡ διά, διὰ τοῦ χροὸς ἐπορεύθη, παρὰ τὸ ἰέναι, ὡς "διαπρὸ δὲ εἴσατο καὶ τῆς" (Il. 4. 138).
§. Ἀρίσταρχος δὲ "χρόος εἴσατο" χροῦς ἐφάνη—οὕτω καὶ Τυραννίων, A+
ἵν' ᾖ εὐθεῖα—Ζηνόδοτος δὲ "χρώς." ὁ δὲ Ἡρωδιανὸς καὶ εὐθεῖαν καὶ γενικὴν δέχεται τὴν "χροός," προκρίνει δὲ τὴν γενικήν.

ἄλλως: τὴν εὐθεῖαν χρώς φησιν ὁ ποιητής, τὰς δὲ πλαγίας ὡς A+B−
ἀπὸ τοῦ χροῦς κλίνει. καὶ συντίθησι τὴν λέξιν, "ταμεσίχροα" (Il. 4. 511) λέγων ὡς ἀπὸ τῆς ταμεσίχρους εὐθείας καὶ μελανόχροος ἀπὸ γενικῆς ὡς εὐθεῖαν, ὅθεν καὶ παρώνυμον "μελαγχροιής" (Od. 16. 175) καὶ "εὔχροές" δέρμα (Od. 14. 24). οὕτω δὲ ⟨καλεῖ⟩ καὶ τὴν ἐπιφάνειαν καὶ τὴν ἐντοσθίδιον σάρκωσιν· "χρὼς σήπεται" (Il. 24. 414)· "ἵνα οἱ χρὼς ἔμπεδος εἴη" (Il. 19. 39).

1. Πηδάσου: corr. W ‖ 5. κορυφῆς ut textus ‖ 9. φύλα ‖ 12. στῆσε ‖ 16, 17. Ἀκτορίωνε ἀ. ‖ 25. ἄρεος δὲ χερὸς εἶσα χροῦς ἐ., cf. A ‖ 31. ὡς scripsi: εἰς ‖ μελανχροιῆς ‖ 32. supplevi ex B

Digitized by Google

B= πᾶς δ' ἄρα χαλκῷ] ὅλος ὁ Ἕκτωρ ἢ ὁ χρώς. §. πρὸς δὲ τὸ "πᾶσαι δ' ὠίγνυντο θύραι" τὸ σημεῖον.

* ὁ "δέ" ἀντὶ τοῦ γάρ.

B− 192. ἀσπίδος ὀμφαλόν] τὸ μέσον ἢ τὸ ἐπιτιθέμενον αὐτῇ πρὸς κόσμον, ὡς "μέσ⟨σ⟩ον ἐπομφάλιον" (Il. 7. 267).

B= 193. ὃ δὲ χά⟨σ⟩σατ' ὀπί⟨σ⟩σω νεκρῶν ἀμφοτέρων] ὥστε μήτε σκυλεῦσαι τὸν πολέμιον μήτε τὸ τοῦ Ἰμβρίου σῶμα ῥύσασθαι.

195. Στιχίος] τινὲς "Σχεδίος" γράφουσιν· τοῦ δὲ Στιχίου ἐν τῷ Καταλόγῳ (Il. 2. 552) οὐ μέμνηται, ὅτι οὐκ ἦν ἀναγκαῖον καὶ τοὺς δευτέραν ἔχοντας τάξιν καταλέγειν. τινὲς δὲ χλευάζουσιν ὡς νεκροφόρους.

B− 198. δύ' αἶγα ⟨λέοντε⟩] Ζηνόδοτος "αἶγε"· οὐ γὰρ συμμαχοῦσιν ἀλλήλοις λέοντες· ἢ ὅτι τὰ ἐν ⟨τῇ⟩ παραβολῇ ὡς καθ' ὑπόθεσιν δεκτέον οὐ πάντως ἀληθῆ· ἢ τοῦ ἑνὸς ἁρπάσαντος συναρπάζει ὑπαντώμενος ὁ ἕτερος, ἑκατέρου τὴν ἄγραν εἰς ἑαυτὸν κατάγοντος· καὶ Αἰσχύλος περὶ Γλαύκου "εἷλκον ἄνω λυκηδόν, ὥστε διπλόοι λύκοι νεβρὸν φέρουσιν ἀμφὶ μασχάλαις" (fr. 33 N.).

κυνῶν ὑπὸ καρχαροδόντων] τοὺς Τρῶας τοῖς φυλάσσουσιν εἰκάζει κυσί, τοὺς δὲ Ἕλληνας τοῖς ἁρπάζουσι λέουσιν.

200. ὑψοῦ ὑπὲρ γαίης] πολὺ τὸ εὔτονον αὐτῶν, εἰ μηδὲν παρασύρουσι τοῦ φερομένου.

* γαμφηλῇσιν] γαμφηλή παρὰ τὸ κεκάμφθαι.

201. * τὸν ὑψοῦ ἔχοντε—τεύχεα συλήτην] ἀπήγαγον ἵνα συλήσαιεν.

202. * συλήτην] ἢ Δώριόν ἐστιν ἢ ἀπὸ τοῦ συλησάτην.

* ἀπαλῆς] εὐκαμποῦ⟨ς⟩.

B+ 203. κόψεν Ὀιλιάδης] οὐ γὰρ ἦν κατὰ τὴν τοῦ Τελαμωνίου μεγαλοπρέπειαν τὸ ἀποτεμεῖν κεφαλὴν καὶ ῥίπτειν πρὸς τοὺς πολεμίους. θερμότερος ⟨δὲ⟩ τὸν τρόπον ὁ Λοκρός.

B= 204. ἧκε δέ μιν σφαιρηδόν] τὸ ἑξῆς, ἧκε δέ μιν δι' ὁμίλου συστρέψας τὴν χεῖρα πρὸς τὸ εὔτονον τῆς βολῆς· χαρίεν δὲ τὸ σύμπτωμα. ὃ μὲν γὰρ ἁπλῶς ἔρ⟨ρ⟩ιψεν εἰς τοὺς πολεμίους, συνέβη δὲ παρὰ τὸν Ἕκτορα ἐνεχθῆναι τὴν κεφαλὴν ὥσπερ ⟨εἰς⟩ ἔλεγχον ὧν αὐτὸς ἀπέτυχεν.

B− §. θαυμαστῶς δὲ τῇ ἐπεξεργασίᾳ ἐχρήσατο ὁ ποιητὴς εἰπὼν "κεφαλὴν κόψεν" (202). ὁ μὲν γὰρ Ἕκτωρ τοῦ Ἀμφιμάχου οὐδὲ τὸ κράνος ἀφελεῖν ἠδυνήθη, ὁ δὲ Ἕλλην οὐ μόνον τὰ ὅπλα ἀπεσύλησεν τοῦ Ἰμβρίου

12. supplevi ex B ‖ 13. ἐκδεκτέον B ‖ 13, 14. ὑπαντῶν B ‖ 22. ἀπήγαγες ἵνα συλήσ ‖ 23. ἢ Δ. D: ὁ ‖ 26. τὸ νεκροῦ τεμεῖν B, ἄρτι ἀποτεμεῖν ‖ 31. supplevi ex B

Digitized by Google

ἀλλὰ καὶ τὸ σῶμα ἐλυμήνατο. ὠμὸν δέ φασι καὶ οὐχ Ἑλληνικὸν τὸ ἔργον, ἀλλὰ συγγνωστὸν ὑπὲρ φίλου ἀγανακτοῦντι· διὸ ἐπιφωνεῖ ὁ ποιητὴς "κεχολωμένος Ἀμφιμάχοιο" (203). ἅπαξ δέ που τ⟨οι⟩οῦτο πέπρακται δι' ὀργὴν τοῦ Ἀχιλλέως εἰς Ἕκτορα (Il. 22. 396)· ἀλλὰ καὶ Ἱππόλοχος αὐχένος καὶ χειρῶν ἀπεκόπη ὑπὸ Ἀγαμέμνονος· Ἀντιμάχου γὰρ παῖς ἦν, "ὅς ποτ' ἐνὶ Τρώων ἀγορῇ" (Il. 11. 139).

207. * υἱωνοῖο] τοῦ Ἀμφιμάχου· Κτέατος γὰρ Ποσειδῶνος. B+

210. δουρικλυτός] ἁρμόδιον τὸ ἐπίθετον· οἱ γὰρ ἄλλοι Κρῆτες τοξόται. B=

211. ἐρχόμενος παρ' ἑταίρου] λείπει τὸ τίνος· οἱ δὲ Ὀδυσσέως, B− οἱ δὲ Κοιράνου (Il. 17. 611), οἱ δὲ Θεστορίδου Ἀλκμάονος (Il. 12. 394), οἱ δὲ Ἀγαμέμνονος—φησὶ γὰρ "μάλα μέντοι ἐγὼν ἐρίηρος ἑταῖρος" (Il. 4. 266)—οἱ δὲ ὄνομα κύριον. ἀληθείας δὲ μίμησις τὸ μὴ πάντας φράζειν ἐξ ὀνόματος.

212. κατ' ἰγνύην] ἰγνύη τὸ ὀπίσω μέρος τοῦ γόνατος, παρὰ τὸ B= ἱκνεῖσθαι. §. "ἦλθε" δὲ ἀντὶ τοῦ ἀπηνέχθη. B=

213. ἔνεικαν] τὸ οὖν "ἦλθε κατ' ἰγνύην" (212) ἀντὶ ⟨τοῦ⟩ ἀπηνέχθη, ἀκύρως.

ἰητροῖς] κατὰ ἔθνη γὰρ ἦσαν, ὥς που φησὶν "ἰητροὶ πολυφάρμακοι" (Il. 16. 28).

214. ᾔιεν ἐς κλισίην] ὁπλιούμενος δηλονότι· τινὲς δέ, ἐς κλισίην τοῦ ἑταίρου. §. οἱ δὲ "ἣν ἴεν ἐς κλισίην."

216. * εἰσάμενος φθογγήν] νοήσας, ἐπιγνούς. §. ἀπὸ μέρους τὸ πᾶν σῶμα, ὡς τὸ "δέμας καὶ ἀτειρέα φωνήν" (45). B−

217. ὃς πάσῃ Πλευρῶνι] Αἰτωλὸς ὁ Ἐνδυμίωνος, Ἠλεῖος τὸ γένος, A+ Ἆπιν ἀκουσίως τὸν Φορωνέως ἀνελὼν φεύγει εἰς τὴν ἀπ' αὐτοῦ Αἰτωλίαν προσαγορευθεῖσαν, ἴσχει δὲ παῖδα Πλευρῶνα, οὗ ἐγένοντο Κούρης καὶ Καλυδών, ἀφ' ὧν αἱ πόλεις· οὕτω Δηίμαχος. §. τὸ δὲ "πάσῃ Πλευρῶνι" ἀντὶ τοῦ 'πάσης Πλευρῶνος,' ἣν ᾤκουν οἱ Ἀκαρνᾶνες. A+

219. ποῦ τοι ἀπειλαί] ὁ μὲν ἀκροατὴς ἀκούσας ⟨τὸ⟩ "καὶ τότε δὴ B− περὶ κῆρι Ποσειδάων ἐχολώθη" (206) προσδοκᾷ ἀφόρητόν τινα συμβολὴν ἔσεσθαι, ὁ δὲ ἄλλα ἐπεισήγαγε, πρῶτα μὲν πεῦσιν πρὸς Ἰδομενέα κἀκείνου ἀπόκρισιν, εἶτα ὁπλισμὸν Ἰδομενέως καὶ ὑπάντησιν πρὸς Μηριόνην καὶ διάλεξιν ἀμφοῖν καὶ τὸν Μηριόνην ἀναλαβόντα τὸ δόρυ, εἶτα σκέψιν αὐτῶν ποῖ χρὴ τάττεσθαι.

2. ὠμὸν post ἔργον omisi ut B ‖ 8. ἁρμόδιον B: ῥᾳδίως ‖ 12. μιμήσει ‖ 21. ἐς ἣν ἴεν κλ. ‖ 24. Ἐνδυμίονος ‖ Ἠλεῖος W ex Ephoro apud Str. 463: Αἰτωλὸς ‖ 29. supplevi ex B ‖ 31. ἄλλα B: ἄλλας



Digitized by Google

B= *πᾶς δ' ἄρα χαλκῷ] ὅλος ὁ Ἕκτωρ ἢ ὁ χρώς. §. πρὸς δὲ τὸ "πᾶσαι δ' ὠίγνυντο θύραι" τὸ σημεῖον.*

** ὁ "δέ" ἀντὶ τοῦ γάρ.*

B− 192. *ἀσπίδος ὀμφαλόν] τὸ μέσον ἢ τὸ ἐπιτιθέμενον αὐτῇ πρὸς κόσμον, ὡς "μέσ⟨σ⟩ον ἐπομφάλιον"* (Π. 7. 267).

B= 193. *ὃ δὲ χά⟨σ⟩σατ' ὀπί⟨σ⟩σω νεκρῶν ἀμφοτέρων] ὥστε μήτε σκυλεῦσαι τὸν πολέμιον μήτε τὸ τοῦ Ἰμβρίου σῶμα ῥύσασθαι.*

195. Στιχίος] *τινὲς* "Σχεδίος" *γράφουσιν· τοῦ δὲ* Στιχίου *ἐν τῷ* Καταλόγῳ (Π. 2. 552) *οὐ μέμνηται, ὅτι οὐκ ἦν ἀναγκαῖον καὶ τοὺς δευτέραν ἔχοντας τάξιν καταλέγειν. τινὲς δὲ χλευάζουσιν ὡς νεκροφόρους.*

B− 198. *δύ' αἶγα ⟨λέοντε⟩]* Ζηνόδοτος "*αἶγε*" *οὐ γὰρ συμμαχοῦσιν ἀλλήλοις λέοντες· ἢ ὅτι τὰ ἐν ⟨τῇ⟩ παραβολῇ ὡς καθ' ὑπόθεσιν δεκτέον οὐ πάντως ἀληθῆ· ἢ τοῦ ἑνὸς ἁρπάσαντος συναρπάζει ὑπαντώμενος ὁ ἕτερος, ἑκατέρου τὴν ἄγραν εἰς ἑαυτὸν κατάγοντος· καὶ* Αἰσχύλος *περὶ* Γλαύκου "*εἷλκον ἄνω λυκηδόν, ὥστε διπλόοι λύκοι νεβρὸν φέρουσιν ἀμφὶ μασχάλαις*" (fr. 33 N.).

*κυνῶν ὑπὸ καρχαροδόντων] τοὺς* Τρῶας *τοῖς φυλάσσουσιν εἰκάζει κυσί, τοὺς δὲ* Ἕλληνας *τοῖς ἁρπάζουσι λέουσιν.*

200. *ὑψοῦ ὑπὲρ γαίης] πολὺ τὸ εὔτονον αὐτῶν, εἰ μηδὲν παρασύρουσι τοῦ φερομένου.*

** γαμφηλῇσιν] γαμφηλή παρὰ τὸ κεκάμφθαι.*

201. ** τὸν ὑψοῦ ἔχοντε—τεύχεα συλήτην] ἀπήγαγον ἵνα συλήσαιεν.*

202. ** συλήτην] ἢ* Δώριόν *ἐστιν ἢ ἀπὸ τοῦ συλησάτην.*

** ἀπαλῆς] εὐκαμποῦ⟨ς⟩.*

B+ 203. *κόψεν* Ὀιλιάδης] *οὐ γὰρ ἦν κατὰ τὴν τοῦ* Τελαμωνίου *μεγαλοπρέπειαν τὸ ἀποτεμεῖν κεφαλὴν καὶ ῥίπτειν πρὸς τοὺς πολεμίους.. θερμότερος ⟨δὲ⟩ τὸν τρόπον ὁ* Λοκρός.

B= 204. *ἧκε δέ μιν σφαιρηδόν] τὸ ἑξῆς, ἧκε δέ μιν δι' ὁμίλου συστρέψας τὴν χεῖρα πρὸς τὸ εὔτονον τῆς βολῆς· χαρίεν δὲ τὸ σύμπτωμα. ὃ μὲν γὰρ ἁπλῶς ἔρ⟨ρ⟩ιψεν εἰς τοὺς πολεμίους, συνέβη δὲ παρὰ τὸν* Ἕκτορα *ἐνεχθῆναι τὴν κεφαλὴν ὥσπερ ⟨εἰς⟩ ἔλεγχον ὧν αὐτὸς ἀπέτυχεν.*

B− §. *θαυμαστῶς δὲ τῇ ἐπεξεργασίᾳ ἐχρήσατο ὁ ποιητὴς εἰπὼν "κεφαλὴν κόψεν"* (202). *ὁ μὲν γὰρ* Ἕκτωρ *τοῦ* Ἀμφιμάχου *οὐδὲ τὸ κράνος ἀφελεῖν ἠδυνήθη, ὁ δὲ* Ἕλλην *οὐ μόνον τὰ ὅπλα ἀπεσύλησεν τοῦ* Ἰμβρίου

12. supplevi ex B || 13. ἐκδεκτέον B || 13, 14. ὑπαντῶν B || 22. ἀπήγαγες ἵνα συλήσ̄ || 23. ἢ Δ. D: ὃ || 26. τὸ νεκροῦ τεμεῖν B, ἄρτι ἀποτεμεῖν || 31. supplevi ex B

Digitized by Google

ἀλλὰ καὶ τὸ σῶμα ἐλυμήνατο. ὠμὸν δέ φασι καὶ οὐχ Ἑλληνικὸν τὸ ἔργον, ἀλλὰ συγγνωστὸν ὑπὲρ φίλου ἀγανακτοῦντι· διὸ ἐπιφωνεῖ ὁ ποιητὴς “κεχολωμένος Ἀμφιμάχοιο” (203). ἅπαξ δέ που τ⟨οι⟩οῦτο πέπρακται δι' ὀργὴν τοῦ Ἀχιλλέως εἰς Ἕκτορα (Π. 22. 396)· ἀλλὰ καὶ Ἱππόλοχος αὐχένος καὶ χειρῶν ἀπεκόπη ὑπὸ Ἀγαμέμνονος· Ἀντιμάχου γὰρ παῖς ἦν, “ὅς ποτ' ἐνὶ Τρώων ἀγορῇ” (Π. 11. 139).

207. * υἱωνοῖο] τοῦ Ἀμφιμάχου· Κτέατος γὰρ Ποσειδῶνος. B+

210. δουρικλυτός] ἁρμόδιον τὸ ἐπίθετον· οἱ γὰρ ἄλλοι Κρῆτες τοξόται. B=

211. ἐρχόμενος παρ' ἑταίρου] λείπει τὸ τίνος· οἱ δὲ Ὀδυσσέως, B− οἱ δὲ Κοιράνου (Π. 17. 611), οἱ δὲ Θεστορίδου Ἀλκμάονος (Π. 12. 394), οἱ δὲ Ἀγαμέμνονος—φησὶ γὰρ “μάλα μέντοι ἐγὼν ἐρίηρος ἑταῖρος” (Π. 4. 266)—οἱ δὲ ὄνομα κύριον. ἀληθείας δὲ μίμησις τὸ μὴ πάντας φράζειν ἐξ ὀνόματος.

212. κατ' ἰγνύην] ἰγνύη τὸ ὀπίσω μέρος τοῦ γόνατος, παρὰ τὸ B= ἱκνεῖσθαι. §. “ἦλθε” δὲ ἀντὶ τοῦ ἀπηνέχθη. B=

213. ἔνεικαν] τὸ οὖν “ἦλθε κατ' ἰγνύην” (212) ἀντὶ ⟨τοῦ⟩ ἀπηνέχθη, ἀκύρως.

ἰητροῖς] κατὰ ἔθνη γὰρ ἦσαν, ὥς που φησὶν “ἰητροὶ πολυφάρμακοι” (Π. 16. 28).

214. ἤιεν ἐς κλισίην] ὁπλιούμενος δηλονότι· τινὲς δέ, ἐς κλισίην τοῦ ἑταίρου. §. οἱ δὲ “ἣν ἴεν ἐς κλισίην.”

216. * εἰσάμενος φθογγήν] νοήσας, ἐπιγνούς. §. ἀπὸ μέρους τὸ πᾶν σῶμα, ὡς τὸ “δέμας καὶ ἀτειρέα φωνήν” (45). B−

217. ὃς πάσῃ Πλευρῶνι] Αἰτωλὸς ὁ Ἐνδυμίωνος, Ἠλεῖος τὸ γένος, A+ Ἆπιν ἀκουσίως τὸν Φορωνέως ἀνελὼν φεύγει εἰς τὴν ἀπ' αὐτοῦ Αἰτωλίαν προσαγορευθεῖσαν, ἴσχει δὲ παῖδα Πλευρῶνα, οὗ ἐγένοντο Κούρης καὶ Καλυδών, ἀφ' ὧν αἱ πόλεις· οὕτω Δηίμαχος. §. τὸ δὲ “πάσῃ Πλευρῶνι” ἀντὶ τοῦ ‘πάσης Πλευρῶνος,’ ἣν ᾤκουν οἱ Ἀκαρνᾶνες. A+

219. ποῦ τοι ἀπειλαί] ὁ μὲν ἀκροατὴς ἀκούσας ⟨τὸ⟩ “καὶ τότε δὴ B− περὶ κῆρι Ποσειδάων ἐχολώθη” (206) προσδοκᾷ ἀφόρητόν τινα συμβολὴν ἔσεσθαι, ὁ δὲ ἄλλα ἐπεισήγαγε, πρῶτα μὲν πεῦσιν πρὸς Ἰδομενέα κἀκείνου ἀπόκρισιν, εἶτα ὁπλισμὸν Ἰδομενέως καὶ ὑπάντησιν πρὸς Μηριόνην καὶ διάλεξιν ἀμφοῖν καὶ τὸν Μηριόνην ἀναλαβόντα τὸ δόρυ, εἶτα σκέψιν αὐτῶν ποῖ χρὴ τάττεσθαι.

2. ὠμὸν post ἔργον omisi ut B || 8. ἁρμόδιον B: ῥᾳδίως || 12. μιμήσει || 21. ἐς ἣν ἴεν κλ. || 24. Ἐνδυμίονος || Ἠλεῖος W ex Ephoro apud Str. 463: Αἰτωλὸς || 29. supplevi ex B || 31. ἄλλα B: ἄλλας



Digitized by Google

ποῦ τοι ἀπειλαί] "ποῦ" ἀντὶ τοῦ πῇ. §. "τοί" ἀντὶ τοῦ δή.

B= §. "ἀπειλαί" αἱ καυχήσεις.

220. * Τρωσίν] κατὰ Τρώων.

A– 222. νῦν αἴτιος] Ἀρίσταρχος "νῦν γ' αἴτιος·" Ἀριστοφάνης "νῦν δ' αἴτιος."

B= 223. ἐπιστάμεθα π⟨τ⟩ολεμίζειν] πάντα περιέλαβεν ἐξ ὧν ἄν τις αἰτιαθείη· ἢ γὰρ δι' ἀπειρίαν ἢ διὰ δέος ἢ διὰ ὄκνον φεύγουσι τὰ δεινά. §. τὸ δὲ "ἐπιστάμεθα" ἀντὶ τοῦ δυνάμεθα· "ἐπίστατο πῆλαι A– Ἀχιλλεύς" (Il. 16. 142).

A= 224. * οὔτε τινά] "οὐδέ τινα."

δέος—ἀκήριον] κεχωρισμένον κηρός· οἱ δὲ "οὐ δέος ἔστ' ἀπολέσθαι· οὐ γάρ τοι κραδίη μενεδήιος" (Il. 12. 246).

225. ἀνδύεται] ἀπὸ τῶν ἀναδυομένων τὰ ζυγὰ ζῴων. §. τινὲς δὲ γράφουσιν "ἀδδύεται."

227. νωνύμνους] τινὲς ἀθρηνήτους· ὕμνον γὰρ καὶ Ἀνακρέων τὸν θρῆνόν φησιν (fr. 171 B.).

B= 228. μενεδήιος] μένων τοὺς δηίους. Ἑλληνικὸν δὲ τὸ φρόνημα· οὐ γὰρ ἀποκάμνει ταῖς τύχαις, ἀλλὰ καὶ ⟨ἄλλους⟩ προτρέπεται.

A= 229. ὀτρύνεις δὲ καὶ ἄλλον, ὅ οἱ μεθιέντα ἴδοιο] ἐνεστὼς ἀντὶ τοῦ παρῳχημένου, ὡς τὸ "ζαχρηεῖς τελέθουσι" (Il. 12. 347) ἀντὶ τοῦ ἐτέλεθον.

A+ ⟨ὅθι⟩ μεθιέντα ⟨ἴδηαι⟩] Ζηνόδοτος "ὅτις μεθίῃσι πόνοιο."

230. * μήτ' ἀπόληγε κέλευέ τε φωτὶ ἑκάστῳ] "κέλευε" μὴ ἀπολήγειν.

A+B– 233. μέλπηθρα] μετὰ κόρον γὰρ σφαιρίζουσι τὰς σάρκας οἱ κύνες· λέων δὲ τὸ πᾶν ἐσθίει· καὶ Κύκλωψ "ἦσθιε δ' ὥστε λέων" (Od. 9. 292).

234. * μεθίῃσι μάχεσθαι] Ἀρίσταρχος "μεθίῃσι πόνοιο."

B= 235. ταῦτα δ' ἅμα χρή] Ἑλληνικῶς πάνυ κοινοῦνται τὴν προθυμίαν ἑκάτεροι. §. τὸ δὲ "καὶ δύ' ἐόντε" (236) περιπαθῶς, ὡς τῶν ἄλλων ἀποκαμόντων.

A– 237. συμφερτὴ δ' ἀρετή] Ζηνόδοτος καὶ Ἀριστοφάνης "συμφερτὴ δὲ βίη." B– §. εἰπὼν δὲ "καὶ μάλα λυγρῶν" οὐδεμίαν καταλείπει τοῖς γενναίοις πρόφασιν τοῦ μὴ ἀνδρίζεσθαι, εἴ⟨γε⟩ καὶ δειλοὶ ἀλλή-

4. γ' A: γὰρ || 7. περὶ ante τὰ omisi ut B || 16. θρῆνον scripsi cf. Eust.: ὕμνον || 18. supplevi ex B || 22. ὅ οἱ μεθιέντα ἴδοιο textus || ὅτις A: ὅστις || 22, 27. μεθίησι π. || 31. συνφερτὴ δ' ἀρετή textus || 31, 32. συμφερτὴν A || 33. supplevi ex B

Digitized by Google

λοις συμφερόμενοι ἐνάρ⟨ετ⟩α δρῶσιν ἔργα. εἰ δὲ "καὶ μάλα λυγρῶν" συμφερτὴ γίνεται ⟨ἡ⟩ ἀρετή, πόσῳ μᾶλλον, ὅτε καὶ ἀγαθοῖς ἡμεῖς δυνάμεθα μάχεσθαι; ἐν πᾶσιν οὖν ἄριστον ἡ κοινωνία. §. σπεύδειν δὲ τὸ μετὰ κακοπαθείας ἐνεργεῖν. B=

238. νῶι δὲ καί κ' ἀγαθοῖσιν] τὸ φορτικὸν ἐξέφυγεν, ⟨εἰπὼν⟩ ὅτι B= καὶ γενναίοις ἰσόμαχοί ἐσμεν ἡμεῖς. "ἐπιστα⟨ί⟩με⟨σ⟩θα" γὰρ ἀντὶ τοῦ δυνα⟨ί⟩μεθα.

239. * πόνον] τὴν μάχην.

241. * τεύχεα καλά] τραγῳδεῖ αὐτοῦ τὴν πανοπλίαν ὡς μέλλοντος ἀριστεύειν.

242. ἀστεροπῇ ἐναλίγκιος] πρὸς τὴν λαμπρότητα τῶν ὅπλων καὶ B– πρὸς τὸ τάχος τοῦ φοροῦντος. τάχα δὲ καὶ πρὸς τὸ ἐπιθυμητικὸν τῶν πολεμίων· φησὶ γὰρ καὶ πολέμου πολλάκις αὐτὴν εἶναι σημεῖον.

243. * χειρὶ λαβών] νῦν τὴν ἀστεροπὴν σκεῦος δηλοῖ.

245. χαλκὸς ἔλαμπε—θέοντος] οὐκ, ἐπειδὴ ἔτρεχεν, ἔλαμπεν, ἀλλ', B= ὅτι καὶ ἔτρεχε καὶ ἔλαμπεν ὁ χαλκός, ἀστεροπῇ αὐτὸν εἴκασεν. §. τὸ δὲ "περὶ στήθεσσι" Ζηνόδοτος καὶ Ἀριστοφάνης "ἐνὶ στήθεσσι" A= γράφουσιν.

246. θεράπων ἐύς] τινὲς ὑφ' ἓν "θεραπωνεύς" ὡς Ἐτεωνεύς, οὐχ A+ ὑγιῶς. §. Ζηνόδοτος δὲ "δουρικλυτός" γράφει. A+

247. μετὰ γὰρ δόρυ χάλκεον ᾔει] μετῄει γὰρ οἰσόμενος δόρυ. §. "σθένος" δὲ "Ἰδομενῆος" εἶπεν, ἐπεὶ ἀριστείαν ἐπιδείξεται.

249. Μηριόνη Μόλου υἱὲ πόδας ταχύ, φίλταθ' ἑταίρων] ἐν ἑνὶ B= στίχῳ καὶ τῆς συγγενείας καὶ τῆς ἰσχύος καὶ τῆς φιλίας ὑπέμνησεν.

251. ἠέ τι βέβληαι] εὑρεσιλογία, ὡς οὐ τέτρωται· ἀπιθάνως δὲ πληγὴν ἢ χρείαν ἑταίρων φησὶ δεῖν ἀποσπᾶν τῆς μάχης· ἡ δὲ Ἑκάβη "ἦ μάλα δὴ τείρουσι δυσώνυμοι" (Il. 6. 255).

τείρει ἀκωκή] ἡ ἀκὶς ἐν σοὶ οὖσα ἢ ἡ βολή, ἀπὸ τῆς ἀκωχῆς. B+ §. τὸ δὲ "ἠέ τευ ἀγγελίης" ἀπό τινος ἢ περί τινος. §. τὸ δὲ "μετ' B= ἐμέ" ἢ ἐπ' ἐμὲ ἢ πρὸς ἐμέ. B=

254. τὸν δ' αὖ Μηριόνης] ἔν τισι μετὰ τοῦτον φέρεται "Ἰδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων."

256. εἴ τι τοι ἔγχος λέλειπται] εἶπε γὰρ "ὅ οἱ κλισίηφι λέλειπτο" (168). ἢ ἐπαινῶν διστάζει, εἰ μὴ πάντα κατανάλωκε τοῖς πολεμίοις.

1. suppl. Bekker || 2. supplevi ex B || ὅτι || 5. supplevi ex B || 6. γενναίοις B: γενναίως || 17. ἐνὶ A: ἐν || 19. ἐὺς θεράπων τ. || ἐν θεράπων ἐύς || Ἐτεωνεύς A: αἰπολεύς || 30. περὶ pro πρὸς B

* τοί] ἀντὶ τοῦ δή.

A=B– 257. πάνυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχεσκον] πληθυντικῷ ἑνικὸν ἐπήγαγεν· καὶ Εὐριπίδης Ἴωνι (390) "κωλυόμεσθα μὴ παθεῖν ὃ βούλομαι."

A=B– §. τινὲς δὲ "κατέαξα μέν," ἵνα ᾖ, ὃ μὲν γὰρ εἶχον, κατέαξα, ὡς "⟨ᾗ θήν που τοι θυμὸς ἐέλπεται ἐξαλαπάξειν νῆας·⟩ ἄφαρ δέ τε χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν·" ἄφαρ ἐλπίζεις πορθῆσαι (813, 4).

258. * ὑπερηνορέοντος] τοῦ νῦν ἀνδριζομένου.

259. * Κρητῶν ἀγός] ὁ συμμαχικὸν ἐπάγων Κρητῶν.

260. δούρατα δ', αἴ κε θέλῃσθα] δούρατα δέ, κἂν ἓν ζητῇς, κἂν εἴκοσι θέλῃς, ὅ ἐστι πολλά.

A+B– 261. πρὸς ἐνώπια ⟨παμφανόωντα⟩] τοὺς κατὰ τὴν εἴσοδον τοίχους, ἤτοι ἀντίους τῶν εἰσόδων, οἱ δέ, ⟨τὰ⟩ πρόθυρα δι' ὧν εἰσβάλλει τὸ φῶς· οἱ δέ, ⟨τὰ⟩ δούρατα (260) παμφανόωντα.

B= 262. οὐ γὰρ ὀίω—ἑκὰς ἱστάμενος] οὐκ ἀλαζονεύεται, ἀλλ' ἐρεθίζει αὐτὸν λεληθότως ἐπιδεικνύς, ὡς ἔστι ⟨καὶ⟩ πολεμίου δόρατι ὡπλισμένον μὴ ἀργεῖν.

264. * δούρατά τ' ἔστι καὶ ἀσπίδες] ἀπὸ κοινοῦ, εἰσίν (scil. ἀσπίδες).

B= 265. γανόωντες] στίλβοντες, ἀπὸ τῆς ⟨γῆς⟩ κομώσης τοῖς καρποῖς.

267. καί τοι ἐμοὶ παρά τε κλισίῃ] διὰ τὴν συγγένειαν καὶ ἀξιοπιστίαν ἔχει σκηνὴν ἰδίαν.

B– 268. ἀλλ' οὐ σχεδόν ἐστιν] δηλοῖ ὡς ἄκων ὑπολείπεται τῆς μάχης, ὅπου μηδὲ ἐφ' ὃ ὥρμηται βαδίζειν θέλει· τινὲς δὲ οὕτως· οὐκ ἔστι τὰ δόρατα τῶν Τρώων κατὰ τῶν πλησίον ἑλέσθαι, ὡς διαφορώτερα κατασκευῇ ὄντα.

B= 269. οὐδὲ γὰρ οὐδὲ—φημί] τὸ ἓν "οὐ" περιττεύει.

B+ λελασμένον ἔμμεναι] λελῆσθαι.

B– 270. ἀλλὰ μετὰ πρώτοισι] ἐν πρώτοις. δηλοῖ δὲ καὶ τὸ "φέρει μετά τ' ἤθεα καὶ νομὸν ἵππων" (Il. 6. 511). δοτέον δὲ Μηριόνῃ τὸν ἔπαινον πρὸς ἰδίαν ὠφέλειαν, ὡς καὶ Ὀδυσσεῖ ἐν Φαίαξιν (Od. 8. 180). καὶ νῦν Ἰδομενεὺς ἀπὸ τῶν ἰδίων ἐγκωμίων προτρέπει Μηριόνην· ὁ δὲ ἀντεπεισάγει, ὡς αὐτεπάγγελτός ἐστιν ἐν τῇ μάχῃ.

271. * νεῖκος ὀρώρηται] ἀλλαχοῦ "καὶ ⟨εἰ⟩ μέγα νεῖκος ὄρηται" (Od. 16. 98, 116).

3. Εὐρ. Ἴωνι κωλυόμεσθα Bekker, Εὐρ. κωλυόμεσθα A: Εὐρ. οἰωνικῶς λυόμεσθα ‖ 9. δὴ κἂν ‖ 12, 15. supplevi ex B ‖ 13. suppl. W ‖ 19. στίλβουσαι B ‖ suppl. W ex B ‖ τοῖς W ex B: γῆς ‖ 25. κατασκευὴ ‖ 28, 29. τὸ εἶσι μ. ‖ 31. προτρέπεται B ‖ 33. εἴρηται

Digitized by Google

275. οἶδ' ἀρετήν] "ἀρετήν" τὴν κατὰ τὸν πόλεμον ἀνδρ⟨ε⟩ίαν. "υἱός θ' υἱωνός τ' ἀρετῆς πέρι δῆριν ἔχουσιν" (Od. 24. 515). B–

ταῦτα λέγεσθαι] περὶ τούτων λέγειν· οὐ χρῆται γὰρ τῷ λέγειν ἀλλὰ τῷ εἰπέμεν· "εἰπέμεν Ἀτρείδῃς" (Il. 7. 373). B–

276. λεγοίμεθα] ἀριθμοίμεθα· "ἐν δ' ἡμέας πρώτους λέγε κήτεσιν" (Od. 4. 452). A+

277. ἐς λόχον, ἔνθα μάλιστα] ἐν μὲν γὰρ τοῖς πολέμοις ἔστι συνιδεῖν πρὸς ποίους καὶ πόσους πολεμοῦμεν, ἐν δὲ τοῖς λόχοις τὰ τοιαῦτα ἄδηλά εἰσιν. B=

278. ἔνθ' ὅ τε δειλός] "ὅ τε" ὅς τε· καὶ τὸ ἐναντίον "μῦθος δ', ὃς μὲν νῦν ὑγιής, εἰρημένος ⟨ἔστω⟩" (Il. 8. 524). τὸ "ὅς" οὖν ἀντὶ τοῦ ὁ, καὶ τὸ ἀνάπαλιν.

279. τοῦ μὲν γάρ τε κακοῦ] τοῦ δειλοῦ· ψυχῆς γὰρ κάκωσις ⟨ἡ⟩ δειλία. B=

* ἄλλῃ] ἄλλοτε.

280. οὐδέ οἱ ἀτρέμας] τὸ ἑξῆς· οὐδέ οἱ ἐρητύετ' ἐν φρεσὶ θυμός, ὥστε ἀτρέμας ἧσθαι.

281. ἀλλὰ μετοκλάζει καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει] ἐξηγεῖται τὸ "μετοκλάζει·" ἀκόπως δὲ τὸ σχῆμα τοῦ ἀποδειλιῶντος ἐσήμανε καὶ συμμεταβάλλοντος τὸ σῶμα ταῖς τῆς ψυχῆς μεταβολαῖς· ἐζωγράφησε δὲ τὸν δειλὸν καὶ τὸν ἰσχυρόν, παρακαλῶν ἡμᾶς ἐς ἀλκήν. B=

ἀλλὰ μετοκλάζει] ὀκλάζων μετακαθέζεται ὁ δειλός· ἐὰν δὲ ὁ θυμὸς ὀκλάζειν ποιῇ, οὐδὲ τὰ σκέλη περιπλέκει. A+B=

283. * κῆρας ὀιομένῳ] πολλοὺς θανάτους ὑπονοοῦντι. B=

284. τοῦ δ' ἀγαθοῦ] σημαίνει ἡ λέξις καὶ 'πλουσίου,' "τοῖς ἀγαθοῖσ⟨ι⟩ παραδρώωσι χέρηες" (Od. 15. 324). νῦν δὲ τὸν ἀνδρεῖον λέγει καὶ τολμητίαν.

οὔτε τι λίην] οὐδὲ ὅλως, ὡς καὶ "οὐδ' ὅ γε πάμπαν ἤθελε λαὸν ὀλέσθαι" (348)· ἢ ὅτι τὸ μηδὲ ὅλως φοβεῖσθαι ἀναισθησία, ἡ δὲ ἀρετὴ μεσότης ἐστίν, οὐκ ἀκρότης. B–

285. * πρῶτον] ἅπαξ.

286. * καὶ ἐπὶ Νεοπτολέμου "ἱππόθεν ἐξίμεναι" (Od. 11. 531).

287. ἔνθα τε ⟨όν τε⟩ μένος] θαρσαλέος δηλονότι. §. τινὲς δὲ "τεόν γε." B= A+

4. εἴπομεν Ἀτρείδης ‖ 5, 6. δὲ ἡ. πρῶτ' ἔλεγες κητέσσιν ‖ 14. supplevi ex B ‖ 16. ἐνὶ ‖ 22. μετακαθίζει B ‖ 29. γὰρ pro δὲ B ‖ 33. τεόν τε μένος textus, τεόν γε μ. B ‖ ὁ ante θαρσ. omisi: τοῦ θαρσαλέου B

Digitized by Google

A + B= * ὄνοιτο] λείπει τὸ τίς.

289. οὐκ ἂν ἐν αὐχέν' ὄπισθε] καὶ ὁ Λυσίας τὸν Ἰφικράτην ποιεῖ λέγοντα "τραύματα ἔχων οὐχ ἑτέρων ἐπ' ἐμὲ ἐρχομένων, ἀλλ' αὐτὸς ἐπιών" (fr. 130 S.). ⟨Εὔπολις⟩ Ἀνδρογύναις "ἐκαίετ' ὀλίγα τραύματ' ἐξόπισθ' ἔχων, τῆς δειλίας σημεῖα κοὐχὶ τοῦ θράσους" (Meineke Com. IV p. 687, Nauck fr. Trag. adesp. 374).

A + * οὐκ ἄν] οὕτως Ἀρίσταρχος· τινὲς δὲ "οὔ κεν."

B − 291. προμάχων ὀαριστύν] ἡ μάχη μεταφορικῶς· κυρίως γὰρ ὀαρίζειν τὸ διδόναι τι καὶ λαμβάνειν καὶ ὁμιλεῖν. ἀντικαταλ⟨λ⟩άσσονται δὲ σφαγάς. οἱ δὲ ἀριστύν, καὶ ὡς ὀτρυγηφάγος, ὀδάξ, ὀκλάξ, ὄτλος.

B + 292. * νηπύτιοι] πνυτὸν γὰρ τὸν φρόνιμον ἔλεγον.

B= 297. * μέγα πτολέμοιο μεμηλώς] πολλὴν φροντίδα μάχης ἔχων.

B= 298. οἷος δὲ βροτολοιγὸς Ἄρης] ἐμφερεστάτη ἡ εἰκών· δύο γὰρ δυσὶν ἀπείκασε πολεμικοῖς δαίμοσιν· ἅμα καὶ τὴν τάξιν διὰ τῆς εἰκόνος τετήρηκεν· ὡς γὰρ ὁ υἱὸς τῷ πατρὶ ἕπεται, οὕτω καὶ ὁ Μηριόνης τῷ φίλῳ, νεώτερος πρεσβυτέρῳ καὶ τὴν τοῦ θεράποντος χώραν ἔχων.

A~B= * πόλεμόνδε μέτεισιν] ἢ τὸ "δέ" περισσὸν ἢ τὸ "μετά," ἵν' ᾖ 'πόλεμόνδε εἰσίν.'

B= 299. τῷ δὲ Φόβος φίλος υἱός] ἀεὶ Ἐνυαλίῳ ἀτάλαντον (Il. 17. 259, 2. 651) αὐτὸν λέγων νῦν τὴν δευτέραν ἀπέδωκεν αὐτῷ τάξιν, ἐπεὶ σὺν τῷ Ἰδομενεῖ αὐτῷ ἐστιν.

ἅμα κρατερὸς καὶ ἀταρβὴς ἕσπετο] "ἅμα ἕσπετο," ὡς τὸ "ἅμ' ἑσπόμεθα" (Il. 1. 158). ἀκολουθεῖ δὲ τῷ Ἄρει ὡς ἡνίοχος. οὐ γὰρ διαφόρους ἀρετὰς καταλέγει. §. τὸ δὲ "ταλάφρονα" οἱ μὲν ἀπὸ τοῦ ταλῶ, ὅθεν τὸ "ταλάσσης" (829), οἱ δὲ ⟨ἀπὸ τοῦ τῆλε⟩, ὡς ταλαπείριος. τινὲς δὲ παραγωγόν φασι καὶ μὴ ἐγκεῖσθαι τὴν φρένα.

A + * πῶς οὖν Ἀντίμαχος τὸν Φόβον ἵππον Ἄρεός φησι "καί ῥ' ἵππους κέλετο, Δεῖμόν τε Φόβον τε, ζευγνύμεν" (Il. 15. 119);

2. αὐχένι ‖ ποιεῖ Bekker: οἴει ‖ 4. Εὔπολις Ἀνδρογύναις Runkel, Μένανδρος Ἀνδρογύνῃ Preller Philologus iii. 522 ‖ Ἀνδρογυ̃ ἐκαίετ' ὀ. W: ἀνδρογύης καὶ ἔτ' ὀ. ‖ ἀνδρόγυνος ὀ. coni. Meineke l. c. ‖ μετ' pro ἔτ' coni. idem cur. crit. in com. fr. p. 34 ‖ τραύματα ‖ 5. ἐξόπισθεν: corr. Meineke ‖ καὶ οὐχὶ: corr. Meineke ‖ 8. τὴν μάχην B ‖ 10. ὁ τρυγηφάγος ‖ ὄτλος scripsi: ὀτλάς ‖ 11. πυκνὸν B ‖ 16. γὰρ ὁ φόβος τ. B ‖ 17. νέος τε πρ. B ‖ 24. ἑσπόμεσθα ‖ 26. ταλάσσης Et. M., τὸ "ταλάσσῃ" vel τὸ "ταλάσσης" coni. W: ταλάσω ‖ supplevi cf. Et. M. s. v. ταλαπείριος ‖ 27. ταλαπείριος W: τανύπτερος

Digitized by Google

301. Ἐφύρους] οἱ μὲν Θεσπρωτοὺς ἐξ Ἐφύρης ἀνελθόντας—μάχιμοι γὰρ οὗτοι καὶ δραστήριοι—οἱ δὲ Κραννωνίους. §. "ἑτέροισι δὲ κῦδος ἔδωκαν" (303) εἰπὼν ἐξηγεῖται τὴν "ἑτεραλκέα νίκην" (Il. 7. 26). A + B –

* Ἐφύρους μέτα] ὅτι ἐνταῦθα διετέλουν· ἢ ὡς ⟨τῶν⟩ Θρᾳκῶν μαχομένων τούτοις ἀεί. B –

302. ἠὲ μετὰ Φλεγύας] οἱ μὲν Γυρτωνίους, οἱ δὲ τοὺς ἐνοικοῦντας τὴν Δαυλίδα τῆς Φωκίδος, οὓς "μεγαλήτορας" οἱονεὶ δεινορέκτας φησὶ διὰ τὸ πεπορθηκέναι τὸν ἐν Πυθοῖ ναόν· καὶ Φερεκύδης δὲ ἱστορεῖ περὶ τῶν Φλεγυῶν· καὶ γὰρ αὐτὰς τὰς Θήβας ὑπ' Ἀμφίονος καὶ Ζήθου διὰ τοῦτο τετειχίσθαι. μετὰ δὲ ταῦτα τὰς Θήβας ὑπ' αὐτῶν αἱρεθῆναι Εὐρυμάχου βασιλεύοντος, καὶ ἔρημον γενέσθαι τὴν πόλιν μέχρι τῆς Κάδμου ἀφίξεως· ἐπὶ πλεῖον δὲ περὶ αὐτῶν διείλεκται Ἔφορος ἀποδεικνὺς ὅτι τὴν Δαυλίδα καὶ οὐ τὴν Γυρτῶνα ᾤκησαν· ὅθεν καὶ παρὰ Φωκεῦσι τὸ ὑβρίζειν φλεγυᾶν λέγεσθαι· ἔστι δὲ ταῦτα ἐν τῇ τριακοστῇ τῇ Δημοφίλου. πάλαι δὲ διεφέροντο Φωκεῖς πρὸς Θεσσαλούς· διὸ καὶ τὰς Θερμοπύλας ᾤκησαν Φωκεῖς· εἴσοδον γὰρ ἔχουσιν ἀπὸ Θεσσαλίας. B –

ἄλλως: Φλεγύαι ἔθνος βίαιον περὶ τὴν Γυρτῶνα, οἱ Θηβαίοις ἐπιχειρήσαντες ὑπὸ Ἀπόλλωνος κατεταρταρώθησαν. A +

306. * τὸν καὶ Μηριόνης] πλεονάζει ὁ "καί." A +

307. * Δευκαλίδη] ἀπὸ τοῦ Δευκαλιωνίδη συνεκόπη· οἱ δὲ ἀπὸ τοῦ Δεύκαλος. B –

πῇ τ' ἂρ μέμονας] εἰς ποῖον ὅμιλον καταδῦναι, τὸν δεξιὸν ἢ τὸν ἀριστερόν; ποῦ μάλιστα χρεία συμμαχίας; §. τὸ δὲ "δεξιόφιν" (308) ἀντὶ τοῦ τὸν δεξιόν, ὡς τὸ "ἀγέληφι μετελθών" (Il. 16. 487) ἐπ' ἀγέλην ἐλθών. §. τινὲς δὲ τὸν "ῃ" τρὶς περιέσπασαν· διαπορητικὸς γάρ ἐστιν. §. "ἢ ἐπὶ δεξιόφιν" (308) ἑξῆς τοῖς βασιλεῦσιν ἀμείβει τὰς τάξεις· λέγει οὖν οὐ τῆς νεωλκίας, ἀλλὰ τῆς παρούσης μάχης.

308. * "ἢ ἀνὰ μέσ⟨σ⟩ους" τῶν μαχομένων· οὐ γὰρ ⟨ἐν⟩ ταῖς Ὀδυσσέως ναυσίν.

309. ἐπεὶ οὔ ποθι] οὐδαμοῦ τοσοῦτον οἴομαι ἐνδεεῖς εἶναι τῶν βοηθησόντων Ἀχαιούς, ὅσον ἐπὶ τὰ ἀριστερά· ἐκεῖ γὰρ ἐρράγη τὸ τεῖ- B –

2. ἑταίροισι ‖ 3. ἑτεραλκαίαν ‖ 4. suppl. W ‖ 6. Γυρτωνίους Eust.: Γορτυνίους ut B ‖ 7. Φ. οὐ μ. οἷον ἰδεῖν ὀρέκτας: corr. Bekker ‖ 10. post τετ. omisi διὰ τὸ δέος τῶν Φλεγύων ‖ 13. τὸν Γυρτόνα ‖ 14. φλέγυαν ‖ 15. Δημοφίλους ‖ 18. Γόρτυναν ‖ 21. Δευκαλιωνίδη B: Δευκαλιονίδη ‖ 25. ἀγέληφιν ἐπέλθωμεν ‖ 26. ἔλθωμεν ‖ τρὶς W: τρίτον ‖ 27. ἀμείβειν

Digitized by Google

χος, καὶ ὁ Ἕκτωρ "μάχης ἐπ' ἀριστερὰ μάρνατο πάσης" (Il. 11. 498).

* οὔ ποθι] τινὲς δὲ "οὔ ποτε."

313. Τεῦκρός θ', ὃς ἄριστος] καὶ πῶς φησιν "οἷος δή με Φιλοκτήτης ἀπεκαίνυτο" (Od. 8. 219); οὔπω γὰρ ἦν ἥκων ἐκ Λήμνου.

314. καὶ ἐν σταδίῃ] καὶ τὸ δόρυ παρὰ Θεσσαλοῖς στάδιον.

A+ 315. ἄδην ἐλόωσι] λίαν κορέσουσιν, ὡς "ἄδην ἐλάαν κακότητος"
(Od. 5. 290), οἱ δὲ ἄδην ἐ⟨σ⟩σύμενον· οἱ δὲ "ἀάσωσι" παρὰ
A– τὸ ἄσην ἐμποιεῖν. §. τὸ δὲ "αἰπύ" (317) ἀντὶ τοῦ δύσβατον χαλεπὸν
δεινόν· "σοφίαι μὲν αἰπειναί" Πίνδαρος (Ol. 9. 107). §. τὸ δὲ
"ἐ⟨σ⟩σεῖται" (317), εἴ ἐστι Δώριον, παροξύνεται, εἰ δὲ Ἀττικόν,
B= προπερισπᾶται. §. τὸ δὲ "ἐ⟨σ⟩σύμενον" (315) ἀντὶ τοῦ ἐφιέμενον.
B= §. "ἄδην" δὲ παρὰ τὸ ἄδος, ὅ ἐστι πλησμονή.

A= 318. κείνων νικήσαντι] Ἀρίσταρχος "κείνων." §. τὸ "ἀ⟨ά⟩π-
A+ τους" διὰ τοῦ ā.

319. ⟨ὅ⟩τε μὴ αὐτός γε Κρονίων] τὸ τῆς Ἀδραστείας οὖν δείκνυται ἐν οἷς βεβίασται ὑπὸ τοῦ Ἕκτορος.

B= 321. ἀνδρὶ δέ κ' οὐκ εἴξειε] τίς ἂν οὖν εἴη ὁ Αἴας ὑπὸ τῶν ἐφαμί⟨λ⟩λων ἐπαινούμενος;

B= 322. ὃς θνητός τ' εἴη καὶ ἔδοι Δημήτερος ἀκτήν] πολλάκις γὰρ
θεοὶ ἀνδράσιν ὁμοιοῦνται· διὸ προσέθηκε τὸ "καὶ ἔδοι." §. "ἀκτήν"
B– δὲ τὸ κλώμενον ἢ τὸ προηγμένον καὶ προτιμηθὲν τῶν ἄλλων.

B= 324. οὐδ' ἂν Ἀχιλλῆι—χωρήσειεν] θέλει λέγειν, ὅτι τὸ βίαιον Ἀχιλλέως μόνος ⟨ἂν⟩ Αἴας ὑπομείνειεν· φιλοτιμεῖται δὲ ἀεὶ τὴν μνήμην Ἀχιλλέως.

B= 325. ποσὶ δ' οὔ πως ἔστιν ἐρίζειν] καὶ δικαίως, ὡς πρεσβύτερος· ἡ δὲ τοῦ τάχους ὑπεξαίρεσις καὶ τὸ τῆς ἀλκῆς πιστὸν ὑποφαίνει.

B= 326. ὧδε] οὕτως ὡς ἔχεις ὁρμῆς. §. "ἔχε" δὲ πορεύου, "τῇ ῥ'
B– ε⟨ἶ⟩χεν Μενέλαος" (Il. 23. 422).

ὧδ' ἔχε] λείπει τὴν ὁρμήν· τινὲς δέ, ἐπὶ τὰ ἀριστερὰ ἡμῶν μέρη τοῦ στρατοῦ πορεύου.

ὄφρα—εἴδομεν] οὐδέποτε τὸ περισπώμενον ὑποτακτικὸν συστέλλει.

A+ 327. * ἠέ τῳ εὖχος ὀρέξομεν, ἠέ τις ἡμῖν] ἀπὸ κοινοῦ ⟨τὸ⟩ ὀρέξει.

9. ἄσην B: ἄσιν ‖ δυσπρόσβατον A ‖ iteratur * αἰπύ] δύσβατον ‖ 10. σοφίαι μὲν αἰπειναί Pindari codd.: σοφίας μὲν αἱ πεῖναι ‖ 11. ἐὰν δὲ ‖ 13. πλῆθος B ‖ 14. αἱ Ἀριστάρχου A ‖ 20. ἔδυ: corr. sec. ‖ 27. ἐμφαίνει B

Digitized by Google

329. ἦρχ' ἴμεν] θαυμάσια ⟨τὰ⟩ ἤθη· παρὸν γὰρ αὐτοῖς ἡσυχάζειν ταττομένοις συνήθως, τὸ κοινῇ λυσιτελοῦν τοῦ ἰδίᾳ προκρίνουσιν. B=

332. * κεκλόμενοι] ἀναδιπλασιασμὸς Αἰολικός.

333. τῶν δ' ὁμὸν ἵστατο νεῖκος] ἰσοβαρὲς τῶν περὶ Ἰδομενέα Τρώων. §. τινὲς δὲ "ὁμόσε." B=

* πρυμνῇσι] ἐσχάταις. B=

334. ὑπὸ λιγέων ἀνέμων] τῶν ἐτησίων· οὗτοι γὰρ θέρους πνέουσιν, ὅτε κόνις ἐστίν. εἰκότως δὲ λιγεῖς εἴρηνται· κατὰ λεπτοῦ γὰρ πνέοντες ἀέρος ὑποσυρίττουσιν. B=

335. * ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους] ψαφαρὰ γάρ ἐστιν ἡ γῆ διὰ τὴν ἔκκαυσιν τοῦ κυνός. B=

336. οἵ τ' ἄμυδις] οἳ ὁμοῦ πνέοντες ὑποσύρουσι κόνιν, δι' ἧς ὁμίχλην ποιοῦσιν. B+

337. ὣς ἄρα τῶν ὁμόσ' ἦλθε μάχη] τὸ συμπεφυρμένον αὐτῶν εἴκασε τῇ ὑπὸ τῶν ἀνέμων μιχθείσῃ κόνει. §. τὸ δὲ "ὁμόσε" Ἀττικοὶ ἐπὶ πολεμικῆς παρασκευῆς φασιν. B=

339. ἔφριξεν δὲ μάχη] ἐγγὺς παραβολῆς ἡ μεταφορά. ἐν βραχεῖ δὲ τὸ μετέωρον τῶν δοράτων καὶ τὴν κίνησιν δηλοῖ. ὅμοιον γάρ τι τῇ τῶν σταχύων κινήσει γέγονεν. B–

ἔφριξεν δὲ μάχη] ποιητικῶς ἔφη φρίττειν τὴν μάχην διὰ τῆς ἀνατάσεως τῶν δοράτων. A–B=

340. ταμεσίχροας] ποιητικῶς ἀνέπτυξεν τὸ τμησίχροας· ἢ ἀπὸ τοῦ ⟨ταμῶ⟩ ταμέσω. A+

ὄσσε δ' ἄμερδεν] χαρίεν καὶ τὸ ποικίλως τὴν κατ' εἶδος διαφορὰν φράζειν, τὰς μὲν κόρυθας λαμπομένας, τοὺς δὲ θώρακας νεοσμήκτους καὶ φαεινὰς τὰς ἀσπίδας· διδάσκει οὖν ἐπιμελεῖσθαι τῆς λαμπηδόνος τῶν ὅπλων. B= §. "ἄμερδεν" δὲ ἀντὶ τοῦ ἐστέρισκε τοῦ ὁρᾶν. B=

341. αὐγὴ χαλκείη] τολμηρῶς· οὐ γὰρ εἶπεν, ἡ ἀπὸ τοῦ χαλκοῦ αὐγή· μονονουχὶ οὖν ἐφλόγωσε τὰ ὅπλα ἡλίου λαμπηδόνα αὐτοῖς μαρτυρῶν. ἐμφατικώτερόν ἐστι τοῦ ἑτέρωθι εἰρημένου "ἀμφὶ δὲ χαλκῷ ἐλάμπετο εἴκελος αὐγῇ ἢ πυρὸς αἰθομένου" (Il. 22. 134). νῦν γὰρ οὐδὲ τὸ "ὄσσε δ' ἄμερδεν" (340).

342. * νεοσμήκτων] οὐ 'καινῶν,' ἀλλὰ διὰ τοῦ ἐπιθέτου τὴν ἐπιμέλειαν τῶν χρωμένων ἐδήλωσεν. B=

1. supplevi ex B ‖ 2. ἰδίᾳ B: ἰδίου ‖ 5. τῶν ante Τρ. omisi ut B ‖ 10. ψαρὰ B, ψοφαρὰ ‖ 12. οἳ B: ἢ ‖ ὑποσύρουσι B: ὑποσυρίζουσι ‖ 15. μιγείσῃ B ‖ 23. ταμῶ supplevi ex AD: τύμω suppl. sec. ‖ 27. ἐστέρισκε B: ἐστέρηκε ‖ 28. τολμηρός ‖ 31. αὐγὴ ‖ 32. τὰ ὄ. ‖ 33. οὐ καινῶν B: οὐκ ἂν ὂν

Digitized by Google

A + B= 343. *θρασυκάρδιος εἴη*] *ἀντὶ τοῦ ἦν.* §. *κατὰ συλλογισμὸν δὲ ἡ* B= *αὔξησις· εἰ γὰρ ὁ μόνον ὁρῶν ἐλυπήθη, τί μᾶλλον ἐπὶ τῶν ἐνεργούντων αὐτῶν δεῖ σκοπεῖν;*

A + 344. * *γηθήσειεν*] *ἀντὶ τοῦ ἐγήθησεν.*

B= 345. *τὼ δ' ἀμφὶς φρονέοντε*] *κεχωρισμένως* ⟨*φρονοῦντες*⟩, *ἀμφισβητοῦντες.* §. *αὔξει δὲ τὴν μάχην, οὓ μὲν ἐργάτας οὓ δὲ θεατὰς αὐτῆς ποιῶν θεούς.*

*τὼ δ' ἀμφὶς φρονέοντε*] *ὁ λόγος ἀναφορικός ἐστιν, ἐπεὶ ὁ Ζεὺς βούλεται Τρωσὶ βοηθεῖν.*

A + 346. * *τετεύχατον*] *διὰ* ⟨*τὸ*⟩ *μέτρον ἀντὶ τοῦ ἐτετευχάτην.*

B= 348. *κυδαίνων Ἀχιλῆα*] *τουτέστι τὸ* "*Διὸς δ' ἐτελείετο βουλή*" (Π. 1. 5)· *ὑπὲρ παραμυθίας δὲ ταῦτα τῶν ἀκροατῶν διὰ μέσου φησίν· σχεδὸν γὰρ ἀποδείκνυσιν ἀμφοτέρους τοῖς Ἕλλησι βοηθοῦντας, τὸν μὲν ἐνί, τὸν δὲ τῷ πλήθει.*

*οὐδ' ὅ γε πάμπαν*] *οὐδὲ ὅλως, οὐδὲ παντελῶς. παραμυθεῖται δὲ τὸν* A + *ἀκροατήν.* §. *τὸ δὲ* "*Θέτιν κύδαινε*" (350) *ἀθετεῖ*⟨*ται*⟩ *ὡς περισσόν. ταυτολογία γάρ.* §. *ἐντεῦθεν δὲ Μελανιππίδης κύουσαν ἀπὸ Διὸς Θέτιν ἐκδοθῆναι Πηλεῖ διὰ τὰ ῥηθέντα ὑπὸ Προμηθέως ἤτοι Θέμιδος.*

B + 351. *ὀρόθυνε*] *τινὲς παρὰ τὸ ὄρω καὶ τὸ θύνω, ἵν' ᾖ ἐνθουσιωδῶς ὥρμα· ἄμεινον δὲ παραγωγὸν εἶναι.*

B= * *Ἀργείους—μετελθών*] *ἡ* "*μετά*" *πρὸς τὸ* "*Ἀργείους.*" *καὶ ἔστιν ἀντὶ τῆς ἐπί, ἐπὶ Ἀργείους.*

B + 352. *ὑπεξαναδύς*] "*ὑπέξ*" *περισσόν· καὶ ἀναστρέφει δὲ αὐτὸ ἐν τῷ* "*ἐξυπανέστη*" (Il. 2. 267). §. *ταπεινὸς δὲ ὁ λάθρα θέλων* B= *βοηθεῖν. ἢ διδάσκει μήτε τοὺς φίλους παρορᾶν μήτε τοῖς φιλτάτοις προσκρούειν. ἡ δὲ συνέχεια τῶν προθέσεων τὸν λάθρα μὲν προθύμως δὲ ἀναδύοντα τῆς ἁλὸς δηλοῖ.*

353. *Τρωσὶν δαμναμένους*] *λείπει τὸ ὁρῶν· ἔστι δὲ τὸ τῆς φράσεως ἀρχαῖον. Εὔπολις ἐν Αὐτολύκοις* "*ἤδη γὰρ Ἀρίσταρχον στρατηγοῦντ' ἄχθομαι*" (fr. 43 K.).

354. *ἠδ' ἴα πάτρη*] *μεγαλοφυῶς εἶπε τὸν οὐρανὸν θεῶν πατρίδα.*

B − *πάτρη*] *πατερία πατρία· οὕτω δὲ ἡ εἰς τὸν πατέρα τοῦ γένους ἀναφορά· ἔστιν οὖν ἀντὶ τοῦ μία πατρία, ὁ αὐτὸς πατήρ· ἠρέμα δὲ ἀφαιρεῖ καὶ διὰ τούτων τὸ ἐπὶ γένει οἴημα τῶν ἀνθρώπων ὅτι οὐκ ἀπόχρη γενέσθαι εὖ· τιμιώτερα δὲ τὰ πλεονεκτήματα.*

3. *αὐτῶν* B: *αὐτὸν* ‖ 5. *φρονέωντε* ‖ supplevi ex D, *κεχ. καὶ μετ' ἀμφισβητήσεως* B ‖ 10. suppl. W ‖ *τ. τετευχέτην* A ‖ 15. *οὐδὲ παντ.* scripsi: *οἷον παντ.* ‖ 16. supplevi ex A ‖ *περισσὸς* ‖ 18. *θέμιδι* ‖ 23. iteratur **ὑπεξαναδύς*] *ὡς τὸ ὑπεξυπανέστη* (sic) ‖ 30. *στρατηγοῦντα* ‖ 34. *γενεᾷ* B ‖ 35. *καὶ* ante *τὰ* del. W

Digitized by Google

355. *καὶ πλείονα ᾔδη*] τοὺς πρεσβυτέρους ἀεὶ πολυπειροτέρους B− φησίν. "ἐγὼ δέ κε σεῖο νοήματί κεν προβαλοίμην—ἐπεὶ πρότερος γενόμην" (Π. 19. 218). ἄμφω οὖν εἰς σύστασιν παρέλαβε, τό τε τῆς ἡλικίας καὶ τὸ τῆς σοφίας. οὐ γὰρ περὶ τῆς δυνάμεως εἶπεν, ὅτι ἦν ἰσχυρός, αὔξων Ποσειδῶνα καὶ τιμῇ οὐ ῥώμῃ φησὶν αὐτὸν εἴκειν Διί. διατείνει δὲ καὶ ἐπὶ πάντων ὁ λόγος, ὅτι δεῖ αἰδεῖσθαι ἀδελφοὺς πρεσβυτέρους ἅμα καὶ σοφωτέρους.

357. * *ἀνδρὶ ἐοικώς*] ἄλλοτε ἄλλῳ, ὡς ἔμπροσθεν Κάλχαντι (45), εἶτα Θόαντι (216).

358. * *τοὶ δ' ἔριδος*] Ἀρίσταρχος "τὼ δ' ἔριδος·" Ἀριστοφάνης "τοί." A+
*τοὶ δ' ἔριδος κρατερῆς*] μικτὴ ἡ ἀλ⟨λ⟩ηγορία. ἔχει δέ τι ἴδιον A+B− ἡ παραβολή· οὐ γὰρ ἰδίᾳ περὶ ἑκατέρου εἶπε τῆς τε εἰκόνος καὶ τοῦ εἰκονιζομένου πράγματος, ὅτι, ὥσπερ οἱ ἐξασφαλιζόμενοι τοὺς δεσμοὺς τὰ πέρατα τῶν δεσμῶν ἄλλοις ἐπιβαλόντες δεσμοῖς καὶ συμπλέξαντες δυσδιάλυτον ποιοῦσι τὸν δεσμόν, οὕτω καὶ οἱ θεοὶ τὴν φιλονεικίαν τῶν στρατευμάτων ἔπλεξαν ὥστε δυσδιάλυτον αὐτὴν γενέσθαι· ἀλλ' ὥσπερ μεταφορᾷ κέχρηται ἀπὸ τῶν δεσμῶν ἐπὶ τὴν μάχην, ἔριδος πέρας καὶ πολέμου πέρας ὥσπερ σχοινίων πέρατα ὀνομάσας καὶ τὸ ἐπαλλάξαι ὡς ἐπὶ δεσμῷ ⟨λαβὼν⟩ καὶ τὸ τανύσαι καὶ τὰ ἑξῆς ὀνόματα. τὸ δὲ λεγόμενον, ὅτι ⟨ὁ⟩ Ποσειδῶν καὶ ὁ Ζεὺς τὸν πόλεμον τῇ ἔριδι συνέδησαν ⟨καὶ⟩ τὸ πέρας τῆς ἔριδος καὶ τὸ πέρας τοῦ πολέμου συμπλέξαντες ἐπ' ἀμφοτέροις τοῖς στρατεύμασιν ἤπλωσαν αὐτό.

ἄλλως: ὁ Ποσειδῶν καὶ ὁ Ζεὺς τὸ πέρας τῆς ἔριδος καὶ τοῦ A+B− πολέμου συμπλέξαντες ἤπ[λω]σ[αν] αὐτὸ ἐπ' ἀμφοτέρων τῶν στρατιωτῶν. Κράτης δὲ ἐπὶ τῶν στρατευμάτων φησίν· Τρῶες ⟨γὰρ⟩ καὶ Ἕλληνες. ἀπέστραπται δὲ ὁ Ζεύς. ἀλλ' ἐπὶ τὸν νοῦν αὐτοῦ ἀνενεκτέον, θέλει δὲ εἰπεῖν, ⟨ὅτι⟩ ὃ μὲν ἔνθεν ὃ δὲ ἔνθεν εἵλκυσαν· ὅθεν τὸ ἀδιαλύτως μάχεσθαι παρίστησιν.

359. * *ἐπ' ἀμφοτέροισι*] διχῶς αἱ Ἀριστάρχου· καὶ "ἐπ' ἀλλή- A+ λοισι."

360. * *ἄρρηκτόν τ' ἄλυτόν τε*] ὅμοιον τῷ "κόπτε δὲ δεσμοὺς ἀρρήκτους ἀλύτους" (Od. 8. 274).

5. φησὶν B : φῆσαι ‖ 10. οἱ pro τὼ A ‖ 14. ἐπιβαλόντες B : ἐπιβάλλοντες ‖ 17. ἐπὶ μεταφορᾶς B ‖ 19. ἐπαλλάξαι ὡς B : ἐπαλλάξεως ‖ supplevi ex B ‖ 21. Ζ. τὸ πέρας τῇ B ‖ 26. οἱ ante Τρ. omisi ut B ‖ supplevi ex B ‖ 27. οἱ ante Ἑ. omisi ut B ‖ δὲ scripsi cf. B : γὰρ ‖ 28. supplevi ex B ‖ 30. Ἀρίσταρχος A

A–B= 361. * *μεσαιπόλιος*] *σπαρτοπόλιος. ὠμογέρων δὲ* Ὀδυσσεύς (Il. 23. 791), *γέρων δὲ ὁ* Νέστωρ.

362. * Τρώεσσι] *λείπει ὁ καί* ‘*καὶ* Τρώεσσι.’

B– 363. Καβησόθεν] Κάβησα *πόλις* Ἑλλησποντίς, *ἡ νῦν* Κύβασα· *οἱ δὲ* Θρᾴκης—*καὶ συνᾴδει ἡ ἀκολασία τοῦ γάμου*—*οἱ δὲ* Λυκίας· *οἱ δὲ* Καππαδοκίας, Καβασσός· *οἱ δὲ τῶν* Ἀγαθύρσων, *ὥσ⟨τε⟩ ἥκειν ἐκ τῆς πρὸς* Αἷμον Θρᾴκης· *οἱ δὲ ἀδελφὸν* Σαρπηδόνος.

A= Καβησόθεν ⟨*ἔνδον ἐόντα*⟩] *ἐν τῇ* Ἀργολικῇ “Ἑκάβη⟨ς⟩ *νόθον υἱὸν ἐόντα*·” *ἴσως ἀγνοίᾳ τῆς* Καβήσου.

B– *ἐόντα*] *τινὲς* “*ἔνδον*” ⟨*τοῦ οἴκου*⟩ Πριάμου, *οἱ δὲ ἐν* Ἰλίῳ, *οἱ δὲ* “*ἔνδον ἐόντα*” *κεκινημένον. ἄμεινον δὲ τὸ* ⟨“*ἔνδον*” *ἀντὶ τοῦ*⟩ *ἐν καὶ τὸ* “*ἐόντα*” *ἀντὶ τοῦ παρόντα, ὡς καὶ τὸ* “*δεῖπνον δὲ ξείνῳ ταμίη δότω ἔνδον ἐόντων*” (Od. 7. 166), *ὃ ἀντιφράζων φησὶ* “*χαριζομένη παρεόντων.*”

B= 364. *ὅς ῥα νέον πολέμοιο*] *κατὰ τοῦτο ἄρα καὶ φοβῆσαι τοὺς* Τρῶάς *φησι τὸν* Ἰδομενέα, *ὅτι συμμαχίαν αὐτῶν νεωτέραν ἀφείλετο. θαυμαστῶς δὲ ἐπὶ μὲν* Αἴαντος *ἔφη* “*φόως δ' ἑτάροισιν ἔθηκεν ἄνδρα βαλών, ὃς ἄριστος ἐνὶ* Θρῄκεσσι *τέτυκτο*”—*γενναῖος γὰρ ὁ* Ἀκάμας—“Ἀκάμαντ' *ἠΰν τε μέγαν τε*” (Il. 6. 7, 8). *ἐπὶ δὲ τοῦ* Ὀθρυονέως *ἀναιρέσει οὐ σωτηρίαν φησὶ τοῖς* Ἕλλησι *γενέσθαι ὑπὸ* Ἰδομενέως, *ἀλλὰ φόβον τοῖς βαρβάροις· ἀλαζόνος γὰρ καὶ ἀνοήτου τινὸς ἀναιρεθέντος ἀπίθανόν φασιν ὡς μεγάλου τινὸς κατορθωθέντος τοὺς* Ἕλληνας *σεσῶσθαι. αὔξεται δὲ διὰ τοῦ φόβου τῶν* Τρώων *καὶ ἡ τοῦ* Ὀθρυονέως *ἀλαζονεία, ὡς δηλονότι κἀκείνων ταῖς ὑποσχέσεσι πεπιστευκότων.*

A= * *μετὰ κλέος*] Ἀριστοφάνης “*κατὰ κλέος.*”

B= 365. *ᾔτεε δὲ* Πριάμοιο] *βαρβαρικὸν καὶ τοῦτο· οὐδέποτε γὰρ εὑρήσομεν παρ'* Ἕλλησι *τὸ ἐπὶ μισθῷ στρατεύειν καὶ πρότερον αἰτεῖν καὶ χωρὶς ὑποσχέσεως μὴ συμμαχεῖν. ὅρα δὲ καὶ τὸν μισθόν· κόρης γὰρ ἐρῶν ἧκεν, οὐχ ὅτι βασιλικὴ ἦν ἀλλ' ὅτι εἶδος ἀρίστη· καίτοι παρ'* Ἕλλησιν *οἱ ἀκολαστότατοι μνηστῆρές φασιν* “*εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν*” (Od. 2. 206). *καὶ τὸ* “*ἀνάεδνον*” (366) *γλίσχρον, ὅπου γε* ⟨*καὶ*⟩ *οἱ ἀδικώτατοι μνηστῆρες ἔδνα τῇ* Πηνελόπῃ *προσφέρουσιν.*

4. Κάβησος Eust., Κάβησα etiam B ‖ 5. *ἡ ἀκολασία* Bekker, *ἀκολασίᾳ* Steph. Byz. s. v. Καβασσός: *ἀκολασία* ‖ 6. Καβασσός St. B., Κάβησα Eust.: Κάβασα ‖ 9. *τῆς* A: *τοῦ* ‖ 10. supplevi ex B ‖ Πριάμου B: Πριάμῳ ‖ 12. *ταμίη* B: *τιμίη* ‖ 33. supplevi ex B

Digitized by Google

εἶδος ἀρίστην] ⟨αὕτη⟩ τῶν ἀγάμων ἀρίστη, τῶν δὲ γαμηθεισῶν Λαοδίκη (Il. 6. 252). §. τινὲς δὲ εἰς τὸ "θυγατρῶν" στίζουσιν· οἱ δὲ "εἶδος" τὴν εἴδησιν τῆς μαντείας, ὡς καὶ "Θεοκλύμενος θεοειδής" καὶ "Πολύ⟨ε⟩ιδος" (666) ὁ μάντις· λεληθότως δὲ ἡμῖν τὰ τῆς Κασσάνδρας ὑποφαίνει καὶ ἐν τῇ Ω (699), ἐπεὶ συνάγειν αὐτὴν Ἀγαμέμνονι μέλ⟨λ⟩ει. B= B−

366. * ἀνάεδνον] δίχα τοῦ δοῦναι ἕδνα. B=

367. ἀπωσέμεν] αἱ Ἀριστάρχου "ἀνωσέμεν." Ζηνόδοτος δέ φησι μὴ λέγεσθαι τὸν ἐκ Τροίας πλοῦν ἀναγωγήν· τινὲς δὲ ἐπάγουσι "φοιτῶν ἔνθα καὶ ἔνθα θοὰς ἐπὶ νῆας Ἀχαιῶν·" καὶ οἰκεῖον τῷ "ὕψι βιβάντα" (371). A−

368. τῷ δ' ὁ γέρων Πρίαμος] φονεύων αὐτὸν διδάσκει μὴ τὰ ὑπὲρ δύναμιν ἐπαγγέλ⟨λ⟩εσθαι μήτε μὴν ταῖς τοιαύταις πιστεύειν ὑποσχέσ⟨εσ⟩ιν. B=

370. * αὐτοῖο τιτύσκετο] ὡς ἐπ' αὐτὸν κατεστοχάζετο. B=

371. * βιβάντα] ὡς ἱστάντα. οἰκεῖον δὲ τῷ ὑψηλόφρονι καὶ τὸ βάδισμα. B=

οὐδ' ἤρκεσε θώρηξ] ὡς μεγαλοφρονοῦντος αὐτοῦ ἐπὶ τῷ θώρακι. B=

373. ὁ δ' ἐπεύξατο φώνησέν τε] τινὲς δὲ "κερτομέων ἔπος ηὔδα·" οὐ γὰρ καυχηματίαν ἐρεῖ λόγον, ἀλλὰ σαρκασμοῦ ἀνάπλεων. B−

374. *Ὀθρυονεῦ] ⟨τὰ ἑκατέρων περιειργάζοντο⟩ ἢ ἀπὸ αὐτομόλων ἢ αἰχμαλώτων· ἢ ἐκ τῶν ἐπαγγελμάτων πεφήμισται, τοῖς μὲν ἐπ' ἐλπίδι νίκης, τοῖς ⟨δ'⟩ Ἕλλησιν ἐπ ἀβελτηρίᾳ. B=

αἰνίζομαι]. ἢ ἐπαινῶ παρὰ τὸν αἶνον ἢ φοβοῦμαι παρὰ τὸ αἰνόν· ἢ διήγησίν σε ποιήσομαι παρὰ τὸν αἶνον, "αἶνος μέν τοι ἀμύμων" (Od. 14. 508). τινὲς δὲ "αἰνίξομαι." A + B−

375. * ἐτεόν] ἐτός ἐτεός.

376. ὁ δ' ὑπέσχετο] οὐ διηγεῖται νῦν τὸ πραχθὲν ὁ Ἰδομενεύς, ἀλλ' ἐλέγχει· ἔστι γὰρ τὸ "ὁ δέ" ἀνθ' ὑποτακτικοῦ 'ὃς δὴ ὑπέσχετο·' "ὁ δέ οἱ παρελέξατο λάθρῃ" (Il. 2. 515). B=

377. ταῦτά γε] τινὲς ἀπιθάνως ὤξυναν, ⟨ἵν'⟩ ᾖ ἀπὸ τοῦ τὰ αὐτά. A+

* τελέσαιμεν] οὐ ψευσαίμεθα.

1. supplevi ex B ‖ 5. ἐπεὶ σ. W : ἐπισ. ‖ 8. Ἀρίσταρχος ‖ 10. οἰκειῶν ‖ 11. ὕψει ‖ 14. supplevi ex B ‖ 18. αὐτοῦ B : αὐτῷ ‖ 20. ἐρεῖ W, προφέρει B : αἱρεῖ ‖ 21. supplevi ex Eust. ‖ 22. ἐκ W : ἐπὶ ‖ τῶν ἐπαγγελμάτων B : τῷ ἐπαγγέλματι ‖ 24. φ. π. τὸν δεινὸν ‖ 25. σὲ ποιήσομαι Bekker: ἐσποιήσομαι ‖ 31. supplevi ex A ‖ ἢ

Digitized by Google

A + B – 381. συνώμεθα] τὰς συνθήκας συνημο⟨σύ⟩νας φησίν· "συνημοσύνας ἀγόρευε" (Il. 22. 261). συνθήκας καὶ συμβόλαια ποιήσωμεν. A ~ §. δασυντέον δὲ τὸ "συνώμεθα·" ἀπὸ γὰρ τοῦ ἵημί ἐστιν. A + B = §. ἐεδνωταὶ δὲ οἱ πενθεροί, οἱ τὰ ἕδνα λαμβάνοντες. §. ὀξυτόνως δέ, A + ὡς χρυσωταί.

383. * τινὲς "διὰ κρατερῆς ὑσμίνης."

B = 384. τῷ δ' Ἄσιος ἦλθεν] πιθανὸν τὸ ἀλαζόνι ἐπιβοηθεῖν τὸν ὁμοιότροπον καὶ ἄμφω ὑπὸ τοῦ αὐτοῦ ἀναιρεῖσθαι. §. τινὲς μὲν A = "ἦλθεν ἀμύντωρ" γράφουσιν, Ἀρίσταρχος δὲ "ἦλθ' ἐπαμύντωρ."

B = 385. τὼ δὲ πνείοντε κατ' ὤμων] καὶ ταῦτα εἰς τὸ ἦθος Ἀσίου, ὅτι οὐκ ἀφειστήκει τοῦ ἅρματος· ἄλλῳ γὰρ οὐδενὶ ἐπήλπιζεν ἢ τῷ κάλλει τῶν ἵππων. τὸ ἕτοιμον οὖν δηλοῖ· οὕτω γὰρ ἦν παρεσκευασμένος ὥσ⟨τε⟩ καταπνεῖσθαι ⟨ὑπὸ τῶν ἵππων⟩.

386. ὃ δὲ ἵετο—Ἰδομενῆα βαλεῖν· ὃ δέ μιν φθάμενος βάλε δουρί] ὅτι περὶ τοὺς ἵππους ἐπτόητο· νῦν δὲ ἀποδίδωσι τὸ "οὐδ' ἄρ' ἔμελλεν ἵπποισι—καὶ ὄχεσφιν ἀγαλλόμενος παρὰ νηῶν ἂψ ἀπονοστήσειν" (Il. 12. 113). §. τὸ δὲ "λαιμὸν ὑπ' ἀνθερεῶνα" εἰς B = τὸν ⟨ὑπ'⟩ ἀνθερεῶνα λαιμόν.

B + 388. διαπρὸ ⟨δὲ χαλκὸν ἔλασσεν⟩] τινὲς περισσεύειν ⟨φασὶ⟩ τὴν "πρό," ἵν' ᾖ διήλασεν· ἢ ἐς τὸ πρόσθεν διήλασεν.

AB – 389. ἀχερωίς] ἡ λεύκη· ταύτην γὰρ ἀνήγαγεν Ἡρακλῆς ἐξ Ἀχέροντος· οἱ δὲ τὴν αἴγειρον, καὶ "ἀχελωίς" γράφουσιν, ἐπεί φησιν "αἰγείρων ὑδατοτρεφέων" (Od. 17. 208). ὅτι δὲ μέγας ἦν, ἀλλαχοῦ φησι "μίμνον ἐπερχόμενον μέγαν Ἄσιον οὐδὲ φέβοντο" (Il. 12. 136).

AB – 390. βλωθρή] εὐα⟨υ⟩ξῆ, τινὲς δὲ ἁπαλὴν κατὰ Ἀρκάδας, οἱ δὲ ὑψηλὴν κατὰ Βοιωτούς, ἢ φλοιοβαρῆ κατὰ Μάγνητας, ἢ τραχεῖαν κατὰ Δρύοπας, ἢ ηὐξημένη⟨ν⟩ κατὰ Τυρρηνούς, ἢ σκληρά⟨ν⟩ κατὰ Καρυστίους. ἄκρως γὰρ διὰ τῶν ἐπιθέτων τὰ ἰδιώματα παρίστησι, "δρυσὶν ὑψικόμοισιν" (Od. 9. 186), "ἰτέαι ὠλεσίκαρποι" (Od. 10. 510), ἐλαίης ταννήκεος ὄζοι, "⟨αἰγείρων⟩ ὑδατοτρεφέων" (Od. 17. 208), "τανύφλοιόν τε κράνειαν" (Il. 16. 767).

1. οὖν post φ. omisi ‖ 2, 3. ποιήσομεν ‖ 4. ὀξύνεται B ‖ 6. κατὰ κρ. ὑ.: corr. W; κατὰ κρατερὴν ὑσμίνην textus; διὰ κρατερὴν ὑσμίνην A in textu ‖ 7. τὸ B: τῷ ‖ 8. ὁμοιότροπον B: ὅμοιον τρόπον ‖ 9. ἦλθ' ἐπαμύντωρ textus ‖ δὲ ἐπ' ἀμύντωρ ‖ 10. ὤμων textus: ὦμον ‖ 13, 18, 19. supplevi ex B ‖ 22. ἀχελωίς Eust.: ἀχερωίς ‖ 28. δρύωπας ‖ 31. ἐλαίης ταννήκεος ὄζοι confusum ex Od. 23. 190 "θάμνος τανύφυλλος ἐλαίης" et Il. 16. 768 "ἔβαλον ταννήκεας ὄζους" vidit W ‖ supplevi ex A

Digitized by Google

οὔρεσι τέκτονες] Νικίας ὑφ' ἓν "οὐρεσιτέκτονες·" ⟨οὐκ εὖ⟩· ἔδει γὰρ καὶ τὸ "οὔρεσι βουκόλοι" (571) συνάπτειν. ἄλλως τε ἔσονται οἱ ὄρη κατασκευάζοντες. δύο οὖν μέρη λόγου ἐστί, καὶ λείπει τὸ οὖσαν, 'οὔρεσιν οὖσαν,' ὡς τὸ "ἣν τ' ἐν ὄρεσ⟨σ⟩ι χαλκίδα κικλήσκουσι θεοί" (Il. 14. 290). AB—

391. * νεήκεσι] ὡς εὐμήκεσιν· ἐχρῆν δὲ ὡς εὐγενέσιν. A + B—

392. * διὰ τούτων τὴν περὶ τὸ ἅρ⟨μα⟩ ματαίαν αὐτοῦ σπουδὴν ἐμφανίζει. B=

393. βεβρυχώς] ἐναργῶς δείκνυσιν εἴδωλον ἥρωος ἐν αὐτῷ τῷ θυμῷ τὴν ψυχὴν ἀφιέντος καὶ ἀπρὶξ τῆς γῆς δεδραγμένου. τινὲς δὲ ἓν ἐξ ἀμφοῖν· ⟨ἐν⟩ τῷ βρυχᾶν γάρ φασι τοῖς ὀδοῦσιν ἐδράττετο τῆς γῆς. A~ B=

§. τὸ δὲ "αἱματοέσσης" μερικῶς ἀκουστέον, οἷον τῆς δι' αὐτοῦ αἱματοέσσης· καὶ γὰρ ἔμφασις δεδράχθαι αὐτὸν κόνεως πεφυρμένης ὑπ' αὐτοῦ. B=

394. ⟨ἐκ δέ οἱ ἡνίοχος⟩ πλήγη φρένας] ἐξεπλάγη δὲ τὰς φρένας ὁ ἡνίοχος αὐτοῦ ὡς ἐπί τινι παραδόξῳ· εἰκὸς γὰρ καὶ τὸν Ἀσίου ἡνίοχον ἀλαζόνα τινὰ καὶ ἀνόητον εἶναι, ἀκαταμάχητον τὸν δεσπότην οἰόμενον, εἶτα ἐπὶ τῷ παραδόξῳ πτώματι ἐκπεπληγμένον. B=

395. ἀλύξας] στρέψας. "στρέψαι" (396) ἀλύξαι. §. πιθανὸν δὲ τὸ πλάσμα ⟨εἰς⟩ τὸ ἀλῶναι καὶ τοὺς ἵππους· ἐπεὶ γὰρ φθάνει συστήσας αὐτούς, οὐκ ἦν πιθανὸν ἐκ τοῦ εὐχεροῦς ἁλίσκεσθαι ὑπὸ τῶν πολεμίων. διὰ τὴν ἔκπληξιν οὖν τοῦ ἡνιόχου πιθανῶς τὸ τοιοῦτο πράττεται. B=

399. * ὅ γ' ἀσθμαίνων] χωρὶς τοῦ "⟨γ⟩ε." A +

εὐεργέος] νῦν μάλιστα ἁρμόδιον τὸ ἐπίθετον ἐπὶ τοῦ Ἀσίου δίφρου· αὐτός τε γὰρ μέγας καὶ οἱ ἵπποι καλοὶ καὶ ὁ δίφρος εὐεργής.

401. * ἐξέλασε] ἐξελαθῆναι ἐποίησεν.

402. * καὶ "μάλα σχεδόν" ἐλθὼν ἀποτυγχάνει.

403. Ἀσίου ἀχνύμενος] λείπει ἡ περί, ὡς τὸ "θυμὸν ἑταίρου χώεται αἰνῶς" (Il. 20. 29). A +

407. * δινωτήν] περιφερῆ· δῖνος γὰρ ὁ τόρνος. B=

δύω κανόνε⟨σ⟩σι] οὐ γὰρ αὐτὴν ἔνδον ἐχίαζον πρὸς ἀσφάλειαν. ἡ δὲ τοῦ Σαρπηδόνος αὐτοὺς ἔξωθεν εἶχεν. ἢ ἀντὶ πορπάκων αὐτοὺς εἶχον, ὡς Αὐτόχθων.

1. suppl. W ‖ 7, 11. supplevi ex B ‖ 13. αὐτοῦ B: αὐτὸν ‖ 20. supplevi ex B ‖ 22. τοῖς πολεμίοις ‖ 24. supplevi ex A ‖ 32. αὐτὴν Eust.: αὐτῷ ‖ ἐχίαζον Eust.: ἔχρηζον

Digitized by Google

A+ κανόνε⟨σ⟩σ'] ἐκ πλήρους δεῖ γράφειν "κανόνεσσι."
B− 408. ἐάλη] συνειλήθη· ἄλλος δέ τις "πρόσσω—κατέκυψε, τὸ δ'
ἐξόπιθεν δόρυ μακρὸν οὔδει ἐνισκίμφθη" (Il. 16. 611)· ὁ δ' Ἕκτωρ
"ἀλεύατο· ἕζετο γὰρ προϊδών (Il. 22. 274)· "ὃ δ' ὕπαιθα λιάσθη
Πουλυδάμας" (Il. 15. 520). τοσαύτη ἐστὶ τῷ ποιητῇ εὐπορία.
B= 409. καρφαλέον] ἐναργεστάτη ⟨ἡ⟩ ὀνομασία· τοῦ γὰρ δόρατος πλη-
γὴν μὲν οὐ ποιήσαντος διαδραμόντος δὲ ἄκρως τὸν ψόφον τῆς ἀσπίδος
B= ἐμιμήσατο. §. διὰ δὲ τοῦ "ἄυσεν" ἐλαφρὸν μὲν ἦχον, ἐπὶ πολὺ δὲ
παρατεινόμενον ἔφρασε, τοῦ δόρατος καὶ τὴν ἴτυν παρατρίψαντος.
B− 411. ἀλλ' ἔβαλε] προσυνίστησι τὸν Δηίφοβον, ἐπεὶ διάδοχος
Ἕκτορος ἔσται. ἀλλ' ὅρα πάλιν τὴν τέχνην· ἀποτυχίᾳ γὰρ τοῦ
Ἰδομενέως ἄλλον ἀναιρεῖ κατά τινα τύχην ἐπιτυχών, ὡς καὶ τὸν
Ἀμφίμαχον ἄλλο τι πράσσοντα ἀναιρεῖ (186).
B= 412. ἧπαρ] ἔβαλεν αὐτὸν εἰς τὸ ἧπαρ ὑποκάτω τῶν φρενῶν.
φρένες δὲ αἱ διεζωσμέναι τὸν ὑπὸ τῷ πνεύμονι καὶ τῇ καρδίᾳ τόπον,
ὃς καλεῖται διάφραγμα. §. ὑφ' ἧπαρ καὶ φρένας πέπληγεν.
B− 413. ἔκπαγλον] ὑβριστικῶς· "ἔκπαγλον καὶ ἀεικές" (Od. 17
B= 216). §. ἐξελέγχει δὲ ὁ ποιητὴς τὸ ἄκαιρον· οὐδὲν γὰρ μέγα διαπρα-
ξάμενος οὐδὲ ἐπιτυχὼν τοῦ προκειμένου οὐδέ τινα τῶν ἐπισήμων
ἀνελὼν κομπάζει. σαρκασμὸς δὲ ταῦτα διὰ Ἰδομενέα.
415. * εἰς Ἄιδος] Ἀττικῶς.
B= 417. Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο, Ἀντιλόχῳ ⟨δὲ μάλι-
στα⟩] ὡς τῆς λύπης κολοβούσης τὰς ὁρμάς. διὸ καὶ Ἀχιλλεὺς καμὼν
καὶ ὑπὲρ Πατρόκλου λυπούμενος οὐ κατελάμβανεν Ἕκτορα.
419. ἑταίρου] τὴν αἰτίαν ἐπιφέρει· καὶ γὰρ ἦν αὐτοῦ ἑταῖρος. §.
B= ἐκάλυψε δὲ αὐτὸν τῇ ἀσπίδι, ἵνα μὴ σκυλευθ⟨εί⟩η ὑπὸ τῶν πολεμίων.
B= 423. βαρέα στενάχοντες] ἐπὶ τῶν φερόντων. §. Ζηνόδοτος δὲ γε-
A+B= λοίως "στενάχοντα" ἐπὶ τοῦ νεκροῦ.
424. Ἰδομενεύς] τινὲς περισπῶσιν· οἱ δὲ "μένος" ἀντὶ τοῦ μένους,
ὡς "μέθυ χίλια μέτρα" (Il. 7. 471)· οἱ δὲ "μέγα ἵετο" μεγάλως
ἐπεθύμει· ἄμεινον δὲ εὐθεῖαν εἶναι, ὡς τὸ "οὐδὲ Σκάμανδρος ἔληγε
τὸ ὃν μένος" (Il. 21. 305).
B= 425. νυκτὶ καλύψαι] περιφραστικῶς ἀποκτεῖναι.

1. γράφειν τὸ κανόνεσιν ‖ 6. supplevi ex B ‖ 6, 7. πληγὴν B: πνοιὴν ‖ 11. ἀποτυχὼν coni. Bekker ‖ 13. ἀλλ' ὅτι: corr. Bekker ‖ 16. πεπληγμένη ‖ 17. ὑβριστικὸν B ‖ 25. καὶ W: οὐ ‖ 27. στενάχοντε textus ‖ 27, 28. γελοίως B: γελοῖος ‖ 32. τεὸν μένος ‖ 33. ἀναιρῆσαι B

Digitized by Google

426. *ἀμύνων λοιγὸν Ἀχαιοῖς*] Ἑλληνικὸν τὸ φρόνημα τὸ ὑπὲρ B= φίλων ἑτοίμως ἔχον πεσεῖν. §. "δουπῆσαι" δὲ τὸ ἐν πολέμῳ πεσεῖν· B− ὅταν δὲ εἴπῃ "δεδουπότος Οἰδιπόδαο" (Il. 23. 679), ὡς κατακρημνίσαντος ἑαυτὸν ἐπὶ ταῖς συμφοραῖς.

428. *ἥρω' Ἀλκάθοον*] "ἥρων" τινὲς Ἀττικῶς· "ἀλλ' εἰς ἥρων τι παρήμαρτον" Ἀριστοφάνης (fr. inc. 692 K.).

⟨*ἥρω' Ἀλκάθοον,*⟩ *γαμβρὸς δ' ἦν*] ὑπὲρ ποικιλίας ἐξήλλαξε τὴν B= ἀπαγγελίαν, οὐκ ἐπιμείνας ἐπὶ τῆς αἰτιατικῆς.

429. *Ἱπποδάμειαν*] ἐξ Ἐριώπιδος· αὕτη γὰρ γυνὴ Ἀγχίσου.

* ὁ "δέ" ἀντὶ τοῦ γάρ.

430. *τὴν περὶ κῆρι φίλησεν*] καὶ ταῦτα εἰς σύστασιν τοῦ Ἀλκα- B= θόου, ὅτι δι' ἀρετὴν τῆς ἀρίστης ἔτυχε γυναικός. ἔχει δέ τι παιδευτικὸν ὁ λόγος, ὅτι καὶ τοῖς γονεῦσι πρὸς τοὺς παῖδας εὔνοια πλείων γίνεται δι' ἀρετήν, οὐ διὰ τὴν φύσιν. §. τὸ δὲ "περὶ κῆρι" ὑπὲρ τὸ B= τῆς φύσεως μέτρον.

432. *τοὔνεκα ⟨καί⟩ μιν γῆμεν ἀνὴρ ὤριστος*] ποιεῖ τὰς γυναῖκας σπεύδειν πρὸς κοσμιότητα.

*ὤριστος*] τινὲς ἄλλους ὑποτάσσουσι, "πρὶν Ἀντηνορίδας τραφέμεν καὶ Πανθ⟨ό⟩ου υἷας Πριαμίδας θ', οἳ Τρωσὶ μετέπρεπον ἱπποδάμοισιν, ἕως ἔθ' ἥβην εἶχεν, ὄφελλε δὲ κούριον ἄνθος."

* *κάλλεϊ καὶ ἔργοισιν ἰδὲ φρεσίν*] ὡς "οὐ δέμας οὐδὲ φυήν, οὔτ' ἄρ' φρένας" (Il. 1. 115).

434. *ὑπ' Ἰδομενῆι Ποσειδάων ἐδάμασσεν*] τοῦ πιθανοῦ ταῦτα B= ἔχεται, μὴ ἀπίθανος φαίνηται ὁ Ἰδομενεὺς ὑπὲρ τὴν ἡλικίαν τινὰ κατορθῶν.

435. *θέλξας ⟨ὄσσε φαεινώ⟩*] μεταβαλὼν τῆς ὀξυωπίας· καὶ ἕστηκεν B− ἀκίνητος οὐχ ὁρῶν, τρόπον τινὰ τῆς ψυχῆς νεκρῷ ἐνοικούσης τῷ σώματι· καὶ "οὐδέ με θέλξεν" (Od. 10. 318) καὶ "ὡς οὔτι πιὼν τάδε φάρμακ' ἐθέλχθης" (ib. 326). οἷον ἀπὸ τῆς προτέρας εὐτονίας μετεβλήθη.

* *ὄσσε φαεινά*] οὐδετέρως· καὶ ἀλλαχοῦ "τὼ δέ οἱ ὄσσε παρ ποσὶν αἱματόεντα" (617).

437. * *στήλην*] παρὰ τὴν στάσιν ὠνόμασται. B+

438. *στῆθος μέσον*] ἐδίδαξε ποῦ κεῖται ἡ καρδία, ὡς καὶ Εὐδήμῳ δοκεῖ. B=

2. ἔχον W: ἔχειν ut B ‖ 20. κούριον Eust.: οὔριον ‖ 24. ἔχεται ὡς ἂν μὴ coni. W, ἐχέτωσαν μὴ ‖ φαίνοιτο ‖ μή πως ἀπιστοῖτο B ‖ 26. supra μεταβαλὼν add. sec. ἀπὸ τοῦ εἰς ὃ θέλεις ἄγειν ‖ 27. νεκρῷ B: νεκρῶς ‖ 29. προτέρας scripsi, πρὸ τοῦ coni. W: πρὶν B, πρώτης ‖ 30. φαεινώ textus



Digitized by Google

B= 439. *ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα] περιέρρηξε δὲ αὐτοῦ τὸν χιτῶνα.

B= 441. αὖον] ἀντὶ τοῦ ὀξύ· καὶ ἔστιν ἀκοῦσαι σχιζομένου θώρακος ψόφον. §. "ἐρεικόμενος" δὲ ῥησσόμενος· ὅθεν ἐρειγμός καὶ ἐρεικτόν. "ἧψε κατερεικτῶν χύτρας" (Aristoph. Ran. 505). §. δασυντέον δὲ
A+ τὸ "αὖον."

B− 443. οὐρίαχον] τὴν ἐπιδορατίδα· εἰσὶν οἳ τὴν οὐράν. §. ἔδειξε δὲ
B= ὁρμῶντα προσωτέρω τὸν σίδηρον καὶ ἀνακρουόμενον τῷ παλμῷ τῆς καρδίας καὶ δηλοῖ ὡς μετὰ θάνατον τοῦ παντὸς σώματος ἔτι ζῇ ἡ καρδία.

B= 444. ἀφίει μένος] τὴν εἰς τοὔμπροσθεν ὁρμὴν ὁ σίδηρος ἵστη, μὴ συγχωρούμενος ὑπὸ τῆς καρδίας. οἱ δέ, τὴν ψυχὴν ἀφιέναι τὸ μένος ἐποίει.

A−B= 446. ἄρα δή τι εἴσκομεν] ὄντως ἄρα δή τι νομίζομεν ἄξιον εἶναι τὸ τοὺς τρεῖς τούτους ἀνθ' ἑνὸς ἀνῃρῆσθαι, ἐφ' ᾧ σὺ μάτην πεφιλοτίμησο. ἢ οὕτως, ἆρα ἴσον ὀφείλομεν στοχάζεσθαι τὸ τρεῖς ἀνθ' ἑνὸς πεφονεῦσθαι, ἢ δῆλον ὅτι πολλῷ μεῖζον καὶ τριπλάσιον;
A= §. Ζηνόδοτος δὲ "δή τι" χωρὶς τοῦ σ̄ γράφει.

A− 449. ὄφρα ἴδῃς] οὕτω Ζηνόδοτος· Ἀρίσταρχος δὲ "ἴδῃ" διὰ τοῦ ι.

*γόνος] ἀπόγονος.

450. ὃς πρῶτον Μίνωα τέκε] πρὸς κατάπληξιν τοῦ πολεμίου λεγόμενον καὶ ἡμᾶς εὐκαίρως ἐδίδαξεν. §. τὸ δὲ "ἐπίουρον" οἱ μὲν ὡς
A+B− ἐπίσκοπον, οἱ δὲ ἀναστρέφουσι τὴν "ἐπί," οἱ δὲ παρέλκειν αὐτὴν οἴονται. ἄμεινον δὲ τὸ πρῶτον. οἱ δέ, ὅτι περισσὴ ἡ "ἐπί," ὡς "ἐπιβουκόλος ἀνήρ" (Od. 3. 422).

451. *Δευκαλίωνα] ἐκ Πασιφάης.

AB= 452. Δευκαλίων δ' ἐμὲ τίκτε] "ἐμέ·" ὀρθοτονητέον τὴν ἀντωνυ-
B= μίαν· ἔστι γὰρ ἀντιδιασταλτική. §. τίκτειν δὲ τὸ κτίζειν. §. οἱ δὲ "ἔμ' ἔτικτε."

πολέσσ' ἄνδρεσσιν] εἶπε γὰρ "ἐν δ' ἄνθρωποι πολλοὶ ἀπειρέσιοι" (Od. 19. 172).

AB= 456. *ἑταρίσσαιτο] συνεργὸν καλέσαιτο.

B− 458. δοάσσατο] τοῦ δοκῶ παραγωγόν ἐστι δοκάσατο καὶ ἀποβολῇ

4. κατ' ἐρεικτῶν χεῖρας: corr. Bekker ex Ar. codd. ‖ 6. ἐπιδ. οἵτιν' οἱ ‖ 10. σίδ. ἠφίει B ‖ 13. τις ἑ. ‖ 14. πεφιλοτίμησο B: ἐφιλοτιμήσω ‖ 17. Ἀρίσταρχος pro Z. A ‖ 18, 19. χωρὶς τοῦ σ̄ A ‖ 22. ὡς post δὲ omisi ut B ‖ 23, 24. βούλονται B ‖ 32. καλέοιτο B, καλέσοιτο

Digitized by Google

τοῦ κ δοάσατο, ὡς "ῥάδαλον ⟨δον⟩ακῆα" (Π. 18. 576) ἀντὶ τοῦ κράδαλον, εὐκράδαντον.

460. ἐπεμήνιε] ἐμέμφετο· "ὁ ξεῖνος δ' εἴπερ μάλα μηνίει, ἄλγιον αὐτῷ" (Od. 17. 14)· "ἀλλ' ἀπομηνίσει" (Od. 16. 378). B–

461. οὔτι τίεσκεν] ἢ ὡς τῆς μητρὸς ἐκμηνάσης Ἀλέξανδρον, ἢ ὡς τιμωμένου ὑπὸ τῶν Τρώων· φησὶ γὰρ "Αἰνείαν θ', ὃς Τρωσὶ θεὸς ὣς τίετο δήμῳ" (Π. 11. 58)· οἱ δὲ ὅτι πολίτῃ τὴν ἀδελφὴν δέδωκεν Ἀλκάθῳ· καὶ γὰρ ἐγνωκὼς τὸν χρησμὸν (Π. 20. 307) οὐκ ἂν Αἰνείας ὑπερήσπισεν Ἕκτορος, οὐ Κύπρις Ἀνδρομάχῃ παρέσχε τὴν ἄμπυκα (Π. 22. 470), οὐ τὸ σῶμα ἐφύλαξεν Ἕκτορος (Π. 23. 185). B–

* ἢ 'ἐόντα μετ' ἀνδράσιν' ἢ 'μετ' ἀνδράσι τίεσκεν.' A=

464. γαμβρῷ] ἀδελφῆς ἀνδρί. "οἷος, σὺ⟨ν⟩ γαμβροῖσι κασιγνήτοισί τε σοῖσ⟨ιν⟩" (Π. 5. 474). B=

εἴπερ τίς σε κῆδος] κηδεία τοῦ νεκροῦ. §. τὸ δὲ "ἐπαμύνομεν" τινὲς "ἐπαμυνέμεν·" ὑγιέστερον δὲ τὸ καὶ ἑαυτὸν συναριθμεῖν τῇ ἐπικουρίᾳ πρὸς τὴν ἐκείνου αἰδῶ. B=

466. * τυτθόν] ἡ λέξις Θετταλῶν.

468. ⟨θυμὸν ἐνὶ⟩ στήθεσσιν ὄρινεν] τῶν γὰρ παλμῶν αἰτία ἡ θέρμη τοῦ περὶ καρδίαν αἵματος. B=

469. βῆ δὲ μετ' Ἰδομενῆα μέγα πολέμοιο μεμηλώς] ἡ τοῦ φίλου συμφορὰ ἀμαυροῖ τὴν ἐπὶ τῷ ἐχθρῷ μῆνιν. B=

470. φόβος λάβε] καὶ πῶς αὐτός φησι "δείδια δ' αἰνῶς Αἰνείαν ἐπιόντα" (481); ἢ φόβον τὴν φυγήν φησιν· ἐπάγει γοῦν "ἀλλ' ἔμεν', ὡς ὅτε τις σῦς" (471).

τηλύγετον ὥς] ἤτοι μεμονωμένον ἢ γέροντ⟨α⟩ ἢ τηλοῦ τῆς ἡλικίας ἐλθόντα· ἢ ὁ τέλος τῆς γενέσεως ἔχων, μεθ' ὃν ἄλλος οὐκ ἐτέχθη τῷ πατρί, ὡς Ὀρέστης καὶ Ἑρμιόνη· οἱ τοιοῦτοι δὲ ὡς ἐπίπαν δειλοί, ὑγρᾷ ἀνατρεφόμενοι διαίτῃ· οἱ δὲ ἀγαπητὸν διὰ τὸ τοῖς φίλοις ἀρήγειν. A–

471. ἀλκὶ πεποιθώς] ἀπὸ τῆς ἀλξ καὶ ἄλξω καὶ ἄλξις καὶ ἔπαλξις. B–
§. ὡς μεσαιπόλιος δὲ καὶ δυσκίνητος οὐκ εἰκάζεται λέοντι ἀλλὰ τῷ δευτερεύοντι καὶ λοχῶντι τοὺς ἐπιόντας. §. κολοσυρτός δὲ ὁ μετὰ B–

3. ἐπεμέμφετο B ‖ 5. τῆς μητρὸς ἐκμηνάσης Ἀλέξανδρον Eust.: τῆς ῥέας μηνισάσης Ἀλεξάνδρῳ ‖ 6. Αἰνείας ὃς ‖ 8. καὶ W, εἰ coni. Bekker: δεῖ ‖ 10. ἐφύλασσεν ‖ 15. ἐπαμυνέμεν Nauck: ἐπαμῦναι ‖ 18. αἰτία ἡ B: ἠτία pr., ἡ αἰτία sec. ‖ 21. πρὸς τὸν ἐχθρὸν B ‖ 22. supra φησὶ add. sec. κάτωθεν ‖ 28. ἀναστρεφόμενοι



Digitized by Google

κολφοῦ ἐπισυρμός. ἢ ὁ μέγας θόρυβος· κόλον γὰρ τὸ μέγα, καὶ κολόκυμα· καὶ ὁ μεγάλην ἀφὴν ἔχων κόλαφος καλεῖται.

473. * χώρῳ ἐν οἰοπόλῳ] ὁ γὰρ μονιὸς ἀλκιμώτερος.

474. πυρὶ λάμπετον] ὡς πυρί, ἢ ὑπὸ πυρός· καὶ ἀλλαχοῦ δέ φησι "πῦρ δ' ὀφθαλμοῖσι δεδ[ο]ρκ[ώς]" (Od. 19. 446).

475. ἀλέξασθαι] ἀμύν[ασθαι]. §. ἐναργῶς δὲ τὰ συμβαίνοντα περὶ αὐτ[ὸν] συνεκτίθεται, ὥσ⟨τε⟩ μηδὲ χρείαν ἔχειν τοῦ ὀνόματος τούτου.

B= 477. αὖε δ' ἑταίρους] τὸ μὲν μεῖναι γενναίου, [τὸ] δὲ [καλεῖν] τοὺς ἑταίρους ἀσφαλοῦς. §. καὶ τὸ "ἐσορῶν" πραγματικῶς πρόσκειται
B– ὑπὸ τοῦ ποιητοῦ· προδιδόντος γὰρ ἑαυτὸν τὸ τὴν παροῦσαν συμμαχίαν μὴ προσκαλεῖσθαι· οὐχ ὡς Δηίφοβος οὖν (457) [συμμαχίας δὲ βάσανος] καταλείπει τὴν τάξιν.

480. * ἐν πολλοῖς οὐ φέρεται.

481. καί μ' οἴῳ] ἡ συναλ⟨ο⟩ιφὴ ὡς "ἦ μ' οἴῳ ἔρροντι συνήντετο νόσφιν" (Od. 4. 367).

B= καί μ' οἴῳ ⟨ἀμύνετε· δείδια δ' αἰνῶς⟩] ἀντὶ τοῦ μονωθέντι. §. ὁ δὲ
B= "δέ" ἀντὶ τοῦ γάρ· δείδια γάρ.

B= 484. ἥβης ἄνθος] τινὲς κε' ἐτῶν, οἱ δὲ μ', ἐπεί φησιν Ἡσίοδος "τοῖς ⟨δ'⟩ ἅμα τεσσαρακονταέτης αἰζηὸς ἕποιτο" (Opp. 441). τὴν δὲ ἥβην καὶ ἐπὶ κτηνῶν Ἡσίοδος, "ἥβης μέτρον ἔχοντε" (ib. 438), ὁ δὲ ποιητὴς ἐπὶ φυτοῦ, "ἡμερὶς ἡβώωσα" (Od. 5. 69).

B= ὅτε κράτος ἐστί] ἐὰν μὲν ⟨ᾖ⟩ χρονικὸν τὸ "ὅτε," ἔσται ἡ διάνοια οὕτως, ὅτε περὶ ἕκαστον ἄνδρα ἡ οἰκεία ἰσχὺς ἀκμάζει· ἐὰν δὲ ᾖ δύο μέρη λόγου, οὕτως, ὅ ἐστιν ἀνδρὶ κράτος μέγιστον, τὸ ἐν τῷ ἀκμαιοτάτῳ τῆς ἡλικίας ὑπάρχειν.

ὅτε κράτος] εὐτολμία, εὐρωστία. τινὲς δέ, ὅτε—ἐν τῷ ἀνθεῖν δηλονότι—κράτος ἀνδρὶ μέγιστον.

485. * ὁμηλικίῃ] τινὲς καὶ χωρὶς τοῦ ι.

B=A+ τῷδ' ἐπὶ θυμῷ] ἐφ' ᾧ νῦν ἐγώ εἰμι. §. αἱ δὲ Ἀριστάρχου "τῷ δ' ἐπί."

B+ 486. * φέροιτο μέγα κράτος] λείπει τὸ κατ' ἐμοῦ.

B= 489. * ἐκέκλετο οἷς ἑτάροισι] καίτοι νέος ὢν οὐχ ὑπομένει τοῦτον.

B= 490. Δηίφοβόν τε] ἄκρως ἐξήλεγξεν ὁ ποιητὴς τὸν Δηίφοβον·

10. τὸ τὴν B: τῷ || 11, 12. 'σ. δὲ β. aliunde invecta' W || 14. εἶ μ' || 16, 17. iteratur *ὁ "δέ" ἀντὶ τοῦ γάρ || 19. αἰζηὸς ἕοι B || 20. ἥβης μέτρον ἔχοντε B: μέτρον ἥβης ἔχοντες || 21. φυτῶν B || 22. supplevi ex B || 23. ὅτε B: τι || ἀκμάζει B: εἰκάζει || 28. Ζηνόδοτος δὲ "ὁμηλικίην" σὺν τῷ ν̄ A, ubi "ὁμηλικίῃ" σὺν τῷ ῑ coni. Cobet || 29. ἐπὶ θ. B: ἐνὶ

Digitized by Google

κοινωνὸν γὰρ τῆς μάχης τὸν Αἰνείαν προσλαβὼν νῦν αὐτὸς ἀφεστηκὼς φαίνεται.

492. ⟨ὡς εἴ τε μετὰ κτίλον⟩ ἕσπετο μῆλα] ἀθινὰ γὰρ τὰ πρόβατα καὶ μάλιστα ὅτε ἐπὶ ποτὸν πρόεισιν· τινὲς δὲ "κτίλον" τὸν ποιμένα.

493. πιόμεν' ἐκ βοτάνης] "κατήιεν ἐκ νομοῦ ὕλης πιόμενος" (Od. 10. 159)· φιλοδο⟨ξό⟩τερός πως οὗτος· εἰ γὰρ μὴ τοιοῦτος ἦν, οὐκ ἂν τὴν κατὰ Πριάμου λύπην ἐκοινοποιεῖτο τοῖς Τρωσίν.

γάνυται] χαίρει· μάλιστα γὰρ αὐτὰ πιαίνει ποτόν, δοκεῖ τε B— μᾶλλον ὑγιαίνειν τὰ ζῷα ὅταν ὀρέγηται ποτοῦ· ὅθεν θέρους τοῖς ρ' μέδιμνον ἁλὸς οἱ ποιμένες βάλλουσι διὰ πέντε ἡμερῶν. πῶς δὲ τοὺς τοσούτους ἡγεμόνας ἐνὶ κτίλῳ εἴκασεν; ὅτι ἡγεμονικώτατος ἦν ὁ Αἰνείας.

496. * αὐτοσχεδόν] ὡς συστάδην ἀγωνιούμενοι. A+

497. ξυστοῖσι] λείπει δόρασιν, ὡς ὅταν λέγωμεν 'ἐν τῇ διπλῇ,' λείποντος τοῦ στοᾷ.

499. ἔξοχον ἄλλων] αἱ πᾶσαι "ἔξοχον." §. οἱ δὲ "ἔξοχοι ἄλλων·" A= οἱ δὲ "ἔξοχον ἄλλων," ἐξόχως παρὰ πάντας.

502. * πρόσθεν ἀκόντισεν Ἰδομενῆος] Ἀριστοφάνης "πρόσθεν." A+ §. ὡς τὸ "ὀίστευσον Μενελάου" (Il. 4. 100).

ἀκόντισεν Ἰδομενῆος] ⟨πῶς ἀκοντίζει;⟩ ὑποκεχωρήκει γὰρ Ἰδο- B= μενεὺς ὡς πόρρωθεν ἀγωνιούμενος.

506. Ἰδομενεὺς δ' ἄρα Οἰνόμαον] θαυμασίως ἀμφοτέρους μὲν ἀπο- B= τυγχάνοντας ἀλλήλων εἰσήγαγεν, ἀλλὰ τὸν μὲν καθάπαξ μάτην ἀφιέντα τὸ δόρυ ἐπὶ τὴν γῆν, τὸν δὲ τοῦ μὲν Αἰνείου ἀποτυγχάνοντα ἄλλον δέ τινα ἀναιροῦντα. τὸ δὲ ἐξαίρετον ἐνταῦθα παραφυλακτέον, ὅτι κατὰ τὸ ῥητὸν οὐκ εἶπεν ὁ ποιητὴς τὴν ἄφεσιν τὴν ἀπὸ τοῦ Ἰδομενέως καὶ τὴν ἀποτυχίαν, ἀλλ' ἁπλῶς ἔφη βεβλῆσθαι τὸν Οἰνόμαον· καίτοι τοῦτο οὐκ ἦν προκείμενον τῷ Ἰδομενεῖ, ἀλλ' ἀποτυχίᾳ τοῦ Αἰνείου τοῦτον βάλλει· ὃ δὲ ὡς προηγουμένως τούτου κατεστοχασμένου πεποίηται τὸν λόγον.

* γαστέρα] λείπει ἡ κατά, κατὰ γαστέρα.

507. θώρηκος γύαλον] τὸ κύτος· περιφραστικῶς δὲ θέλει εἰπεῖν B— τὸν θώρακα.

1, 2. ἐφεστηκὼς cf. B ‖ 6. suppl. sec. ‖ 9. τοῖς Eust.: τοὺς ‖ 17. ἄλλων Spitzner: ἄλλως ‖ 20. supplevi ex B ‖ 24. τὸν δὲ B: τοῦ δὲ ‖ 28. οὐ τοῦτο προκείμενον B: οὗτος οὐκ ἦν προκείμενος ‖ 29, 30. προηγουμένως τ. κατεστοχασμένου B: προηγουμένου τ. καταστοχασαμένου

Digitized by Google

B= διὰ δ' ἔντερα χαλκὸς ἤφυσε] διέτεμεν, ὥστε διαιρεῖσθαι τὴν σύμφυσιν· διὰ γὰρ τὴν ὑγρότητα καὶ ⟨διὰ⟩ τὸ ἀεὶ ἐν τῇ εὐρυχωρίᾳ πνεῦμα ἔχειν καὶ διὰ τὸ τῷ μεσεντερίῳ λαγαρῶς προσδεδέσθαι ἄτακτον ἔχοντα τὴν κίνησιν ῥᾳδίως προπίπτειν πέφυκεν.

508. * ἀγοστῷ] πήχει.

A+ 510. οὐδ' ἄρ' ἔτ' ἄλλα] τινὲς "οὐδ' ἄρα τἆλλα" κατὰ κρᾶσιν, κακῶς. τινὲς δὲ "ἔτ' ἄλλο·" καὶ ἄμεινον.

ἐπείγετο γὰρ βελέεσσι] κατεσπεύδετο γὰρ ὑπὸ τῶν βελῶν. §.

B= "ἔμπεδα" δὲ τὰ μὴ σαλευόμενα ὑπὸ δειλίας.

B− 513. οὔτ' ἄρ' ἐπαΐξαι] οὔτε ὁρμῆσαι ἐπὶ τὸ ἴδιον βέλος. τοῦτο δὲ καθολικώτερον εἶπε διὰ τὴν ἡλικίαν, ἐπεί τοι καὶ τοῦ Οἰνομάου (511) ἐξέσπασε τὸ δόρυ καὶ τοῦ Ὀθρυονέως (372 sqq.) τῷ τε Ἄρει αὐτὸν εἰκάζει (500). §. τινὲς δὲ ὑφ' ἓν γράφουσι "μεθεόν" τὸ ἀφεθέν. ἢ ὅτι μετὰ τὸ λαβεῖν τὸ ἴδιον ἔγχος δειλὸς οὐκ ἦν, αὐτῷ ἐνὸν ἐγκλῖναι καὶ φυγαδείαν ἀσπάσασθαι, ἀλλὰ παρὰ πόδα ὑπεχώρει μαχόμενος· διὸ καὶ "βάδην" (516) εἶπεν.

B= 514. καὶ ἐν σταδίῃ μὲν ἀμύνετο—τρέσσαι δ' οὐκέτι] εἰκότως οὖν καὶ ἔμπροσθεν συῒ αὐτὸν εἴκασε, τῷ δι' ὑπομονῆς ἑδραίας οὐ δι' εὐκινησίας ἀμυνομένῳ τοὺς ἐπιόντας. §. τὸ δὲ "βάδην" (516) ἀντὶ τοῦ ὑπὸ πόδα.

516. ἀκόντισε Δηίφοβος] ὡς ἀντεραστὴς Ἑλένης, ὡς μαρτυρεῖ Ἴβυκος (fr. 34[b] B.) καὶ Σιμωνίδης (fr. 208 B.). ἀλλ' οὔτε ἦρα "μεσαιπόλιος" (361), οὔτε τὸ παρὰ Ἰβύκῳ ἀληθές· ἀλλὰ διὰ τοὺς πεσόντας. §. τὸ δὲ "αἰεί" καὶ ἐπὶ τοῦ ἐλαχίστου χρόνου τίθεται, ὡς "αἰεὶ δ' ἡνίοχον" (Il. 23. 502). §. κότος (517) δὲ οὐκ ἐπὶ τοῦ ἀποκειμένου χόλου. §. οὗτος δέ ἐστιν ὁ ἐπὶ τῷ Ἰδομενεῖ πάντας συναγαγών. ἀλλ' οὔτε Αἰνείας οὔτε αὐτὸς ἐπέτυχεν.

517. * ἔχεν κότον ἐμμενὲς αἰεί] οὐκ ἀποκείμενον.

518. ὁ δ' Ἀσκάλαφον] τὸν Ἀσκάλαφον καὶ τὸν Ἰάλμενον Ἄρεος λέγων παῖδας οὐδὲν περὶ αὐτῶν φησι, κωμῳδῶν τοὺς δίχα ἀρετῆς ἐπὶ γένει σεμνυνομένους. B= §. Ἀσκάλαφος δὲ παρὰ τὸ ἀσκελὲς τῆς ἀφῆς, ὁ λίαν σκληρός.

B− 521. βριήπυος] παρεξηλλαγμένον ἐστὶ τοῦ βοὴν ἀγαθός, ὡς ποδάρκης καὶ ποδήνεμος. ἢ διὰ τοὺς βρυγμοὺς τῶν πολεμίων.

1. διῃρῆσθαι ut B ‖ 2. supplevi ex B ‖ 3, 4. προσδεδέσθαι B: προσδεδέχθαι ‖ 6. τἆλλα κ. ‖ 7. ἔτι A: εἶ τι ‖ 12. Ἄρηι ‖ 14. δειλὸς scripsi, δέος coni. W: δὲ; delet Bekker ‖ ἐνὸν delet Bekker ‖ 17. ἀμύνετον ‖ 25. ὄχλου: corr. Bekker ‖ 30. ἀσκαλὲς Et. M. ‖ 33. βρυγμοὺς B: ὀρυμαγδοὺς

Digitized by Google

§. "οὐδ' ἄρα πώ τι πέπυστο" (521) δὲ εἶπεν, ἐπειδὴ ἀνθρω⟨πο⟩παθεῖς οἱ Ὁμηρικοὶ θεοί, ἢ οὐ προσέσχηκεν· ἐπεισόδιον δὲ καινὸν ἑαυτῷ προμνηστεύεται· οἷος γὰρ ἔσται Ἄρης ὁπλιζόμενος ἐπὶ τοὺς αὐθέντας τοῦ παιδός, δηλαδὴ ἐπὶ τοὺς ἑαυτῷ φίλους Τρῶας. A-B–

523. ⟨ἄκρῳ Ὀλύμπῳ⟩ ὑπὸ χρυσέοισι νέφεσσιν ⟨ἧστο⟩—ἐεργόμενοι ⟨πολέμοιο⟩] ὅ ἐστι, ταῖς πύλαις τοῦ Ὀλύμπου. ἢ ἀντὶ τοῦ 'εἰς τὰ αἰθέρια νέφη,' ἅπερ τῷ πλησιάζειν αὐτοῦ χρυσίζει.

527. Δηίφοβος μὲν—πήληκα ⟨φαεινὴν ἥρπασε⟩] ὡς ἐπὶ τὸ πολὺ σκυλεύοντες εὑρίσκονται οἱ Ἕλληνες. ἐνταῦθα δὲ ὁ Δηίφοβος ὥσπερ κλοπῇ κέχρηται καὶ ὀξυλαβ⟨ε⟩ίᾳ. καὶ ὅρα τὸ ῥῆμα. οὐ γὰρ ἐσκύλευσεν, ἔφη, ἀλλ' "ἥρπασε" τὴν πήληκα. πλὴν οὐδὲ οὕτως ἀποφέρεται τὸ σκῦλον, ἀλλὰ τρωθεὶς ἀφίησιν αὐτό. B=

* πήληκα] παρὰ τὸ πάλλεσθαι.

529. βραχίονα] Κομανὸς θηλυκῶς φησι τὴν βραχίονα, ἵνα ἀκούωμεν τὴν χεῖρα.

532. πρυμνοῖο βραχίονος] ἄκρου, τοῦ πρὸς τὸν ὦμον, ὡς "νείαιραν—γαστέρα" (Π. 16. 465) καὶ "ἁπαλοῖο ⟨δι'⟩ αὐχένος" (Π. 17. 49), ἔνθα μάλιστα ἁπαλός ἐστιν ὁ αὐχήν. B=

533. τὸν δὲ Πολίτης] οὐκ ἄσημος· "βοὴν ἀγαθόν τε Πολίτην" (Π. 24. 250)· "υἱεῖ Πριάμοιο Πολίτῃ" (Π. 2. 791). ἦν δὲ ἐξ Ἑκάβης. §. τὸ δὲ "τιτῆνας" (534) ἀντὶ τοῦ περιλαβὼν ταῖς χερσίν, ἐκ τοῦ τιταίνω.

536. ⟨μάχης ἠδὲ πτολέμοιο⟩] τῶν μαχομένων καὶ πολεμούντων. πολλὰς δὲ τροπὰς τῆς μάχης λαμβανούσης ἐμποδισθέντες ἀπηνέχθησαν εἴς τινα τόπον. B=

541. * ἔνθ' Αἰνέας] ὡς Ἑρμέας· οὕτως Ἀρίσταρχος. AB+

* Ἀφαρῆα Καλητορίδην] Νέστορος οὗτος ἀδελφός.

542. ἐπὶ οἷ] ὀρθοτονητέον τὴν οι· ἀντὶ γὰρ συνθέτου παραλαμβάνεται. A=

543. ἑάφθη] ἐπηκολούθησε, παρὰ τὸ ἕπω τὸ δηλοῦν τὸ ἀκολουθῶ εἵφθη "ἑάφθη." A+B–

ἄλλως: ἑάφθη] δασυντέον· παρὰ γὰρ τὸ ἅπτω ἀόριστος ἥφθη, κατὰ πρόσοδον τοῦ ε "ἑάφθη." A+B–

1. supplevi ex B ‖ 2. προσέσχηκεν W: προσέστησεν ‖ κενὸν: corr. Bekker ‖ 2, 3. ἑαυτῷ Bekker: ἑαυτῶν ‖ 3. οἷον Bekker ‖ 4. ἑαυτῶν ‖ 6. ἀντὶ τοῦ scripsi: ἄλλα ‖ 7. αὐτῷ ‖ 16. ὦμον ὡς B: ἐμμόνως ‖ νεαίρην ‖ 23. lemma ἐξῆγεν πολέμοιο (536) del. et suppl. W ‖ 24. ἐμποδισθέντες B: ἐμποδίζοντες ‖ 26. Αἰνείας textus

544. *θυμοραϊστής] τὸ ῥαῖσαι πολλάκις καὶ ἐπὶ τοῦ ἀφελέσθαι τίθεται.*

545. *'Αντίλοχος δέ] καὶ προσεκτικὸν τὸν νεανίαν εἰσάγει καὶ μετὰ ἐπιμελείας πάντα πράττοντα· τοιοῦτόν τι ἐνθάδε καὶ τὸ "δοκεύσας."*

A= 546. * *ἀπὸ δέ]* Ζηνόδοτος "*διὰ δέ.*"

B= 547. *ἀνὰ νῶτα θέουσα] ἀνατομικῶς. οἶδε τὴν καλουμένην κοίλην φλέβα τὴν ἐκ δεξιῶν τῆς ῥάχεως ἀνερχομένην ἀπὸ τοῦ ἥπατος καὶ κατὰ τὸ διάφραγμα χωροῦσαν ἐπὶ τὴν καρδίαν καὶ ἀπὸ ταύτης ἐπὶ τὸν τράχηλον.*

B= 548. *ὁ δ' ὕπτιος] ὀρθῶς ἐπὶ τὴν πληγὴν ἐποίησε πίπτοντα. τῆς φλεβὸς γὰρ διακοπείσης καὶ μηδεμιᾶς ἀντισχέσεως γενομένης ἐπ' αὐτὸ τὸ ἀλγοῦν ἠνέχθη.*

549. * *χεῖρε φίλοις—πετάσσας] εἰς βοήθειαν παρακαλῶν.*

550. *αἴνυτο τεύχεα—παπταίνων] μέγα μὲν τὸ σκυλεῦσαι, μεῖζον δὲ τὸ προφυλάττεσθαι.*

551. Τρῶες *δέ] ἀντὶ τοῦ* Τρώων *δέ.* §. "*παρασταδόν*" Ζηνό-
A+ *δοτος· γράφεται δὲ καὶ "περισταδόν."*

553. *εἴσω ἐπιγράψαι τέρενα χρόα] τὸν εἴσω χρόα.* §. "*τέρενα*" *δὲ τὸν νέον, ὡς τὸ "ἀπαλόν τε σφ' ἦτορ"* (Π. 11. 105).

B− 554. Ποσειδάων *ἐνοσίχθων—ἔρυτο] ἅμα μὲν ἐπεὶ πρόγονος αὐτοῦ —ὅθεν καὶ ἐν* 'Οδυσσείᾳ (3. 43) *τούτῳ τῷ θεῷ φαίνονται θύοντες· διὸ καὶ "ἱπποσύνας" αὐτὸν ἐδίδαξεν* (Π. 23. 307)—*ἅμα δὲ ἔγκειται καὶ τὸ παιδευτικόν, ὅτι τῶν θεοφιλῶν οἱ παῖδες διασῴζονται· τί γὰρ ἐπάγει ὅτι παῖς ἦν* Νέστορος, *οὐχ ὅτι αὐτοῦ ἀπόγονος;*

555. *καὶ ἐν πολλοῖς βελέεσσιν] καὶ ἐν ταῖς ἄλλαις μάχαις· οὐ γὰρ νῦν βάλλεται ἀλλ' οὐτάζεται.* §. *τὸ ἔγχος* (557) *τὴν ἐνέργειαν αὐτοῦ δεδήλωκεν.*

558. * *σειόμενον ἐλέλικτο] ὅμοιον τῷ "ἔγχεα δὲ πτύσσοντο"* (134).

B= *τιτύσκετο] πᾶσα προσοχὴ παρὰ τούτῳ εὑρίσκεται, καίτοι νέῳ ὄντι καὶ οὐχ ὑπερέχοντι τὸ σῶμα ἀλλὰ διὰ σύνεσιν κατορθοῦντι.*

559. * *ἤ τευ ἀκοντίσσαι] τινός, ἀντὶ τοῦ τινά.*

B= 562. *ἀμενήνωσεν* ⟨*δέ οἱ αἰχμήν*⟩] *μεταφορικῶς ἀπὸ τοῦ φοροῦντος· μένος γὰρ αἰχμὴ οὐκ ἔχει.*

B= 563. *βιότοιο μεγήρας] φθονήσας* 'Αδάμαντι, *μὴ ἀφέληται τὸν βίον*

3. *προσεκτικὸν* W cf. l. 29: *προτρεπτικὸν* || 12. *αὐτὸ* B: *αὐτῷ* || 26. *τὸ ἔγχος* scripsi: *τάχιστα*; quod ad "*στρωφᾶτο*" (557) glossema esse coni. W

Digitized by Google

τοῦ Ἀντιλόχου· ἢ φθονήσας Ἀδάμαντι τοῦ βίου καὶ ποιήσας αὐτὸν ἀναιρεθῆναι. §. μεγαίρειν δὲ τὸ φθονεῖν Σαλαμίνιοι λέγουσιν.

564. σκῶλος πυρίκαυστος] σκῶλον τὸν σκόλοπα· οἱ γὰρ ἄγροι- AB= κοι ἀποξύνοντες τὰ ξύλα πυρικαυτοῦσι τὸ ἄκρον, ὅπως πιληθὲν ᾖ στερεώτερον. χρῶνται δὲ αὐτῷ ἀντὶ αἰχμῆς. ἐπεὶ οὖν καὶ τὸ δόρυ οὐ σφόδρα ἐνεργὸν εἶχε τὴν δύναμιν, ἔμεινέ φησιν ἐπὶ τοσοῦτον διελθόν, ὅσον καὶ σκῶλος περονῆσαι δύναται.

567. ἀπιόντα] προχωροῦντα, ὑποποδίζοντα· οὐ γὰρ στραφέντα· B= διὸ ἔμπροσθεν τιτρώσκεται κατὰ τὸ ἦτρον, ὃ νευρῶδες λίαν ἐστὶ καὶ ἐπώδυνον· ὅθεν οἱ διακεντοῦντες τοὺς ὑδερικοὺς οὐ κεντοῦσι κατωτέρω τοῦ ὀμφαλοῦ, διὰ τὸ γίνεσθαι σπασμούς· ἴσως δὲ ἐντροπαλιζόμενος ὑπεχώρει, ἐπεὶ οὐκ ἂν κατὰ τὴν ὀσφῦν ἐτρώθη ἀναχωρῶν.

* μετασπόμενος] ἐπιδραμών, ἐπακολουθήσας.

570. * ἑσπόμενος] συνακολουθῶν. §. τινὲς δὲ "σχόμενος" B= συνεχόμενος. AB=

571. ἤσπαιρε] τὸ σπαίρειν καὶ τὸ σκαίρειν τινὲς συγχέουσι ταὐτὸν δηλοῦν νομίζοντες, καίπερ Ὁμήρου διακρίνοντος· τὸ μὲν γὰρ σπαίρειν μετὰ τοῦ ᾱ κατὰ Ἀττικὴν συνήθειαν λέγει ἀσπαίρειν, "ἀσπαίροντα λαβών" (Od. 19. 229) καὶ "ἣ ῥα οἱ ἀσπαίρουσα καὶ οὐρίαχον πελέμιξεν" (443) καὶ ὡς ἐνταῦθα, τὸ δὲ σκαίρειν οὐκέτι μετὰ τοῦ ᾱ, "μολπῇ τ' ἰυγμῷ τε ποσὶ σκαίροντες ἕποντο" (Il. 18. 572). ἔστιν οὖν ἡ διαφορά, ὅτι τὸ μὲν σπαίρειν καὶ ἀσπαίρειν ἄμουσόν τινα δηλοῖ κίνησιν, ὃ γίνεται ἐν ἰχθύσι καὶ τῷ δεδεμένῳ κατὰ τὸν ποιητὴν βοΐ, τὸ δὲ σκαίρειν ἔμμουσον κίνησιν ὀρχηστικὴν καὶ εὔρυθμον· οἶμαι δ' ἔγωγε καὶ τῶν ἰχθύων τὸν σπάρον καὶ τὸν σκάρον κατὰ διαφόρου⟨ς⟩ ἐννοίας διαφόρως προσηγορεῦσθαι τῆς κινήσεως οὐχ ὁμοίως ἑκατέρῳ γενομένης, τῷ δὲ σκάρῳ πάντως ὀξυτέρας· ἀφ' ἧς καὶ τὴν πολύσκαρθμον Μύριναν (Il. 2. 814) προσεῖπεν ὁ ποιητὴς μίαν τῶν Ἀμαζόνων, ὥς φασι (schol. Lycophr. 243), καὶ εὐσκάρθμους ἵππους (31)· ἀπὸ δὲ τοῦ αὐτοῦ ἐν συνηθείᾳ τὸ σκιρτᾶν καὶ τὸ σκαρδαμυκτεῖν τοὺς ὀφθαλμοὺς εἴρηται.

* ἡ προσθήκη τοῦ "οὔρεσι" ἄγριον δείκνυσι τὸν ταῦρον. B=

572. * ἱλλάσιν] τοῖς ἐξ ἱμάντων σχοινίοις. B=

3. περίκαυστος ‖ 4. πυρακτοῦσι A B ‖ 5. εἴη ut A B ‖ στερρότερον A B ‖ 7. δύναται Bekker: δυνατὸν ‖ 11. προσγίνεσθαι B ‖ 12. οὐκ ἂν B: τοι κἂν ‖ 14. σχόμενος B: ἐχόμενος ‖ 23. ἰχθῦσι ‖ 26. εὐνοίας

Digitized by Google

544. θυμοραϊστής] τὸ ῥαῖσαι πολλάκις καὶ ἐπὶ τοῦ ἀφελέσθαι τίθεται.

545. Ἀντίλοχος δέ] καὶ προσεκτικὸν τὸν νεανίαν εἰσάγει καὶ μετὰ ἐπιμελείας πάντα πράττοντα· τοιοῦτόν τι ἐνθάδε καὶ τὸ "δοκεύσας."

A= 546. * ἀπὸ δέ] Ζηνόδοτος "διὰ δέ."

B= 547. ἀνὰ νῶτα θέουσα] ἀνατομικῶς. οἶδε τὴν καλουμένην κοίλην φλέβα τὴν ἐκ δεξιῶν τῆς ῥάχεως ἀνερχομένην ἀπὸ τοῦ ἥπατος καὶ κατὰ τὸ διάφραγμα χωροῦσαν ἐπὶ τὴν καρδίαν καὶ ἀπὸ ταύτης ἐπὶ τὸν τράχηλον.

B= 548. ὁ δ' ὕπτιος] ὀρθῶς ἐπὶ τὴν πληγὴν ἐποίησε πίπτοντα. τῆς φλεβὸς γὰρ διακοπείσης καὶ μηδεμιᾶς ἀντισχέσεως γενομένης ἐπ' αὐτὸ τὸ ἀλγοῦν ἠνέχθη.

549. * χεῖρε φίλοις—πετάσσας] εἰς βοήθειαν παρακαλῶν.

550. αἴνυτο τεύχεα—παπταίνων] μέγα μὲν τὸ σκυλεῦσαι, μεῖζον δὲ τὸ προφυλάττεσθαι.

551. Τρῶες δέ] ἀντὶ τοῦ Τρώων δέ. §. "παρασταδόν" Ζηνό-
A+ δοτος· γράφεται δὲ καὶ "περισταδόν."

553. εἴσω ἐπιγράψαι τέρενα χρόα] τὸν εἴσω χρόα. §. "τέρενα" δὲ τὸν νέον, ὡς τὸ "ἁπαλόν τε σφ' ἦτορ" (Π. 11. 105).

B− 554. Ποσειδάων ἐνοσίχθων—ἔρυτο] ἅμα μὲν ἐπεὶ πρόγονος αὐτοῦ —ὅθεν καὶ ἐν Ὀδυσσείᾳ (3. 43) τούτῳ τῷ θεῷ φαίνονται θύοντες· διὸ καὶ "ἱπποσύνας" αὐτὸν ἐδίδαξεν (Π. 23. 307)—ἅμα δὲ ἔγκειται καὶ τὸ παιδευτικόν, ὅτι τῶν θεοφιλῶν οἱ παῖδες διασῴζονται· τί γὰρ ἐπάγει ὅτι παῖς ἦν Νέστορος, οὐχ ὅτι αὐτοῦ ἀπόγονος;

555. καὶ ἐν πολλοῖς βελέεσσιν] καὶ ἐν ταῖς ἄλλαις μάχαις· οὐ γὰρ νῦν βάλλεται ἀλλ' οὐτάζεται. §. τὸ ἔγχος (557) τὴν ἐνέργειαν αὐτοῦ δεδήλωκεν.

558. * σειόμενον ἐλέλικτο] ὅμοιον τῷ "ἔγχεα δὲ πτύσσοντο" (134).

B= τιτύσκετο] πᾶσα προσοχὴ παρὰ τούτῳ εὑρίσκεται, καίτοι νέῳ ὄντι καὶ οὐχ ὑπερέχοντι τὸ σῶμα ἀλλὰ διὰ σύνεσιν κατορθοῦντι.

559. * ἤ τευ ἀκοντίσσαι] τινός, ἀντὶ τοῦ τινά.

B= 562. ἀμενήνωσεν ⟨δέ οἱ αἰχμήν⟩] μεταφορικῶς ἀπὸ τοῦ φοροῦντος· μένος γὰρ αἰχμὴ οὐκ ἔχει.

B= 563. βιότοιο μεγήρας] φθονήσας Ἀδάμαντι, μὴ ἀφέληται τὸν βίον

3. προσεκτικὸν W cf. l. 29: προτρεπτικὸν || 12. αὐτὸ B: αὐτῷ || 26. τὸ ἔγχος scripsi: τάχιστα; quod ad "στρωφᾶτο" (557) glossema esse coni. W

Digitized by Google

τοῦ Ἀντιλόχου· ἢ φθονήσας Ἀδάμαντι τοῦ βίου καὶ ποιήσας αὐτὸν ἀναιρεθῆναι. §. μεγαίρειν δὲ τὸ φθονεῖν Σαλαμίνιοι λέγουσιν.

564. σκῶλος πυρίκαυστος] σκῶλον τὸν σκόλοπα· οἱ γὰρ ἄγροικοι ἀποξύνοντες τὰ ξύλα πυρικαυτοῦσι τὸ ἄκρον, ὅπως πιληθὲν ᾖ στερεώτερον. χρῶνται δὲ αὐτῷ ἀντὶ αἰχμῆς. ἐπεὶ οὖν καὶ τὸ δόρυ οὐ σφόδρα ἐνεργὸν εἶχε τὴν δύναμιν, ἔμεινέ φησιν ἐπὶ τοσοῦτον διελθόν, ὅσον καὶ σκῶλος περονῆσαι δύναται. AB=

567. ἀπιόντα] προχωροῦντα, ὑποποδίζοντα· οὐ γὰρ στραφέντα· διὸ ἔμπροσθεν τιτρώσκεται κατὰ τὸ ἦτρον, ὃ νευρῶδες λίαν ἐστὶ καὶ ἐπώδυνον· ὅθεν οἱ διακεντοῦντες τοὺς ὑδερικοὺς οὐ κεντοῦσι κατωτέρω τοῦ ὀμφαλοῦ, διὰ τὸ γίνεσθαι σπασμούς· ἴσως δὲ ἐντροπαλιζόμενος ὑπεχώρει, ἐπεὶ οὐκ ἂν κατὰ τὴν ὀσφῦν ἐτρώθη ἀναχωρῶν. B=

* μετασπόμενος] ἐπιδραμών, ἐπακολουθήσας.

570. * ἑσπόμενος] συνακολουθῶν. §. τινὲς δὲ “σχόμενος” B= συνεχόμενος. AB=

571. ἤσπαιρε] τὸ σπαίρειν καὶ τὸ σκαίρειν τινὲς συγχέουσι ταὐτὸν δηλοῦν νομίζοντες, καίπερ Ὁμήρου διακρίνοντος· τὸ μὲν γὰρ σπαίρειν μετὰ τοῦ ᾱ κατὰ Ἀττικὴν συνήθειαν λέγει ἀσπαίρειν, “ἀσπαίροντα λαβών” (Od. 19. 229) καὶ “ἥ ῥα οἱ ἀσπαίρουσα καὶ οὐρίαχον πελέμιξεν” (443) καὶ ὡς ἐνταῦθα, τὸ δὲ σκαίρειν οὐκέτι μετὰ τοῦ ᾱ, “μολπῇ τ᾽ ἰυγμῷ τε ποσὶ σκαίροντες ἕποντο” (Il. 18. 572). ἔστιν οὖν ἡ διαφορά, ὅτι τὸ μὲν σπαίρειν καὶ ἀσπαίρειν ἄμουσόν τινα δηλοῖ κίνησιν, ὃ γίνεται ἐν ἰχθύσι καὶ τῷ δεδεμένῳ κατὰ τὸν ποιητὴν βοΐ, τὸ δὲ σκαίρειν ἔμμουσον κίνησιν ὀρχηστικὴν καὶ εὔρυθμον· οἶμαι δ᾽ ἔγωγε καὶ τῶν ἰχθύων τὸν σπάρον καὶ τὸν σκάρον κατὰ διαφόρου⟨ς⟩ ἐννοίας διαφόρως προσηγορεῦσθαι τῆς κινήσεως οὐχ ὁμοίως ἑκατέρῳ γενομένης, τῷ δὲ σκάρῳ πάντως ὀξυτέρας· ἀφ᾽ ἧς καὶ τὴν πολύσκαρθμον Μύριναν (Il. 2. 814) προσεῖπεν ὁ ποιητὴς μίαν τῶν Ἀμαζόνων, ὥς φασι (schol. Lycophr. 243), καὶ εὐσκάρθμους ἵππους (31)· ἀπὸ δὲ τοῦ αὐτοῦ ἐν συνηθείᾳ τὸ σκιρτᾶν καὶ τὸ σκαρδαμυκτεῖν τοὺς ὀφθαλμοὺς εἴρηται.

* ἡ προσθήκη τοῦ “οὔρεσι” ἄγριον δείκνυσι τὸν ταῦρον. B=

572. * ἰλλάσιν] τοῖς ἐξ ἱμάντων σχοινίοις. B=

3. περίκαυστος ‖ 4. πυρακτοῦσι A B ‖ 5. εἴη ut A B ‖ στερρότερον A B ‖ 7. δύναται Bekker : δυνατὸν ‖ 11. προσγίνεσθαι B ‖ 12. οὐκ ἂν B : τοι κἂν ‖ 14. σχόμενος B : ἐχόμενος ‖ 23. ἰχθῦσι ‖ 26. εὐνοίας

Digitized by Google

573. ὡς ὁ τυπείς] καὶ μὴν προεῖπε "βάλε δουρί" (567)· οἱ μὲν τὸ μέτωπον πληγείς, οἱ δὲ τὴν ψυχήν, ὡς τὸ "κατεπλήγη φίλον ἦτορ" (Π. 3. 31), οἱ δὲ ὡς τὸ "Πήδασον οὔτασεν ἵππον" (Π. 16. 467)—ἐβέβλητο γὰρ ὑπὸ Σαρπηδόνος—οἱ δὲ ἀντὶ τοῦ τύπτων τοῖς ποσὶ καὶ λακτίζων.

574. * ὄφρα] ὡς τὸ "τοῖο δ' ἅμα ψυχήν ⟨τε⟩ καὶ ἔγχεος ἐξέρυσ' αἰχμήν" (Π. 16. 505).

576. * Δηίπυρον] ὁμώνυμος οὗτος τῷ Πυραίχμῃ.

* κόρσην] τινὲς κρόταφον.

A=B– 577. Θρηικίῳ μεγάλῳ] μόνοι γὰρ ἐν βαρβάροις οἱ Θρᾷκες μεγίστοις ξίφεσι χρῶνται. ἢ ἀπὸ τοῦ ἐπικουρικοῦ τῶν Θρᾳκῶν ἔχει λαβών, ἢ μετεπέμψατο ὡς καλλιστεῦον· οἱ δὲ τῇ καλουμένῃ ῥομφαίᾳ. §. τὸ
B= δὲ "ἄραξεν" ἀντὶ τοῦ τοὺς ἱμάντας ἀπέτεμεν.

578. καί τις Ἀχαιῶν—ἐκόμισ⟨σ⟩εν] ἡδέως πάνυ καὶ ἀξιοπίστως τὸ πλῆθος ἐμφαίνει μὴ εἰπὼν τὸν ἄραντα.

582. Ἑλένῳ—ἄνακτι] παρὰ τὸ ἀνώγειν καὶ κελεύειν τοὺς μάντεις, ὡς "Τειρεσίαο ἄνακτος" (Od. 11. 151).

A=B– 583. τόξου πῆχυν] οἱ μὲν κατὰ Δωριέας τὴν νευράν, οἱ δὲ τὸ κέρας, οἱ δὲ τῷ πήχει τὸ τόξον εἷλκεν.

A– 584. τὼ δ' ἄρ' ὁμαρτήτην] Ἀρίσταρχος "ὁμαρτήδην" ὡς "τμήδην" (Π. 7. 262) φοράδην, ἵν' ᾖ προεπίζευξις· οἱ δὲ "ἁμαρτήτην" ἅμα προΐεντο, ὡς ἀπειλήτην.

585. * νευρῆφιν] τοῦ τόξου, συνεκδοχικῶς.

586. * ἔπειτα] ἀντὶ τοῦ δή· "οἱ μὲν ἔπειτα πεσ⟨σ⟩οῖσι" (Od. 1. 106).

587. * θώρηκος γύαλον] ἐν περιφράσει· οὐ γὰρ μέρος.

A=B– 588. ⟨πτυόφιν⟩] τινὲς τὰ μὲν σιδηρᾶ πτύα, τὰ δὲ ξύλινα καὶ τρόπον χειρὸς ἔχοντα, οἷς καὶ τὴν γῆν μεταβάλλουσι, θρίνακας· καὶ παρὰ τοῖς Ἀττικοῖς δὲ πτέα.

AB– 589. θρῴσκωσιν κύαμοι ⟨μελανόχροες⟩] περιφερεῖς γὰρ ὄντες ῥᾷον τῶν πυρῶν ἀφάλλονται. τῷ δὲ ἐπιθέτῳ κεκάλυπται τὸ ταπεινὸν τῆς λέξεως. τοὺς δὲ κυάμους ὡς μέλανας οὐκ ἐσθίουσιν οἱ ἱερεῖς· οἱ δὲ ἱερὸν λόγον φασίν· "ἶσον κυάμους τε φαγεῖν ⟨κεφαλάς τε⟩ τοκήων" διὰ τὸ "ψυχῆς αἰζηῶν βάσιν ἔμμεναι ἠδ' ἀναβαθμὸν εἰς Ἀίδαο δόμον,

19. εἷλκεν A: ἧκεν ‖ 20. ὁμαρτήδην A: ὁμαρτίδην ‖ 28. καὶ ante παρὰ om. A ‖ 29. πτέα legit etiam Eust. ‖ 34. ἡ δὲ

Digitized by Google

ὅταν αὐγὰς εἰσανίωσιν" οἱ δέ, ὅτι ἐπὶ Κρόνου ἄρτος ⟨ἐξ αὐτῶν⟩ ἦν τοῖς ἀνθρώποις, ⟨ὕστερον δὲ μὴ γενέσθαι αὐτῶν ἐπετράπη,⟩ ἵνα μηδ' ὅλως ἐκείνου μνήμη φυλαχθείη.

590. πνοιῇ ὑπὸ λιγυρῇ ⟨καὶ λικμητῆρος ἐρωῇ⟩] ἅμα δὲ ⟨καὶ B= τίνα⟩ καὶ πότε δεῖ λικμᾶν ἐδίδαξεν· ⟨λέγει γὰρ⟩ ὅτι καὶ ῥωμαλέος ἔσται ὁ λικμῶν πρὸς τὸ ἀναβάλλειν αὐτά, τὸν ἄνεμον ἔχων συνεργόν.

594. ἦ ῥ' ἔχε] ὅπου, ὡς "ἦ ῥ' ἴδε γυμνωθέντα" (Il. 12. 389). §. τὸ A+ δὲ "χεῖρα παρακρεμάσας" (597) ὡς ἑωρακὼς διαγράφει γραφικῶς.

599. * ἐυστρόφῳ] οὐκ "ἐυστρεφεῖ."

οἰὸς ἀώτῳ] ἐξ ἐρίων γὰρ συνέπλεκον τὰ κῶλα τῆς σφενδόνης, B− οὐχ ὡς νῦν νεύροις, ἵνα διατείνοιτο ἐν τῇ ἀπορρίψει. ἀλλαχοῦ δέ φησι "καὶ ἐυστρόφῳ οἰὸς ἀώτῳ Ἴλιον ε⟨ἰ⟩ς ἅμ' ἕποντο" (716). §. πολλὰ δὲ δηλοῖ τὸ ἄωτον, ὥς φησιν Ἐπαφρόδιτος. B+

600. θεράπων] δοῦλος ὁπλοφόρος κατὰ Κρῆτας. §. τὸ δὲ "ἔχε" ἀντὶ τοῦ ἀντιποιούμενος.

603. σοί, Μενέλαε] ἀναφώνησις τοῦ ποιητοῦ ὥσπερ ἀποδεχομένου καὶ οἷον ἐναβρυνομένου τῷ ἄνακτι ὡς ἰδίῳ ἀθλητῇ. §. τὸ δὲ "σοί" ἀντὶ τοῦ ὑπὸ σοῦ.

605. * ἅμαρτε] κατὰ τὸ σιωπώμενον γὰρ ἀνῄρηται τὸ δόρυ.

παραὶ δέ οἱ ἐτράπετο] ὥστε παρὰ βραχὺ γενέσθαι τὴν ἐπιτυχίαν.

608. κατεκλάσθη δ' ἐνὶ καυλῷ] τῷ αὐλῷ τῆς ἐπιδορατίδος, εἰς B= ⟨ὃν⟩ τὸ ξύλον ἐνίεται. §. τὸ δὲ "ἔσχετο—σάκος" ἀντὶ τοῦ ἐπέσχε B= τὴν ὁρμὴν τοῦ δόρατος.

609. ὃ δὲ—χάρῃ] Μενέλαος ἐπὶ τῇ κλάσει.

καὶ ἔλπετο νίκην] Ζηνόδοτος "μέγα δ' ἔλπετο νίκην." A=

611. ὑπ' ἀσπίδος εἵλετο] τὴν ὑπὸ τὴν ἀσπίδα κρυπτομένην· B− ἔφερον γὰρ πρὸς τὸ κατασχίσαι τὰς ναῦς· ἀλλὰ καὶ πρὸς τὴν μάχην ἐχρῶντο αὐταῖς· "ὀξέσι δὴ πελέκε⟨σ⟩σι καὶ ἀξίνῃσι" (Il. 15. 711).

612. ἐλαΐνῳ] παρὰ τὸ ἐλαία· ἐλαί⟨ι⟩νος ἦν, καὶ Ἀττικῶς ὑφῄ- B− ρηται τὸ ῑ. καὶ γὰρ ἀπὸ τοῦ Πείραιος Πειραΐδης φησί—"Πτολεμαίου Πειραΐδαο" (Il. 4. 228)—καὶ παρὰ τὸν Ἀλκαῖον Ἀλκαΐδης (Pind. Ol. 6. 68).

1. αὐγὰς εἰσανίωσιν Eust. cf. Lobeck Agl. I 252: αὔγασις ἀνίωσιν ‖ χρόνου ‖ 1, 2. supplevi ex Eust. ‖ 3. ἐκείνου Eust.: ἐκείνων ‖ μνήμη Eust.: μνῆμα ‖ φυλάττοιτο Eust., φυλαχθῇ ‖ 4, 5. supplevi ex B ‖ 9. οὐκ ἐυστρεφεῖ scripsi cf. A: οὐ συστρέφει ‖ 11. ἀπορρίψει B: ἀπορράψει ‖ 12. ἀώτῳ πλέονες ἅμ' ‖ 15. corruptum ‖ 22. supplevi ex B ‖ 25. μ. δ' ἤλπετο A ‖ 30, 31. πολέμου

Digitized by Google

B— ἀμφὶ πελέ⟨κ⟩κῳ] τῷ στειλειῷ, διὰ τὸ περιέχεσθαι ὑπὸ τοῦ πελέ-
κεως. τινὲς δὲ καὶ αὐτὸν τὸν πέλεκυν οὕτως, ὡς καὶ τὸ "ἡμιπέ-
λεκ⟨κ⟩α" (Π. 23. 851) δηλοῖ. καὶ τὸ συναμφότερον· "πέλεκυν
δὲ μενεπτόλεμος Θρασυμήδης" (Od. 3. 442)· κατεχρήσατο δὲ ἐπὶ
τῆς ἀξίνης πέλεκυν λέγων.
613. ἀλλήλων ⟨ἐφίκοντο⟩] λείπει ἡ κατά. §. ἡ κοινὴ "ἐφίκοντο·"
A+ Ἀριστοφάνης "ἐφικέσθην."
615. ἄκρον ὑπὸ λόφον] ἀξιοπίστως τὸ λεπτομερέστατον ἐδή-
λωσεν.
* προσιόντα] ἀπὸ κοινοῦ τὸ διήλασεν.
616. * λάκε] ἤχησεν.
617. αἱματόεντα] τινὲς δυϊκῶς. §. διὰ δὲ τοῦ "πέσον" ἐδήλωσεν
B— οὐκ ἐκχυθέντας τοὺς ὀφθαλμούς, ἀλλ' ἐν τῇ ἰδίᾳ πήξει ἐκπεπτωκότας.
ἐπεὶ γὰρ κατὰ τὴν ἀρχὴν τῆς ῥινὸς γέγονεν ἡ πληγή, πιθανὸν ἐν-
τεῦθεν ἐξωσθῆναι τοὺς ὀφθαλμοὺς ἐκ ῥίζης. καὶ ἔχει ἔμφασιν ὁ
A+ λόγος· κοινὸν γὰρ τὸ προχυθῆναι τοὺς ὀφθαλμούς. §. διὰ τοῦ ō δὲ
"πέσον." §. τὸ δὲ "παρ ποσίν" τινὲς τοῦ Μενελάου, οἱ δὲ παρα-
χρῆμα, ὡς τὸ "παρ⟨αὶ⟩ ποσὶ κάππεσε θυμός" (Π. 15. 280).
618. * ἰδνώθη] συνεκάμφθη ἐπὶ τένοντα.
B— 620. λείψετέ θην] ὅ ἐστιν, οὐκέτι παρέσεσθε πολεμήσοντες ἐπ'
αὐτάς. ἠθικὸς δὲ ὁ λόγος, ὡς τὸ "οὐ μέν θην κάμετόν γε μάχῃ
ἔνι" (Il. 8. 448).
B— * λείψετε] λείπει 'ἀναιρούμενοι ὡς Πείσανδρος.'
B= 621. ὑπερφίαλοι] ἄσπονδοι, παράνομοι. §. "ἀκόρητοι" δὲ ἢ εἰρω-
B= νικῶς, ἐπεί τοι φησὶν "ἀμφὶ σέ, Πηλέος υἱέ, μάχης ἀκόρητον Ἀχαιοί"
(Il. 20. 2), ἢ μηδ' ἐν τῷ πολέμῳ ἀποδιδόντες τὴν Ἑλένην.
B— 622. * ὁ "μέν" ἀντὶ τοῦ μήν. §. ὁ δὲ νοῦς, τοῖς εἰς ἐμὲ ὑμῖν
AB= πεπραγμένοις ἄλλο οὐδὲν ἐνδεῖτε τῶν αἰσχρῶν.
B= 623. κακαὶ κύνες] κατωφερεῖς δι' Ἀλέξανδρον ἢ ἀναιδεῖς δι'
Ἕκτορα. ἄκρως δὲ καὶ τῷ θηλυκῷ ἐχρήσατο εἰς τὴν ἀνανδρίαν τῶν
βαρβάρων. πρὸς δὲ τὴν λώβην (622) μόνην ὑπήντησεν.
B= 626. καὶ κτήματα πολλά] μετὰ γὰρ πολυτελοῦς σκευῆς, ὡς ἐπὶ
θυσίαν ἤκουσα, ἥρπαστο ὑπ' αὐτοῦ.

6. ἡ κοινῇ: corr. Ludwich ‖ 12. αἱματόεντε ut B ‖ πέσεν B ‖ 13. πήξει B: πλήξει ‖ 28. ἐνδεῖτε τῶν αἰσχρῶν W: ἐνδεῖ τῶν αἰσχρῶν A, ἐνδεῖται γενέσθαι δεινόν B, ἐνδεῖται δι' αἰσχρῶν ‖ 30. κατεχρήσατο B ‖ 32. κτ. πάντα B ‖ κατασκευῆς B ‖ 33. ἥρπαστο B: ἥρπασται

Digitized by Google

* οὐκ οἶδε γὰρ αὐτὴν ἐκ Θησέως Ἰφιγένειαν ποιήσασαν.

628. * ὡς τὸ "οἳ μεμάασιν ἡμέας ἐξεναρίξαι ἐπὶ προτέροισι κακοῖσιν" (Od. 22. 263).

629. * ὅτι πάντες ἥρωες καλοῦνται. A+

631. ἔμμεναι ἄλλων, ⟨ἀνδρῶν ἠδὲ θεῶν⟩] τῶν μὲν ἄλλων ἀνδρῶν B= ὅ ἐστι πάντων, τῶν δὲ ἄλλων θεῶν ὅ ἐστι λοιπῶν· λέγει δὲ ταῖς φρεσὶ περιεῖναι τῶν ἄλλων αὐτόν.

* ἠθικὴ καὶ ἔμψυχος ἡ δικαιολογία ὡς πρὸς παρόντα τὸν Δία.

632. σέο δ' ἐκ τάδε πάντα πέλονται] εὖ τὸ μὴ εἰπεῖν, σὺ δὲ B= ἀνόητος εὑρέθης, πάντα δὲ τὰ γινόμενα ἐκ σοῦ ἐστιν. §. τὸ δὲ "οἷον" ἀντὶ τοῦ πῶς· ἔστι δὲ μετὰ θαύματος καὶ μέμψεως, ἅμα B= μὲν ἐπεὶ ταμίας πολέμου, ἅμα δὲ ἐπεὶ Τρωσὶν ἐβοήθει διὰ Θέτιν.

634. * Τρωσίν] ὧν ἡ ψυχὴ ὑβριστική ἐστιν.

636. πάντων μὲν κόρος ἐστί] κἀκείνων κόρος ἐστὶν ὧν τις ἐφίεται B— πλησθῆναι μᾶλλον τῆς τοῦ πολέμου πλησμονῆς, φημὶ δὲ ὕπνου καὶ φιλότητος.

καὶ φιλότητος] Πίνδαρος "κόρον δ' ἔχει καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια" (Nem. 7. 52).

637. μολπῆς τε γλυκερῆς] περισσὸν αὐτὸν εἶναί φασί τινες· ἥττων B— γὰρ ἡ ἐπιθυμία (636) τῆς μολπῆς· ἢ ὅτι ἔμελεν αὐτοῖς "⟨χορόνδε ἔρχεσθ',⟩ ἠὲ χοροῖο νέον λήγοντα καθίζειν" (Il. 3. 394)· καὶ παρὰ Φαίαξι δέ (Od. 8. 248)· καὶ ἕως τινὸς οἱ εὐγενεῖς νέοι ὠρχοῦντο ἐν ταῖς τραγῳδίαις· καὶ οἱ μὲν Ἀθηνᾶν, οἱ δὲ Διοσκούρους φασὶν εὑρεῖν τὴν ὄρχησιν.

ἀμύμονος ὀρχηθμοῖο] ἀμωμήτου· ἔστι δὲ καὶ φαύλη ὄρχησις· B— "ψεῦσταί τ' ὀρχησταί τε" (Il. 24. 261).

638. τῶν πέρ τις] τούτων μᾶλλον ἐπιθυμεῖ τις κορεσθῆναι· πο- AB— λέμου δὲ οὐδ' ἂν τὴν ἀρχὴν ψαῦσαι βούλοιτο, οὐχ ὅπως διακορὴς γενέσθαι· οἱ δὲ Τρῶες τούτου ἀκόρητοί εἰσιν, ὅπου γε καὶ τῶν ἡδίστων κόρος γίνεται· ἐὰν γὰρ εἴπῃς, ὅτι πολέμου τις οὐκ ἐπιθυμεῖ κορεσθῆναι, δικαίως "Τρῶες μάχης ἀκόρητοι ἔασιν." τὸ δὲ ἑξῆς, πάντων μὲν κόρος ἐστί, Τρῶες δὲ μάχης ἀκόρητοι ἔασιν, ὅτι ἀδικήσαντες μάχονται· τοῦτο γὰρ ὕβρεως, οὐκ ἀνδρ⟨ε⟩ίας.

1. τὸ ἐκ Θ. καὶ αὐτῆς γενέσθαι τὴν Ἰ. Eust. ‖ 2. ἐξεναρίζειν ‖ 17, 18. μέλι καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια Pindari codd.: μελικὰ τέρπνα θεᾶς Ἀφροδίτας ‖ 20. ἢ ὅτι ἔμελεν B: ἀλλ' ὅτι ἔμελλεν ‖ 28. οὐδὲ τὴν ἀ. θεάσασθαι βούλεται B ‖ 29. ὅπου γε scripsi: ὁπότε ‖ 30. γίνεται scripsi: γράφει

Digitized by Google

* ἐξ ἔρον εἶναι] ἀντὶ τοῦ πλησθῆναι.

B= 640. τὰ μὲν ἔντεα ⟨—αἱματόεντα⟩] τὰ μὲν αἱματόεντα ἔντεα, ὡς τὸ "τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα" (Il. 1. 11).

643. υἱὸς—Πυλαιμενέος] εἴπερ ἐκείνου τοῦ Πυλαιμένους ἦν υἱὸς ὁ Ἁρπαλίων, ἀλογώτατον ἦν μὴ φαίνεσθαι αὐτὸν ὑπερμαχοῦντα τοῦ πατρός.

B— Πυλαιμένεος βασιλῆος] ἔνιοι ἐνόμιζον τοῦτον εἶναι τὸν ἐν τῇ Ε (576) ὑπὸ Μενελάου ἀναιρεθέντα· "ἔνθα Πυλαιμένεα ἑλέτην ἀτάλαντον Ἄρηι, ἀρχὸν Παφλαγόνων." ἔστιν οὖν ὁμωνυμία, ἐκείνου μὲν ἄρχοντος ⟨ὄντος⟩, τούτου δὲ βασιλέως. πολλαὶ γὰρ παρὰ τῷ ποιητῇ ὁμωνυμίαι· Σχεδίοι δύο Φωκέων ἡγούμενοι, ὃ μὲν Περιμήδους "ἔνθ' Ἕκτωρ μὲν ⟨ἕλε⟩ Σχεδίον, Περιμήδεος υἱόν, ἀρχὸν Φωκήων" (Il. 15. 515), ὃ δὲ Ἰφίτου "Ἕκτωρ δ' αὖτ' Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ· ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος—ὃ δὲ Σχεδίον, μεγαθύμου Ἰφίτου υἱόν, Φωκήων ὄχ' ἄριστον" (Il. 17. 304). Εὐρυμέδοντες δύο ἡνίοχοι, ὁ μὲν Ἀγαμέμνονος (Il. 4. 228), ὃ δὲ Νέστορος (Il. 8. 114)· καὶ κήρυκες δὲ Εὐρυβάται δύο, ὃ μὲν Ὀδυσσέως (Il. 2. 184), ὃ δὲ Ἀγαμέμνονος (Il. 9. 170)· καὶ Ἄδραστοι τρεῖς βάρβαροι, ὃ μὲν "Μέροπος Περκωσίου" υἱὸς ὑπὸ Διομήδους ἀναιρούμενος (Il. 2. 831), ὃ δὲ ὑπὸ Μενελάου (Il. 6. 46), ὃ δὲ ὑπὸ Πατρόκλου (Il. 16. 694)· Ἀκάμαντες δύο, ὃ μὲν Εὐσώρου (Il. 6. 8), ὃ δὲ Ἀντήνορος (Il. 2. 822)· Ἀστύνοοι δύο, ὃ μὲν ὑπὸ Διομήδους ἀναιρούμενος "ἔνθ' ἕλεν Ἀστύνοον" (Il. 5. 144), τῷ δὲ ἑτέρῳ Πολυδάμας τοὺς ἵππους δίδωσιν (Il. 15. 455)· καὶ Θόωνες τρεῖς βάρβαροι· ἐφ' ἕνα γοῦν ὁρμᾷ Διομήδης—φησὶ γὰρ "Θόωνά τε, Φαίνοπος" υἱόν (Il. 5. 152)—τὸν δὲ Ὀδυσσεὺς ἀναιρεῖ "Θόωνα καὶ Ἔ⟨ν⟩νομον ἐξενάριξεν" (Il. 11. 422), τὸν δὲ τρίτον Ἀντίλοχος, "Ἀντίλοχος δὲ Θόωνα μεταστρεφθέντα" (545). Μελάνιπποι τρεῖς, τὸν μὲν Τεῦκρος ἀναιρεῖ ἐν τῇ Θ (276), τῷ δὲ δευτέρῳ Ἕκτωρ παραινεῖ ταῖς ναυσὶν ἐμπεσεῖν (Il. 15. 546), ὁ δὲ τρίτος ὑπὸ Πατρόκλου ἀναιρεῖται (Il. 16. 695)· Ὀφελέσται δύο, ⟨ὃ μὲν ὑπὸ Τεύκρου (Il. 8. 274), ὃ δὲ ὑπ' Ἀχιλλέως (Il. 21. 210)· Ὑψήνορες δύο⟩, ὃ μὲν ὑπ' Εὐρυπύλου (Il. 5. 76), ὃ δὲ ὑπὸ Δηιφό-

3. ἠτίμησεν B ‖ 7, 8. ἐν τῇ λ̄ ὑπὸ Διομήδους καὶ Ὀδυσσέως ἀν. ‖ 10. τοῦ ante ἄρχοντος et ante βασιλέως omisi ut B ‖ supplevi ex B ‖ 19. βάρβαροι ὁ B: βαρβάροις ‖ 31, 32, 33. suppl. W ‖ 33. Δηιφόβου W: Αἴαντος

βου (Il. 13. 411)· Πυλάρται δύο, ὧν ὁ μὲν ὑπ' Αἴαντος ἀναιρεῖται σὺν Πυράσῳ (Il. 11. 491), ὁ δὲ ὑπὸ Πατρόκλου (Il. 16. 696)· Πείσανδροι δύο, ὧν ὁ μὲν ὑπὸ Ἀγαμέμνονος ἀναιρεῖται (Il. 11. 143), ὁ δὲ ὑπὸ Μενελάου (619).

* Πυλαιμένεος] ἐν τῇ Ε (576) Ζηνόδοτος ἔγραφεν "Πυλαιμένεα."

649. * χρόα] ἀντὶ τοῦ χρωτός. A+

651. καί ῥ' ἔβαλεν γλουτὸν—αὐτὰρ ὀιστὸς ἀντικρὺ κατὰ κύστιν] B= δηλονότι φεύγοντος. τοῦτο Ἕλλην οὐχ εὑρίσκεται πεπονθώς. ὡς ἐπίπαν δὲ ὑπὸ Μηριόνου οὕτω τιτρώσκονται.

654. * θυμὸν ἀποπνείων] ἐντεῦθεν δῆλον ὅτι πνεῦμα ἡ ψυχή. B=

ὥς τε σκώληξ ἐπὶ γαίῃ] ἀκινητεῖ γάρ, ἣν θίγῃ τις αὐτοῦ· B− τοῦτο δὲ οὐκ ᾔδει ὁ ποιητής, εἴπερ ἦν τυφλὸς ἐκ γενετῆς.

657. ἐς δίφρον ἀνέσαντες] οὐδένα τῶν ἀποθανόντων οὕτως ἐξάγει· A−B= διὸ ἀθετοῦσι τὸν στίχον· δίφρῳ δὲ ἀπάγεται ὡς μακρὰν τῆς μάχης οὔσης· ἐπὶ ναυσὶ γὰρ μάχονται. §. τὸ δὲ "ἀνέσαντες" ἀντὶ τοῦ A+B= καθίσαντες· τινὲς δὲ "ἀναθέντες·" νεκρὸς γάρ ἐστιν.

658. μετὰ δέ σφι πατὴρ ⟨κίε⟩] ὁμωνυμία γάρ ἐστιν· τινὲς δὲ τὴν ψυχὴν τοῦ πατρός· καλῶς δὲ διὰ τὸν καιρὸν λόγους οὐ περιτίθησιν αὐτῷ, ἀλλ' ἑτέρωθι τούτους φυλάττει ἐπὶ Ἕκτορα. §. ὁ δὲ Ἀριστοφάνης ἀθετεῖ, ὁ δὲ Ἀρίσταρχος ἢ ἀθετεῖν φησι δεῖν ἢ ὁμωνυμίαν νομίζειν.

660. * τοῦ δὲ Πάρις—χολώθη] λείπει ἡ περί, ἵνα ᾖ 'περὶ τούτου δὲ Πάρις.'

661. * ξεῖνος γάρ] ἢ μόνοις αὐτοῖς ἢ καὶ τοῖς ἄλλοις ξενοδόκος ἦν Ἀλέξανδρος.

662. τοῦ ὅγε χωόμενος] ἁπλοῦν τοῦτο ἦν, 'τοῦ ὅγε χωόμενος B= προΐει καὶ βάλε·' ὁ δὲ ἄλλην ἀρχὴν ἐπεισφέρει "ἦν δέ τις" (663).

663. ἦν δέ τις Εὐχήνωρ Πολυΐδου] Φερεκύδης οὕτω γενεαλογεῖ· "ἀπὸ Μελάμποδος Μαντίον, οὗ Κλειτόν, οὗ Κοίρανον, οὗ Πολύιδον·" εἶτα "Πολύιδος" φησί "γαμεῖ Εὐρυδάμειαν τὴν Φυλέως τοῦ Αὐγέου· τῷ δὲ γίνεται Εὐχήνωρ καὶ Κλειτός, οἳ Θήβας εἷλον σὺν τοῖς Ἐπιγόνοις· ἔπειτα ἐς Τροίην ἔρχονται σὺν Ἀγαμέμνονι· καὶ θνῄσκει Εὐχήνωρ ὑπὸ Ἀλεξάνδρου."

664. ἀγαθός τε] ἀγαθὸς καὶ ὁ νέος, ὅτι εἰδὼς ἧκε, καὶ ὁ πατήρ, B= ὅτι οὐκ ἐκώλυσεν αὐτόν.

* Κορινθόθι] ὅτε ἥρως λέγει, Ἔφυραν ὀνομάζει.

24. ἦν scripsi: ὧν ‖ 27, 28, 29. Πολύειδος Eust.

Digitized by Google

B= 665. ὅς ῥ' εὖ εἰδὼς κῆρ' ὀλοήν] οὐκ εἶπεν ὅτι τούτῳ ὁ πατὴρ τάδε προεῖπεν περὶ τοῦ τέλους, ἵνα μὴ ἀδολεσχεῖν δοκῇ, ἀλλὰ τὸ τελευταῖον τοῦ διηγήματος προὔθηκεν.

B= ὅς ῥ' εὖ εἰδώς] ἵνα τῷ παραδόξῳ τῆς ἀναφωνήσεως εἰς προσοχὴν ἐπισπάσηται τὸν ἀκροατήν, εἶτα ἐξ ἀναστροφῆς ⟨πάλιν⟩ διηγεῖται.

668. * ὡς Κορίνθιος γὰρ ὑπὸ Ἀγαμέμνονι ἦν ⟨Εὐχήνωρ⟩.

B+ 670. * νοῦσόν τε στυγερήν] τὴν ἐν τῷ γήρᾳ ἔψησιν.

B= 671. ὑπὸ γναθμοῖο] τῆς γνάθου, κατὰ τὸν ὑπὸ τὸ οὖς τόπον. οἱ δὲ γνάθον τὴν σιαγόνα.

673. * δέμας] διὰ τὸ "ὥς."

674. Ἕκτωρ οὐκ ἐπέπυστο] τὸ διήγημα δαιμονίως ἐξῆρε, σιωπήσας [δαιμονίως γὰρ ἦν] τὰ κατὰ τὸν Ἕκτορα, ἐφ' ἃ ἀναστρέφει.

B= 675. "ἐπ' ἀριστερά" τοῦ Ἕκτορος, οὐ τοῦ στρατοῦ· ἐπεὶ γὰρ ἐπ' ἀριστεροῖς ἐστιν ἡ πύλη δι' ἧς εἰσῆλθεν (Il. 12.462), αὐτόπτης ἂν ἐγίνετο.

B= 677. τοῖος γὰρ γαιήοχος] ἀντὶ τοῦ μετὰ τοσαύτης προθυμίας.

B= 678. πρὸς δὲ σθένει αὐτὸς ἄμυνεν] οὐ πᾶν ἦν ἔργον τοῦ θεοῦ, ἀλλὰ πρὸς τῷ αὐτῶν σθένει καὶ αὐτὸς ἐπεκούρει. καὶ ⟨δηλοῖ⟩ ὅτι ταῖς προθυμίαις συλλαμβάνει τὸ θεῖον.

A+ 681. * Αἴαντος] τοῦ Λοκροῦ· ἐπάγει γὰρ "Λοκροί" (686).

AB= 683. τεῖχος χθαμαλώτατον] ἀντὶ τοῦ χθαμαλόν, ὡς "ἀκρότατον δ' ἄρ' ὀιστός" (Il. 4. 139). ἦν δὲ ⟨χθαμαλὸν⟩ διὰ τὸ ἀφῃρῆσθαι τῆς ἐπάλξεως ὑπὸ Σαρπηδόνος, ἢ ὡς πρὸς σύγκρισιν τοῦ πολυανδρίου, ὡς ἠπειγμένως ποιήσαντες οὐκ ἐξωμάλισαν αὐτό· διὸ καὶ ἡ ὑπέρβασις τοῖς βαρβάροις δυνατὴ γέγονεν.

A= 684. * ζαχρηεῖς] λίαν ἐπιβαροῦντες, παρὰ τὸ χραύειν.

B= 685. Ἰάονες] ἄλλοι εἰσὶ ⟨παρὰ τοὺς Ἴωνας⟩· οἱ Ἰάονες γάρ, Ἀνδροτίων φησί, στήλην ἔστησαν Λακεδαίμονος διορίσαντες ἐπιγραφεῖσαν "τάδ' οὐχὶ Πελοπόννησος, ἀλλ' Ἰάονες," Λάκωνες δὲ "τάδ' ἐστὶ Πελοπόννησος, οὐκ Ἰάονες." §. ἤτοι Ἴωνες· Βοιωτικῶς δὲ διεῖλεν εἰς τὸ "Ἰάονες·" εἴρηνται δὲ ἀπὸ Ἴωνος τοῦ Ξούθου καὶ Κρεούσης.

A+ * Ἰάονες] οἱ ἐν Πελοποννήσῳ.

B− ἑλκεχίτωνες] οἱ μὲν ⟨ἐν⟩ τοῖς χιτῶσι τῶν ἐναντίων ἕλκη ποιοῦντες,

5. supplevi ex B ‖ διηγῆται B ‖ 6. Ἀγαμέμνονα ‖ 11. τὸ διήγημα scripsi: τομήν τινα: lacunam post τομήν τινα statuit W ‖ ἐξῆρε W: ἐξεῦρε ‖ 12. delet W ‖ 13. οὐ B: ἐκ ‖ ἐπεὶ W: εἰ ut B ‖ 16. τοῦ θεοῦ B: τῷ θεῷ ‖ 17. supplevi ex B ‖ 18. συμβάλλεται B ‖ 21. ἦν B: ἤτοι ‖ 26. supplevi ex B ‖ Ἰάονες γ. W: Ἴωνες γ. ‖ 27. ἐπὶ add. ante Λακ. B ‖ 27, 28. ἐπιγράφει ‖ 28. Ἰᾶνες ‖ 29. δὲ διεῖλεν scripsi, διεῖλεν Bekker: δ' εἶλεν ‖ 32. supplevi ex B ‖ ἕλκη B: ἕλκειν

Digitized by Google

οἱ δέ, ὅτι μέχρι τῆς Περικλέους στρατηγίας ποδήρεις εἶχον τοὺς χιτῶνας καὶ τοὺς τέττιγας (Thuc. I. 6).

686. καὶ Φθῖοι] Φθιῶται οἱ ὑπὸ Ἀχιλλεῖ, Φθῖοι δὲ οἱ ὑπὸ Πρω- B–
τεσιλάῳ καὶ Φιλοκτήτῃ. εἰσὶ δὲ αὐτῶν ⟨τὰ⟩ τάγματα μεταξὺ Λοκρῶν καὶ Βοιωτῶν. §. "φαιδιμόεντες" δὲ ἀντὶ τοῦ φαίδιμοι, παραγώγως· B–
οὐ γὰρ ἔγκειται τὸ ἔντεα· τινὲς δὲ σύνθετον ὑπονοοῦσι τὴν λέξιν, ⟨ἵν' ᾖ⟩ 'λαμπρὰς πανοπλίας ἔχοντες.'

687. * σπουδῇ ἐπαΐσσοντα νεῶν ἔχον] μόγις ἐπεῖχον τὸν Ἕκτορα A–B=
ὁρμῶντα.

689. οἱ μὲν Ἀθηναίων] οὐκ ἐτήρησε τὴν τάξιν. πρώτους γὰρ εἶπε Βοιωτούς (Il. 2. 494)· κατεῖχον δὲ τὰ τάγματα τῶν περάτων Βοιωτοὶ καὶ Ἀθηναῖοι, ἐπὶ μὲν τοῦ ἀριστεροῦ πρῶτοι ὄντες Βοιωτοί, ἐπὶ δὲ τοῦ δεξιοῦ ἔσχατοι ὄντες Ἀθηναῖοι.

690. Μενεσθεύς] καὶ ἀλλαχοῦ "Στιχίος δῖός τε Μενεσθεύς, ἀρχοὶ Ἀθηναίων" (195).

691. αὐτὰρ Ἐπειῶν Φυλείδης] καὶ μὴν Ἀμφίμαχος καὶ Θάλπιος Ἠλείων ἦσαν ἡγεμόνες (Il. 2. 620). Ἀρίσταρχος δὲ καὶ τοὺς ἐκ Δουλιχίου Ἐπειοὺς καλεῖ· ὡς γὰρ ἐξ Ἤλιδος φυγόντος Φυλέως, εἰκὸς ἦν αὐτῷ συναίρεσθαί τινας ὧν ἦρχε Μέγης· εἰ δὲ ἐκείνων νῦν μέμνηται Ἐπειῶν τῶν ἐξ Ἤλιδος, πιθανὸν ἂν εἴη ἡγεῖσθαι αὐτῶν Μέγητα ὡς ὁμοεθνῆ· Ἀμφίμαχος γὰρ (Il. 13. 186) καὶ Διώρης (Il. 4. 517) οἱ τῶν Ἠλείων δυνάσται ἀνῄρηνται, Θάλπιος δὲ καὶ Πολύξενος τραυματίζονται.

αὐτὰρ Ἐπειῶν] μεταξὺ ἦσαν Ἀθηναίων καὶ Λοκρῶν· διό φησιν "Αἴαντα ταχὺν ἢ Φυλέος υἱὸν ἄνστησον" (Il. 10. 175, 6).

692. * Φυλείδης τε Μέγης τε Ἀμφίων τε Δράκιός τε] οὗτοι ἀντὶ Διώρους καὶ Ἀμφιμάχου ἐτάχθησαν.

694. νόθος υἱός] ἐξ Ἀλκιμάχης τῆς Αἰακοῦ ἦν ὁ Μέδων (695).

697. * Ἐριώπιδος] Φέρητος ἦν αὕτη.

701. Αἴας δ' οὐκέτι] νῦν τοὺς Λοκρῶν ἡγεμόνας καταλέγει. §. τὸ δὲ "ἵστατο" (702) Ζηνόδοτος "χάζετο" γράφει. A=

703. ἀλλ' ὥς τ' ἐν νειῷ] τὴν τάξιν τῆς στάσεως καὶ τὴν προ- B=
θυμίαν ἡ παραβολὴ δείκνυσιν.

βόε οἴνοπε] οἰνώδεις εἰς τὸ ὁρᾶν· οἱ δὲ μέλανες, ὡς "οἴνοπα B=

5. post π. add. sec. ὡς χαρίεις χαρίεντος ‖ 6. τὰ ἔ. ‖ 7. supplevi ex B ‖ 14. τε post Στιχίος omisi ‖ 19. συναιρεῖσθαι ‖ 20. ἂν εἴη αὖ Bekker, ἂν εἴη ἂν ‖ 24. Φυλέως ‖ ἄνωγον



Digitized by Google

πόντον" (Il. 1. 350). καὶ Πτολεμαῖος γὰρ εἰς τὸ τῆς Ἀρσινόης χιλιάρουρον τέμενος μέλανας ἀνῆκε βοῦς.

B− 705. πρύμνοισιν κεράεσσι] εἰσὶ γὰρ οἱ "κεραελκέες" (Call. Dian. 179) καλούμενοι· οἱ δὲ συμπάσχειν τοῖς ποσὶ τὰ κέρατα τῇ διατάσει τῶν νεύρων φασίν· διὸ μετὰ κάματον αὐτοὺς ἀλείφεσθαι τὰ κέρατα κηρῷ ἢ ἐλαίῳ ἢ πίσσῃ, ὡς Ἀριστοτέλης φησίν (H. A.
B= 8. 7). §. "πρύμνοις" δὲ τοῖς παρὰ τὴν σάρκα.

A+ πολὺς δ' ἀνακηκίει ἱδρώς] "πολὺς ἀνακηκίει" χωρὶς τοῦ "δέ" αἱ πᾶσαι.

B= 706. ⟨τὼ—⟩ ἀμφὶς ἐέργει] ἀπ' ἀλλήλων αὐτοὺς χωρίζει.

B= 707. τέλσον ἀρούρης] τέμνει τὸ ἄροτρον τὸ βάθος ἢ τὸ πέρας τῆς γῆς.

B+ 709. πολλοί τε καὶ ἐσθλοὶ—ἕποντο] τὸ πληπαθὲς Αἴαντος δείκνυσιν, εἴγε πολλοὶ καὶ ἀγαθοὶ διαδέχονται αὐτοῦ τὸ σάκος.

710. * ἐξεδέχοντο] διεδέχοντο.

B= 712. οὐδ' ἄρ' Ὀϊλιάδῃ] λεληθότως δεδήλωκε τὴν αἰτίαν τῆς συμπνοίας τῶν Αἰάντων· ἐν ὀλίγῳ γὰρ χωρίῳ γιγνομένης τῆς μάχης ἀχρεῖοι ἦσαν οἱ Λοκροὶ ψιλοὶ ὄντες. καὶ ἔδει αὐτοῖς προβλήματός τινος· ὑποδύντες οὖν ὑπὸ τοὺς ὁπλίτας Σαλαμινίους ὄπιθεν βάλλουσιν.

713. μίμνε φίλον κῆρ] γράφεται "ἔργ' ἐμεμήλει." πῶς οὖν ἐν τῇ Ἐπιπωλήσει (Il. 4. 274) φησὶ "νέφος εἵπετο πεζῶν;" ἢ ὡς ταραχῆς γεγονυίας καὶ ἄλλοι συνεμίχθησαν αὐτοῖς.

716. * ἀώτῳ] ἔδει ἀώτοις.

717. * ἔπειτα] ἀντὶ τοῦ δή.

B= 719. * οἱ μέν] οἱ Σαλαμίνιοι.

723. * λευγαλέως] ὀλεθρίως.

A+B= 725. * Ἕκτορα] λείπει ἡ πρός.

B= 726. Ἕκτορ, ἀμήχανός ἐσσι] ἐν καιρῷ ἀναμιμνήσκει τὸν Ἕκτορα τῆς ἰδίας συμβουλῆς—ἔλεγε γὰρ "μὴ ἴομεν Δαναοῖσι μαχησόμενοι περὶ νηῶν" (Il. 12. 216)—ἀλλ' οὐκ ἀντικρὺς αὐτὸς ἐκφέρει, ὅτι παρακούσας τῆς συμβουλῆς ἐκάκωσας τὴν στρατιάν· ἀπήχθετο γὰρ τῷ βασιλεῖ καὶ φιλονεικότερον αὐτὸν ἐποίει καὶ ἄλλως θρασὺν ὄντα. εἰς πολλὰ οὖν τρέπει τὸν λόγον τῇ γνωμο-
B= λογίᾳ χρώμενος. §. τὸ δὲ "ἀμήχανος" ἀνίκητος ἢ ἀπαραμύθητος, τοῖς βουλομένοις σε πείθειν ἀμηχανίαν παρέχων.

2. χιλιάρουρον W: χιλιάροτρον ‖ ἐνῆκε B ‖ 4. συμπάσχειν B: συμπατεῖν ‖ 8. χωρὶς τοῦ ν̄ "ἀνεκηκίει" A, quod corr. Spitzner ‖ 20. ἐπιπολήσει ‖ 31. φιλονεικότερον B: φιλονεικώτερον

Digitized by Google

727. οὕνεκά τοι περὶ δῶκε θεός] καὶ τοῦτο τεχνικῶς· οὐ γὰρ B= ἀνδρεῖον μὲν αὐτὸν ἔφη ἀνόητον δέ, λεληθότως δὲ τὴν ἀνδρ⟨ε⟩ίαν εἰς ψόγον αὐτῷ τρέπει, αἰτίαν αὐτῷ φάσκων τοῦ ἀπειθεῖν τοῖς ὀρθῶς συμβουλεύουσιν.

οὕνεκά τοι περὶ δῶκε θεός] ἐν ἐρωτήσει ὁ λόγος. πραγματικῶς A+B= δὲ ἐν ἑνὶ ⟨στίχῳ⟩ θεοφίλειαν καὶ ἀνδρ⟨ε⟩ίαν αὐτῷ μαρτυρῶν ἕτοιμον ποιεῖ πρὸς πειθώ. §. τὸ δὲ "παρα⟨ρ⟩ρητοῖσι" (726) παρη- B= γορικοῖς λόγοις, παραμυθήμασιν, ὑποθήκαις· οἱ δὲ συμβούλοις.

729. αὐτὸς ἑλέσθαι] πάντα εἰς θεὸν ἀναφέρει ὁ ποιητής, οἷόν ἐστι καὶ τὸ "ἑκὼν δ' οὐκ ἄν τις ἕλοιτο" (Il. 3. 66)· ἀδύνατόν φησίν ἐστιν, ἃ σὺ θέλεις, ἔχειν σε.

730. ἄλλῳ μὲν γὰρ ἔδωκε θεός] ὅτι θεόσδοτοι αἱ ἀρεταί. §. Ζηνό- B= δοτος δὲ ὁ Μαλλώτης προστίθησιν "ἄλλῳ δ' ὀρχηστύν, ἑτέρῳ κίθαριν A— καὶ ἀοιδήν."

732. ἄλλῳ δ' ἐν στήθεσσι] πιθανῶς ἐν πρώτοις τὸ αὐτοῦ, δεύ- B= τερον δὲ τὸ ἴδιον ἔταξε πλεονέκτημα.

* νόον τίθει] οὕτως Ἀριστοφάνης.

733. τοῦ δέ τε πολλοί] τοῦ νοῦ. §. "ἐπαυρίσκονται" δὲ ἀπο- B= λαύουσιν· "ἐσθλὸς γὰρ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται" (Hes. B= Opp. 293).

734. πολεῖς] πολλούς. ἀλλ' ἤδη προεῖπε "τοῦ δέ τε πολλοί" (733). B= ἐὰν δὲ τὰς πόλεις ἀκούσωμεν, μείζων ⟨ἔσται⟩ ὁ ἔπαινος, ὅτι ἑνὸς ἀνδρὸς εὐβουλία καὶ πόλεις ὅλας σῴζει. ἀμείνων οὖν τῆς ἀνδρ⟨ε⟩ίας ἡ φρόνησις, ὅσῳ καὶ πολυωφελεστέρα.

μάλιστα δέ κε] πλεονάζει ὁ "κέ." §. "ἀνέγνω" τὴν ἐκ τοῦ πράγ- B= ματος ὠφέλειαν καὶ τὴν σωτηρίαν. §. δεόντως ἐπάγει νῦν (735) τὴν B= ἰδίαν γνώμην, προπαρασκευάσας πρὸς πειθὼ τὸν στρατηγόν. B=

736. πάντῃ γάρ σε περὶ στέφανος—δέδηεν] εἴωθεν ἀπὸ τοῦ B= "γάρ" ἄρχεσθαι οὐκ αἰτιολογικῶς. §. "στέφανος" δὲ ὁ κύκλος, B— ἀπὸ τῆς στεφάνης τῶν γυναικῶν· οὐδένα γὰρ οἶδε στεφανούμενον ὁ ποιητής. §. ἡ δὲ "περί" πρὸς τὸ "δέδηεν," ἵν' ᾖ 'περιλάμπει,' οἷον B+ περιείληψαι ὑπὸ τῶν πολεμίων.

737. Τρῶες δὲ μεγάθυμοι] τοῦτ' ἂν εἴη ἀγαθοῦ συμβούλου τὸ B=

6. ⟨στίχῳ⟩ supplevi ex B ‖ 13. ὁμαλῶς τις: corr. Heyne ‖ 21. πολεῖς textus: πολέας lemma ‖ 22. supplevi ex B ‖ 25. διέγνω B ‖ 26. καὶ B : ἢ ‖ 33. μεγαλόθυμοι



Digitized by Google

*μὴ μόνον τὰ καθ' ἑαυτὸν ἀλλὰ καὶ τὸ πᾶν κατασκέψασθαι, ὃ ποιεῖ* ὁ Πολυδάμας.

*ἐπεὶ κατὰ τεῖχος ἔβησαν*] *ἀφ' οὗ κατέβησαν τὸ τεῖχος.*

A + B = 740. *πάντας ἀρίστους*] *ἀντὶ τοῦ ἀριστεῖς.* §. *πιθανῶς δὲ χρῆται*
B = *τῇ συμβουλῇ, ἵνα μάθῃ ὁ* Ἕκτωρ *τοὺς ἀνῃρημένους καὶ ἀναχωρήσῃ.*

B = 741. *ἔνθεν δ' ἂν* ⟨*μάλα πᾶσαν ἐπιφρασ*⟨*σ*⟩*αίμεθα βουλήν*⟩] *ἐκ τοῦ καλέσαι τοὺς ἀρίστους βουλευσόμεθα τὸ συμφέρον.*

B = 742. *ἤ κεν ἐν*⟨*ὶ*⟩ *νήεσσι—πέσωμεν*] *καθόλου τῆς ἑτέρας γνώμης ἐστὶν ὁ* Πολυδάμας, *ἀλλ' οὐκ αὐτὴν ἐκφέρει· ἠπίστατο γὰρ οὐ δεξόμενον τὸν* Ἕκτορα. *ἄμφω οὖν τέθεικεν, ἵνα ἐπ' ἐκείνῳ ᾖ τὸ ἑλέσθαι. ὅτι γὰρ ὡς παράδοξον αὐτὸ πρῶτον τέθεικε, δῆλον ἐκ τῆς ἐπιφορᾶς "αἴ κ' ἐθέλῃσι θεός"* (743), *ὡς δύσκολον καὶ ἐπὶ μόνῳ θεῷ κείμενον τὸ ἑλεῖν τὰς ναῦς.*

744. *ἔλθωμεν ἀπήμονες*] *καὶ ἐντεῦθεν δῆλός ἐστιν ἀναζεῦξαι βουλόμενος, ὅτι προσδοκᾷ τι δεινὸν ἐκ τῆς ἐπὶ ναυσὶ μάχης· ἄπιστον γὰρ ἡγεῖται τὸ ἀπήμονας ἀναχωρῆσαι.*

A ~ 745. *ἀποστήσωνται—χρεῖος*] *τουτέστιν 'ἴσως ἀπολάβωσιν,' ὡς ἐν ζυγῷ τὸ ἴσον στήσαντες καὶ ἀπομετρούμενοι ὄφλημα· χρεῖος γὰρ τὸ χρέος εἶπε καὶ ὄφλημα, οὐχ ἁπλῶς πρᾶγμα· φησὶν οὖν, δέδοικα μή πως δανεισάμενοι χθὲς τὴν νίκην ἀποδῶμεν αὐτοῖς, αὐτῷ σταθμῷ στήσαντες τὸ χρέος.*

A + B — *ἄλλως: σταθμῷ ἀποδῶσι τὴν χθεσινὴν ἡμῶν εὐημερίαν· ἐν τῇ κόλῳ γὰρ μάχῃ εὐτύχησαν* Τρῶες. *στῆσαι δὲ τὸ ζυγοστατῆσαι καὶ ἐξισάσαι τῷ αὐτῷ μέτρῳ· θεραπεύει δὲ τὸν* Ἕκτορα *λεληθόσιν ἐπαίνοις, ὑπομιμνήσκων αὐτὸν τῶν χθὲς αὐτῷ κατωρθωμένων.*

747. * *ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀίω*] *πλεονεκτούμενοι γὰρ ἱκετεύ*⟨*σ*⟩*ουσιν αὐτόν.*

B = 748. *ἅδε δ'* Ἕκτορι] *διδάσκει πείθεσθαι τοῖς καιροῖς. τοιοῦτος γὰρ ἦν καὶ* Ἀγαμέμνων, *ἐπιπλήσσων* Ὀδυσσεῖ (Π. 4. 339) *καὶ* Διομήδει *ἐν τῇ* Ἐπιπωλήσει (ib. 370), *καὶ ὕστερον ἀνεχόμενος αὐτῶν ὀνειδιζόντων.*

B + 751. * *ἐρύκακε*] *μὴ ἔα χωρίζεσθαι.*

A + B — 754. *ὄρεϊ νιφόεντι*] *καὶ* Ὄλυμπος *ἄρα ὄρος· φησὶ γὰρ " κατ'*

12. *αὐτὸ* B: *αὐτὸν* ‖ 13. *κ' ἐθέλῃσι* B: *κε ἐθελήσει* ‖ *μ. θ.* B: *θεῷ μόνῳ* ‖ 15. *ἔλθοιμεν* ‖ 21. *πως* A: *ὡς* ‖ 23. *ἡμῶν* B: *ἡμῖν* ‖ 24. *κόλῳ* B: *ἄλλῃ* ‖ 28. suppl. W ‖ 30. *ἐπιπλήσσων* B: *ἐπετίμησεν* ‖ 31. *ἐπιπολήσει* ut B

Digitized by Google

Οὐλύμπου νιφόεντος" (Il. 18. 616). πρὸς δὲ μέγεθος ἡ εἰκών, ἐπεὶ ἀκίνητόν ἐστι τὸ ὄρος. ἅμα δὲ καὶ τὸ ἄγριον αὐτοῦ καὶ φοβερὸν ὄρει παρεικάζει χιόνι κεκαλυμμένῳ· τὸ γὰρ ἄνιφον πάντως καὶ ἥμερον.

756. ἀγαπήνορα] τὸν δι' ἀνδρ⟨ε⟩ίαν ἀγαπώμενον· ἢ μᾶλλον, ἐπεὶ βουλευτὴς ἦν· εἰκότως εἴη ἂν ἀγαπήνωρ οἷον ὁ τοὺς στρατιώτας ποιῶν διὰ λόγων συμβουλευτικῶν ἀγαπᾶν τὴν ἀνδρ⟨ε⟩ίαν καὶ μὴ προδιδόναι αὐτὴν δειλίᾳ, ὁ παρασκευάζων καὶ τοὺς ἀνάνδρους ἀνδρείους γίνεσθαι. B–

761. πάμπαν ἀπήμονας] ταχίστῃ συλλήψει ἐδήλωσεν ὧν μὲν τρῶσιν, ὧν δὲ τέλεον ἀναίρεσιν· Ἕλενος γὰρ καὶ Δηίφοβος οὐκ ἀπήμονες, Ὀθρυονεὺς δὲ καὶ Ἄσιος οὐκ ἀνώλεθροι. A + B=

763. * πρὸς τὸ δεύτερον ἀπήντηκε, πρὸς τὸ "οὐδ' ἀνολέθρους" (761). B=

764. βεβλημένοι οὐτάμενοί τε] συλληπτικῶς· ἐβέβλητο γὰρ Ἕλενος, οὔταστο δὲ ὁ Δηίφοβος. A + B=

765. * "ἀριστερά" τοῦ Ἕκτορος, δεξιὰ τοῦ τείχους. B=

766. Ἀλέξανδρον, Ἑλένης πόσιν] ἐσπούδαζε γὰρ αὐτῆς ἀνὴρ εἶναι, ἁρπάξαι δέ, ὅτε βεβίαστο ὑπὸ θεοῦ, φησίν (Il. 3. 443), "ἅμα δ' εἵπετ' ἄκοιτις" (ib. 447). οἱ δὲ τὸν τέως ὄντα· διὸ Μενέλαον οὐδέποτε πόσιν αὐτῆς εἶπεν. B–

768. προσέφη αἰσχροῖς ἐπέεσσιν] ὡς αἴτιον τῆς μάχης, καὶ ἐπεὶ δι' αὐτὸν ὁ τῶν ἀρίστων κίνδυνος, ἐπεί τοι καὶ θαρσύνει τοὺς ἑταίρους (767)· ἀλλ' ἔχει ἦθος ὁ λόγος· αὐτὸς γὰρ αἴτιος τῆς ἐκείνων ἀπωλείας γεγονώς, ὡς ἀναγκάσας διαβῆναι τὸ τεῖχος, ἄλλῳ τὴν αἰτίαν ἀναφέρει· ὅπερ ἴδιον τῶν δυσχεραινόντων καὶ τὰ ἴδια ἁμαρτήματα μετατιθέντων. ὅπερ καὶ ἐξελέγχει ὁ Πάρις ἐν τῇ ἀποκρίσει "Ἕκτορ, ἐπεί τοι θυμὸς ἀναίτιον ⟨αἰτιάασθαι⟩" (775). B–

769. εἶδος ἄριστε] ἐπειδὴ τὸ "γυναιμανές" συνάπτει, μέμφεται τὸ κάλλος, ὡσεὶ ἔλεγεν 'ἐπὶ μοιχείᾳ καλλωπιζόμενε,' ἐπεί τοι ἀλλαχοῦ "οὐχ ὁράᾳς, οἷος κἀγώ" (Il. 21. 108). B–

770. ποῦ τοι Δηίφοβος] ἠθικῶς ὁ "τοί" ἐνταῦθα· οὐ γὰρ παρέλκει, ἀλλ' ἔχει χώραν κυριωτάτην, ἐπεὶ καὶ τὸ ὅλον δι' Ἀλέξανδρον πράττεται. B=

11. δὲ pro γὰρ B ‖ 13. ὑπήντησε B ‖ ἀνωλέθρους B ‖ 19. ἅπαξ εἰ δὲ ὅτε βεβίασται: corr. W ‖ 20. οἶδε

Digitized by Google

B= 772. νῦν ὤλετο] εἰκονικῶς προβάλλεται τὴν φωνὴν καὶ τὸ βλέμμα τοῦ σχετλιάζοντος.

AB= κατ' ἄκρης] ἕως τῆς ἀκροπόλεως. §. τινὲς "κρῆς" μονοσυλλάβως,
A= ἐπεὶ καὶ "κρῆθεν" (Od. 11. 588) φησίν.

B= 773. ⟨ὤλετο πᾶσα κατ' ἄκρης Ἴλιος αἰπεινή· νῦν τοι⟩ σῶς αἰπὺς ὄλεθρος] σῳζόμενος. τ⟨οι⟩οῦτο γὰρ ὀλέθρου σῳζομένου γίνεται τοῖς ἐντυγχάνουσιν. οἱ δὲ ἰσχυρός, οἱ δὲ πλήρης, οἱ δὲ σῳστέος, ἵν' ᾖ, νῦν σοι σῳστέον τὸν ὄλεθρον, ὅ ἐστι, νῦν ὀφείλεις σκοπῆσαι πῶς σωθήσῃ.

775. αἰτιάασθαι] λείπει 'θέλει·' οἱ δὲ τὸ "αἰτιάασθαι" ἀντὶ τοῦ
B= αἰτιᾶται. §. τὸ δὲ "ἐρωῆσαι" (776) ὑποχωρῆσαι, τὴν ἐπὶ τὰ ὀπίσω ὁρμὴν ποιῆσαι· οὐ γὰρ νῦν.

B= 778. ἐξ οὗ γάρ] ἐξ ὅτου παρώρμησας τοὺς ἑταίρους ἐπὶ ταῖς ναυσίν. ἠρέμα δὲ ἐλέγχει, ὅτι ἐκεῖνος αἴτιος, ἀναγκάσας ἐνταῦθα ἐλθεῖν· σαφῶς δὲ οὐ δύναται ἐλέγχειν.

B= 779. * ὁμιλέομεν Δαναοῖσι] κατὰ ἴλας συμβάλλομεν.

780. * ἕταροι] περὶ ὧν ὕστερον ἠρωτήθη φησίν.

B= 782. τετυμμένω] σύλληψις· φησὶ γὰρ "δουρὶ βραχίονα τύψεν" (529)· καὶ περὶ τοῦ ἑτέρου "τὴν βάλεν, ᾗ ῥ' ἔχε τόξον" (594).

B= 786. ἀλκῆς δε⟨υ⟩ήσεσθαι, ὅση δύναμίς ⟨γε πάρεστιν⟩] ὅση μοι πάρεστι δύναμις, παραυξήσω τὴν ἀλκήν.

B= 787. * παρ δύναμιν δ' οὐκ ἔστι καὶ ἐσσύμενον πολεμίζειν] τῶν πάνυ χρησίμων ἡ γνώμη καὶ καθ' αὑτὴν ⟨ὑπάρχουσα⟩.

A+ 791. Ὀρθαῖον] ὡς Ἀλκαῖον· τὰ γὰρ διὰ τοῦ αιος εἰς σύμφωνον ἔχοντα τὴν ἄρχουσαν καταλήγουσαν προπερισπᾶσθαι θέλει. §. "Ὀρθαῖον" ἁπλοῦν, Εὔμαιος σύνθετον.

A+B− 793. ἀμοιβοί] οἱ μὲν πεζοί, οἱ δὲ ἀμειβόμενοι Πρίαμον ὑπὲρ ὧν ἐπεκούρησε Φρυξίν, οἱ δὲ διάδοχοι τῶν προκαμόντων, ἵνα ᾖ ἔπαινος τῶν Ἑλλήνων διαδοχῇ μὴ κεχρημένων· καὶ ἐπὶ τῶν ἄλλων γὰρ νοητέον· παρατηρητέον δὲ ὅτι κατὰ μέρος τὰς ἐπεξεργασίας ποιεῖται· τὸ γὰρ εἰπεῖν, ὅτι ἐγίνοντο διαδοχαὶ τῶν στρατιωτῶν, ψυχρὸν ⟨ἂν⟩ ἦν, ἐπὶ δὲ τῆς χρείας χαρίεν.

1. ὄλετο ut textus ‖ 6. supplevi ex B ‖ ὄλεθρος ante γ. omisi ‖ 6, 7. γίνεται scripsi: γράφει ‖ γ. ὁ. σωζομένου τὸ ὄλεθρον ἐμποιεῖν τοῖς ἐντ. B ‖ 10. αἰτιάσασθαι λ. ‖ 13. ὅτου B: ὅτε ‖ 18. τετυγμένω ‖ 19. τοῦ ante ἑτέρου om. B ‖ 23. supplevi ex B ‖ 24. Ἀλκαῖον τὰ A: ἄρχοντα ‖ 29. κεχρημένων B: κεχωρημένων ‖ 30. μ. τῆς ἐπ.

Digitized by Google

795. οἱ δ' ἴσαν—ἀνέμων] κατ' ἀρχὰς μὲν ἀέλλῃ τὴν ἔφοδον B= αὐτῶν παρέβαλε διὰ τὸ σφοδρὸν τῆς ὁρμῆς, ὕστερον δὲ τὸ πλῆθος εἴκασε πελάγει· ὄχλου ⟨γὰρ⟩ κίνησις καὶ ὁρμὴ θαλάσσης παραπλήσιον. §. εἰς ἔμφασιν δὲ τῶν ἀνέμων τὸ "ἀργαλέων" πρόσκειται, B= ἵνα τοὺς σφοδροὺς ἐμφήνῃ.

* οἱ δέ] οἱ περὶ Ἕκτορα.

796. ὑπὸ βροντῆς] ⟨ἡ ἄελλα⟩ μετὰ βροντῆς ἐπιφέρεται μὲν ὡς B= ἐπὶ τὸ πέδον, ἀποσκήπτει δὲ εἰς θάλασσαν, ὅ ἐστι σκηπτός.

797. θεσπεσίῳ] θείῳ, οἱονεὶ τῷ μετὰ θείου σκηπτοῦ φερομένῳ, B— ἢ μετὰ ὀργῆς θεῶν κατιόντι· δηλοῦν οὖν θέλει τὴν ἀπὸ θεοῦ καταβεβηκυῖαν ἄελλαν.

798. κύματα παφλάζοντα] δεῖξαι θέλει καὶ φύσιν κυμάτων. B= καί μοι δοκεῖ καὶ τὸν ἦχον μιμήσασθαι διὰ τῆς περὶ τὴν σύνθεσιν τῶν σημείων τραχύτητος "παφλάζοντα πολυφλοίσβοιο·" εἶθ' ὅρα καὶ τὸ ὁμοιοκατάληκτον "κύματα παφλάζοντα," "κυρτὰ φαληριόωντα," καὶ ἔχει ἕκαστον τῶν ὀνομάτων ἰδίαν χάριν· τὰ μὲν γὰρ "παφλάζοντα" πρὸς τὸν ἦχον, τὰ δὲ "κυρτά" πρὸς τὸν ὄγκον, τὰ δὲ "φαληριόωντα" πρὸς τὸ χρῶμα. προειπὼν δὲ "ἐν δέ τε πολλὰ κύματα" ἐπεξηγεῖται πῶς πολλά, "πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα" (799). εἰς δὲ τὴν συνέχειαν τῆς ἐπιφορᾶς τῶν πολεμ⟨ί⟩ων ἡ εἰκών. §. τὸ δὲ "φαληριόωντα" (799) λευκανθίζοντα τῷ ἀφρῷ, ὡς καὶ οὗτοι τῇ B= παντευχίᾳ (800).

*παφλάζοντα] ἐν τῷ ἀναζεῖν ἠχοῦντα. πρὸς τὸν Τρωικὸν B= πόλεμον.

799. *πρὸ μέν τ' ἄλλα] πρόσω μὲν ἄλλα. B+

805. πήληξ] παρὰ τὸ πάλλεσθαι ὠνόμασται. οὗτος δέ ἐστιν ὁ κορυθάιξ.

806. * ἐπειρᾶτο] ἐπείραζεν.

προποδίζων] ἠρέμα ἕτερον ⟨ἐφ'⟩ ἑτέρῳ πόδα τιθείς. B=

807. προβιβῶντι] μετὰ πολλῆς ἀσφαλείας βαίνοντι. τῷ δὲ B= βαδίσματι καὶ τῇ προτροπῇ δείκνυσιν ἄνδρα βάρβαρον ἐνδεικνύμενον τὴν εὐψυχίαν.

3. supplevi ex B ‖ 3, 4. παραπλήσια B ‖ 7. ἐπιφέρεται B: ὑποφέρεται ‖ 8. σκηπτὸν B ‖ 9. καὶ ante σκ. omisi ‖ 16. τὴν ante ἰδ. omisi ut B ‖ 19. μέν τ' ἄλλα ‖ 20. supplevi ex B ‖ 25. ἄλλοι alterum ‖ 27. κορυθράξ ‖ 29. supplevi ex B ‖ 32. εὐτυχίαν ut B: corr. Bekker

Digitized by Google

A+ 808. ἀλλ᾽ οὐ σύγχει θυμόν] μετὰ τοῦτον Ζηνόδοτος γράφει "λίην γάρ σφιν πᾶσιν ἐκέκριτο θάρσεϊ πολλῷ."

A+ 809. βιβάσθων] βαρυντέον, εἴτε ἀπὸ τοῦ βιβῶ ἐγένετο εἴτε ἀπὸ τοῦ βιβαστός. Ἀρίσταρχος δέ φησιν, 'ἐὰν ὀξύνηται, ἔσται μακρὰ διαβάς.'

B= 810. δαιμόνιε, σχεδὸν ἐλθέ] δαιμονίως τὸ "ἐλθέ·" τὸν μὲν γὰρ κίνδυνον ἴδιον αὐτῷ καθίστησι διὰ τοῦ "σχεδὸν ἐλθέ," τὴν δὲ ἀρετὴν κοινὴν ἁπάντων· "οὔ τοι τι μάχης ἀδαήμονές εἰμεν" (811).

811. ⟨οὔ τοι τι μάχης⟩ ἀδαήμονές εἰμεν] 'ἀμύνειν γὰρ ἴσμεν,' ἵνα τὴν μὲν ἀτυχίαν κοινοῖτο, τὸ δὲ ἕτερον μή· μετρίως δὲ οὐκ 'ἔμπειροί ἐσμεν' φησίν, ἀλλ' 'οὐκ ἀδαήμονες·' τούτοις δὲ ἀντιτιθ⟨έ⟩ναι ἄξιον τὰ Ἕκτορος, "αὐτὰρ ἐγὼν εὖ οἶδα μάχας" (Il. 7. 237).

812. * μάστιγι] τῇ πληγῇ, μεταφορικῶς.

B= 814. ἄφαρ] ῥᾳδίως, παραχρῆμα· τινὲς δὲ 'ἐέλπεται ἄφαρ ἐξα⟨λα⟩πάξειν, εἰσὶ δὲ χεῖρες καὶ ἡμῖν, ὥστε ἀμύνειν.' ἤ, εἰσὶ καὶ ἡμῖν χεῖρες, ὥστε ἄφαρ ἀμύνειν.

B+ 818. ἀρήσῃ Διὶ πατρί] οὐ προμαντεύεται ἀλλὰ στοχάζεται ἀκούσας Ἀχιλλέως "ἀμφὶ δέ τοι τῇμῇ κλισίῃ—Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀίω" (Il. 9. 654).

819. * θάσσονας ἰρήκων] πολλὴ ὑπερβολὴ τοῦ δέους.

822. * ἐπί] ὀπίσω.

B− 824. ἁμαρτοεπές] τῶν βελτίστων λόγων ἁμαρτάνων, ὡς "μοιρηγενές" (Il. 3. 182)· ἐπιλέλησται δὲ τοῦ "ἐπειδὴ δῶκε θεὸς μεγεθός τε βίην τε καὶ πινυτήν" (Il. 7. 288)· τοιοῦτον γὰρ ὁ ἄνθρωπος· ὅταν μὲν κινδύνῳ συσχεθῇ, ταπεινοῦται, ὅταν δ' ὑπεκρυῇ, ἀφηνιάζει.

AB− βουγάιε] τὴν γῆν ἐργαζόμενε βοῦ, διὰ τὸ δυσκίνητον καὶ μὴ δρομικόν, ὡς Ἀχιλλεύς, καὶ μέγα τοῦ σώματος. ἢ ἐπὶ τῇ ἀσπίδι γαίων. ἢ ἐπειδὴ εἶπε "χερσὶν ὑφ' ἡμετέρῃσιν" (816)· καὶ Ἶρος γὰρ ἔλεγεν "ὃν ἂν κακὰ μητισαίμην" (Od. 18. 27). οἱ δὲ "βουκάιε" ὅ ἐστιν ἄγροικε, "βουκαῖός τ' ἀλέγοι καὶ ὀροιτύπος" Νίκανδρος (Ther. 5)· οἱ δέ φασιν, ὅτι Δουλιχῖται καὶ Σάμιοι τοὺς

2. πᾶσι κέκριτο θάρσει ‖ 9. ἀμύνειν μὲν γὰρ ἴσμεν vel ἀμύνειν μὲν χεῖρές εἰσι cf. v. 814 W, ἄμεινον γάρ εἰσιν ‖ 10, 11. ἐμπείροις φήσομεν ἀλλ': corr. Bekker ‖ 14, 15. ἐξαλαπάζειν B ‖ 23. ἐπεί τοι textus ‖ 25. ὅτε ‖ ὅτε ‖ ὑπεκρρυῇ ‖ 29. καὶ ἰατρὸς: corr. Bekker ‖ 30. καὶ μητ. ‖ 31. βοῦ καὶ ὀστᾶ λέγοι κ. ὀροιτύπος

Digitized by Google

ἐσθίοντας τὸ γάλα μηδὲν δὲ ἰσχύοντας βουγαίους καλοῦσιν. §. Ζηνόδοτος δὲ "βουγήιε" γράφει· Ἀρίσταρχος "βουγάιε." A+

825. Διὸς πάις] δ' εὔχεται, καὶ παῖς Διὸς εἶναι καὶ δι' ὅλου ὡς θεὸς καὶ ἐξ Ἥρας καὶ ἴσος Ἀθηνᾷ ⟨καὶ Ἀπόλλωνι⟩. B=

826. * τέκοι δέ με—Ἥρη] τεχθεὶς εἴην ὑπὸ Ἥρας.

827. ὡς τίετ' Ἀθηναίη] ἔνθεν Ἀθηναῖον ὑπονοοῦσιν Ὅμηρον—πατρῷον γὰρ τιμῶσιν Ἀπόλλωνα—ἤ, ὅτι οὗτοι μόνοι πιστεύονται τὴν αἰγίδα, τιμᾶσθαι αὐτούς φησιν.

829. * πεφήσεαι] ἐκ τοῦ φῶ τὸ φονεύω.

830. * μακρόν] κατὰ βάθους ἐρχόμενον. B=

λειριόεντα] ἀνθηρόν, σκιατραφηθέντα. §. "χρόα" δὲ καλεῖ τὴν B=
ἕως ὀστῶν σάρκωσιν. B=

831. * δάψει] Ἀκαρνᾶνες. §. ῥήξει.

κορέεις κύνας] ὄντως νεμεσητόν· ὁ γὰρ περὶ λύμης σώματος ἀπειλῶν αἰκισθήσεται περὶ σῶμα. B+

832. * ἐπὶ νηυσίν] τινὲς "⟨παρὰ⟩ νηυσίν" γράφουσιν. A=

835. ἐπίαχον] δηλονότι ἀνθιστάμενοι, ὥστε ἐκ τῆς ἑκατέρων βοῆς μέγαν τινὰ ἦχον γενέσθαι. B=

836. * ἐπιόντας] οὓς ἐπήγετο ὁ Ἕκτωρ.

837. ἵκετ' αἰθέρα] ἐν τάχει τὸ μέγεθος τῆς βοῆς ἐσήμανεν εἰς ὅσον ἤρθη· τὸ γὰρ μέγιστον ἔξαρμα οὐρανός ἐστι καὶ γῆ. B=

Διὸς αὐγάς] τὸν οὐρανόν· "δι' αἰθέρος οὐρανὸν ἧκεν" (Il. 2. 458)· οἱ δὲ "Διός" τοῦ ἡλίου, Πλατωνικῶς· οἱ δὲ τὰ ὑψηλὰ τῶν ὀρῶν· οἱ δὲ αὐλάς, ἐπεί φησι "Ζηνός που τοιῆδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή" (Od. 4. 74), "Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι" (Il. 15. 192). B−

## ΕΙΣ ΤΗΝ Ξ.

Καθελὼν τὸ τεῖχος ὁ ποιητὴς καὶ τοὺς Τρῶας εἰσαγαγὼν ⟨καὶ⟩ ἀναλώσας τὰς πολλὰς ἐνεργείας τῶν λόγων ⟨καὶ τὰ⟩ περιπτώματα, τὴν ἐπὶ ταῖς ναυσὶ μάχην ὑπερτίθεται διὰ Νέστορος καὶ τῆς τοῦ Διὸς κοιμήσεως· δείκνυσι γὰρ ὡς ἄκων ἐλιμπάνετο ⟨Νέστωρ⟩ τῆς μάχης B=

2. βουγήιε A: βουτήιε ‖ Ἀ. δὲ βουγάιε A: Ἀ. βησάιε ‖ 3. εἶναι καὶ B: καὶ εἶναι ‖ 4. supplevi ex B ‖ 7. Δία post Ἀπ. omisi ‖ αὐτοὶ μ. ‖ 11. σκιατραφηθέντα rec.: σκιογραφηθέντα ‖ 16. παρὰ νηυσίν A: νευσί ‖ 21. ἔξαρμα vel δίαρμα W: ἔξαλμα ‖ 23. ἡλίου scripsi cf. Eust.: οὕτως ‖ 24. φ. Ζηνόδοτος τί οὗτοι ἧδε γ': corr. Bekker ‖ 25. ἔλαχεν ‖ 27. inscriptionem addidi: ἀρχὴ τῆς Ξ textui inscriptum ‖ 28, 29, 31. supplevi ex B

Digitized by Google

συνὼν Μαχάονι διὰ τὸ αὐτὸν αἴτιον εἶναι τῆς τῶν ἄλλων σωτηρίας.

B= 1. Νέστορα] ἀπάγει ἡμᾶς ἀπὸ τοῦ ὁμοειδοῦς, μὴ θέλων ἐπιμένειν τοῖς Ἑλληνικοῖς ἀτυχήμασιν.

A— οὐκ ἔλαθεν] σημαίνει καὶ τὸ ἐκ προαιρέσεως μαθόντα παραπέμψασθαι· "καὶ τότ' ἐγὼ Κίρκης—λα⟨ν⟩θ⟨αν⟩όμην" (Od. 12. 226, 7) καὶ "ἢ λαθέτ' ἢ οὐκ ἐνόησεν" (Il. 9. 537).

B+ οὐκ ἔλαθεν ἰαχή] τὸ ἰδίωμα τῆς βοῆς οὐκ ἔλαθεν αὐτὸν ὡς πάλαι πολέμων εὖ εἰδότα. καὶ Μενέλαος οὖν φησι "τῷ ἰκέλη, ὡς εἴ ἑ βιῴατο" (Il. 11. 467).

B— πίνοντά περ ἔμπης] ἀκολάστως φασὶ πίνειν αὐτόν· ἢ τάχα τὸν κυκεῶνά φησιν, ὃς εἶχε καὶ οἶνον. τινὲς δὲ στίζουσιν εἰς τὸ "ἰαχή," καὶ τὸ ἑξῆς, ἀλλὰ καὶ πίνοντα τὸν Ἀσκληπιάδην προσεῖπεν· τινὲς δὲ τὸ "ἔμπης" ἀντὶ τοῦ 'ὁμοίως τῷ Μαχάονι,' ὡς τὸ "ἔμπης εἰς γαῖάν τε καὶ οὐρανόν" (174), "σὺ δὲ χαῖρε καὶ ἔμπης" (Od. 5. 205) ὁμοίως παρών τε καὶ ἀπών, τόν τε "πέρ" πλεονάζειν, ὡς ἐν τῷ "μηδέ μοι ἦτορ ἐν στήθεσσιν ὄρινε φυγόντι περ αἰπὺν ὄλεθρον" (Od. 17. 46, 7).

B= ἄλλως: πίνοντά περ] οὐχ ὅτι παράδοξον τὸ πίνοντα κραυγῆς ἀκοῦσαι, ἀλλ' ὅτι καὶ πίνων ὅμως παρεφύλαττε τὰ ἐπὶ τοῦ πολέμου γινόμενα· ἐπάγει οὖν "μείζων δὴ παρὰ νηυσὶ βοή" (4), δηλῶν ὅτι καὶ πρὸ τῆς βοῆς προσεῖχεν· δηλοῖ οὖν, ὡς οὐδὲν ⟨ἡ⟩ χρεία τῶν ἡδέων κατὰ τὴν δίαιταν τοῖς σπουδαίοις ἐμποδὼν πρὸς ἐπίσκεψιν γίνεται.

B= 2. ** ⟨Ἀσκληπιάδην—⟩ προσηύδα] τὸ ἑξῆς, πρὸς Ἀσκληπιάδην. Ξάνθης δὲ καὶ Ἀσκληπιοῦ υἱὸς Μαχάων.

3. δῖε Μαχᾶον] ὡς Ἀνδραῖμον.

B= * ἔσται] γενήσεται.

B= 4. θαλερῶν] ἀπὸ τῶν φυτῶν· λείπει δὲ τῷ λόγῳ τὸ ἐστίν.

A—B= 5. πῖνε καθήμενος] ἀντὶ τοῦ πῖθι, ὡς "διεφαίνετο χῶρος πιπτόντων" (Il. 10. 199) ἀντὶ τοῦ πεσόντων. ὡς δὲ ἐπιπολαίας οὔσης τῆς πληγῆς καὶ ἰατρὸς ὢν καταφρονεῖ τῆς διαίτης. §. οἱ δὲ γράφουσι "μίμνε καθήμενος ἐν κλισίῃσιν."

B= 6. ** ⟨εἰς ὅ κε⟩ θερμὰ λοετρὰ ⟨—θερμήνῃ⟩] προανακτησάμενος αὐτὸν ποτῷ καὶ κυκεῶνι λούει, οὐ τὰ θερμὰ δὲ "θερμήνῃ" (7), ἀλλὰ θερμήνῃ ἅ ἐστι θερμαντικά.

1. τῶν ἄλλων B ‖ 9, 10. ὡς ἠὲ βιώσατο ‖ 17. ἐνὶ στ. ‖ 21. supplevi ex B ‖ 22. πρὸς τὴν τῶν σπουδαίων ἐπίσκεψιν Eust. ‖ 32. προανακτησάμενος B: προαναστήσας ‖ 34. θερμαντικά B: θερμὰ λουτρά

7. ἄπο βρότον] ἀναστρεπτέον τὴν πρόθεσιν. §. διὰ δὲ τὸ ἀτονεῖν οὐκ εὐθέως ἔλουσεν αὐτόν. A + B = §. βροτὸς ὁ ἄνθρωπος ὁ φονευτός, βρότος δὲ ὁ φόνος. B = B +

8 * εἴσομαι] ὄψομαι, ἢ γνώσομαι. B =

εἰς περιωπήν] ὅθεν ἔστι περισπτεύειν· ἢ κρημνός (Il. 12. 54), ἢ πρύμνα νεώς, ὡς Ἀχιλλεύς (Il. 11. 600)· καὶ ᾤετο μὲν μόνως ἀφ' ὕψους ἰδεῖν, ἐξελθὼν δὲ τῆς σκηνῆς εἶδεν αὐτοὺς πλησίον ἤδη γεγονότας. §. ὄπτω ὀπή, ὡς τὸ κλέπτω κλοπή. B –

9. τετυγμένον] εὔτυκτον, ὡς "ποιητὰς—πύλας" (Il. 12. 470), ὀρυκτὴν τάφρον (Il. 8. 179), "⟨ἅρμασι⟩ κολλητοῖσιν" (Il. 23. 286)· λείπει γὰρ ἐν ὅλοις τὸ εὖ. B –

9, 10. σάκος—Θρασυμήδεος] διδάσκει, ὅπως δεῖ περὶ κτημάτων παῖδας πατράσι διακεῖσθαι· ἴσως δὲ ὑποχωρῶν τῆς μάχης καὶ πρῶτος νοήσας τὸ Ποσειδῶνος τὴν κρείττω ἀσπίδα ἀφῆκε τῷ υἱῷ, ἵνα ἀπιὼν μὴ φυγῆς δόξαν ἀπενέγκηται, ὡς καὶ Ἕκτωρ τὸ ἅρμα λιπὼν ἄπεισιν εἰς τὴν πόλιν (Il. 6. 103). B –

12. ἄλκιμον] κατὰ ἀναφορὰν τὴν ἐπὶ τὸν φοροῦντα. §. "ἀκαχμένον" δὲ ἀκὴν ἔχον, ἠκονημένον, μὴ εἶκον, σκληρόν, ἀντίτυπον. B = B =

13. τάχα δ' εἴσιδεν] δαιμονίως τὴν ἔπειξιν τοῦ πρεσβύτου παρέστησεν· οὐ γὰρ προσωτέρω προελθὼν περισκοπεῖ, ἀλλ' ἅμα τῷ τῆς σκηνῆς ἐκτὸς γενέσθαι. B +

* τάχα] ταχέως. B =

14. τοὺς δὲ κλονέοντας] τῇ ἐπιφορᾷ διέστειλε τὴν ἀμφιβολίαν, ὡς "ἡ δ' ἑτέρη θέρεϊ προρέει" (Il. 22. 151)· ἐδήλωσε γάρ, ὡς ἡ πρώτη χειμῶνος ῥεῖ. B =

15. ἐρέριπτο δὲ τεῖχος] ἀντὶ τοῦ ἀνερήριπτο. §. αὔξει δὲ τὴν συμφορὰν ὡς φιλέλλην· ἡ ἔπαλξις γὰρ ἦν πεσοῦσα. B =

16. πορφύρῃ] μελαίνηται, ὅθεν καὶ "πορφύρεος θάνατος" (Il. 5. 83)· ἢ κατὰ βάθους κινῆται· πορφύρειν γὰρ τὸ κατὰ βάθος μεριμνᾶν. A + B =

* πορφύρῃ] Ζηνόδοτος διὰ τῆς ει διφθόγγου. A =

κύματι κωφῷ] ἀφώνῳ, μηδέπω παφλάζοντι καὶ κωφῷ, οἱ δὲ τῷ ἀροίζῳ· "κωφὴν" δὲ "γαῖαν" (Il. 24. 54) τὴν ἀναίσθητον. τοῦτο δὲ A + B =

6. μόνος (ως) pr. ‖ 11. εὖ B: σὺν ‖ 12. διδάσκει B: δίδαγμα ‖ 28. πορφύρει B ‖ μελαίνεται B ‖ 29. κινεῖται ‖ βάθος μ. B: βάθους ‖ 31. ἐν τῇ Ζηνοδότου A ‖ 32, 3. κωφὸν ὕδωρ τὸ ἄροιζον B

Digitized by Google

'Αττικοὶ "κολόκυμα" (Aristoph. Equ. 692), Αἰολεῖς ⟨δὲ⟩ σκώληκα καλοῦσιν. καλῶς δὲ μελαίνεσθαι τὸ πέλαγός φησι τὸ μηδέπω ὕπαφρον γενόμενον ἐκ κυμάτων παφλαζόντων.

* κωφῷ] τινὲς "πηγῷ" γράφουσιν.

17. * λιγέων] ὀξέων.

18. * αὔτως] ἀπράκτως. διαφέρει το⟨ῦ⟩ αὐτως.

AB– οὐδ' ἄρα τε] διὰ τοῦ "τέ" αἱ Ἀριστάρχου, ἵνα παρέλκῃ ὁ "τέ."

B= * προκυλίνδεται] ἔμπροσθεν κυλίεται τὸ κῦμα.

B= ⟨οὐδ'⟩ ἑτέρωσε] ἀντὶ τοῦ εἰς τοὐπίσω, ἵν' ᾖ ἀπὸ κοινοῦ τὸ "κυλίνδεται," ὅ ἐστιν 'οὐδὲ εἰς τοὐπίσω ἀνακάμπτει.' §. οὐκ ἐπὶ τοῦ πολέμου, ἀλλὰ μεταβέβηκεν ὁ λόγος ἐπὶ τὸ κῦμα.

19. πρίν τινα κεκριμένον ⟨καταβήμεναι ἐκ Διὸς οὖρον⟩] τινὲς δὲ 'κεκριμένον ἐκ Διός.' §. διδάσκει, ὅτι τὸ ἄνω θερμὸν τὸν ἀέρα κινοῦν
B– ἄνεμον ποιεῖ, λῦον τὴν περικειμένην ὕλην· εἰσὶ γὰρ ἐξ ἰκμάδος· καὶ "ἴκμενον οὖρον" (Il. 1. 479)· καὶ Ἰκμ⟨α⟩ῖος Ζεὺς τιμᾶται, ὁ τῶν ἀνέμων δεσπότης (Apoll. Rhod. II. 522)· καὶ "κοιμήσας δ' ἀνέμους χέει ἔμπεδον" (Il. 12. 281).

B= * κεκριμένον] ἀπλανῆ, σταθερόν· ἢ τῶν ἄλλων κεχωρισμένον.

B= §. οὖρος δὲ παρὰ τὸ ὀρούειν.

20. * ὤρμαινε] ὥρμα τῇ διανοίᾳ.

δαϊζόμενος] διὰ μέσου τὸ "δαϊζόμενος." §. τὸν δὲ δεύτερον ῆ
B+ περισπαστέον· ὡς τιμώμενος δὲ λίαν παρὰ Ἀγαμέμνονι ἄτοπον ἡγεῖτο μὴ ὁρᾶν αὐτὸν τετρωμένον. ἢ ὅτι οὐδὲν δεῖ ποιεῖν ἄνευ σκέψεως· δεῖσθαι οὖν νενόμικε τῆς σὺν ἐκείνῳ βουλῆς, ὡς καὶ αὐτὸς ἐν τῇ νυκτί (Il. 22. 73)· ἐπάγει γοῦν "ἡμεῖς δὲ φραζώμεθ', ὅπως ἔσται τάδε ἔργα, εἴ τι νόος ῥέξει" (61).

A+B– 21. διχθάδι', ἢ ⟨μεθ' ὅμιλον⟩] τὸ τέλειον διχθάδια· τινὲς δὲ "διχθαδίῃ," ὡς τὸ "ἢ μ' οἴῳ ἔρροντι" (Od. 4. 368). ὥσπερ δὲ τὸ κῦμα ἀργοῦν ἕστηκε πρὸ τῆς ἐμβολῆς τοῦ ἀνέμου, οὕτω καὶ ὁ γέρων. ἔστι δὲ ταῦτα τοῦ βουλευτικοῦ καὶ ἔμφρονος, ἐπιμένοντος πλέον ταῖς σκέψεσιν.

24. * ἐπ' Ἀτρείδην] ἀντὶ τοῦ πρὸς Ἀτρείδην, ὡς "ἐπ' ἔμ' ἔρχεο" (Il. 10. 85).

1. supplevi ex B ‖ 17. κοιμίσας ‖ 19. σταθηρὸν B ‖ 23. ἡ γεῖ τὸ ‖ 28. διχθαδίη τὸ τέλ. ‖ 29. ἤμ' οἴῳ ἔρρωνται ‖ 31. ἐπιμ. ἐπὶ πλ. B

Digitized by Google

ἀλλήλους ἐνάριζον] ἐμάχοντο γὰρ ἐκεῖνοι, πρὸς οὓς ἀπελθεῖν B= ἠβούλετο. τοῦτο γὰρ ἐπήγαγε πρὸς τὸ "ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν" (21).

25. λάκε δέ σφι] οἱ μὲν ἠλλάχθαι τὸν χρόνον, οἱ δὲ ἀντὶ τοῦ A= ἐλήκει ἐνδείᾳ τοῦ ῑ, "ὡς ἄνοον κραδίην ἔχες" (Il. 21. 441), καὶ Ἰωνικῇ συστολῇ· ὠνοματοποίηται δέ· ὅθεν καὶ ἡ λακίς. §. "ἀμφιγύοισι" δὲ ἀμφοτέρωθεν γυῶσαι δυναμένοις, ὅ ἐστι βλάψαι· ἢ ἀμφο- B= τέρωθεν γυῖα ἔχουσι καὶ ἐπερείδεσθαι δυναμένοις· γυῖα δὲ δοράτων τὰ ἄκρα τοῦ σιδήρου.

27. ξύμβληντο] συνέβαλον κατὰ συντυχίαν. ἤ, ὥσπερ ὁ Νέστωρ B= ὑπὸ τῆς βοῆς κινηθεὶς πρόεισιν, οὕτω καὶ οἱ συνηγμένοι τραυματίαι ἐπὶ τὴν τοῦ βασιλέως σκηνὴν τεταραγμένοι ἐπὶ τῇ βοῇ ὁμοῦ προΐασιν.

28. * παρ νηῶν ἀνιόντες] τῶν πρὸς τῇ θαλάσσῃ νηῶν ἐπὶ τὰς ἐν B= τῷ τείχει ναῦς.

ὅσοι βεβλήατο] καὶ μὴν μόνος ἐν αὐτοῖς Διομήδης ἐβέβλητο. B= οὐκ ἔστιν οὖν σύλληψις· αἱ γὰρ συλλήψεις ἀπὸ τῶν ἴσων ἢ ἀπὸ τῶν πλε⟨ι⟩όνων γίνονται, ὡς καὶ ⟨τὸ⟩ "οὐτάμενοί περ, ἀνάγκῃ" (128). ἔστιν οὖν εἶδος ἀντὶ γένους, ἀντὶ τοῦ 'ὅσοι τετρωμένοι ⟨ἦσαν⟩·' καὶ ἀλλαχοῦ "ὅντινα τοῦτον ἄγει βεβλημένον" (Il. 11. 612) ἀντὶ τοῦ τετρωμένον· οὐ γὰρ δὴ Ἀχιλλεὺς ᾔδει, πότερον ἐκ προέσεως ἢ συστάδην τέτρωται ὁ σὺν τῷ Νέστορι.

30. πολλὸν γάρ ⟨ῥ'⟩ ἀπάνευθε μάχης] ἐπεξηγεῖται τὸ "ἀνι- B– όντες" (28). ἔστι δὲ περιπαθές, ὅτι καὶ μακρὰν ὄντες ὅμως ἤεισαν ἐπὶ τὴν μάχην. ἀλλὰ προληπτικῶς τὴν αἰτίαν εἶπεν· ἔδει γάρ, 'ὀψείοντες κίον· καὶ γὰρ πολλὸν ἀπάνευθε μάχης εἰρύατο νῆες.'

31. τὰς γὰρ πρώτας πεδίονδε εἴρυσαν] ὅτι οὐκ ἐν διστ⟨ο⟩ιχίᾳ B– ἦσαν, ὥς φησι Κράτης. εἶπε γὰρ ἂν 'προτέρας·' καὶ "νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ τῶν προτέρων" (Il. 15. 656). ἔστι δὲ τὸ "πρώτας" τῶν πρός τι, καὶ εἰσὶ πρῶται μὲν αἱ πρὸς τῇ θαλάσσῃ νενεωλκημέναι—ἑξῆς γοῦν φησι "νῆες ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης" (75)—ἔσχαται δὲ αἱ πρὸς τῷ τείχει. αἱ δὲ τοῦ Ἀγαμέμνονος νῆες πᾶσαι πρὸς τῇ θαλάσσῃ ἦσαν, ὥς που φησὶν ὁ

5. ἔληκε A, ἔληκε Bekker ‖ ῑ A ‖ ἄνωρον κρ. ἔχεις A, ἄννοον κρ. ἔσχες ‖ 6. ὠνοματοπεποίηται ut A Eust. ‖ 11. πρόεισιν οὕτω B: πρόεισι διὰ τοῦτο ‖ 18, 19. supplevi ex B ‖ 20. ἄγεις ‖ 21. προέσεως scripsi: ἀφέσεως B, προθέσεως ‖ 24. ἤεισαν B: ἴησαν ‖ 27. suppl. W ‖ 28. νηῶν

Digitized by Google

Διομήδης "νῆες δέ τοι ἄγχι θαλάσσης" (Il. 9. 43). οὕτως Αὐτόχθων. ὁ δὲ Ἡρακλέων νῦν μὲν τὰς πρὸς τῷ τείχει καὶ πρώτας φησίν, ἑξῆς δὲ τὰς πρὸς τῇ θαλάσσῃ· "νῆες ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης." καὶ ὁ μὲν τὸ "πρύμνῃσιν" ἀντὶ τοῦ ἐσχάταις, ὁ δὲ Ἡρακλέων "πρύμνῃσιν" ταῖς πρύμναις.

A+B− 32. ἐπὶ πρύμνῃσιν] τινὲς προπερισπάσαντες ἐσχάτας ἐξεδέξαντο, οὐχ ὑγιῶς. "πρύμνῃσιν" οὖν ταῖς πρύμναις, καὶ "ἐπί" ἀντὶ τῆς παρά· "ἀλλ' ἔρχεσθ' ἐπὶ νηυσίν" ἀντὶ τοῦ παρὰ ναυσίν· οὐ δύναται δὲ ταῖς 'ἐσχάταις'· οὐ γὰρ πρύμνον ἄλλου ἄλλο, ἀλλ' αὐτὸ ἑαυτοῦ. "πρύμνον σκέλος" (Il. 16. 314) τὸ περὶ ἄκραν σάρκωσιν.

B= 33. * οὐδὲ γὰρ οὐδ' εὐρύς] μέγας, ὡς τὸ "εὐρυκρείων Ἀγαμέμνων." πλεονάζει δὲ τὸ ἓν "οὐδέ."

A+B= 35. * προκρόσσας] κλιμακηδόν, τὴν ἑτέραν πρὸ τῆς ἑτέρας.

B= 36. * ἠιόνος στόμα μακρόν] διὰ τὸ ἔχειν ἐν ἑαυτῇ κοιλότητα πρὸς τὸ καθορμίζεσθαι τὰς ναῦς.

B= συνεέργαθον ἄκραι] "ἄκραι" τὰ κέρατα τοῦ ναυστάθμου, ὧν ἐκτὸς οὐκ ἦν ναῦς. §. ὅσον φησὶ στόμα συνέκλειον αἱ ἄκραι τῆς A+B= ἠιόνος, τουτέστιν ἀπὸ κέρως ἐπὶ κέρας.

A+B= 37. ὀψείοντες] αὕτη ἡ παραγωγὴ ἢ διὰ τοῦ ειω ἢ ἀπὸ ἐνεστώτων ἢ ἀπὸ μελλόντων γίνεται. κλίνεται δὲ μέχρι παρατατικοῦ.

AB+ ὀψείοντες] ὀπτικῶς ἔχοντες. §. Πτολεμαῖος "οὐ ψαύοντες." τὸ A+ 〈δὲ〉 "ὀψαΐοντες"—ἔστι γὰρ παρὰ τὸ ὄψ ὀπός—βάρβαρον.

38. * ἔγχει 〈ἐρειδόμενοι〉] καὶ Ὀδυσσεὺς γὰρ σκάζει· καὶ "τὼ δὲ δύω σκάζοντε βάτην παρὰ νῆας" (Il. 19. 47).

B= ἀθρόοι] πλήθους γὰρ ἀρχὴ ἡ τριάς· ἢ ὡς καὶ ἄλλων ἀσημοτέρων αὐτοῖς ἑπομένων, ἢ ἄφωνοι. §. Ἀρίσταρχος δὲ δασύνει τὸ A+ "ἁθρόοι."

B= 40. πτῆξε δὲ θυμόν] τῶν μὲν γὰρ τραυμάτων κατεφρόνουν ὡς γενναῖοι, τὸν θυμὸν δὲ ἤλγουν διὰ τοὺς συμμάχους.

A+B− πτῆξε δὲ θυμὸν 〈ἐνὶ στήθεσσιν Ἀχαιῶν〉] Ζηνόδοτος "πῆξε" καὶ "ἑταίρων," ἀντὶ τοῦ ἐν ἀκινησίᾳ ἐποίησεν—ἐπί τινι γὰρ χαλεπῷ τὴν ὑποχώρησιν αὐτοῦ ὑπώπτευσαν—ἢ ἐπέρρωσεν· ἡ γὰρ ἐλπὶς

13. κλιμακιδόν ‖ 14. ἑαυτῷ ‖ 21. ψ. τι ‖ 22. ὄψ' αἴοντες οὐ γὰρ παρὰ τὸ ὄψαπος γὰρ βάρβαρον ‖ 24. δύο ‖ 30. Ἡρωδιανὸς pro Z. B ‖ 31. καὶ ἑταίρων Lehrs, cf. A et infra p. 63, 3: καθετέρως ‖ 32. ἀποχώρησιν B

Digitized by Google

αὐτῶν ὁ λόγος αὐτοῦ. Ἀρίσταρχος δὲ "πτῆξε" ἀντὶ τοῦ ἐταπείνωσεν ἢ ἐπτόησεν· καίτοι ἠθέτει τὸν στίχον. οἱ δὲ γράφουσι "πλῆξε."

ἐνὶ στήθεσσιν Ἀχαιῶν] Ζηνόδοτος "ἑταίρων·" καὶ ὁ Νέστωρ γὰρ Ἀχαιὸς ἦν· ἀλλ' ὡς "περὶ δ' ἱρὰ θεοῖσιν ἀθανάτοισιν ἔδωκε" (Od. 1. 66)· καὶ ὁ λέγων γὰρ θεός.

41. * τόν] ἀντὶ τοῦ ὅν.

42. * τεταραγμένου τὸ ἦθος μὴ περιμεῖναι τὸν Νέστορος λόγον, ἀλλ' αὐτὸν ἄρξασθαι. B=

43. φθισήνορα] τὸν τοὺς ἄνδρας ἀναιροῦντα. καλῶς δὲ πρῶτον πυνθάνεται, πῶς καταλιπὼν τὴν μάχην ἀνακεχώρηκεν· ᾔδει γὰρ οὐκ ἐπιτρέποντα ἑαυτὸν τῷ γήρᾳ. οὐ μὴν αἱ ἀποκρίσεις τοῦ πρεσβύτου πρὸς τοῦτο γεγόνασιν· ἀκαίρως γὰρ δισσολογεῖν ἤμελλεν ὁ ποιητής. B=

44. * δείδω] Ἀριστοφάνης "δείδια." A=

45. ὥς ποτ' ἐπηπείλησεν] Ἀριστοφάνης "ὅς ποτε." §. "ποτέ" δὲ ἀντὶ τοῦ χθές· "ὅν ποτε δῶκας ἀντιθέῳ Ὀδυσῆι δόμον κάτα" (Od. 22. 290) καὶ "οὕς ποτ' ἀπ' Αἰνείαν ἑλόμην, μήστωρε φόβοιο" (Il. 8. 108). A= B~

46. * τῇ προτεραίᾳ ταῦτα εἴρηται, "μνημοσύνη τις ἔπειτα ⟨πυρὸς δηίοιο γενέσθω⟩ (Il. 8. 181)· καὶ Ὀδυσσεὺς "στεῦται γὰρ νηῶν ἀποκόψειν ⟨ἄκρα κόρυμβα⟩" (Il. 9. 241). B–

48. * τώς] ὡς "τὼς δέ σ' ἀπεχθήρω" (Il. 3. 415). A+

50. * ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον] ἐνθυμοῦνταί μοι χολοῦσθαι.

53. ἢ δὴ ταῦτά γ' ἑτοῖμα ⟨τετεύχαται⟩] πρὸς τὸ "δείδω, μὴ δή μοι τελέσῃ ἔπος" (44) φησίν· ταῦτα μὲν οὕτως ὡς ἐκεῖνος ἠπείλησεν ἔσται, καὶ οὐκ ἂν παρὰ ταῦτα ποιήσειεν ὁ Ζεύς. B=

55. ἐπέπιθμεν] συγκοπῇ τοῦ ἐπεπίθομεν, ὅθεν καὶ πεπιθὼν ἡ μετοχή· "ῥηιδίως πεπιθεῖν" (Il. 9. 184). §. "εἶλαρ" (56) δὲ παρὰ τὸ εἰλῶ, ὡς παρὰ τὸ θένω θέναρ (Il. 5. 339).

56. * ἄρρηκτον] τινὲς ἄρρατον, ἰσχυρόν, ἀνάλωτον.

* αὐτῶν] λείπει ἡμῶν.

58. * γνοίης] Ἀριστοφάνης "γνοίη." A=

60. * ἐπιμίξ] ἀθρόως ἀναμεμιγμένοι, ὥστε τῇ ὄψει μὴ διαγινώσκειν τοὺς πίπτοντας. B=

1. πτίξε ‖ 4. Ἀχαιὸς ἦν scripsi: Ἀχαιοῖσιν ‖ ἀλλ' ὡς W: ἄλλως ‖ ἱερὰ ‖ 7. τὸ ἦθος τὸ μὴ B ‖ ‖ 9. τὸν τοὺς ἄνδρας Et. M.: τὸν τοὺς ἀνδρείους B, τὰς ἀνδρίας ‖ πρῶτος B ‖ 13. ἐν τῇ Ἀριστοφάνους A ‖ 15. Ὀδυσσῆι ‖ 16. εἱλόμην ‖ μήστορε ‖ 16. repetitur * ποτέ] ἀντὶ τοῦ ἐχθές ‖ 20. ἀπεχθαίρω ‖ 21. ἐνοροῦνται ‖ 22. ἤδη ‖ 24. ἂν παραποιήσαι αὐτὰ ὁ Ζ. B

Digitized by Google

B= 61. *ἡμεῖς δὲ φραζώμεθα*] παιδευτικῶς· ἔνεστι γὰρ καὶ ἐν τοῖς ἀνιάτοις καὶ ἐσχάτοις πράγμασι διὰ συνέσεως ἀνασφῆλαι. καὶ νῦν γοῦν ὁ Νέστωρ ἀντὶ τῶν ἀνῃρημένων, ἀντὶ τοῦ διακεκομμένου τείχους ἐπὶ τὴν φρόνησιν καταφεύγει. ἐμφαντικῶς δὲ καὶ τῷ ῥήματι ⟨χρῆται⟩· "ῥέξει" (62) γὰρ ἔφη, οὐ 'μηχανήσεται,' ὡς ἐργαζομένου τοῦ νοῦ καὶ αὐτὰς τὰς πράξεις ἀποτελοῦντος.

62. * *εἴ τι νόος ῥέξει· πόλεμον δ' οὐκ ἄμμε κελεύω*] οὕτως αἱ Ἀριστάρχου.

63. * οἰκειοῦται καὶ αὐτὸς τὴν πληγὴν τῶν ἑταίρων. §. "ἐπεί" πρὸς τὸ δεύτερον ὑπαντᾷ.

A= 67. * *ᾗ ἐπί*] αἱ Ἀριστάρχου καὶ "ᾗ ἐπί" καὶ "οἷς ἐπί."

A= 72. *ὅτ[ι] τοὺς μέν*] αἱ Ἀριστάρχου "ὅτε·" καὶ ἔστιν ὅμοιον τῷ "ὅτε πρόφρων" (71).

AB+ 73. *κυδάνει*] ὡς "μελάνει δέ τε πόντος" (Il. 7. 64) καὶ "οἰδάνει ἐν στήθεσσι" (Il. 9. 554).

B= 75. *νῆας, ὅσαι πρῶται εἰρύαται*] ἢ νοσῶν οὐχ ὁρᾷ τὸ χρειῶδες, ἢ τῶν ἀριστέων πειρᾶται. οἶδε γάρ, ὅτι ἐν ἡσυχίᾳ μὲν τῶν πραγμάτων κειμένων ὑποπίπτουσι τοῖς ὑπερέχουσιν ἕκαστος, κινδύνου δὲ προκειμένου δηλοῦσι τὴν προαίρεσιν, οὐδὲν τῆς ἰδίας ἀσφαλείας προτιμῶντες. δοκιμάζειν οὖν αὐτοὺς πάλιν βούλεται· καὶ ἠπίστατο καὶ ᾔδει, ὡς πρὸς σώφρονας ὁ λόγος καὶ οὐκ εὐθὺ πηδήσουσι πρὸς πρᾶξιν. βούλεται δὲ παράκλητον ἑαυτῷ ποιῆσαι τὸν στρατόν, ἀλλὰ διὰ τῶν ἡγεμόνων· δι' ἑαυτοῦ γὰρ οὐκ ἠδύνατο, ὡς τοῦ παρόντος κινδύνου διὰ τὴν Ἀχιλλέως μῆνιν τὴν αἰτίαν φερόμενος.

76. * *πάσας*] δηλονότι τὰς ἐπὶ τοῦ πρώτου στ⟨ο⟩ίχου.

B= 77. *ὕψι δ' ἐπ' εὐνάων ὁρμίσσομεν*] τὸ γὰρ ὑγρὸν ὑψηλότερον τῆς γῆς· διὸ ἀνάπλους μὲν ἡ ἀναγωγή, κατάπλους δὲ ἡ προσόρμισις. καὶ "ὑψοῦ δ' ἐν νοτίῳ τήν γ' ὅρμισαν" (Od. 4. 785).

B= 78. *νὺξ ἀβρότη*] ἐν ᾗ φόνοι οὐ γίνονται—ἔλυον γὰρ νυκτὸς τὰς τάξεις—ἢ μεταληπτικῶς ἡ φῶ⟨τα⟩ς μὴ ἔχουσα· βροτὸς γὰρ ὁ φώς. καὶ Αἰσχύλος (Pr. 2) "ἄβροτον εἰς ἐρημίαν," ἐν ᾗ φὼς οὐ γίνεται.

B= 80. *οὐ γάρ τις νέμεσις φυγέειν*] αἰσθάνεται αἰσχρὰ συμβουλεύων, ἀλλ' ὅρα τί ⟨προσ⟩τίθησιν· οὐ γὰρ ἔφη φυγεῖν τὸν πόλεμον, ὅπερ

1. ἔστι B ‖ 2. ἀνασφῆλαι B: ἀνασφάλαι ‖ 5. supplevi ex B ‖ ὥσπερ ἐργ. ‖ 12. suppl. rec., ὅτε textus ‖ 21. πηδήσουσι B: πηδήσωσι ‖ 25. suppl. W ‖ 26. ὁρμήσσομεν ‖ 28. ὕψι ‖ 30. βροτὸς B: ἄβροτος ‖ 31. φὼς B: φόνος ‖ 33. supplevi ex B

ἦν ἀπρεπέστατον, ἀλλὰ κακόν. καὶ τὸ "οὐδ' ἀνὰ νύκτα" εἰς ἐπίτασιν, καίτοι γε ἀγεννὲς ⟨ἦν⟩ τὸ νυκτὸς ὥσπερ δραπετεῦσαι τὴν μάχην.

83. Ἀτρεΐδη] καλῶς ἐπιπλήσσοντα παράγων τὸν Ὀδυσσέα περι- B= εῖλε τὰ λοιπὰ τῶν ὀνομάτων, τὸ "κύδιστε" καὶ "ἄναξ."

ἕρκος ὀδόντων] τὸ ἐξ ὀδόντων ἕρκος· καὶ γὰρ ἦν παράδοξον τὸν B= εἰπόντα "ἱδρώσει ⟨μέν⟩ τευ τελαμών" (Il. 2. 388) καὶ ἀπειλήσαντα τοῖς φυγοῦσιν "ὃν δέ κ' ἐγὼν ἀπάνευθε μάχης" (ib. 391) νῦν λέγειν "οὐ γάρ τις νέμεσις φυγέειν" (89).

84. οὐλόμενε] ὀλέθρων αἴτιε. §. ὡς ἐν ἰδιάζουσι δὲ σοβαρῶς ἐπι- B= πλήσσει, καὶ ὅπως μὴ ταῦτα ἀεὶ λέγων λάθῃ εἰς Ἕλληνας εἰπὼν B— αὐτά, ἄλλως τε μετεσχηκὼς τῆς πρώτης ἀποπείρας οἶδεν, ὅτι πεῖραν καὶ νῦν καθίησιν· ἔχει οὖν καιρὸν ἡ παρρησία.

ἀεικελίου] ἀνομοίου ἡμῖν.

ἀεικελίου στρατοῦ ἄλλου σημαίνειν] τὸ πρῶτον ἐπιχείρημα ἀπὸ B= τῶν ἀκουόντων λαμβάνει, ὅτι πρὸς τοιούτους οὐκ ἔδει συμβουλεύειν τοιαῦτα.

86. τολυπεύειν] ἐκτελεῖν· "ἠδ' ὁπόσα τολύπευσα σὺν αὐτῷ καὶ πάθον" (Il. 24. 7)· ἐξ οὗ καὶ τολύπη τὸ κατε⟨ι⟩ργασμένον ἔριον.

87. * ὄφρα φθιόμεσθα ἕκαστος] ὡς ἕκαστος ἡμῶν φθαρῇ.

88. οὕτω δὴ μέμονας Τρώων πόλιν—καλλείψειν] τὸ δεύτερον B= ἐπιχείρημα ἀπ' αὐτοῦ τοῦ πράγματος, ὅτι, εἰ καὶ ἄλλοι ἦσαν οἱ ὑποτεταγμένοι, οὐκ ἔδει τοιαῦτα συμβουλεύειν οὐδὲ καταλείπειν τὰ προκείμενα. εἶτα τρίτον, ὅτι ἀνάξια τῆς βασιλείας ἐφθέγξατο.

89. καλλείψειν] ἡ Ζηνοδότου δὲ "ἐκπέρσειν·" καὶ ἔστι μᾶλλον A= ἠθικόν.

90. σίγα] δαιμονίως προκαταλαμβάνει ὡς ἁμαρτόντος, οἷον ἀρκεῖ B= σοι πρὸς ἡμᾶς τοὺς φίλους τὸ εἰρημένον.

μή τις ⟨τ'⟩ ἄλλος] ἢ "τοί" ἐστιν ἀντὶ τοῦ σοί ἢ "τέ" πλεονάζον.

91. ὃν οὔ κεν ἀνὴρ—διὰ στόμα πάμπαν ἄγοιτο] οὐδὲν γὰρ B= αἰσχρότερον οἶδεν ὁ ποιητὴς τοῦ λιποτακτεῖν· ἀμέλει καὶ Ἀγαμέμνων τοῖς μείζοσιν ἐξωνείδισεν (Il. 4. 223). ἀντικρὺς δὲ ἐξελέγχει, ὅτι οὐ βασιλικὸς ὁ λόγος ἐστίν· καὶ ῥητορικόν, ὅταν καταιτιώμενοί

2. supplevi ex B ‖ 7. l. τοῦ τελ. ‖ 19. post ἔριον add. sec. ἡ παρ' ἡμῖν τουλοῦπ ‖ 25. ἡ Ludwich : αἱ ut A ‖ 26. ἠθικώτερον ‖ 27. ἀρκέσει B ‖ 29. σοί W: οὐ ‖ 31. λειποτακτεῖν B



Digitized by Google

τινας πεφεισμένως μὴ τὰς κυρίας ὀνομασίας τῶν ἁμαρτημάτων λέγωμεν· ἔδει γὰρ εἰπεῖν, ὡς οὐδὲ ἰδιώτης ἀξιώσειε λέγειν.

92. * ὅτι ἦν τις ἐπιστήμη πολιτικῶν λόγων, ἣ μόνον ἀνήκει βασιλεῦσιν.

A+ 95. * νῦν δέ σευ] Ζηνόδοτος "νῦν δέ σε·" Ἀριστοφάνης δὲ ἀθετεῖ.

B= 99. ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιρρέπῃ] ἡμῖν δὲ ἀνυπέρβλητος γένηται ὄλεθρος.

B= 101. ἀποπ⟨απ⟩τανέουσιν] περιβλέψουσι καὶ πτοη⟨θή⟩σονται, δηλονότι

B= περὶ τὴν καθολκὴν γινόμενοι. §. παπταίνω παπτανῶ παπτανέω.

B= 102. ὄρχαμε λαῶν] ἠθικὸν τοῦτο· κατακερτομεῖ γὰρ ἀντικρὺς τὴν συμβουλὴν ὡς οὐ βασιλεῖ ἁρμόζουσαν· φησὶ δὲ 'ὁ βασιλεὺς πάντα συγχέεις.'

B= 104. ὦ Ὀδυσεῦ] διδάσκει φέρειν ⟨πρᾴως⟩ τὰς λοιδορίας, ἐὰν ἐν καιρῷ καὶ ἐπὶ συμφέροντι γίνωνται.

* πώς με] πώς μου.

B= 105. οὐ μὲν ἐγὼν ἀέκοντας] ἄριστα τρέπει τοὺς λόγους ἐπὶ ἕτερα, ὡς τὸ ὅλον ὑπὲρ Ἑλλήνων σκοπῶν.

B= 107. νῦν δ' εἴη] ἀντὶ τοῦ ἴτω· "καὶ τῷ προσιόντι προσεῖναι" (Hes. Opp. 353) ἀντὶ τοῦ προσιέναι.

B= ὃς τῆσδέ γ' ἀμείνονα] διδάσκει παντὸς δέχεσθαι τὴν παραίνεσιν ἐν καιρῷ κινδύνου.

108. * ἐμοὶ δέ κεν ἀσμένῳ εἴη] διὰ τὸ λοιδορηθέντα πρώην ὑπὸ Νέστορος αἰδεῖσθαι λέγειν (Π. 2. 336).

B= ἀσμένῳ] ἀπὸ τῆς ἠσμένος μετοχῆς ὄνομα γέγονεν· διὸ ἤμειψε ⟨τὸ⟩ πνεῦμα.

εἴη] ἔλθοι· ὁ δέ γε Ἕκτωρ βαρβαρικῶς, "ὧδ' ἔστω, Τρῶες μεγαλήτορες" (Il. 8. 523).

B= 110. ἐγγὺς ἀνήρ] "ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι" (107). τοῦτό ἐστι τὸ ἑξῆς.

B+ ματεύσομεν] καὶ ἑαυτὸν ὑποβάλλει τοῖς ζητοῦσιν· μέτριος δὲ ὁ λόγος καὶ οὐκ ἔχων ἐπίπληξιν· ἀπήρκει γὰρ Ὀδυσσεύς, ἄλλως τε τὸ ἐπιπλήσσειν θαμὰ ἀπέχθειαν, οὐ κηδεμονίαν ἐμφαίνει.

2. λέγομεν ‖ ἀξιώσει B ‖ 6. προηθέτει A ‖ 7, 8. ἐπιγίνεται B ‖ 9. περιβλέψουσι B: περιβλέψονται ‖ supplevi ex B ‖ 10. καθολικὴν B: καθολκκὴν ‖ γενόμενοι B ‖ 12. βουλὴν B ‖ 13. πάντας B ‖ 14. Ὀδυσσεῦ ‖ supplevi ex B ‖ 23. τὸ Bekker: τὸν ‖ 33. ἅμα B

Digitized by Google

112. * νεώτατος] οὕτω πᾶσαι. A=

113. πατρὸς δ' ἐξ ἀγαθοῦ] καίτοι ἴδια ἔχων λέγειν ὅμως τὰ τοῦ πατρὸς προβάλλεται· τούτῳ γὰρ αὐτὸν συνέκρινεν Ἀγαμέμνων (Il. 4. 372). B=

114. Τυδέος, ὃν Θήβῃσι] οὐ κατὰ τοὺς τραγικοὺς ἐν Ἐλευσῖνι μετηνέχθησαν οἱ περὶ τὸν Καπανέα. §. Ὁμηρικὸν δὲ ταῖς παρεκβάσεσι διαναπαύειν τὸν ἀκροατήν. B= §. τὸ δὲ "Θήβῃσι" δύναται καὶ ἐπίρρημα εἶναι καὶ ὄνομα. B= §. ὁ δὲ Τυδεὺς Οἰνέως καὶ Περιβοίας τῆς Ἱππότου· ὃς ἀνεψιοὺς ἐπιβουλεύοντας Οἰνεῖ Λυκωπέα καὶ Ἀλκάθουν ἀπέκτεινεν τοὺς Ἀγρίου, σὺν αὐτοῖς δὲ ἄκων καὶ τὸν πατράδελφον Μέλανα—συνεδαίνυτο γὰρ αὐτοῖς—καὶ φεύγων τὸν φόνον ἧκεν ἐς Ἄργος καὶ καθαρθεὶς ὑπὸ Ἀδράστου γαμεῖ Δηιπύλην, τὴν θυγατέρα αὐτοῦ. A~

* Ζηνόδοτος ἠθέτει· παρὰ δὲ Ἀριστοφάνει οὐδὲ ἦν. A=

115. * Πορθεῖ] οὕτω δισυλλάβως. §. ἐπίτηδες δέ, εἰ μὴ εὐκαίρως, οὐ μέμνηται Τυδέως ὁ ποιητής.

116. * οἴκεον δ' ἐν Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι] συλλήψει ἐχρήσατο· ὁ μὲν γὰρ Τυδεὺς ἐν Πλευρῶνι, ὁ δὲ Οἰνεὺς ἐν Καλυδῶνι ᾤκει. B=

118. * ἐμεῖο] οὕτω Ζηνόδοτος· τινὲς δὲ "ἐμοῖο," ἵν' ᾖ κτητική. A+

119. αὐτόθι μίμνε] τινὲς "αὐτοῦ μίμνε," ὡς "αὐτοῦ οἱ καὶ σῆμα" (Il. 21. 322). A=

120. ὡς γάρ που Ζεὺς ἤθελε] τὴν μὲν τῆς φυγῆς αἰτίαν ἐσιώπησε, τὰ δὲ πρὸς ἀρετὴν καὶ πλοῦτον εἶπεν. AB+ §. "Ζεύς" ὁ τοὺς ἐμφυλίους ἐκδιώκων φόνους. §. ὅτι οὐχὶ φυγάς, ὡς οἱ νεώτεροι· φησὶ γοῦν "ἀλλ' ὃ μὲν αὐτοῦ μίμνε" (119). A+ §. γέγονε δὲ ὁ Τυδεὺς ἐκ Γόργης ἢ Περιβοίας.

121. * ἔγημε] λείπει 'μίαν,' τὴν Δηιπύλην.

123. ὄρχατοι ἀμφίς] παρὰ τὸ τῷ ἕρκει ἠσφαλίσθαι· ὄρχος ὄρχατος, ὡς μέσατος (Il. 8. 223, 11. 6) πάχετος (Od. 9. 187). §. τὸ δὲ "ἀμφίς" χωρὶς τῶν ἀρουρῶν.

124. πρόβατα] ἀντὶ τοῦ 'τὰ τετράποδα,' καὶ "πρόβασιν" (Od. 2. 75) τὴν τῶν τετραπόδων κτῆσιν, παρὰ τὸ πρὸ τῆς ὀπισθίας βάσεως ἑτέραν βάσιν ἔχειν. AB+

9. τοὺς Ἀγρίου W ex AD: ἀγρόθεν ‖ 13. οὐκ A ‖ Ἀριστοφάνης ἠθέτει· παρὰ δὲ Ζηνοδότῳ οὐδὲ ἦν coni. Nauck ‖ 14, 15. εὐκαίρως Bekker: ἀκαίρως ‖ 18. ἐμεῖο A: ἐμοῖο textus ‖ ἐμοῖο A: ὁμοῖο ‖ 24. Γοργῆς ‖ 31, 32. τῶν ὀπισθίων βάσεων B, τῆς πρώτης βάσεως



Digitized by Google

τινας πεφεισμένως μὴ τὰς κυρίας ὀνομασίας τῶν ἁμαρτημάτων λέγωμεν· ἔδει γὰρ εἰπεῖν, ὡς οὐδὲ ἰδιώτης ἀξιώσειε λέγειν.

92. * ὅτι ἦν τις ἐπιστήμη πολιτικῶν λόγων, ἣ μόνον ἀνήκει βασιλεῦσιν.

A+ 95. * νῦν δέ σευ] Ζηνόδοτος "νῦν δέ σε·" Ἀριστοφάνης δὲ ἀθετεῖ.

B= 99. ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιρρέπῃ] ἡμῖν δὲ ἀνυπέρβλητος γένηται ὄλεθρος.

B= 101. ἀποπ⟨απ⟩τανέουσιν] περιβλέψουσι καὶ πτοη⟨θή⟩σονται, δη-

B= λονότι περὶ τὴν καθολκὴν γινόμενοι. §. παπταίνω παπτανῶ παπτανέω.

B= 102. ὄρχαμε λαῶν] ἠθικὸν τοῦτο· κατακερτομεῖ γὰρ ἀντικρὺς τὴν συμβουλὴν ὡς οὐ βασιλεῖ ἁρμόζουσαν· φησὶ δὲ 'ὁ βασιλεὺς πάντα συγχέεις.'

B= 104. ὦ Ὀδυσεῦ] διδάσκει φέρειν ⟨πρᾴως⟩ τὰς λοιδορίας, ἐὰν ἐν καιρῷ καὶ ἐπὶ συμφέροντι γίνωνται.

* πώς με] πώς μου.

B= 105. οὐ μὲν ἐγὼν ἀέκοντας] ἄριστα τρέπει τοὺς λόγους ἐπὶ ἕτερα, ὡς τὸ ὅλον ὑπὲρ Ἑλλήνων σκοπῶν.

B= 107. νῦν δ' εἴη] ἀντὶ τοῦ ἴτω· "καὶ τῷ προσιόντι προσεῖναι" (Hes. Opp. 353) ἀντὶ τοῦ προσιέναι.

B= ὃς τῆσδέ γ' ἀμείνονα] διδάσκει παντὸς δέχεσθαι τὴν παραίνεσιν ἐν καιρῷ κινδύνου.

108. * ἐμοὶ δέ κεν ἀσμένῳ εἴη] διὰ τὸ λοιδορηθέντα πρώην ὑπὸ Νέστορος αἰδεῖσθαι λέγειν (Il. 2. 336).

B= ἀσμένῳ] ἀπὸ τῆς ἡσμένος μετοχῆς ὄνομα γέγονεν· διὸ ἤμειψε ⟨τὸ⟩ πνεῦμα.

εἴη] ἔλθοι· ὁ δέ γε Ἕκτωρ βαρβαρικῶς, "ὧδ' ἔστω, Τρῶες μεγαλήτορες" (Il. 8. 523).

B= 110. ἐγγὺς ἀνήρ] "ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι" (107). τοῦτό ἐστι τὸ ἑξῆς.

B+ ματεύσομεν] καὶ ἑαυτὸν ὑποβάλλει τοῖς ζητοῦσιν· μέτριος δὲ ὁ λόγος καὶ οὐκ ἔχων ἐπίπληξιν· ἀπήρκει γὰρ Ὀδυσσεύς, ἄλλως τε τὸ ἐπιπλήσσειν θαμὰ ἀπέχθειαν, οὐ κηδεμονίαν ἐμφαίνει.

2. λέγομεν ‖ ἀξιώσει B ‖ 6. προηθέτει A ‖ 7, 8. ἐπιγίνεται B ‖ 9. περιβλέψουσι B: περιβλέψονται ‖ supplevi ex B ‖ 10. καθολικὴν B: καθολκκὴν ‖ γενόμενοι B ‖ 12. βουλὴν B ‖ 13. πάντας B ‖ 14. Ὀδυσσεῦ ‖ supplevi ex B ‖ 23. τὸ Bekker: τὸν ‖ 33. ἅμα B

Digitized by Google

112. * *νεώτατος] οὕτω πᾶσαι.* Α=
113. *πατρὸς δ' ἐξ ἀγαθοῦ] καίτοι ἴδια ἔχων λέγειν ὅμως τὰ τοῦ πα-* Β=
*τρὸς προβάλλεται· τούτῳ γὰρ αὐτὸν συνέκρινεν* Ἀγαμέμνων (Il. 4. 372).
114. Τυδέος, ὃν Θήβῃσι] *οὐ κατὰ τοὺς τραγικοὺς ἐν* Ἐλευσῖνι
*μετηνέχθησαν οἱ περὶ τὸν* Καπανέα. §. Ὁμηρικὸν *δὲ ταῖς παρεκ-* Β=
*βάσεσι διαναπαύειν τὸν ἀκροατήν.* §. *τὸ δὲ* "Θήβῃσι" *δύναται καὶ* Β=
*ἐπίρρημα εἶναι καὶ ὄνομα.* §. *ὁ δὲ* Τυδεὺς Οἰνέως *καὶ* Περιβοίας *τῆς*
Ἱππότου· *ὃς ἀνεψιοὺς ἐπιβουλεύοντας* Οἰνεῖ Λυκωπέα *καὶ* Ἀλκά- Α~
*θουν ἀπέκτεινεν τοὺς* Ἀγρίου, *σὺν αὐτοῖς δὲ ἄκων καὶ τὸν πατράδελφον*
Μέλανα—*συνεδαίνυτο γὰρ αὐτοῖς*—*καὶ φεύγων τὸν φόνον ἧκεν ἐς*
Ἄργος *καὶ καθαρθεὶς ὑπὸ* Ἀδράστου *γαμεῖ* Δηιπύλην, *τὴν θυγατέρα*
*αὐτοῦ.*

* Ζηνόδοτος *ἠθέτει· παρὰ δὲ* Ἀριστοφάνει *οὐδὲ ἦν.* Α=

115. * Πορθεῖ] *οὕτω δισυλλάβως.* §. *ἐπίτηδες δέ, εἰ μὴ εὐ-*
*καίρως, οὐ μέμνηται* Τυδέως *ὁ ποιητής.*

116. * *οἴκεον δ' ἐν* Πλευρῶνι *καὶ αἰπεινῇ* Καλυδῶνι] *συλλήψει ἐχρή-* Β=
*σατο· ὁ μὲν γὰρ* Τυδεὺς *ἐν* Πλευρῶνι, *ὁ δὲ* Οἰνεὺς *ἐν* Καλυδῶνι *ᾤκει.*

118. * *ἐμεῖο] οὕτω* Ζηνόδοτος· *τινὲς δὲ* "*ἐμοῖο,*" *ἵν' ᾖ κτητική.* Α+

119. *αὐτόθι μίμνε] τινὲς* "*αὐτοῦ μίμνε,*" *ὡς* "*αὐτοῦ οἱ καὶ* Α=
*σῆμα*" (Il. 21. 322).

120. *ὣς γάρ που* Ζεὺς *ἤθελε] τὴν μὲν τῆς φυγῆς αἰτίαν ἐσιώπησε,* ΑΒ+
*τὰ δὲ πρὸς ἀρετὴν καὶ πλοῦτον εἶπεν.* §. "Ζεύς" *ὁ τοὺς ἐμφυλίους*
*ἐκδιώκων φόνους.* §. *ὅτι οὐχὶ φυγάς, ὡς οἱ νεώτεροι· φησὶ γοῦν* Α+
"*ἀλλ' ὃ μὲν αὐτοῦ μίμνε*" (119). §. *γέγονε δὲ ὁ* Τυδεὺς *ἐκ* Γόργης
*ἢ* Περιβοίας.

121. * *ἔγημε]* λείπει '*μίαν,' τὴν* Δηιπύλην.

123. *ὄρχατοι ἀμφίς] παρὰ τὸ τῷ ἕρκει ἠσφαλίσθαι· ὄρχος*
*ὄρχατος, ὡς μέσατος* (Il. 8. 223, 11. 6) *πάχετος* (Od. 9. 187).
§. *τὸ δὲ* "*ἀμφίς*" *χωρὶς τῶν ἀρουρῶν.*

124. *πρόβατα] ἀντὶ τοῦ 'τὰ τετράποδα,' καὶ* "*πρόβασιν*" (Od. ΑΒ+
2. 75) *τὴν τῶν τετραπόδων κτῆσιν, παρὰ τὸ πρὸ τῆς ὀπισθίας*
*βάσεως ἑτέραν βάσιν ἔχειν.*

9. *τοὺς Ἀγρίου* W ex AD : *ἀγρόθεν* ‖ 13. *οὐκ* A ‖ *Ἀριστοφάνης ἠθέτει· παρὰ δὲ Ζηνοδότῳ οὐδὲ ἦν* coni. Nauck ‖ 14, 15. *εὐκαίρως* Bekker : *ἀκαίρως* ‖ 18. *ἐμεῖο* A: *ἐμοῖο* textus ‖ *ἐμοῖο* A: *ὁμοῖο* ‖ 24. *Γοργῆς* ‖ 31, 32. *τῶν ὀπισθίων βάσεων* B, *τῆς πρώτης βάσεως*



Digitized by Google

* κέκαστο] ἀντὶ τοῦ ἐνίκα.

A+ 125. * ὡς ἐτεόν περ] Ἀρίσταρχος "εἰ ἐτεόν περ."

127. πεφασμένον] ἀντὶ τοῦ φανθησόμενον, ἢ πεφασμένως.

AB= 128. καὶ οὐτάμενοί περ] καλῶς οὐχ ὁ Νέστωρ ταῦτά φησιν, ἀλλ' εἷς τῶν τετρωμένων. δεῖ δὲ πρὸς βραχὺ στίξαι εἰς τὸ "πέρ," εἶτα τὸ "ἀνάγκῃ" ἐπαγαγεῖν, ἵν' ὥσπερ αἰτίαν τῆς ἐξόδου ἐπιφέρῃ τὴν περιεστῶσαν ἀνάγκην.

οὐτάμενοι] εἴπερ εἴα τὸ σημαινόμενον, ἦν ⟨ἂν⟩ ἀπὸ τοῦ οὔτημι ἐνεστῶτος· ἔστιν οὖν ἀπὸ τοῦ οὐτασμένοι ⟨ὡς⟩ ἐληλάμενοι.

A+B= 129. * ἔνθα δ' ἔπειτ' αὐτοὶ μὲν ἐχώμεθα δηιοτῆτος] λείπει ἡ

B= ἀπό. ∫. τὸ δὲ "ἔπειτα" ἀντὶ τοῦ δ[ή].

A–B= αὐτοὶ μὲν ἐχώμεθα δηιοτῆτος] τὴν ἀφορμὴν τῆς συμβουλίας ἀπὸ τῶν Νέστορος λόγων εἴληφεν, "εἴ τι νόος ῥέξει· πόλεμον δ' οὐκ ἄμμε κελεύω δύμεναι· οὐ γάρ πως βεβλημένον ἔστι μάχεσθαι" (62).

A=B– 131. ἐνήσομεν] τῷ πολέμῳ· οἱ δὲ "ἀνήσομεν" πείσομεν, "ἀλλ' ἀνίεις, ἐπεὶ αὐτὸς ἐγείναο παῖδ' ἀίδηλον" (Il. 5. 880).

132. θυμῷ ἦρα φέροντες] ἐπικουρεῖν τῇ ψυχῇ θέλοντες.

134. * ἦρχε—Ἀγαμέμνων] ἀφθόνως καὶ γενναίως.

B– 136. μετ' αὐτοὺς ἦλθε] πρὸς αὐτούς. παλαιὸς δέ ἐστιν ὁ λίαν γέρων, ὅθεν φησὶ "δεῦρο δὴ ὄρσο, γρηῢ παλαιγενές" (Od. 22. 395).

AB– παλαιῷ φωτὶ ἐοικώς] καλῶς ἐπὶ τοῦ ὄχλου Κάλχαντι εἴκασται (Il. 13. 45), δι' ὃ καὶ ἔπειθεν ὡς εὐδοκιμήσας περὶ τὸν λοιμόν, ἐπὶ Ἀγαμέμνονος δὲ οὔ—φησὶ γὰρ "ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον" (Il. 1. 82)—ἀλλ' οὐδὲ Θόαντι (cf. Il. 13. 216)· νέος γὰρ οὗτος· νῦν δὲ ἁπλοϊκῶς ἔφη "παλαιῷ φωτί," τίνι δέ, οὐ προσέθηκεν, ἀλλ' ἀπήρκεσεν τὰ τῆς ἡλικίας εἰς πίστιν· τὸ γὰρ προστιθέναι τὸν στίχον ἐκεῖνον "ἀντιθέῳ Φοίνικι, ὀπάονι Πηλείωνος" περίεργον, καὶ ἀπρεπὲς Ἀχιλλέως ἀφεστῶτος τῆς μάχης τὸν Φοίνικα μὴ μόνον φαίνεσθαι μετὰ Ἀγαμέμνονος, ἀλλὰ καὶ καταρᾶσθαι Ἀχιλλεῖ "ἀλλ' ὃ μὲν ὣς ἀπόλοιτο" (142). ἔστιν οὖν ὡς τὸ "ἀνδρὶ δέμας εἰκυῖα" (Od. 8. 194) καὶ "δέμας δ' ἤικτο γυναικί" (Od. 4. 796).

B= 139. νῦν δή που Ἀχιλλῆος] ἀεὶ καταδρομήν τινα εὑρίσκομεν τοῦ

2. αἱ Ἀριστάρχου A ‖ 3. φρανθησόμενον: corr. Bekker ‖ 9. suppl. W ‖ ἐληλασμένως, cf. Et. M. s. v. ‖ 11. supplevi ex B ‖ 15. ἤτοι ante πείσομεν add. B ‖ 20. γρῦν ‖ 22. δι' ὃ καὶ W: δι' οὗ καὶ B, ὅπου ‖ λιμὸν ‖ 27. καὶ ante περίεργον omisi ‖ 29. καταρρᾶσθαι

Digitized by Google

Ἀγαμέμνονος ἐν τοῖς πρὸς Ἀχιλλέα πεπραγμένοις· νῦν δὲ τοὐναντίον. καὶ ἔστιν ἁρμόδιον τῷ καιρῷ παραμυθίαν τινὰ προσελθεῖν τῷ Ἀγαμέμνονι, ὅτι οὐ διὰ τὴν αὐτοῦ ἁμαρτίαν δυστυχεῖ τὸ Ἑλληνικόν, ἀλλὰ διὰ τὴν Ἀχιλλέως ἀφροσύνην.

140. γηθεῖ—ἐπεὶ οὔ οἱ ἔνι φρένες] ὅτι τὸ ἐπιχαίρειν τοῖς κακοῖς B= ἄφρονος ἀνδρός. §. τὸ δὲ "ἔνι" ἀντὶ τοῦ ἔνεισιν. §. ὁ τρόπος μετατύπωσις· ἐκ συνθήκης γὰρ ἁπλοῦν ἐποίησεν. B=

141. * φύζαν] τὴν μετὰ δέους φυγήν· γίνεται δὲ παρὰ τὸ ζα B= καὶ τὴν φυγήν.

142. ὣς ἀπόλοιτο] οὕτως Ἕλληνες, ἢ ὡς ἡμᾶς θέλει, ἢ ὥς AB= ἐστιν ἀνηλεής.

σιφλώσειε] περισσὸς ὁ στίχος, καὶ ἡ λέξις νεωτέρων· καὶ οἱ A+B– μὲν 'κακώσειεν,' οἱ δὲ 'μωμητὸν ποιήσειεν,' οἱ δὲ 'ἐκλύσειεν'—φλῶ γάρ ἐστι τὸ [ὀρ]μὴν ἔχω, ὅθεν καὶ "οἰνόφλυξ"—οἱ δὲ σιπαλόν τὸν εἰδεχθῆ.

143. * σοὶ δ' οὔπω μάλα πάγχυ] ἀντὶ τοῦ 'οὐδ' ὅλως,' ὡς τὸ "οὐ νιφετός, οὔτ' ἂρ χειμὼν πολύς" (Od. 4. 566). §. οἱ δὲ γράφουσι "σοῦ δ' οὔποι."

145. * κονίσουσιν] ἐκ τοῦ παρεπομένου φεύξονται. A+

147. μέγ' ἄυσεν] ἵνα δείξῃ, ὅτι θεός ἐστιν. ὅρα δὲ τὴν ποικιλίαν· ἔμπροσθεν μὲν ἐκ τοῦ ἴχνους ἐπιγινώσκεται, νῦν δὲ βοᾷ μέγα, ἵνα ἐκ τῆς βοῆς συνῶσιν. πῶς δὲ ὁ κλέπτων τὴν μάχην βοᾷ; ἐπεὶ εἶπεν "ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα" (Il. 13. 837). B=

* πεδίοιο] λείπει ἡ διά. A+

148. * ἐννεάχιλοι] Ἀρίσταρχος 'ἐννέα χείλη ἔχοντες,' ἐκ μέρους σώματος.

149. * ἔριδα ξυνάγοντες Ἄρηος] προαλαλάζουσι γὰρ τῆς συμβολῆς· ὡς τῷ θεῷ δὲ ἀλαλαγμὸν ὅμοιον δοῦσαι.

150. ἐκ στήθεσφιν ὄπα] ἐκ ψυχῆς· ἔστι γὰρ ἐν τοῖς στήθεσιν· B= μέρος δὲ αὐτῆς ἡ βοή· ἐπεὶ πῶς φησιν "ὅσον κεφαλὴ χάδε φωτός" (Il. 11. 462);

2. τ. παρέχειν τῷ B ‖ 8. γίνεται B: οἱ ‖ 11. ἀνηλεής W: ἀκλεής ut AB ‖ 13. ἐκλύσει B ‖ 14. suppl. sec. ut videtur ‖ ἔχον ‖ 18. σοὶ δ' οὔ τοι coni. Nauck ‖ 19. κονίσσουσιν textus ‖ 21. τοῦ ἤθους B ‖ 27. προαλ. Eust.: προσαλαλάζουσι ‖ 28. corrupta; Ὀδυσσεὺς δὲ ἀλ. ὅμ. ἄυσεν (Il. 11. 462) coni. W cf. Eust.; an ὡς θεὸς δὲ ἀλαλαγμὸν θεῖον ἄυσεν ex Eust. οἷα θεὸς βοᾷ ὅσον ἄνδρες ἐννέα ἢ δέκα? ‖ 29. ἔστι γὰρ B: ἔστιν ‖ 30. δὲ B: γὰρ

151. *μέγα σθένος*] ἤτοι καθ' αὑτὸν τοῦτό φησιν, ὅτι καὶ σθένος αὐτοῖς ἐνέβαλεν, ἢ συνῆπται τῷ προκειμένῳ ὅτι διὰ βοῆς δείξας ἑαυτὸν ὅτι θεὸς ἦν παρώρμησε τοὺς ἀκούοντας.

B= 153. *Ἥρη δ' εἰσεῖδε*] ἤδη προσδοκωμένου τοῦ κινδύνου τῶν νεῶν ἀνυπερθέτως ἑτέρῳ ἐπεισοδίῳ ἐκαινοποίησε τὴν ὑπόθεσιν μετάγει τε ἡμᾶς ἐπὶ τὰ οὐράνια καὶ ἐρωτικὰς διηγήσεις ποιεῖται, ἅμα διδάσκων μὴ νικᾶσθαι ταῖς ἡδοναῖς.

154. *ἐξ Οὐλύμποιο ἀπὸ ῥίου*] ἀπό τινος ῥίου τῶν ἐν τῷ Ὀλύμπῳ. τὸ δὲ ῥίον οἱ μὲν κατὰ ἀποβολὴν τοῦ ἀκρωτηρίου, οἱ δὲ παρὰ τὸ ῥέεσθαι· προσέθηκε δὲ τὸ "στᾶσα," ἐπεὶ πολὺ ἀπέχει Ὄλυμπος Ἴδης.

A= * *ποιπνύοντα*] πονῶ πονύω πνύω, ποιπνύω ἀναδίπλωσις.

157. * *Ζῆνα δ' ἐπ' ἀκροτάτης κορυφῆς*] ὡς ὑψιβρεμέτην.

A+ * *πολυπιδακος*] ἀπὸ τῆς πολυπῖδαξ· τὸ δὲ διὰ τοῦ ου γράφειν (scil. "πολυπιδάκου") παντελῶς ἐστιν ἄγροικον.

158. * *εἰσεῖδε*] περισσόν· δύναται γὰρ ἀπὸ κοινοῦ τὸ "ἔγνω" (154).

*στυγερὸς δέ οἱ ἔπλετο θυμῷ*] "ἔπλετ' ἰδούσῃ·" οὕτως ἄμεινον.

B= *στυγερός*] καταπληκτικὸς ἢ ⟨μισητός⟩· καὶ τοῦτο κατὰ τὸ ἦθος τῶν γυναικῶν· ἀποτυγχάνουσαι γὰρ τῶν προκειμένων στυγοῦσι τοὺς ἄνδρας.

B— 160. *ὅππως ἐξαπάφοιτο*] τρία εἰσὶ δι' ὧν περιγινόμεθα, βία πειθὼ ἀπάτη. θεωροῦσα οὖν αὐτὸν ἄμαχον μὲν διὰ τὴν ἰσχὺν ἄπιστον δὲ διὰ τὴν γνώμην, ἐπὶ τὴν ἀπάτην κατέφυγεν. καὶ Ποσειδῶνα γὰρ ἑώρα λάθρα βοηθοῦντα τοῖς Ἕλλησιν.

* *ὅππως*] τινὲς "εἴ πως."

162. * *ἐντύνασαν*] κοσμήσασαν· καὶ ἐπὶ Κίρκης "ἦλθ' ἐντυναμένη" (Od. 12. 18).

B— 163. *παραδραθέειν*] Ἀττικοὶ ἀποδαρθεῖν φασιν αὐτό, ἐπεὶ τότε ἀποτιθέμεθα τὸ δρᾶν, ὅ ἐστι πράττειν.

* *ἱμείραιτο*] εἰς ἵμερον ἀπαχθείῃ.

B= 164. * *ᾗ χροιῇ*] τῷ αὐτοῦ σώματι τῷ ἑαυτῆς.

B= *ἀπήμονα*] κυρίως ἐπίθετον ὕπνου· "λύων" γὰρ "μελεδήματα
B— θυμοῦ" (Od. 20. 56). §. "λιαρόν" δὲ λίαν ἀρηρότα, ὅ ἐστι

8. ἀπορρίου ut textus ‖ 12. πνύω A: πνοίω ‖ 18. ἔπλετο ἰδ. ‖ 19. supplevi ex B ‖ τοῦτο ἦθος B, τουτοὶ τὸ ἦθος ‖ 32. τῷ αὐτῷ

Digitized by Google

προσκολλώμενον, ἢ θερμόν—θερμαίνει γὰρ τὸ σῶμα—ἢ παρὰ τὸ λαρόν, πλεονασμῷ τοῦ ῑ, ὃ δηλοῖ τὸ ἡδύ· καλῶς δὲ ἐν τῇ ἀπάτῃ τῇ ἐρωτικῇ νῦν ἐκτοπίζει τῆς Ἥρας τὴν Ἀθηνᾶν, οὐ κατ' Ἀπολλώνιον, ὃς περὶ Μηδείας αὐτὴν εἰσάγει ⟨συ⟩σκεπτομένην τῇ Ἀθηνᾷ (Arg. III. 25).

165. *πευκαλίμῃσι*] δριμείαις παρὰ τὴν πεύκην, ἢ πυκναῖς παρὰ B= τὸ πύκα.

166. *βῆ δ' ἴμεν ἐς θάλαμον*] ⟨οὐκ⟩ ἐπὶ ὅπλα· μία γὰρ τοῖς B– ἀσθενέσιν ὁδός, ἡδονῇ περιγίνεσθαι τῶν μειζόνων, ὡς καὶ ἰχθῦς καὶ πτηνὰ ἀγρεύομεν. §. τριχῶς δὲ (168) ἡ γραφή ἐστι, "τὴν δέ" τὴν B= κλεῖν, "τὸν δέ" τὸν θάλαμον, "τὰς δέ" τὰς θύρας.

*τόν οἱ φίλος—ἔτευξεν*] ἴσως ⟨ὅτι⟩ μόνης αὐτῆς υἱὸς Ἥφαιστος (Hes. Th. 927).

167. *ἐπῆρσεν*] οἱ μὲν ἐπήρεισεν, οἱ δὲ ἐπήρασσεν, οἱ δὲ ἐφήρμοσεν· B= §. ὅμοιόν ἐστι τῷ "αὐτόδιον" (Od. 8. 449), "ἐπίστιον" (Od. 6. 265), "μετά τ' ἤθεα" (Il. 6. 511). §. τὸ δὲ "θύρας" ἀντὶ τοῦ θύραν, ὡς πύλας. A+

168. *κληῗδι κρυπτῇ*] ἀνθρωποπαθεῖς εἰσάγων τοὺς θεοὺς καὶ κλεισί φησι κεχρῆσθαι.

169. *θύρας ἐπέθηκε*] γράφεται καὶ "πύλας." §. θαυμασία δὲ ἡ μίμησις· ἐν ἀπορρήτῳ γὰρ τὰ τοιαῦτα πράττουσιν, ὡς μὴ ὑποβολι- B= μαῖον ἐκ τέχνης κομμωτικῆς αὐταῖς τὸ κάλλος ἀλλὰ γνήσιον φαίνηται.

⟨*εἰσελθοῦσα, θύρας ἐπιθεῖσα*⟩] λείπει ὁ καί.

170. *ἀμβροσίῃ*] νῦν μὲν ὡς ἄλειμμα, ἄλλοτε δὲ ὡς ξηρὰν τροφήν· A~ ἄλλο δὲ τὸ ἔλαιον· "ἀμβροσίην ὑπὸ ῥῖνα" (Od. 4. 445)· "Πατρόκλῳ δ' αὖτ' ἀμβροσίην" (Il. 19. 38).

171. *λύματα*] παρὰ τὸ λυμαίνεσθαι τὸν χρῶτα. §. τὸ δὲ "κάθηρε" B= προπαροξυτόνως, ἀπὸ τοῦ καθαίρω ἐκάθηρε, καὶ Ἰακῶς "κάθηρε." A+B=

*ἐλαίῳ*] πόθεν ἔλαιον τοῖς θεοῖς; ἄλλο ἐστὶ τὸ χρῖσμα καὶ τὸ πόμα καὶ ἄλλο τὸ ἄλειμμα. §. "ἑδανῷ" δὲ (172) τῷ εὐώδει, οἱ δὲ ἡδεῖ, γλυκεῖ. αἴσθησις ἀντὶ αἰσθήσεως, ὡς παρὰ Καλλιμάχῳ "λίχνος

4. supplevi ex Eust. ‖ 7. supplevi ex B ‖ 8. *ἀσθενοῦσιν* Eust. ‖ 8, 9. *ἰχθῦς καπιτινα ἄγομεν*: corr. W ‖ 9. *γραφὴ* B: *στροφὴ* ‖ 11. suppl. W ‖ 13. *ἐπάρασσεν* ‖ 14. *ἐπέστιον* ‖ 15. *μετά τ' ἤθεα* corruptum; fort. "*μετάλμενος*" vel aliud psiloseos exemplum ‖ 20. *ἡ μίμησις* B: *τὴν μίμησιν* ‖ *ὡς ἂν μὴ* ‖ *ὑποβολιμαῖον* etiam Eust.: *ἐπιβολιμαῖον* B ‖ 21. *φαίνοιτο* ut B ‖ 22. schol. post lemma l. 23 insertum ‖ 24. *ἄλλοτε δὲ ὡς ἔλ.*: corr. W ‖ 25. *ἀμβροσία*: corr. Bekker ‖ 28. *καὶ* W: *ὡς* ‖ 30. *γλυκεῖ αἴσθησις ἀντὶ* Lobeck: *γηίκαις θνείσαντι*

Digitized by Google

A + B− εἰμὶ καὶ τὸ πυθέσθαι” (fr. $98^{d}$ Schn.). §. δασύνεται δέ· παρὰ γὰρ τὸ ἥδω ἡδανός καὶ μεταβολῇ ἑδανός· τὰ γὰρ διὰ τοῦ ‾ανος ῥηματικὰ βραχεῖαν θέλει εἶναι τὴν ἄρχουσαν, πιθανός τραγανός.

A + 172. * φαίνεται εἰδὼς μύρου χρῆσιν, τὸ δὲ ὄνομα ἀγν⟨ο⟩ῶν.

B = 173. * κινυμένοιο] ἀναχεομένου. §. πολλὴ τῆς εὐωδίας ἡ ἐνέργεια B = τὸν κόσμον ἀποπλ⟨η⟩ροῦσα.

B − 174. ἔμπης ἐς γαῖάν τε ⟨καὶ οὐρανὸν ἷκετ’ ἀυτμή⟩] ὁμοίως. “ἔμπης μοι δοκ⟨έ⟩ει δαΐδων σέλας” (Od. 18. 354). καὶ ἄλλως δὲ ὁ νοῦς ‘καίπερ ἐν τῷ θαλάμῳ κινύμενον τὸ ἔλαιον τὴν εὐωδίαν εἰς τὰ πέρατα ἀφίει.’ A + §. σημειωτέον δέ, ὅτι ὄρος ὁ Ὄλυμπος· μεταξὺ γὰρ ὠνόμασται γῆς καὶ οὐρανοῦ.

175. *καλόν] καλῶς.

B = 176. * πεξαμένη] διακρίνασα καὶ διαχωρίσασα.

B − πλοκάμους ἔπλεξε] παρονομασία ἐτυμολογική. μέμφεται δὲ Πλάτων (? De Rep. III p. $390^{d}$) τὸν κόσμον τῆς Ἥρας, ἀγνοῶν ὡς ἀνθρωποπαθεῖς εἰσάγει τοὺς θεούς, ἄλλως τε καὶ οὐ περισσὸς ὁ κόσμος· παραφυλακτέον δὲ τὸ παιδευτικόν, ὅτι οὐ κομμωτρίας εἰσήγαγε τῇ θεῷ ἀλλ’ αὐτὴν ἑαυτῇ πάντα ὑπηρετοῦσαν, ἐπεὶ ῥᾴδιόν ἐστιν Ὁμήρῳ, ὥσπερ ἐπὶ Κίρκης τὰς νύμφας ἀντὶ θεραπαινῶν (Od. 10. 348), οὕτω καὶ ἐπὶ τῆς μεγίστης θεᾶς σεμνάς τινας δαίμονας παραλαβεῖν.

A + 177. * ἀμβροσίους] τινὲς “καὶ μεγάλους,” ἵνα μὴ λυπῇ τὸ ἀμβρόσιον συνεχὲς ὄν.

A − 178. * ἑανὸν ἕσαθ’, ὅν οἱ Ἀθήνη] παρονομασία ἐτυμολογική· δηλοῖ γὰρ τὸν ἐνδυτήριον πέπλον.

AB = 179. ἔξυσε] ἐκέρκισε—ξύουσι γὰρ τὴν κρόκην πρὸς τὸ πυκνωθῆναι—οἱ δὲ ἐλέανεν ἀπὸ μεταφορᾶς τῶν ξύλων, οἱ δὲ ἀντὶ τοῦ ἔγναψε μετὰ τὸ ὑφ⟨ανθ⟩ῆναι.

B − 180. * ἐνετῇσι] δίδωμι δοτή, τίθημι θετή, ἵημι ἑτή καὶ ἐνετή.

A = 181. * ζώνην—ἀραρυῖαν] κατὰ δοτικὴν τὸ “ζώνῃ,” καὶ Ἀρίσταρχος, “ζώνῃ ἑκατὸν θυσάνοις ἀραρυίῃ.”

B + 182. * ἕρματα] παρὰ τὸ ἐνείρεσθαι.

B + λοβοῖσι] παρὰ τὸ λαμβάνειν τι καὶ δέχεσθαι λαβὸς ἦν. §. A + B − “τρίγληνα” (182) δὲ οἱ μὲν ἀξιοθέατα, ὡς “γλήνεα πολλὰ κεχάνδει” (Il. 24. 192), οἱ δὲ ἐκ τριῶν ζῳδίων συγκείμενα, οἱ δὲ τριόφθαλμα

1. πεύθεσθαι coni. Hecker ‖ 14. παρονομασία B: παρωνομασία ‖ 18. ἂν ἦν pro ἐστὶν coni. W ‖ 19. οὕτω Bekker: ὥσπερ ‖ 23. παρωνομασία ‖ 27. supplevi ex A B

Digitized by Google

—Ἀττικοὶ τριοττίδας καλοῦσιν—οἳ δὲ γ΄ Χαρίτων ἐκτυπώματα ἔχοντα. οὐκ οἶδε δὲ ἀριθμὸν Χαρίτων ὁ ποιητής. "μορόεντα" δὲ ἐκπεπονημένα τῇ κατασκευῇ καὶ μεμεριμνημένα τῇ τέχνῃ. §. τινὲς δὲ "⟨τρίγληνʼ⟩ ἀμορόεντα" τοῦ ᾱ ἐπιτατικοῦ ὄντος, οὐχ ὑγιῶς.

184. * κρηδέμνῳ] παρὰ τὸ δέμω ῥῆμα κρήδεμνον. ἔστι δὲ μέχρι τῶν ὤμων παρειμένον, ὁ δὲ κεκρύφαλος ⟨κόσμος κεφαλῆς⟩ δετὸς καὶ ἡ παραδέσμη.

185. * παρὰ τὸ τείνομαι τατός, γείνομαι γατός, νεήγατος B= ὑπερθέσει τοῦ ε̄ νηγάτεος.

186. * λιπαροῖσιν] τινὲς ἀληλιμμένοις.

187. πάντα—κόσμον] οὐδὲν παρέλιπε τῶν γυναικείων κοσμημά- B= των, οὐ τὰ νίπτρα, οὐ τὴν τῶν ἀλειμμάτων περιεργίαν, οὐ τὴν ἐμπλοκήν, οὐ τὴν ἐσθῆτα, οὐ τὸν ἔξωθεν κόσμον περὶ τὰ ὦτα περὶ τὴν κεφαλὴν περὶ τοὺς πόδας. τῷ οὖν φυσικῷ κάλλει καὶ τὴν ἐκ τῆς τέχνης ἠθέλησεν εὐπρέπειαν προσάψαι. καίτοι δὲ τῶν περὶ ταῦτα δεινῶν γυμνὰς γραφόντων ἢ πλασσόντων τὰς γυναῖκας, καὶ πρὸς ἀπάτην ὁ ποιητὴς παραλιπὼν γυμνουμένην αὐτὴν δεῖξαι, ἵνα μὴ εἰς αἰσχρὰν ἐνέργειαν τὴν τῶν ἀκροωμένων διάνοιαν προκαλέσηται, κοσμηθεῖσαν ἐνεφάνισε καὶ λόγοις πλέον χρωμάτων αὐτὴν διετύπωσεν.

188. καλε⟨σ⟩σαμένη δʼ Ἀφροδίτην] οὐκ ἀπέχρησεν αὐτῇ μόνος B= ὁ κόσμος, ἀλλὰ καὶ ἄλλης τινὸς συλλήψεως δεῖται. διδάσκει δὲ ὁ λόγος ὅτι αἱ τοιαῦται ὑπὸ τῶν γυναικῶν ἡδοναὶ οὐ χωρὶς περιέργου τινὸς δυνάμεως γίνονται, πρὸς ἣν παρεσκευάσθαι δεῖ τὸν ἔμφρονα. ἅμα δὲ κἀκεῖνο ἐννοητέον, ὅτι οὐχ ἁπλοῦν φαίνεται τῷ Ὁμήρῳ τὸ περιγενέσθαι τοῦ σοφοῦ· διὰ τοῦτο καὶ ἡ Ἥρα πολλὰ πραγματεύεται εἰς τὸ περιγενέσθαι Διός.

189. * τῶν ἄλλων ἀπάνευθε θεῶν πρὸς μῦθον ἔειπεν] δεῖ γὰρ B= τοιούτοις ἐγχειροῦσαν ⟨κρύφα⟩ εἰπεῖν, ἐπεὶ καὶ ἐν ἀπορρήτῳ τὰ τοιαῦτα πράττουσιν αἱ γυναῖκες.

190. * ἦ ῥά νύ μοί τι πίθοιο] ὑποθετικῶς διαλέγεται, καὶ θυγα- B= τέρα αὐτὴν καλεῖ διὰ τὴν χρείαν.

1. τριοττίδας Dindorf ex Eust.: τριόπιδας B, τριωττίδας ‖ 5. δέμω Et. M.: δέμνω ‖ 6. suppl. W ex Eust., κόσμος τις περὶ τὴν κεφαλήν D Eust. ad Fl. 22.469 ‖ 8. γείνομαι γατός B: γειμοιτατὸς ‖ νεήγατος B: νεήγαντος ‖ 13. οὐ τὴν B: οὐκ ‖ 19. πλειόνων B ‖ 29. supplevi ex B ‖ ἀπορρήτοις B

Digitized by Google

191. * ἀρνήσαιο] ἀπείποις.

B= 192. οὕνεκ' ἐγὼ Δαναοῖσι] πιθανῶς τὴν ὑπὲρ τῶν στρατευμάτων διαφορὰν παρήγαγε προλαμβάνουσα τὴν ἐκείνης ἀντίρρησιν.

194. πρέσβα] συγκοπῇ τοῦ ⟨πρέσβειρα καὶ⟩ πρέσβεια. §. πῶς δὲ ἡ καλοῦσα αὐτὴν 'τέκνον' (190) περὶ κάλλους ἤμελλεν ἐρίζειν αὐτῇ; πῶς δὲ ⟨ἡ⟩ τὸν κεστὸν ἔχουσα, ᾧ καὶ Δία νικᾷ (scil. Ἥρα 315), οὐκ ἤμελλεν αὐτῆς περιέσεσθαι; νεωτερικὴ οὖν ἡ κρίσις.

195. * τὸ "ὅ τι" ἀντὶ τοῦ ὅπερ.

B= 196. * εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστίν] τῶν γὰρ πραγμάτων τὰ μὲν ἰδικῶς ἄπορα, τὰ δὲ κοινῶς ἀδύνατα.

B= καὶ εἰ τετελεσμένον ἐστίν] καὶ εἰ τετελεσμένον ἑτέρῳ τινὶ τυγχάνει, ὡς τὸ μὴ προγενόμενον οὐκ ἂν ὕστερόν ποτε γένοιτο. ἢ εἰ τελεσθησόμενόν ἐστιν.

198. * ἵμερον] τινὲς τὴν τῶν ἀπόντων ἐπιθυμίαν.

B= ᾧ τε σὺ πάντας δαμνᾷ] πρακτικῶς ἅπαντα· καὶ γὰρ τὸ ἐπαίρειν αὐτῆς τὴν δύναμιν ἐπαγωγότατον. ἅμα δὲ καὶ σύστασιν ἔχει ὁ λόγος, ἵνα πιθανὸν φανῇ καὶ τὸν Δία τοῖς τοιούτοις κρατηθῆναι.

B− 199. δαμνᾷ] οἳ μὲν ὁμοίως τῷ "πειρᾷ ἐμεῖο, γεραιέ" (Il. 24. 390), οἳ δὲ Δώριον αὐτὸ ἀπὸ τοῦ δάμνασαι· οὕτως Ἀρίσταρχός φησιν 'ἐπίστᾳ' 'δύνᾳ,' ὅλον δὲ 'ἐπίστασαι.'

200. ὀψομένη] ἀντὶ τοῦ 'συντευξομένη,' τῷ Ὠκεανῷ. §. πιθανῶς
B= δὲ πλανᾷ ἐκτοπίζουσα τὸν ἔλεγχον καὶ μακρὰν καθιστᾶσα τὴν ὑποψίαν.

A+ 202. ἐν σφοῖσι] σὺν τῇ "ἐν" αἱ Ἀριστάρχου. §. πιθανῶς δὲ
B= μνήμονα εὐεργεσιῶν ἑαυτὴν ὑπογράφει, εὐέλπιδα καὶ ταύτην ποιοῦσα ὡς ἀντιληψομένην τὰς χάριτας.

ἀτίταλλον] ἀτιτάλλειν τὸ ἐξ ἀταλοῦ τρέφειν. §. τὸ δὲ "Ῥείης" ὁ Ἀρίσταρχος διὰ τοῦ ᾱ, "Ῥείας."

A− 206. δηρὸν ⟨χρόνον⟩] ἐκ παραλλήλου· φησὶ γὰρ "αἰσχρόν τοι δηρόν τε μένειν" (Il. 2. 298).

A+B− 208. εἰ κείνῳ γε] Ζηνόδοτος καὶ Ἀριστοφάνης "κείνων," ὁ δὲ Ἀρίσταρχος ὁμηρικ⟨ώτερ⟩όν φησιν εἶναι 'εἰ κείνους παραπείσασα

4. supplevi ex D ‖ 5. ἐρίζειν Bekker : ὑβρίζειν ‖ 6. suppl. W ‖ κεστὸν ἔχουσα ᾧ scripsi, κεστὸν ἔχουσα ἐν ᾧ Bekker : κεστὸν ἐν ᾧ ‖ 10. ἰδικῶς ut B ‖ 11. ἔσται ‖ 15. ὥστε ‖ πρακτικὰ B ‖ 19. δάμναμαι : corr. Bekker ‖ 20. φ. ἐπίστα ‖ 25. ὑπογράφει W : ἀπογράφει ‖ εὔελπιν B ‖ 26. ἀποληψομένην B ‖ 27. ἀταλοῦ W ex Apoll. Soph. et Et. M. : ἀπαλοῦ ‖ 32. supplevi ex A

Digitized by Google

τὴν ψυχήν· δύναται δὲ τὸ "κείνω" ἀντὶ τοῦ κείνων εἶναι, ὡς "ἄμφω δ' ἑζομένω" (Il. 3. 211).

209. ὁμωθῆναι] ὁμοιωθῆναι ⟨ἢ⟩ εἰς ταὐτὸ συνελθεῖν· "ὁμὸν λέχος εἰσαναβαίνοι" (Il. 8. 291)· οὐκ ἂν τις οὖν τὴν γνώμην κυριώτερον εἴποι. A-B- §. δασύνεται δὲ τὸ "ὁμωθῆναι." A+

210. αἰεί κε σφι φίλη ⟨τε καὶ αἰδοίη καλεοίμην⟩] λεληθότως ὑποβάλλει, ὅτι καὶ σὲ τὴν τῆς τιμῆς μοι αἰτίαν νομιῶ φίλην. B=

213. * ἀγκοίνῃσιν] ἐκ τοῦ ἀγκῶνος ἀγκοίνη, κατὰ τροπήν.

214. κεστὸν ἱμάντα] οὐκ ἔστιν ὄνομα τοῦ ἱμάντος ὁ κεστὸς ἀλλ' ἐπίθετον διὰ τὸ πεποικίλθαι ἱμέροις καὶ τοῖς ἑξῆς, ὡς καὶ ἐπὶ Πάριδος "πολύκεστος ἱμάς" (Il. 3. 371). §. "ἱμάντα" τὸ γὰρ ἐκτεταμένον νέας Ἀτθίδος, ὡς ἀλ⟨λ⟩ᾶντα. A+B-

217. ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων] προκατασκευάζει, ἵνα μὴ θαυμάζωμεν εἰ Ζεὺς ἠπάτηται. καὶ ἐπὶ θυμοῦ δέ φησιν "οἰδάνει ἐν στήθεσ⟨σ⟩ι ⟨νόον⟩ πύκα περ φρονεόντων" (Il. 9. 554) διδάσκων, ὡς, εἰ καὶ συνετὸς εἴη τις, ἁλίσκεται τοῖς πάθεσι τοῦ νοῦ, εἰ μὴ ἑαυτῷ προσέχοι. B= §. "ὀαριστὺς" δὲ "πάρφασις" ἡ παραλογιστικὴ ὁμιλία. A+B=

219. τῇ] ὅθεν καὶ τήθη ἡ λέγουσα "δέξαι, θήλασον." θῶ γὰρ τὸ θηλάζω, "θήσατο μαζόν" (Il. 24. 58). καὶ ἀντιφράζει αὖ τῷ "τῆ, πίε οἶνον" τὸ "ὃ δ' ἔδεκτο" (Od. 9. 347, 353). B-

ἐγκάτθεο κόλπῳ] τῷ τοῦ ἱματίου κόλπῳ, τῷ κατὰ τὸ στῆθος πτύγματι τοῦ πέπλου, ὡς "κόλπον ἀνιεμένη" (Il. 22. 80), ἐπεὶ κἀκείνη "ἀπὸ στήθεσφιν ἐλύσατο" (214), ἢ ἐπεὶ οἱ τὰ τοιαῦτα παρέχοντες παραγγέλλουσι μὴ ὁρᾶσθαι, ἵνα μὴ ἀλλοιῶται τῇ ὄψει τὰ μαγγανεύματα. B-

221. ⟨ἄπρηκτόν γε⟩ νέεσθαι] ἀντὶ τοῦ ὑποστρέψειν· οὕτως Ἀρίσταρχος. A+B- τινὲς δὲ τὸ "γενέεσθαι" μέσον μέλλοντα ἐξεδέξαντο διαλελυμένως, ὡς τὸ "κρανέεσθαι," γίνω γενῶ γενεῖσθαι διαιρέσει "γενέεσθαι." οὐκ ἔσῃ οὖν ἄπρακτος οὗ προθυμῇ. καλῶς δὲ ὁ μὲν ποιητὴς κατείλοχε τὴν δύναμιν τοῦ κεστοῦ, οὐχὶ δὲ Ἀφροδίτη, πρὸς τὸ μὴ μεγεθοποιεῖν τὴν χάριν.

222. ⟨μείδησεν⟩] γράφεται "γήθησεν."

2. ἑζομένῳ ‖ 5. δασυντέον A ‖ 19. λέξουσα B ‖ 20. μ. καντιφράζει αὐτῷ τὴν πίσυνον οὐδὲ ἔδεκτο: corr. Bekker ‖ 25. ἀλλοιοῖτο B ‖ 26. μηχανήματα B ‖ 28. τὸν γ. ut B ‖ διὸ ante μέλλοντα omisi ut B ‖ ἐδέξαντο B ‖ 29. κρ. γείνω ‖ διαιρέσει B: διαίρεσις

Digitized by Google

* ὅμοιόν ἐστι τῷ "χαῖρεν δὲ κλεηδόνι δῖος Ὀδυσσεύς" (Od. 20. 120).

A– 223. * ἐῷ] οὕτως Ἀρίσταρχος· Ζηνόδοτος δὲ "μέσῳ."

224. * ἡ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη] διὰ γὰρ τὸ μὴ ἔχειν ἄνδρα τῷ Διὸς οἴκῳ ἐνδιαιτᾶται.

A+ 225. * ῥίον Οὐλύμποιο] ὡς ἐπὶ ὄρους· παρὰ τὸ ὁρᾶν ἢ ῥέεσθαι.

A+B= 226. Πιερίην δ' ἐπιβᾶσα καὶ Ἠμαθίην] Μακεδὼν ὁ Διὸς καὶ Θυίας, κατέχων χώραν περὶ Θρᾴκην, Μακεδονίαν ἀφ' ἑαυτοῦ προσηγόρευσεν· ἴσχει δὲ παῖδας δύο, Ἄμαθον καὶ Πίερον, ὧν αἱ πόλεις ἐν Μακεδονίᾳ.

A+ Πιερίην] οἱ μὲν μέρος Ὀλύμπου, οἱ δὲ χώραν ἀπὸ νύμφης ἢ Πίερος τοῦ Ἐλευθῆρος· Ἠμαθία δὲ πρώην ἡ Μακεδονία.

B– 227. ἐφ' ἱπποπόλων] ἄκρως κατονομάζει τοὺς τόπους τὰς ὁμόρους χώρας διεξιών, ὡς καὶ ἐν Ὀδυσσείᾳ (15. 297) "ἡ δὲ Φερὰς ⟨ἐπ⟩έβαλλεν ἐπειγομένη Διὸς οὔρῳ, ἠδὲ παρ' Ἦλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί· ἔνθεν δ' αὖ νήσοισιν." τῇ γὰρ ὀνομασίᾳ τῶν τόπων συμπαραθέουσα ἡ διάνοια τῶν ἐντυγχανόντων ἐν φαντασίᾳ καὶ ὄψει τῶν τόπων γίνεται. ἅμα οὖν τὸ ἀργὸν περιέφυγεν, οὐκ εὐθὺς ἀγαγὼν αὐτὴν ἐπὶ τὰ προκείμενα χωρία· μάρτυρας ⟨γοῦν⟩ ἐπαγόμενος τοὺς ἀκούοντας πιθανωτάτην καθίστησι τὴν διήγησιν.

* ἱπποπόλων] τινὲς "ἱππονόμων." §. λείπει δὲ ἡ πρός, 'πρὸς τὰς κορυφάς,' ἢ ἐπί.

228. * μάρπτε ποδοῖιν] οἷον τὰ ἴχνη κόνιν τῆς γῆς οὐ συνελάμβανον.

A– 229. ἐξ Ἀθόω δ' ἐπὶ πόντον] Ἀρίσταρχος "ἐς πόντον·" Πτολεμαῖος δὲ κατάδυσίν φησιν δηλοῖ ⟨τὸ⟩ "ἐς πόντον," ἀγνοεῖ δὲ τὸ "ἐς πόντον ἐπηρεφέας φύγε πέτρας" (Od. 10. 131). ἄφεσιν οὖν δηλοῖ, οὐ δύσιν. τὸ δὲ "ἐλάαν ἐπὶ κύματα" (Il. 13. 27) ἐπάνω τῶν κυμάτων. καὶ "σεύατ' ἐφ' ἱπποπόλων Θρῃκῶν ὄρεα." καὶ γὰρ ἔπειτα πορεύεται
B– εἰς τὸ Ἴλιον (281). §. τὸ δὲ "Ἀθόω" ἐπέκτασις ποιητική. §. εἴρηται

1. κελευδόνη ‖ 3. μέσῳ] Ἀρίσταρχος "μέσῳ," ἄλλοι δὲ "ἐῷ" A ‖ 7. Διὸς etiam A D Eust.: Δίωνος B ‖ 8. Θυίας Lobeck: Αἰθρίας A D, Αἰθυίας ut B ‖ κατασχὼν A ‖ 12. Ἐλευθῆρος Eust.: Ἐλεσθῆρος ‖ 13. ἱπποπώλων textus, ἱπποπάλων ‖ ὁμόρους Bekker: ὁμήρου ‖ 14. Φεὰς Strabo VIII. 350 ‖ 15. οὔρῳ Bekker: οὕτω ‖ 18, 19. τὰ προκείμενα χωρία B: τῶν προκειμένων χωρίων ‖ 19. supplevi ex B ‖ 19, 20. πιθανωτάτην B: πιθανῶς ταύτην ‖ 21. ἱπποπώλων textus ‖ 26. suppl. Bekker ‖ 29. ἱπποπώλων ‖ θρῃκῶν ὄρεα scripsi, καὶ γὰρ ἔπειτα add. et δὲ post πορ. del. W: θερμαὶ γὰρ ἐπεὶ τί πορ.

Digitized by Google

δὲ ἀπὸ τοῦ γίγαντος Ἄθω, ⟨ᾧ⟩ Ποσειδῶν τὸ ὄρος ἐπέθηκεν· τοῦτο δὲ B– ὤρυξε Ξέρξης, καταπλῆξαι τοὺς Ἕλληνας θέλων. Δημήτριος δὲ ὁ Σκήψιος ψευδὲς εἶναι τοῦτό φησιν· τιμᾶται δὲ ὁ Ζεὺς ἐν αὐτῷ· Αἰσχύλος Ἀγαμέμνονι (272) "Ἀθῷον αἶπος Ζηνὸς ἐ⟨ξε⟩δέξατο·" τὸ δὲ στάδια ⟨τ′⟩ ἀπέχον Λήμνου σκιάζει αὐτήν· καὶ ἡ παροιμία "Ἄθως σκιάζει νῶτα Λημνίας βοός" (Soph. fr. 703 N.). Διοκλῆ δέ φασι τὸν Ῥηγῖνον ἀρχιτέκτοντα Ἀλεξάνδρῳ ἐπαγγέλλεσθαι τὸν Ἄθω ἀνδριάντα αὐτοῦ κατασκευάσαι, θατέρᾳ μὲν χειρὶ μυρίανδρον ⟨πόλιν⟩ κατέχοντα, θατέρᾳ δὲ ποταμοὺς προϊέμενον, ὥσ⟨τε⟩ τοῖς παραπλέουσιν δοκεῖν σπένδειν.

* Ζηνόδοτος "ἐς πόντον." A=

* ἐπὶ πόντον] οὐκ οἶδεν Ὕπνου οἶκον, ὡς Ποσειδῶνος ἐν Αἰγαῖς (Od. 5. 381), ἐπεὶ τρίτῳ βήματι ἐκεῖ ἂν εὕρητο ἡ θεός.

230. πόλιν θείοιο ⟨Θόαντος⟩] "⟨Εὔβοι' Ἀθηνῶν⟩ ἔστι τις γείτων πόλις" (Eur. Ion 293), ἀντὶ τοῦ νῆσος· οἱ δὲ ἀντὶ τοῦ χώρα. ἐν ψηφίσματι, ⟨ὃ παρα⟩τίθεται Κρατερός, ἐστὶν "Αἴγυπτον καὶ Λιβύην τὼ πόλεε" οἱ δὲ "πόλιν Θόαντος" Μύριναν. §. εἰσὶ δὲ αὐτῆς πόλεις δύο, Ἡφαιστιὰς καὶ Μύρινα. ἢ ὅμοιόν ἐστι τῷ "Ἴδην δ' B= ἵκοντο—Λεκτόν" (283) "Κύπρον ἵκανε—ἐς Πάφον" (Od. 8. 362)· ἔθος γάρ ἐστιν αὐτῷ τοῖς ὅλοις τὰ μερικὰ ἐπάγειν.

231. ἔνθ' Ὕπνῳ ξύμβλητο] φίλοινοι γὰρ ὡς ἀπόγονοι Θόαντος τοῦ A~B+ Διονύσου. καὶ Εὔνεως οἶνον πέμπει (Il. 7. 468), καὶ Ὀδυσσεὺς ἀπὸ Θρᾳκῶν τὸν οἶνον δέχεται (Od. 9. 197), καὶ οἱ σὺν Ῥήσῳ κοιμώμενοι ἀνῃρέθησαν (Il. 10. 470), καὶ οἱ Λήμνιοι ὑπὸ τῶν γυναικῶν· καὶ οἱ Ἀχαιοὶ ἐν Λήμνῳ πίνουσι "κρητῆρας ἐπιστεφέας οἴνοιο" (Il. 8. 232). ἢ διὰ Πασιθέαν τὴν γυναῖκα Ἡφαίστου πάρεστιν αὐτὸς λιπαρῶν τυχεῖν τῆς ἀδελφῆς—τὸ δὲ χαλκεῖον Ἡφαίστου ἐν Λήμνῳ— οἱ δὲ ὅτι Φιλοκτήτης ἐδεῖτο αὐτοῦ εἶναι ἐκεῖ διὰ τὰς ὀδύνας, οἱ δὲ ἐκ τύχης συντετυχηκέναι. §. τινὲς δὲ γράφουσιν "ἐρχομένῳ κατὰ

1. Ἄθω B: Ἀθόω ‖ supplevi ex Eust. ‖ ὄρος Eust.: ὄνος ‖ 4. supplevi ex B Eust. ‖ τὼ δὲ ‖ 5. αὐτήν Eust.: αὕτη ‖ 6. νῶτα Et. M. s. v. Ἄθως alii cf. Nauck l. c.: ὦτα ‖ Ῥηγῖνον Eust.: Ῥήγιον ‖ 8. θατέρᾳ Eust.: θάτερα bis ‖ suppl. Bekker ex Eust. ‖ κατέχοντα Eust.: κατέχουσαν ‖ 9. προϊέμενον Eust.: προϊεμένην ‖ ὅτι σπένδει Eust., σπεύδειν ‖ 13. suppl. Meineke Steph. Byz. p. 718 ‖ 14. χώρα Bekker: χώρας ‖ 15. suppl. Meineke, qui ante ἐν insert ⟨ὡς⟩ et delet ἐστὶν ‖ καρτερός: corr. Meineke ‖ 16. Μύριννα B Eust. ‖ 18. ἵκοντο Eust.: εἰσαφίκανε ut B ‖ 19. αὐτῷ B: αὐτὴν ‖ 20. schol. pertinet ad v. 213 cf. B ‖ 21. Διονύσου Eust.: Διονυσίου ‖ Εὔνηος Eust. ‖ 22. ἀπὸ Bekker: ὑπὸ ‖ 27. διὰ τὰς ὀδ. εἶναι ἐκεῖ coni. W ‖ 28. προσγράφουσιν coni. Ludwich

Digitized by Google

φῦλα βροτῶν ἐπ' ἀπείρονα γαῖαν." §. πῶς ἡ ἄλλους ἐξαπατῶσα ἀπατᾶται νῦν; ἢ οὐκ ἀλεξιφάρμακον ἀπάτης ἡγεῖσθαι δεῖ τὸν κεστόν· ἔστι γὰρ μόνης συνουσίας περιποιητικός· φιλοτιμουμένη δέ φησι περὶ αὐτοῦ "ὅτι φρεσὶ σῇσι μενοινᾷς" (221), ὡς καὶ Ἀλκίνους "σὺ μὲν δεδμημένος ὕπνῳ λέξεαι" καὶ τὰ ἑξῆς (Od. 7. 318). οὐδὲν οὖν ἐκώλυεν αὐτήν τε ἀπατᾶσθαι καὶ ἄλλους ἀπατᾶν δύνασθαι. ἢ δίδωσι τὸν κεστόν, ὅπως τῇ ἀπουσίᾳ τῆς Ἥρας ἀκίνδυνοι ὦσι Τρῶες.

B= κασιγνήτῳ Θανάτοιο] Μνησ⟨ίμ⟩αχος ὁ κωμικὸς "ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια" (III p. 579 M.)· ὁ μὲν γὰρ διὰ μικρᾶς διαλύσεως τοῦ σώματος, ὁ δὲ ἀπὸ ἰσχυρᾶς γίνεται· καὶ ἐν ἀμφοτέροις ἄπρακτος δίαιτα ἀνάπαυσις κακῶν· ὁ μὲν χωρίζει ψυχήν, ὁ δὲ συστέλλει· ἀλλ' ὁ μὲν στέρησις αἰσθήσεως, ὁ δὲ ἀφαίρεσις.

B= 233. Ὕπνε, ἄναξ πάντων ⟨τε⟩ θεῶν] φησὶ γοῦν ἀλλαχοῦ "ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες—εὗδον" (Il. 2. 1)· ὥσπερ δὲ τὸν κεστὸν ἐθαύμασεν, οὕτω καὶ τὸν Ὕπνον ἐσεμνολόγησε, πρὸς πειθὼ αὐτὸν ὑπαγομένη.

B= 234. ἦ μὲν δή ποτ' ἐμὸν ἔπος] μνήμη χάριτος παλαιᾶς παρασκευαστικὴ δευτέρας· ἀλλ' οὐκ ἐγύμνωσε τὴν χάριν διὰ τὰ παρακολουθήσαντα τῷ ὕπνῳ τότε.

A+ 235. ἰδέω χάριν] αἱ Ἀριστάρχου "χάριν εἰδέω" ἀντὶ τοῦ εἰδείην. §. Ἀττικῶς ἀντὶ τοῦ ὀφλῆσαι, ὡς Εὐριπίδης "ὦ παρθένʼ, εἰ
B− σώσαιμί σʼ, εἴσῃ μοι χάριν;" (Andr. fr. 126 N.). ἐπίτηδες δὲ αὐτὸν ὑπέμνησε τῆς προγεγονυίας χάριτος.

236. κοίμησον] ἀντὶ τοῦ 'κο⟨ί⟩μισον' Αἰολικῶς, ὡς τὸ ψιμύθιον ψημύθιον· ἢ ἐνήλλακται τὰ τῆς διαθέσεως.

A+ * ὑπ' ὀφρύσιν] Ζηνόδοτος "ἐπ' ὀφρύσιν."

B− 238. καλὸν θρόνον] ἐφύλαξε τὸν τῆς Χάριτος γάμον, εἰ ἀντιλέξει. καλῶς δὲ θρόνον ὑπισχνεῖται· πρὸς ἀνάπαυσιν γὰρ πεποίηται, ὡς ὁ ὕπνος. πάντα δὲ τὰ ἡφαιστότευκτα ἄφθιτά φησιν.

B= 239. * εἰς πίστιν τῆς ὑποσχέσεως καὶ τοῦ Ἡφαίστου μνημονεύει, ὅτι καὶ ἐκ προχείρου τὴν δωρεὰν παρέξει παρὰ τοῦ υἱοῦ λαβοῦσα.

240. * τεύξει] δύναται καὶ εὐκτικὸν εἶναι "τεύξοι" καὶ ὁριστικὸν "τεύξει."

2. ἡγ. ἐδεῖτο κ. Bekker || 5. λέξαιε || 7. εἶεν Τρ. || 8. supplevi ex B Eust. || 11. ἀνάπαυσις W: ἀναπαύουσι || 14, 15. ἀπεθαύμασεν B || 15. σεμνολογεῖ B || ἐπαγομένη B || 19. Ἀρίσταρχος A || 20. Εὐριπίδης ὡς πίθεν εἰς ὡς (dein vacant 7 litt.) ἢ μοι χάριν: corr. Bekker ex Laert. Diog. IV. 29 || 22. προγεγονυίας B: πορθουμένης || 23. ψυμύθιον || 24. ψημύθιον Eust.: βαρυθυμίαν || 26. καὶ θρ. || ἀντιλέξει Bekker: ἀντιλέξαι B, ἀντιλέξοι

Digitized by Google

θρῆνυν] ἀρσενικῶς· "θρῆνυν ἐφ' ἑπταπόδην" (Il. 15. 729). καὶ B– "τῷ κεν ἐπισχοίης·" οὐ γάρ ἐστιν οὐδέτερον εἰς ῡ λῆγον· εἴρηται δὲ παρὰ τὸ θρᾶνον, ὅ ἐστι μικρὸν ὑποπόδιον.

241. * ἐπισχοίης] οὕτως Ἀττικοί· ἔνιοι δὲ "ἐπισχοῖες." A+

εἰλαπινάζων] τινὲς ἐπάγουσιν "αὐτὰρ ἐπὴν δὴ νῶι κατευνηθέντε ἴδηαι ἀγγεῖλαι τάδε πάντα Ποσειδάωνι ἄνακτι·" ψευδὲς δέ ἐστιν· οὐ γὰρ ἂν ὤμοσεν Ἥρα (Il. 15. 41), ἀλλ' ὁ Ὕπνος διὰ τὸν γάμον τῆς Χάριτος ὑπὲρ τὸ αἰτηθὲν ποιεῖ.

243. * πρέσβα] ἀντὶ τοῦ πρεσβυτάτη, ὡς "δῖα θεάων." §. τὴν B= ἴσην δὲ τιμὴν ἀνταπέδωκεν αὐτῇ. B=

245. καὶ ἂν ποταμοῖο ῥέεθρα] δυσχερέστατον ποταμὸν ῥέοντα κοιμίσαι. §. ὁμιλητικῶς πρὸς ταῦτά φησιν ὑπηρετήσειν, ἃ μὴ κίνδυνον B= αὐτῷ φέροι. τεχνικώτατα δὲ διαλέγεται, τοῦ μὲν καὶ νῦν κρατῆσαι τοῦ Διὸς δύνασθαι πίστιν ἐπάγων· ἐκ τῶν ἐπὶ τῷ Ὠκεανῷ, τοῦ δὲ μὴ τολμῆσαι ἀπολογίαν κομίζων τὸ μηδὲ πρόσθεν αὐτῷ λυσιτελῆσαι τοῦτο πρᾶξαι· ἐξ οὗ δύο χρήσιμα πράττει, τήν τε δοθησομένην ἐπιτείνει δωρεὰν καὶ τῆς παλαιᾶς εὐεργεσίας τὴν Ἥραν ὑπομιμνήσκει.

246. ὅς περ γένεσιν] ἐκ γὰρ ὕδατος πάντα τὰ στοιχεῖα, καὶ τὸ B– σπέρμα δὲ πνεῦμά ἐστιν ὑγρῷ κραθέν. ὅθεν κουροτρόφοι οἱ ποταμοὶ καὶ αἱ πηγαί· οἷς τέως ἀποκείρονται τὰς κόμας.

249. ἄλλοτε ἡ ἐπίνυσσεν] Ἀρίσταρχος "ἄλλο τεὴ ἐπίνυσ⟨σ⟩εν A+B= ἐφετμή," ἵν' ᾖ, ἤδη γάρ με καὶ ἄλλοτε ἡ σὴ ἐπαίδευσε πρόσταξις. εἰ γὰρ ἦν ὅτι τῇ ἰδίᾳ ὁ Ζεύς, ἔδει ἐπάγειν 'ὑπέρθυμος ἑὸς υἱός,' ἄλλως τε ἀπειλῇ ἂν ἐσωφρόνισεν, οὐκ ἐφετμῇ· τὸ δ' ἔργον λέγει κίνδυνον φέρειν, ἵνα καὶ παρωσάμενος συγγνώμην ἔχῃ καὶ ποιῶν δοκῇ μείζονα χαρίζεσθαι. §. τὸ δὲ "ἐπίνυσ⟨σ⟩εν" ἀντὶ τοῦ ἐσωφρόνισε καὶ ἐνουθέτησε μηκέτι τοῖς τοιούτοις ἐγχειρεῖν. B–

252. * Διὸς νόον] τὸν Δία, ὅς ἐστι νοῦς κόσμου. B=

2. οὐ γὰρ W: ὅπερ ‖ 3. τὸ B: τὸν ‖ 4. οὕτως Ἀττικοί cf. Eust., οὕτως Ἀρίσταρχος coni. W: ὡς ἄσσον ‖ δὲ ἐπίσχυες A ‖ 5. κατευνηθέντες: corr. Bekker ‖ 6. ἀγγεῖται: corr. Bekker ‖ 6, 7. οὐκ ἂν γὰρ ἂν: corr. Bekker ‖ 11. ποταμὸν Bekker: ποτὲ ‖ 12. ὑπηρετῆσαι B ‖ ἃ B: ἂν ‖ 15. τολμῆσαι W: ποιῆσαι B, τὸ ἀνῆσαι ‖ πρόσθεν B: πρὸς θεὸν ‖ 16. ἐξ οὗ B: ἐκ σοῦ ‖ 17. ὑπομιμνήσκει B: ὑπέμνησεν ‖ 20. ἀπεκείροντο W: ἀποκείρονται ‖ 21. ἐπίνυσσεν etiam textus ‖ Ἀ. ἄλλο τεὴ A: ἄλλοτε σὴ ‖ 23. ἦν ὅτι τῇ ἰδίᾳ ὁ B: δέει τῇ (dein vacant 4 litt.) ὁ ‖ 24. τὸ δ' ἔργον λέγει W ex B: πονηρὸν δὲ ‖ 25. φέρειν B: φέρει ‖ τολμῶν δ. coni. W ‖ 26. ἐσωφρόνησε B

Digitized by Google

B— 253. * ἀμφιχυθείς] ὑγρὸς γὰρ ὁ ὕπνος.

A= 255. ⟨Κόωνδε⟩] τινὲς "Κόον," ὡς καὶ Καλλίστρατος ἐν τοῖς διορθωτικοῖς. §. Κῶν Κόον, ὡς σόον, διαλύσει· καὶ "χροὸς εἴσατο" (Il. 13. 191)· τὸ δὲ πρόβατον κοῖον οἱ Κᾶρες ὀνομάζουσιν· ὅθεν Κῶς ἡ πολυθρέμμων.

B— εὖ ναιομένην] ἢ δι' εὐβοσίαν, ἢ τὴν οὐ τότε ἀλλ' ὕστερον, ὡς τὸ "ἠὲ σὺ πρῶτον ἔσελθε δόμους εὖ ναιετάοντας" (Od. 17. 275)—οὐ γὰρ ὑπὸ τῶν μνηστήρων ᾠκοῦντο τότε καλῶς—ἢ ὑπὸ γενναίων οἰκουμένη⟨ν⟩, οἳ νομίσαντες αὐτὸν λῃστὴν εἶναι ἐπηρέασαν αὐτῷ. B= §. "φίλων" δὲ ἢ τῶν πολιτῶν ἢ τῶν ἰδίων, ὡς ⟨τὸ⟩ "ἀπὸ μὲν φίλα εἵματα δύσω" (Il. 2. 261)· ἰδίᾳ γὰρ νηὶ ἐκεῖσε κατήχθη.

* ἀπένεικας] καὶ ἡ μετοχή· "κεφαλήν τε τεὴν καὶ τεύχε' ἐνείκας" (Il. 17. 39).

B— 257. ῥιπτάζων—θεούς] δηλονότι τοὺς συλλαμβάνοντας τῇ Ἥρᾳ. ἡ δὲ ἀπότασις εἰς τὸν Ἥφαιστον· φησὶ γοῦν ἐν τῇ Α (590) "ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι ⟨μεμαῶτα⟩ ῥῖψε, ποδὸς τεταγών." ὅτι δὲ ἐπιβοηθοῦντα τῇ Ἥρᾳ οὕτω διέθηκεν ὁ Ζεύς, αὐτὸς ἐν τοῖς ἑξῆς ἐρεῖ· "λῦσαι δ' οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι, ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ' ἂν ἵκηται γῆν ὀλιγηπελέων" (Il. 15. 22). ὃ προλαβὼν ὁ Ἥφαιστος ἐξήνεγκε "πᾶν δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι κάππεσον ἐν Λήμνῳ, ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν" (Il. 1. 592).

B= * ἔξοχα πάντων] κατ' ἐξοχήν, παρὰ πάντας.

AB= 258. * ἄιστον] ἀνιστόρητον.

AB= * ἄιστον—ἔμβαλε] ἐ⟨μ⟩βαλὼν ἐποίησεν, ὡς "βροτὸς οὔτασεν ἀνήρ" (Il. 5. 361) οὐτάσας ἐποίησεν.

B+ 259. εἰ μὴ Νὺξ δμήτειρα θεῶν] δαιμονίως· ὡς γὰρ τὸν Ὕπνον ἄνακτα θεῶν καὶ ἀνθρώπων φησίν, οὕτω καὶ τὴν Νύκτα δμήτειραν θεῶν καὶ ἀνδρῶν.

A+ * δμήτειρα] αἱ πᾶσαι "μήτειρα," ἐπεὶ ἀρχαία θεός· ἄμεινον δὲ "δμήτειρα·" καὶ "δεδμημένος" γὰρ "ὕπνῳ" (Od. 7. 318).

B= 260. * ἱκόμην] ἱκέτευσα, εἰκότως. φυσικώτερος γὰρ ὁ ἐν νυκτὶ ὕπνος τοῦ μεθ' ἡμέραν.

2. Καλλίστρατος A : Καλλίμαχος ‖ 6. δι' εὐβοσίαν B : εὔβοιαν ‖ 6, 7. τὸ τῆς σὺ ‖ 8. ὠκεῖτο τότε ἡ κῶς : corr. W ‖ 9, 10. supplevi ex B ‖ 11. ἐκεῖ κατῆλθεν B ‖ 12. καὶ ὅπλ' ἐν. ‖ 16. supplevi ex B ‖ 17. οὕτω scripsi : τοῦτο ‖ 21, 22. δέ τι ‖ 25. supplevi ex B ‖ 26. καὶ post ἀνὴρ omisi ‖ ἀ. ἀντὶ τοῦ οὐτ. B

Digitized by Google

261. μὴ Νυκτὶ θοῇ] τινὲς "νυκτὶ φίλῃ·" καὶ ἄμεινον· τί γὰρ B= πρὸς τιμὴν ἡ θοὴ νύξ; διδάσκει δὲ ὡς χρὴ καὶ ὀργῆς κρατεῖν εἰς πρόσωπον αἰδέσιμον ἀφορῶντας.

* ἔρδοι] ῥέζω οἱ Βοιωτοί, ῥέδω, ὑπερθέσει ἔρδω.

262. * ἀμήχανον] πρὸς ὃ μηχανὴν σωτηρίας οὐκ ἂν εὑροίμην. B=

263. * τὸν δ' αὖτε προσέειπε βοῶπις πότνια Ἥρη] γράφεται "ὣς φάτο· μείδησεν θὲ θεὰ λευκώλενος Ἥρη, χειρί τε μιν κατέρεξεν—."

264. τίη δὲ σὺ ταῦτα] ἄκρως διασύρει τὸ πᾶν, οὐδὲ ἀξιοῦσα εἰς B= ἔννοιαν αὐτὸ λαμβάνειν οὐδὲ παραβάλλειν ⟨τὰ⟩ παρόντα ἐκείνοις· οὐ γὰρ ὁμοίως κινηθήσεσθαι τὸν Δία ἐπὶ τοῖς Τρωσὶ κακωθεῖσιν, ὥσπερ ὑπὲρ τοῦ ἰδίου παιδὸς ἐχαλέπηνεν· καὶ ἔστιν ἠθικόν· ὡς γὰρ πρόδηλον ὂν τὸ τῆς συγκρίσεως, αὐτὸν τὸν Ὕπνον ἐρωτᾷ.

* τίη] βαρυντέον τὸν "η̄" παρέλκοντα ἀντὶ τοῦ δή.

265. ἦ φῄς] τὸ μὲν βαρυνόμενον ἐρώτησιν δηλοῖ, τὸ δὲ περι- B– σπώμενον ἀπόρησιν, ἐὰν δὲ ὀξυνθῇ, πρὸς τὸν νοῦν συντάσσεται.

266. περιχώσατο παιδὸς ἑοῖο] συντόμως πάνυ· ἐν γὰρ τῷ "παιδὸς ἑοῖο" πάντα κατάκειται, δι' ἃ εἰκὸς ἦν ἐπ' ἐκείνῳ μᾶλλον χαλεπῆναι τὸν Δία· τεχνικῶς δὲ παρεδήλωσε καὶ τὴν χρείαν δι' ἣν θέλει κατακοιμίσαι τὸν Δία, ἵνα καὶ ἑξῆς ὁ Ὕπνος πιθανῶς φαίνηται λέγων πρὸς τὸν Ποσειδῶνα "πρόφρων νῦν Δαναοῖσι, Ποσειδάων, ἐπάμυνε" (357) ὡς ᾐσθημένος τί ποτε πραγματεύεται ἡ Ἥρα ἐπὶ τῷ Διί, ᾧ καὶ ὄμνυσιν ἡ Ἥρα, ὡς μὴ προπεμψαμένη Ποσειδῶνα.

267. ἀλλ' ἴθι] τεχνικῶς καὶ τοῦτο· ὡς γὰρ ἤδη πείσασα οὐ- B= κέτι αἰτεῖ, ἀλλ' ὑπουργεῖν προτρέπει. συνάπτει δὲ τῇ προτροπῇ καὶ τὴν ὑπόσχεσιν.

269. ὀπυιέμεναι] νομίμως γαμεῖν, εἰ δὲ ὁμιλεῖν καὶ μὴ οἴεσθαι· δι' ὀπὸς γὰρ αἱ ὁμιλίαι.

270. χήρατο δ' Ὕπνος] πιθανῶς, ὅτε μὲν θρόνον ὠνόμασεν, οὐκ B= ἤνυσεν, ὅτε δὲ γάμον, ἐπιτείνοντος τὴν ἐπιθυμίαν τοῦ κεστοῦ· πρὸς γὰρ ἐρωτικὰ μόνα δυνατώτατός ἐστιν ὁ κεστός· πιθανῶς οὖν ἡ τὸν κεστὸν φοροῦσα δύο θεοὺς δι' ἡδονῆς ἐξηπάτησεν.

4. ῥέδω scripsi, καὶ ῥέδω praefert W: ὠρέδω ‖ ὑπερθέσει scripsi: ὑπ/ [8] ‖ 7. post κατ. suppl. Nauck ⟨ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν⟩ ‖ 9. αὐτὸ W: αὐτὸν B, αὐτῶν ‖ supplevi ex B ‖ 10. κακωθεῖσιν B: κακώσειν ‖ 19. κατακοιμῆσαι coni. Bekker ‖ πιθανος (ως supra) pr. ‖ 23. τεχνικὸν B ‖ 26. μὴ οἴεσθαι corrupta: fort. συγγίγνεσθαι vel tale quid

B– 271. ⟨ἀ⟩άατον] οἱ μέν, ἀάτως ἀβλαβῶς ἀπανούργως· οἱ δὲ τὸ ᾱ ἐπιτατικὸν περισσεύοντος τοῦ ᾱ· οἱ δὲ τὸ ἄαιτόν φασιν ἐγκεῖσθαι· οἱ δὲ ὑπερστερητικόν φασιν εἶναι, ὃ ταὐτόν ἐστιν ἑνὶ ἁπλῷ, ὡς τὸ "ἀνάπυστα θεοὶ θέσαν" (Od. 11. 274) ἀνάπηρος· ἄατον οὖν ἐστι τὸ βλαπτικόν.
A– §. ⟨"Κρόνον ἀμφὶς ἐόντες"⟩ ἢ συγκολαζόμενοι αὐτῷ ἢ ὑπ' αὐτῷ ταγέντες, ἐπεὶ πῶς κατὰ κολαζομένων ὄμνυσιν; §. ἀῶμαι "ἀᾶται" (Il. 19. 91, 129) "ἀασάμην" (Il. 9. 119) "ἀάσατο—μέγα θυμῷ" (Il. 11. 340), ⟨καὶ ἀάατος⟩ ὥσπερ ἄατος καὶ ἄτος ὁ ἀκόρεστος.

B– Στυγὸς ὕδωρ] ὡς κατὰ ὑγροῦ στοιχείου ὀμνύουσιν· οἱ δέ, ὅτι πολέμιον θεοῖς τὸ ὑγρὸν πυρώδεσιν οὖσιν, ἢ ὅτι στυγνότητος αἰτία καὶ τοῦ ἐν ἡδονῇ ζῆν ⟨στερίσκον⟩· φησὶ γοῦν αὐτὴν Ἡρόδοτος (VI 74) ἐν Νωνάκριδι πρὸς Φενεῷ τῆς Ἀρκαδίας ῥεῖν.

B= 272. * κατὰ ξηροῦ καὶ ὑγροῦ ὀμνύουσιν, ἐπεὶ πάντα ἐκ ξηροῦ καὶ ὑγροῦ συνίσταται.

B= 273. * ἅλα μαρμαρέην] τὴν ἡλίου θρεπτικήν. ἄναμμα ἡλίου νο⟨τ⟩ερὸν ⟨ἡ⟩ θάλασσα.

274. *ἀμφίς] περί· ποτὲ δὲ καὶ τὸ διχῶς, "ἀμφὶς φρονέοντε" (Il. 13. 345).

B– 275, 6, 7. Χαρίτων μίαν—Πασιθέην—ὣς ἔφατ'· οὐδ' ἀπίθησεν] ὑποφαίνει ὡς οὐδὲ κοιμώμενον ἐπιλανθάνεσθαι δεῖ χάριτος, καὶ ὅτι καὶ ἐν ὕπνῳ ἐστί τις ἡδονὴ καὶ χάρις· πανδαμάτωρ γοῦν καὶ μαλθακός ἐστι καὶ ἡδύς· ἢ φιλοσοφώτερον ἔστιν ἀκούειν· Πίνδαρος γάρ φησι "παλαιὰ μὲν εὕδει χάρις" (Isthm. VII 16)—καὶ Λήθης γενεαλογοῦσι τὰς Χάριτας—πρὸ δὲ πάντων ὁμοῦ πεποίηται χάριτος ἄρχοντα τὸν Ὕπνον αἰνιττόμενος τὸ συμβαῖνον περὶ τοὺς χαρίτων τυχόντας· καὶ ὁ κωμικὸς "ἅμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις" (Men. fr. 472 M.).
B= §. ἐπίτηδες δὲ ἡ μὲν Ἥρα ἐσιώπησε τὸ ὄνομα τῆς ἐρωμένης, ἵνα μὴ ὀνειδίζῃ τὸν ἔρωτα, ὁ δὲ Ὕπνος καὶ τὸ ὄνομα προσέθηκεν εἰς βεβαίωσιν· "Πασιθέην" δέ, ὅτι πανταχοῦ δεῖ θέειν καὶ μὴ κεκρύφθαι τὴν χάριν. οὐκ οἶδε δὲ τὰ παρ' Ἡσιόδῳ (Th. 909) ὀνόματα τῶν Χαρίτων.

278. * ὤμνυε] εἰκότως· πίστεως γὰρ ἔδει ἐρῶντι καὶ φοβουμένῳ.

1. supplevi ex B ‖ 2. ἐπιτατικὸν scripsi: ἐπὶ βάθους ‖ τὸν ‖ ἀναίτιον coni. W ‖ 5. ἢ σ. B: ἧς σ. ‖ 6. ἀῶμαι scripsi: ἄω ἄομαι ‖ 8. suppl. W ‖ ἄτος W: ἄατος ‖ ἀκόρεστος Apoll. Soph., ἀπλήρωτος W ex Hesych.: ἀπέρατος ‖ 11. supplevi ex B ‖ 12. Νωνάκριδι Herodoti codd.: Νωνακρίᾳ ‖ Φινεῷ ‖ 15. νάμα B ‖ 20. οὐ κ. B ‖ 21. ἔνεστι B ‖ 23. ἀλλὰ παλαιὰ γὰρ εὕδει Pindari codd. ‖ 26. ἅμ' ἠλέηται ceteri testes apud Meinekium l.c.: ἅμα τετέλεσται ‖ τέθνηκεν ἡ ceteri testes: τέχνη κε μὴ

Digitized by Google

279. ὑποταρταρίους] ἐνταρταρίους. §. "θεοὺς δ' ὀνόμηνεν ἅπαντας" (278)· συλλήβδην καὶ θεὰς εἶπεν. §. ⟨γράφεται καὶ⟩ "θεὸν δ' ὀνόμηνεν ἕκαστον." §. τινὲς δὲ ⟨προσ⟩γράφουσιν "ὤμνυε δ' ἐκ πέτρης κατ⟨αλ⟩ειβόμενον Στυγὸς ὕδωρ."

ὑποταρταρίους] τοὺς ἐν τῷ Ταρτάρῳ ὄντας· οὐ γάρ τι ἐστὶν ὑπὸ Τάρταρον. οὐδένα δὲ αὐτῶν οἶδεν ἢ Ἰαπετόν (Π. 8. 479)· παρὰ ⟨δὲ Ἡσιόδῳ (Th. 134, 7) εἰσὶ καὶ Κρόνος Κρεῖος Ὑπερίων Κοῖος⟩. A ~ B +

281. Λήμνου τε καὶ Ἴμβρου] τινὲς "Λήμνοιο κατὰ μέγα ἄστυ λιπόντε." τί γὰρ νῦν πρὸς τὴν Ἴμβρον; §. ἔστι δὲ νῆσος πρὸς τῷ μέλανι κόλπῳ· ἀπέχουσι δὲ ἀλλήλων στάδια ρκ'.

* βήτην] ἐπὶ πελάγους. §. ⟨"ἠέρα"⟩ ἀεὶ διὰ τοῦ η φησίν.

πρήσσοντε] περῶ πρῶ, ὡς βέω βῶ, βορῶ ⟨βρῶ⟩, τορῶ τρῶ· ⟨ὁ μέλλων πρήσω⟩ συγκοπῇ, πέπρακα, βρώσεσθαι βέβρωκα, τέτρωκα. B −

283. *Ἴδην] ἀντὶ τοῦ Ἴδης· ἀλλαχοῦ (292) "Γάργαρον ἄκρον Ἴδης ὑψηλῆς."

284. * Λεκτόν] ὡς φυτόν. A +

* τὼ δ' ἐπὶ χέρσου βήτην] ἐπέβησαν δὲ οὗτοι τῆς χέρσου. B +

285. ἀκροτάτη δὲ ποδῶν ὑπεσείετο ⟨ὕλη⟩] τὴν χαμαίζηλον βοτάνην φησίν· ὅτι γὰρ οὐ πατοῦσι γῆν, δῆλον ἐκ τοῦ "οὐδὲ χθόνα μάρπτε ποδοῖιν" (228)· εἰσὶ δὲ γραφικά. B +

286. πάρος Διὸς ὄσσε ἰδέσθαι] πρὶν ἰδεῖν τοὺς ὀφθαλμοὺς τοῦ Διός, ὅπως μὴ πρὸ τοῦ δέοντος αὐτὸν κοιμίσῃ. ἐμφαντικώτατα ⟨δὲ εἴρηται⟩, ὡς ἅμα τῷ προσβλέψαι τινὶ εὐθὺς κατακοιμίζοντος. B =

287. εἰς ἐλάτην ἀναβάς] ἐλάτη ἐπίμηκες καὶ ἄκαρπον ὡς Ὕπνος· ἔστι δὲ 'ἐπὶ ἐλάτην.' B =
§. τὸ δὲ "μακροτάτη" εἶπεν, ὡς πολλῶν οὐσῶν ἐκεῖ. καλῶς δὲ πρόσκειται ⟨τὸ⟩ "τότε·" νῦν γὰρ οὐ φύεται ἐκεῖ ἐλάτη. §. καὶ ὅτι μετὰ τὰ ἡρωικὰ ὁ ποιητής. B =

* περιμήκετος] μῆκος μήκετος ἐπεκτάσει, ὡς πάχος πάχετος.

289. * καὶ ὑπὸ τοῦ ὕψους καὶ τῶν κλάδων καὶ τῆς μεταμορφώσεως οὐχ ὁρᾶται. B =

290. *ὄρνιθι λιγυρῇ ἐναλίγκιος] κατὰ τὴν καθέδραν· ἡ γὰρ ὄρνις οὐ καθέζεται. AB =

3. suppl. Ludwich ex Eust. ‖ 4. suppl. Bekker Il. p. 502, antea in schol. ed. κατ⟨α⟩ειβόμενον idem ‖ 6. post παρα (sic) linea 26 fere litt. vacat: supplevi, cf. A B ad v. 274 ‖ 9. τὸν Ἴ. ‖ 11. schol. supra v. 282 scriptum: traieci ‖ 12. ὡς βιῶ B, ὡς βείω ‖ 12, 13. supplevi ex B ‖ 21. ἴδη ut B ‖ 23. supplevi ex B ‖ 25. μακροτάτην ‖ 31. ὁ γὰρ B



Digitized by Google

B= * ἥν τ' ἐν ὄρεσσιν] λείπει 'διατρίβουσαν.'

291. χαλκίδα] τὸ εὔφωνον ὄνομα τοῖς θεοῖς τίθησιν· οἶδε δὲ τὰ θεῶν ὡς ὑπὸ Μουσῶν καταπνεόμενος. τινὲς δέ φασιν αὐτὴν εἶναι Ἁρπαλύκην, ἣ μιγεῖσα τῷ πατρὶ Κλυμένῳ κατὰ βίαν ἑψήσασα τὸν υἱὸν Πρέσβωνα παρέθηκεν αὐτῷ. ἢ ὅτι Διὶ συνῆλθεν, Ἥρα δὲ ὠρνίθωσεν αὐτήν· ἐν Χαλκίδι δὲ διῆγεν ἄνθρωπος οὖσα. οἱ δὲ τὴν μητέρα τῶν Κορυβάντων Χαλκίδα φασίν. ἢ ὅτι χαλκίζει τὴν χροιάν, ἢ ὅτι κατὰ νύκτα ὁρᾶται. τινὲς δὲ τὴν γλαῦκα.

A=B— κύμινδιν] ὅτι ἀεὶ τὴν κεφαλὴν ὑπὸ τοὺς κλάδους κρύπτει· ὁ γὰρ κύμινδις οἰκεῖ μὲν ὄρη, ἔστι δὲ μέλας, χαλκίζων τὴν χροιάν, καὶ μέγεθος ὅσον ἱέραξ ὁ φασσοφόνος, ὥς φησιν Ἀριστοτέλης (H. A. 9. 12). παρὰ δέ τισι θηλυκῶς λέγεται· εὐεπίφορον δὲ εἰς ὕπνον τὸ ὄρνεον.

B= 292. * τὸ "Γάργαρον" ἄκρον, ἡ δὲ πόλις θηλυκῶς, καὶ οἱ πολῖται Γαργαρεῖς.

B= 294. ὡς δ' ἴδεν, ὥς μιν ἔρως] ἐπαναλαμβάνει τὸ "ἴδεν," ὑποφαίνων ὡς οὐκ ἐν παρέργῳ αὐτὴν εἶδεν. ἔστιν οὖν ὡς τὸ "ἠράσατ', ὀφθαλμοῖσιν ἰδών" (Il. 16. 182).

B= * πυκινάς] πρὸς ἐπίτασιν τοῦ πάθους. §. "ἀμφεκάλυψε" δὲ ἀντὶ
B= τοῦ ἤγρευσεν, ἀπὸ τῶν δικτύων.

A= 295. * ὅτε πρώτιστον] Ἀρίσταρχος "ὅτε πρῶτόν περ."

B— 296. εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντε τοκῆας] καὶ πῶς φησι (202) παρ' Ὠκεανῷ αὐτὴν τρέφεσθαι; ἢ τὸ ἀτιτάλλειν (ib.) οὐκ ἐκ νηπίας· φησὶ γοῦν "ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ" (Il. 13. 27) καὶ "τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων ἀτίταλλ' ἐπὶ φάτνῃ" (Il. 5. 271). λάθρα οὖν ἐμίγη· ὅτε δὲ ἐταρταρώθη Κρόνος, ὡς παρθένος ὑπονοουμένη ἐξεδόθη Διὶ ὑπὸ Τηθύος καὶ Ὠκεανοῦ. τεκοῦσαν γοῦν Ἥφαιστον προσποιεῖσθαι δίχα μίξεως κυεῖν. καὶ Κηδαλίωνι τῷ Ναξίῳ παραδοῦναι χαλκευτικὴν διδάξαι· διὸ καὶ μέχρι νῦν ὑπόμνημα φυλάσσεσθαι παρὰ Ναξίοις καὶ τὸν Ἀμφιθάλην τῇ Ἰτάλῃ συγκατατεθεῖσθαι· ἄλλοι τὸν Δία φασὶν ἐν Σάμῳ λάθρα τῶν γονέων διαπαρθενεῦσαι τὴν Ἥραν· ὅθεν Σάμιοι ζήλῳ τῆς θεοῦ μνηστεύοντες τὰς κόρας λάθρα συγκο⟨ι⟩μίζουσιν, εἶτα παρρησίᾳ τοὺς γάμους θύουσιν.

11. φασσόφωνος B ‖ 17. ἠράσατο ‖ 22. λήθων τε ‖ 28. τεκεῖν Eust. ‖ 29, 30. φυλάξασθαι ‖ 30. συγκατατεθεῖσθαι Bekker: συγκατατιθεῖσθαι ‖ 31. ἀποπαρθενεῦσαι B ‖ 32. μνηστεύοντες B: μνηστεύσαντες ‖ 33. supplevi ex B Eust. ‖ ποιοῦσι B

Digitized by Google

"τοκῆας" οὖν τοὺς περὶ Κρόνον καὶ Ῥέαν· ἔνιοι δὲ "τοκῆας" τοὺς προγόνους τοὺς περὶ Ὠκεανὸν ⟨καὶ Τηθύν⟩. "ἐκ δὲ τοκήων τῶν αὐτῶν, οἵπερ τέκον Ἀλκίνοον" (Od. 7. 54), ἵνα καὶ τὸ ἀτιτάλλειν ἐκ νηπίας τρέφειν λάβωμεν. §. ἔνιοι δέ φασι παρθένον οὖσαν Ἥραν A+ ἐρασθῆναι Εὐρυμέδοντος, ἑνὸς τῶν γιγάντων, καὶ ἐξ αὐτοῦ τεκεῖν τὸν Προμηθέα. Δία δὲ ἐγνωκότα τὸν μὲν ταρταρῶσαι, τὸν δὲ Προμηθέα προφάσει τοῦ πυρὸς σταυρῶσαι.

*φίλους] τοὺς οἰκείους· "ἀπὸ μὲν φίλα εἵματα δύσω" (Il. 2. 261).

297. στῆ δ' αὐτῆς προπάροιθεν] κινηθεὶς ὑπὸ τοῦ κεστοῦ αὐτὸς B= πρόσεισι τῇ γυναικί.

298. * πῇ μεμαυῖα] εἰς τίνα τόπον ὡρμημένη;

τόδ' ἱκάνεις] λείπει ⟨τὸ⟩ ὅρος· "ἢ ἑὸν αὐτοῦ χρεῖος ἐελ- B− δόμενος τόδ' ἱκάνει" (Od. 1. 409). μήποτε δὲ ἰσοδυναμεῖ τῷ παρ' Αἰολεῦσι 'τυῖδε.' καὶ πληθυντικῶς "οὐχ' ὅ γ' ἄνευθε θεοῦ τάδε μαίνεται" (Il. 5. 185) ἀντὶ τοῦ ἐνθάδε· οὐ γινώσκει δὲ τὴν ⟨συ⟩σκευὴν διὰ τὰ πάθη, "ἅ τ' ἔκλεψε νόον πύκα ⟨περ φρονεόντων⟩" (217).

299. ἵπποι δ' οὐ παρέασι] ἠθικῶς πάνυ καταπαύει τὴν ὁδὸν ὡς μὴ B− τῶν ἐπιτηδείων παρόντων, ἵνα πείσας μένειν εὖ χρήσηται τῇ σχολῇ· οὐ γὰρ πιθανὸν ἦν ἀποτρέψαντι τῆς ὁδοῦ θέλειν ἐμπελάζειν. προφάσει οὖν χρῆται. ἡ δὲ δολίως ἐπιτείνει τὴν ἐπιθυμίαν τοῦ ἀνδρός, φάσκουσα πάντα αὐτῇ εὐτρεπῆ εἶναι πρὸς τὴν ὁδόν, "ἵπποι δ' ἐν πρυμνωρείῃ" (307).

300. τὸν δὲ δολοφρονέουσα] δολίαν εἰσάγει τὴν Ἥραν καὶ ἐν τῷ B= περὶ Ἡρακλέους "δολοφροσύνῃς' ἀπάτησεν" (Il. 19. 97). σχεδὸν οὖν κηρύττει ὁ ποιητὴς φυλάττεσθαι τῶν γυναικῶν τοὺς λόγους.

304–6. ἀθετοῦσιν ὡς ἀμβλύνοντας τὴν ἐπιθυμίαν Διός· ἀλλ' B+ οὐκ ἠμβλύνθη τοῦ κεστοῦ ἐπιτείναντος, ἄλλως τε περὶ ἀφροδισίων λέγουσα ἐπιτείνει τὸν πόθον καὶ πλέον ἐξάπτει.

* ἠθετοῦντο παρὰ Ζηνοδότῳ. A=

304. καί σφ' ἄκριτα νείκεα λύσω] καὶ πῶς ἐν τῇ A (424) μετὰ B= τῶν θεῶν οὖσα ἐν τῷ Ὠκεανῷ οὐ διήλλαξε τὴν ἔριν; ἀλλ' ὅτι οὐ σὺν

2. supplevi ex B ‖ 13. ἱκάνεις ‖ ἰσοδυναμῇ: corr. Bekker ‖ τὸ π. ‖ 15, 16. supplevi ex B ‖ 17. ἁρμοδίως B ‖ 18. εὖ χρήσηται B: συγχωρήσηται ‖ 19. ἀποτρέψαντι coni. W: ἀποτρέψαντα ‖ 21. τὰ ante πρὸς add. B ‖ 22. πρυμνῷ ῥείῃ ‖ 26. lemma ἔρχομαι ὀψομένη (301) del. et schol. ad v. 304–6 traiecit Hiller ‖ 27. ἠμβλύνθη B: ἠμβλήνθη ‖ 28. πλέον B: πλείονα ‖ 29. schol. supra 307 scriptum cf. A ‖ καὶ post ἠθ. addit Ludwich ‖ Ζηνοδότου: corr. Bekker ‖ 31. οὐ δ. B: μὴ

Digitized by Google

αὐτοῖς ἦν, δῆλον ἐξ ὧν ἀπ' οὐρανοῦ πέμπει τὴν Ἀθηνᾶν παύσουσαν τῶν στρατηγῶν τὴν ἔριν (Il. 1. 195).

B— 307. πρυμνωρείῃ] ὡς ἀκρωρείᾳ· σημαίνει δὲ τὸ πρὸς τῇ ῥίζῃ τοῦ ὄρους συνορίζον τῷ ἐδάφει· τὰ δὲ ὑπὸ τοῖς ἄκροις ἀκρώρεια καλοῦνται.

308. * ἐπὶ τραφερήν τε καὶ ὑγρήν] ἐκ τοῦ παρεπομένου τὴν γῆν· "μάλα δ' ὦκα περιστρέφεται" (Il. 5. 903) ἀντὶ τοῦ πήγνυται.

B= 309. σεῦ εἵνεκα] ἐντέχνως αὐτὸν γοητεύει ⟨ὡς⟩ τῇ ἐξουσίᾳ ἐκείνου τὰς ἰδίας ὑποστέλλουσα χρείας. καὶ γυναιξὶ δὲ νομοθετεῖ τὰς ἐξόδους ποιεῖσθαι συγκεχωρημένας ὑπὸ τῶν ἀνδρῶν.

A+ 310. *μετέπειτα χολώσεαι] οἱ περὶ Ζηνόδοτον "μετόπισθε χολώσεαι."

B= 313. * ὅρα οἷόν ἐστιν ἡ φιληδονία, ὑπέρθεσιν οὐ δεχόμενον καὶ τῶν καθηκόντων ἐμποιοῦν ἀμέλειαν.

B= 314. * τραπείομεν] ἀντὶ τοῦ τρεφθῶμεν· ἐκτρέπει γὰρ τοῦ δέοντος ἡ ἡδονή.

B= 315. οὐ γάρ πω ποτέ μ' ὧδε] τίνος ἕνεκεν τοσοῦτον ἀκρατῆ παρίστησι τὸν Δία, ὥσ⟨τε⟩ μὴ δύνασθαι κρατεῖν ἑαυτοῦ; φαμὲν οὖν ὡς ἀπελογήσατο περὶ τούτου ἐν οἷς διαλαβὼν περὶ τοῦ κεστοῦ φησιν "⟨ἔνι—πάρφασις,⟩ ἥ τε κλέψε νόον" (217). ἄλλως τε διδάξαι βούλεται τοὺς νέους ὁ ποιητής, ὅσον ἐστὶ χαλεπὸν μὴ κρατεῖν τῶν παθῶν, ὅπου καὶ Ζεὺς ὁ παγκρατὴς πάθει νικηθεὶς ἐζημιώθη τὴν ὄνησιν ἣν ἀπὸ τῆς ἀγρυπνίας περιεποιήσατο.

B— ⟨θεᾶς ἔρος⟩ οὐδὲ γυναικός] ἀντὶ τοῦ θνητῆς· ἀλλαχοῦ "ἢ θεὸς ἠὲ γυνή" (Od. 10. 228). ὡς μείζονα δὲ τὸν γυναικεῖον ἐπήγαγεν ἔρωτα, ἢ ὅτι ὁ τῶν ὁμοφύλων ἔρως οὐ λίαν ἐστὶν ἐπιτεταμένος, ὡς ὁ τῶν παρὰ φύσιν, ἢ διὰ τὸ συμπλεκτικὸν σχῆμα· "⟨ἣ δ' ἐπεὶ⟩ εἰσῆλθεν καὶ ὑπέρβη λάινον οὐδόν" (Od. 23. 88). καὶ γὰρ πρώτας τὰς θνητὰς καταλέγει. καὶ "μήτε θεῶν τό γε δείδιθι μήτε τιν' ἀνδρῶν ὄψεσθαι" (342).

A= 316. * περιπροχυθείς] περισσῶς χυθείς. §. ὁ δὲ Ἰξίων γράφει

A= "περιπλεχθείς."

AB— 317. Ἰξιονίης ἀλόχοιο] τῆς ὕστερον γενομένης Ἰξίονος· παρθένοις

3. πρυμνωρείᾳ || 8. supplevi ex B || 9. ἐπιστέλλουσα B || 13. φιληδονία || ὑπόθεσιν ut B: corr. Bekker || 15. τερφθῶμεν, cf. Eust. || 19. τούτου B: τούτων || 20. ὅ τε ut B || 22. πανκρατὴς || 26. ἐπιτεταμένος B: ἐπιτεταγμένος

Digitized by Google

γὰρ Ζεὺς συγγίνεται. ἐναντίον δὲ αὐτῷ τὸ "Ἀγαμεμνονέην ἄλοχον" (Od. 3. 264) τὴν πρώην Ἀγαμέμνονος.

* Ἰξιονίης ἀλόχοιο] Ἰξίονος γυνὴ Δῖα, Δηιονέως θυγάτηρ. A—

318. * θεόφιν] θεῷ ἢ θεοῖς· τὸ γὰρ ἶσος ὅμοιος ἀλίγκιος ατάλαντος δοτικῇ συντάττεται.

319. Δανάης] ἐξ Εὐρυδίκης καὶ Ἀκρισίου· Εὐφορίων "ὀθνεῖον Πέρσης λέων γε μὲν Εὐρυμέδοντα" (fr. 67 M.) τινὲς δέ φασι πλείονα Ἡρακλέους αὐτὸν εἰργασμένον οὐ τυχεῖν δόξης, ὅτι Διόνυσον ἀνεῖλεν εἰς τὴν Λερναίαν ἐμβαλὼν λίμνην.

320. * ἀριδείκετον] τινὲς "πολὺ φίλτατον."

321. * Φοίνικος κούρης] Φοίνικος καὶ Κασσιεπείας Εὐρώπη.

322. * Μίνω τε] τινὲς "Μίνωα·" Ζηνόδοτος "Μίνω·" Ἀρίσταρχος "Μίνων" Ἀττικῶς.

Ῥαδάμανθυν] ἐπεὶ ἐμάνη περὶ τὰ ῥόδα τὰ ὑπὸ τοῦ ταύρου προϊέμενα ἡ Εὐρώπη, Ῥαδάμανθυν ὠνόμασε τὸν παῖδα.

323. * Θήβῃ] ἐκεῖ γὰρ ἐτέχθη Ἡρακλῆς.

324. Ἡρακλῆα] Ἀλκαῖος ἐκαλεῖτο· ὁ δὲ Πύθιος "Ἡρακλέην δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει. ἦρα γὰρ ἀνθρώποισι φέρων κλέος ἄφθιτον ἕξεις·" οἳ δέ, ὅτι Πορφυρίωνος ἐρασθέντος Ἥρας, προσκαλεσαμένης αὐτῆς, ἐλθὼν ἐβοή⟨θη⟩σεν· διὸ παρὰ τὸ ὑπὸ τῆς Ἥρας κληθῆναι Ἡρακλῆς λέγεται. §. φασὶ δὲ τὸν Δία συγκοιμώμενον Ἀλκμήνῃ πεῖσαι τὸν Ἥλιον μὴ ἀνατεῖλαι ἐπὶ τρεῖς ἡμέρας· ὅθεν A+ ἐπὶ τρεῖς νύκτας συγκοιμηθεὶς αὐτῇ ὁ Ζεὺς τὸν "τριέσπερον" Ἡρακλέα (Lycophr. 33) ἐποίησεν.

325. Διώνυσον] ἀπὸ Διὸς καὶ Νύσης τοῦ ὄρους. οἱ δὲ Διόνυξος, ἐπεὶ B— κερασφόρος τεχθεὶς ἔνυξε τὸν μηρὸν τοῦ Διός. οἱ δὲ Δεύνυσος, ἐπεὶ βασιλεὺς Νύσης—δεῦνον ⟨γὰρ⟩ Ἄραβες τὸν βασιλέα, ἀπὸ τοῦ πολλὰ διανεῦσαι καὶ κατορθῶσαι—οἱ δὲ ἀπὸ τοῦ δονεῖν τὰ σώματα. §. κατέλειψε δὲ Λήδαν, φασίν, οὐ τὴν ἐκ Διὸς Ἑλένην—καὶ μὴν Ἀντιόπην ἀφῆκε—καὶ Διώνην· . . . . οὐ γάρ, ὥς τινες ψυχρευόμενοι, ἐπεὶ πρὸ Ἀφροδίτης οὐκ ἦσαν ἔρωτες.

χάρμα] σημειωτέον, ὅτι καθ' Ὅμηρον εὑρετὴς οἴνου Διόνυσος.

1. Ἀγαμεμνοναίην ‖ 3. Δῖα D : διὰ ‖ Δηιονέως Barnes : ἰονέως D, ἠιόνος ‖ 4. ἀλίγκιος W : ἀγγύιος ‖ 7. Πέρσῃ τελέων γάμον Εὐρυμέδοντι coni. Lobeck ‖ 18. ἦρα Eust. : ἧρα ‖ φέρων Eust. : φέρον ‖ 19. ἕξεις Eust. : ἕξοι ‖ οἳ Bekker, cf. Eust. : εἰ ‖ 20. supplevi ex Eust. ‖ 25. Διώνυσον B : Διόνυσον ‖ Νύσης B : Νύσσης ‖ 27. Νύσσης ‖ suppl. W ‖ 29. οὐ τὴν ἐκ Διὸς corrupta; desideratur ἴσως δι' vel tale quid ‖ 30. Διώγην ‖ lacunam indicavi

Digitized by Google

A= 328. * σέο] τινὲς κατ' ἀντιδιαστολήν, καὶ ὀρθοτονοῦσιν· ἡ δὲ χρῆσις ἐγκλίνει.

B= 330. ποῖον τὸν μῦθον ἔειπες] γυναικικῷ τῷ ἤθει ἐπιπλήττει ὡς ἀπηρυθριακότι· ἀκκίζεται δέ, ἀπάξαι αὐτὸν τῆς Ἴδης θέλουσα πρὸς τὴν εὐκαιρίαν τῆς ἐπικουρίας.

332. * προπέφανται] πρόδηλά ἐστιν.

333. πῶς κ' ἔοι] στικτέον εἰς τὸ "ἔοι," ἀντὶ τοῦ 'πῶς ἂν εἴη.'

337. * ἐθέλεις] λείπει μιγῆναι.

B= 338. ἔστιν τοι θάλαμος] δοκεῖ μὲν αἰδημόνως διαλέγεσθαι, ἔστι δὲ οὐδὲ τοῦτο ἄτεχνον αὐτῇ, ἀλλὰ θέλει τὸν Δία κατακλεῖσαι εἰς τὸ δωμάτιον, ἵνα μὴ διαναστὰς ἐκ προχείρου θεάσηται τὰ Ἑλληνικά.

φίλος υἱός] καὶ "ἀλλὰ τοκῆε δύω" (Od. 8. 312)· αἰτιᾶται γάρ, ὅτι τῶν αὐτῶν Ἄρειων τοκήων οὐκ ἔστιν ἀρτίπους (ib. 310), ὡς ἐκεῖνος.

340. ἔνθ' ἴομεν] ὅτι εἰς τόπον πάλιν τὸ "ἔνθα." §. τοῦ δὲ A+ "εὗαδε" τὴν πρώτην ψιλωτέον, τὴν δὲ δευτέραν δασυντέον.

B− 342. Ἥρη, μήτε θεόν] μὴ μεμφέσθω Πλάτων χρυσοῦν νέφος καὶ ἥλιον νικῶν, οἷον οὐκ ἂν οὐδὲ Ἥφαιστος ἐποίησεν, καὶ εὐνὴν ἐξ ἀνθῶν (De Rep. III 390c)· τοιοῦτος δέ ἐστιν, ὡς καὶ Ποσειδῶν καB= λύπτων κύματι τὴν μῖξιν (Od. 11. 243). §. τρεῖς δέ εἰσι τρόποι, καθ' οὓς πᾶσα ποίησις θεωρεῖται· ὁ μιμητικὸς τοῦ ἀληθοῦς, φιλοπάτωρ, μισογύνης, ἄπιστος, παρρησιαστής, ὁ κατὰ φαντασίαν τῆς ἀληθείας, ὃν δεῖ μὴ κατὰ μέρος ἐξετάζειν—οἷον ὅτι ψυχαὶ γεύονται καὶ λαλοῦσι, πάντως ἐρεῖ τις, καὶ γλῶσσαν ἔχουσι καὶ βρό⟨γ⟩χον —τρίτος δὲ ὁ καθ' ὑπέρθεσιν ἀληθείας καὶ φαντασίαν, Κύκλωπες, Λαιστρυγόνες, καὶ ταῦτα τὰ περὶ θεῶν.

B= μήτε θεόν] ἄμεινον "θεῶν," ὡς "ἀνδρῶν." πᾶς δὲ τόπος τῇ νομίμῳ μίξει θάλαμός ἐστι, τῇ δὲ ἀθέσμῳ οὐ⟨δείς⟩. ἀμέλει Ἄρεα οὐκ ἔκρυψεν οὐδὲ ἡφαιστότευκτος ὢν ὁ θάλαμος (Od. 8. 321).

B− 343. ἀμφικαλύψω] περιβαλῶ, ὡς τὸ "νύκτα—ἐκάλυψε" (Il. 5. 507) καὶ "πέπλοιο φαεινοῦ πτύγμ' ἐκάλυψεν" (ib. 315).

B= 344. οὐδ' ἂν—διαδράκοι Ἠέλιός περ] πῶς οὖν ὁ Ὕπνος διικνεῖται διὰ τοῦ νέφους; ἢ οὐχ ὁ σωματοειδὴς Ὕπνος, ἀλλὰ τὸ πάθος.

4. ἀπηρυθριακότα B ‖ 18. καὶ εὐνὴν ἐξ ἀ. post νικῶν scriptum: traieci cf. B ‖ 18, 19. ἀνθέων ut B ‖ 23. οὐχ post οἷον supplet Bekker ‖ 24. supplevi ex B ‖ 25. τρίτος δὲ ὁ B: τρίτον δὲ τὸν ‖ φαντασίας B ‖ 26. περὶ Bekker: παρὰ ut B ‖ 28. suppl. W ‖ 30. ἐκάλυψε νύκτα

Digitized by Google

346. * ἀγκάς] ἠγκαλισμένως, ὡς ἑκάς.

347. τοῖσι δ' ὑπὸ χθὼν] ἐμπεσὼν εἰς φορτικοῦ πράγματος διήγησιν B= ἐφ' ἕτερα τὸν λόγοὐ μετήγαγε, τὰ ἀπὸ τῆς γῆς φυόμενα ἄνθη καὶ τὸ νέφος, δι' ὧν ἀπέκλεισε τοῦ περαιτέρω πολυπραγμονεῖν ἡμᾶς.

νεοθηλέα ποίην] ἀνθηρῶς γράφει τὴν εὐνήν, καὶ προθεὶς τὸ γένος B= "ποίην" ἐπιφέρει τὸ εἶδος (348). οὐκ εἶπε δὲ ῥόδον διὰ τὸ ἀκανθῶδες. §. "νεοθηλέα" δέ, ἐπεὶ τὴν ἄλλην ἐνεμήθη καὶ ἐπάτησε B= τὰ ζῷα. κατὰ συλλογισμὸν δέ ἐστιν ἡ ὑπεροχή, εἴγε καὶ τὰ ἄψυχα αἰσθάνεται τῆς δυνάμεως τοῦ θείου.

348. * Ὑάκινθον] Ἀμύκλα παῖς.

349. ὑψόσ' ἔεργεν] τινὲς "ἔερπεν," οἱ δὲ "ἵκανεν," οἱ δὲ "ἄειρεν." A+ ἄμεινον δὲ "ἔεργεν" ἀντὶ τοῦ 'ἀνέστελλεν,' ὡς "ἐπ' ἀριστερὰ λαὸν ἐέργων" (Il. 12. 201).

350. νεφέλην—χρυσείην] αἰθέριον, ἐπεὶ πυρώδης ὢν ὁ αἰθὴρ χρυσίζει. §. ἐπάγουσι δέ τινες "δή ῥα τότ' ὀφθαλμοῖσι Διὸς χύτο νήδυμος ὕπνος·" τοῦτο γὰρ δεῖ δηλωθῆναι.

* τῷ ἔνι] τινὲς τῷ ἀπ' αὐτῶν θαλλῷ.

351. στιλπναί] ὡς παρὰ τὸ θάλπω θαλπνός, τέρπω τερπνός. A-B+ §. "ἐέρσαι" δὲ παρὰ τὸ ἄρσαι· ποτίζει γὰρ τὰ φυτὰ ἡ ἔρση. §. παροξυτόνως τὸ "ἐέρσαι·" ἡ γὰρ εὐθεῖα ἐέρσα ἐστί, καὶ μεταβολῇ A+ τοῦ ᾱ εἰς η̄ ἐέρση, ὡς ἄελλα ἀέλλη.

* ἀπέπιπτον] Ζηνόδοτος γράφει "ἀνέπιπτον" ἀντὶ τοῦ ἐπέπιπτον, ὡς "χρυσέαισιν ἀν' ἵπποις" (Pind. Ol. I 41).

353. * ὕπνῳ] τῷ πάθει.

354. βῆ δὲ θέειν] διὰ τὴν ⟨ἐπ⟩αγγελίαν τῆς ἐρωμένης καὶ ἃ B= μὴ κελεύεται ποιεῖ ὁ Ὕπνος· οὐ γάρ ἐστι τῶν συμμαχούντων, ⟨ὡς⟩ οὐδὲ Ἥλιος ⟨οὐδὲ⟩ ἡ Δημήτηρ.

Δαναοῖσι—ἐπάμυνε] πόθεν μαθὼν ταῦτα ἀπαγγέλλει; ἢ συνῆκεν B= ἐκ τοῦ εἰρημένου ὑπὸ τῆς Ἥρας "ἦ φῂς ὣς Τρώεσσιν ἀρηγέμεν εὐρύοπα Ζῆν'" (265).

360. Ἥρη δὲ—παρήπαφεν] οὐκ ⟨ἦν⟩ ἀναγκαῖον, φασί, τὸ ἀπόρρητον B= ἐξενεγκεῖν. ἢ πρὸς τὸ θαρραλεώτερον ποιῆσαι Ποσειδῶνα τὴν

4. ἀ. τὸ π. B ‖ 5. προσθεὶς B ‖ 10. Ἀμύκλας ‖ 14. πυρωδῶν ὁ ‖ 15. τότ' Heyne: τὸ τοῦ ‖ 19. τὸ ἀέρια ποτίζειν τὰ φυτὰ ἐέρσω ‖ 20. τὸ ἔερσαι ‖ ἔρσα ἐ. ‖ ἐν post καὶ omisi ‖ 22, 3. ἐπέπιπτον Bekker: ἐπι ‖ ἀπέπιπτον] Ζηνόδοτος ἐπέπιπτον A ‖ 25, 6, 7. supplevi ex B ‖ 27. ἡ B: ἢ ‖ 31. παρείπαφεν ‖ ἀναγκαίως B ‖ 32. ἐξήνεγκεν B

Digitized by Google

τέχνην ⟨τῆς⟩ Ἥρας ἐδήλωσεν. §. τὸ δὲ "κῶμα" (359) ἢ ἀπὸ τοῦ κοίμημαι—ἔδει ⟨δὲ⟩ κοιμῶ κοίμημα κοῖμα—εἰ δὲ ἀπὸ τοῦ κοιμῶ, ὡς δεῖμα δῶμα.

361. ἄχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων] εἰ δὲ ἐνῴκει Λῆμνον, ὑπέστρεψεν ἂν ἐκεῖ, ὡς ⟨οἱ⟩ ἄνεμοι (Od. 10. 55) καὶ Ἄρης καὶ Ἀφροδίτη (Od. 8. 361, 2).

B− 362. ἀνῆκεν] ἀνέπειθεν ἢ παρώρμησεν· ἀπὸ τῶν ἵππων δέ, οἷς ἀνιᾶσι τὰς ἡνίας.

B+ 363. ἐκέλευσεν] ἐν ἤθει ὁ λόγος. διεγείρει δὲ ταῦτα λέγων.

A+B= 366. καὶ εὔχεται] οὐκ "ἔλπεται" καυχηματίας γάρ ἐστιν ὁ Ἕκτωρ.

B= οὕνεκ' Ἀχιλλεύς] ἐμείωσεν αὐτὸν οὐκ ἀλκῇ θαρροῦντα, ἀλλὰ τῇ σπάνει τῶν πολεμίων.

B= 368. οὔτι λίην] πεφεισμένως· ἄμεινον γὰρ τοῦ οὐδ' ὅλως.

B= εἴ κεν οἱ ἄλλοι] ἐὰν ἀλλήλους παροξύνωμεν βοηθεῖν ἀλλήλοις. διδάσκει δὲ ὅτι δυνατὸν αὐτοὺς περιγίνεσθαι καὶ χωρὶς Ἀχιλλέως.

371. * ἄρισται] ἰσχυραί.

B= 372. παναίθῃσιν] ὁλολάμποις. §. ἔστι δὲ παρὰ τὸ παναίθη, ὡς "περιξέστῃ" (Od. 12. 79), ἢ παναίθης καὶ ἔκτασις. §. βαρυντέον A+B= δὲ τὸ παναίθη. τὰ γὰρ εἰς η̄ λήγοντα θηλυκὰ δισύλλαβα ὀξυνόμενα, ἐν τῇ συνθέσει μὴ γινόμενα κύρια, τότε μὲν φυλάσσει τὸν τόνον, ὅταν μετὰ προθέσεως συντεθῇ, ⟨ὡς τὸ⟩ ἀνατολή, εἰ δὲ μετὰ ἄλλου τινός, ἀναβιβάζει τὸν τόνον, ἱστοδόκη καπνοδόκη. ὥστε καὶ τὸ ὑδρορ⟨ρ⟩όη παρὰ τοῖς ἀρχαιοτέροις Ἀττικοῖς ἀναλόγως βαρυντέον, τὸ δὲ ἀναρ⟨ρ⟩όη βαρυνόμενον παρ' αὐτοῖς σημειωτέον.

A− 376, 7. ὃς δέ κ' ἀνὴρ μενέχαρμος, ⟨ἔχῃ δ' ὀλίγον σάκος ὤμῳ⟩] ἀθετοῦνται· οὐκ ἂν γὰρ ἀνίσους ἐφόρησαν ἀσπίδας. τινὲς δὲ ⟨τὸ⟩ "ὀλίγον" ἀνάξιον πρὸς τὴν κατασκευήν, "μεῖζον" (377) δὲ ὁ ἄριστον ἂν εἶπεν· ἄλλως τε ἄτοπον, μὴ τὰς κρείσσους καὶ ἁρμοδίας ἀλλὰ τὰς μεγάλας ἀναλαβεῖν. τό τε "μενέχαρμος," φασίν, οὐκ οἶδεν ὁ ποιητής. τί οὖν ἐστι τὸ "⟨τὸν⟩ δ' Ἀντίλοχος μενεχάρμης" (Il. 13. 396);

A− * τοὺς δύο (376, 7) Ζηνόδοτος μὲν οὐδὲ γράφει, Ἀριστοφάνης δὲ ἀθετεῖ.

1. supplevi ex B ‖ κᾶμα ‖ 2. κοιμῶ κοίμημα κοῖμα scripsi, cf. Orion: κοιματάιμῖμα οἶμα ‖ 2, 3. κοιμῶ ὡς δεῖμα W: κοιμαίνω ὡς δειμαίνω ‖ 4. ἐνῴκει scripsi: ἕως κίεις vel κίες ‖ 9. διεγείρει B: λείπει ‖ 10. οὐχ ‖ 13. τὸ οὐδ' B, τοῦ μηδὲ ‖ 17. ὁλολάμποις Bekker: ὁλολάμπροις ut B ‖ 18. περιξέστη ‖ 21. συντίθηται B ‖ supplevi ex B ‖ 23. Ἀττικοῖς B: Ἀττικῶς ‖ 27, 28. corrupta; ὁ ἄριστος ἂν εἶχεν coni. W ‖ 29. φησίν ‖ 30. τί Bekker: ὅτι ‖ 31. Ζ. προηθέτει A

Digitized by Google

377. * ἐν ἀσπίδι μείζονι δύτω] ὁπλιζέσθω.

379. οὐτάμενοί περ] συλληπτικῶς τὸ "οὐτάμενοι." Διομήδης γὰρ βέβληται. §. καλῶς δὲ οἱ τραυματίαι κοσμοῦσι, ⟨διεγείροντες⟩ πρὸς προτροπὴν γενναίων ἔργων, ὅτι καίπερ τετρωμένοις αὐτοῖς μέλει τῆς μάχης. A-B-

382. ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε] τοῦτο ποιοῦσιν, ὅπως τὰ ἀσφαλέστερα ἔχοντες οἱ ἄριστοι κινδυνεύωσι προθύμως. καὶ πῶς μετενδιδύσκονται; ἐπισφαλὲς γὰρ εἶναι δοκεῖ τὸ ἐναλλάσσειν τὰς πανοπλίας ἐν πολέμῳ, ὁπότε καὶ τοὺς ὡπλισμένους ἐφύλαττον, "ἦ ῥ' ἴδε γυμνωθέντα βραχίονα" (Il. 12. 389) καὶ "πλευρά, τά οἱ κύψαντι" (Il. 4. 468). ἔχουσιν οὖν σκέπην τὰς ναῦς ἀσπίδας ἀμείβουσιν (381)· ἀλλ' οὐκ ἂν ὡμολόγησέ τις χείρων εἶναι, ὅπως μὴ ἀτιμασθείη. ἀλλ' ἐωρῶντο, "οἳ ⟨τὸ πάρος περ⟩ θυμῷ ἦρα φέροντες ἀφεστᾶσι" (131), εἰκός τε ἦν αὐτοὺς πεισθήσεσθαι διὰ τὸ μέγεθος τοῦ ἐπὶ ναυσὶ κινδύνου, ἐπεὶ καὶ οἱ πλέοντες ἐν κινδύνῳ αὐτόχειρες γίνονται τῶν σκευῶν, τοὺς ναύτας παρωσάμενοι, εἰ ἄτεχνοί εἰσιν. πῶς τε οὐκ ἔμελλον ἀπὸ τοῦ νῦν γενναίως πολεμεῖν ἕκαστος, εἰδὼς ὡς ζῶν ὑπὸ πολίτου σκυλευθήσεται μὴ πολεμῶν; B-

* χέρεια] ὡς τὸ πλέα συγκέκοπται.

δόσκεν] οὕτως Ἀρίσταρχος· ἔν τισι δὲ "δῶκεν." A+

383. νώροπα] ἢ τὸν εὐόρατον παρὰ τὸ νοῆσαι, οἷον νοηρός νωρός, ὡς παρὰ τὴν βοὴν καὶ "βώσαντι γεγωνεῖν" (Il. 12. 337). ὡς δὲ τῷ οἶνος ἀντιπαράκειται οἶνοψ ⟨καὶ τῷ σκόλος⟩ σκόλοψ, οὕτω ⟨τῷ⟩ νῶρος νῶροψ. B-

* χαλκόν] τὴν ἐκ χαλκοῦ ὕλην.

385. δεινὸν ἄορ] τινὲς τὴν τρίαιναν, ἐπεὶ καὶ Ἀρκάδες καὶ Αἰτωλοὶ πᾶν ὅπλον "ἄορ" καλοῦσιν· ὅθεν καὶ "χρυσαόρου Ἀπόλλωνος" (Il. 5. 509) καὶ "Ἀθηναίης δολιχαόρου ἱερὸν ἄστυ" (Philetas cf. infra schol. 21. 179). ὁ δὲ ποιητὴς μόνον τὸ ξίφος, παρὰ τὸ αἰωρεῖσθαι.

387. δαΐ] δαίω δαίσω δαΐς δαΐ, ὅθεν τὸ δήιος δηιόων, καὶ ὡς τὸ "λελασμένος ἱπποσυνάων" (Il. 16. 776) συνεστάλη Ἰωνικῶς· εἰ δὲ καὶ ἀπὸ τῆς δαΐς εὐθείας ἐστίν, ὀξύνεται τὸ "δαΐ," εἴτε ἀποκέκοπται εἴτε συγκέκοπται. A+

388. * ἑτέρωθεν] ἐκ τῆς ἑτέρας στάσεως.

3. supplevi ex B ‖ 7. κινδυνεύοιεν ut B ‖ 9. ἐφύλαττεν ‖ 13. οἳ scripsi: ὧι ‖ 21. οἷον B: ὅ ἐστι ‖ νοηρός ‖ 22. δὲ τὸ ‖ 29. δαΐ, ὅθεν scripsi: δηιόθεν ‖ δηιόων W: δηιλέων

B– 392. ἐκλύσθη δὲ θάλασσα] ἐκλυδωνίσθη συναγανακτοῦσα Ποσειδῶνι—ὡς "ἔκλαγξαν δ' ἄρ' ὀιστοί" (Π. 1. 46)—καὶ αὔξουσα τὴν βοὴν τῶν Ἀχαιῶν. παρατηρητέον δὲ ⟨ὅτι⟩, πρὶν εἰπεῖν τι τῶν κατὰ τὴν μάχην, θορυβεῖ τὸν ἀκροατήν.

393. * ξύνισαν] τὰ δύο στρατεύματα.

B– 394–8. οὔτε θαλάσσης κῦμα—οὔτε πυρὸς—οὔτ' ἄνεμος] περισπούδαστόν τι δηλοῖ τὰς παραβολὰς πληθύνων. τρία δὲ ταῦτα ἴσμεν ἐν ἀνθρώποις ἰσχυρότατα, θαλάσσης κίνησιν, πυρὸς βρόμον, ἀνέμου ὁρμήν. τί οὖν παραλέλοιπεν εἰς αὔξησιν; τὸ κῦμα πελάγιον, περιρρησσόμενον ἀποκρότῳ τόπῳ κατὰ χαλεπὴν λύσσαν Βορέου. εἶτα τὸν βρόμον τοῦ πυρός, οὐ κατοικιδίου, ἀλλ' "οὔρεος ἐν βήσ⟨σ⟩ῃς" (397), ὅ ἐστι κοιλώμασιν· ψιλαὶ γὰρ αἱ ἀκρώρειαι, ὥσ⟨τε⟩ εἶναι ὅλου ὄρους ἐμπρησμόν. εἶτα ὁ ἄνεμος οὐ διὰ μαλακοῦ ἀέρος ἀνεμποδίστως θέων, ἀντιτυπῶν δὲ δρυσὶν ὑψηλαῖς ἀντιτετειχισμέναις τῷ πνεύματι. ἰδίως ὑπερθέσεσιν, οὐ παραβολαῖς χρῆται, ὡς οὐκ ἔχων εἰκάσαι τὴν φωνὴν διὰ τὸ μέγεθος· ἑκάστῃ δὲ τῶν εἰκόνων ἐν ἄλλοις κατ' ἰδίαν χρησάμενος, νῦν πάσας ἅμα παραλαμβάνει. τῇ μὲν οὖν ἀπὸ τῆς θαλάσσης οὕτω κέχρηται, "ὡς δ' ὅτ' ἐπὶ προχοῇσι διιπετέος ποταμοῖο βέβρυχε μέγα κῦμα ποτὶ ῥόον—τόσ⟨σ⟩ῃ ἄρα Τρῶες ἰαχῇ ἴσαν" (Il. 17. 263, 6), τῇ δὲ ἀπὸ τοῦ πυρός, "ὡς δ' ἀναμαιμάει βάθε' ἄγκεα θεσπιδαὲς πῦρ οὔρεος ἀζαλέοιο, βαθεῖα ⟨δὲ⟩ καίεται ὕλη" (Il. 20. 490), τῇ δ' ἀπὸ τῶν ἀνέμων, "ὡς δ' εὖρός τε νότος τ' ἐριδαίνετον ἀλλήλοισιν οὔρεος ἐν βήσ⟨σ⟩ῃς βαθέην πελεμιζέμεν ὕλην φηγόν τε—τανύφλοιόν τε κράνειαν, αἵ τε πρὸς ἀλλήλους ἔβαλον τανυήκεας ὄζους ἠχῇ θεσπεσίῃ, πάταγος δέ τε ἀγνυμενάων" (Il. 16. 765).

B= 394. βοάᾳ] διὰ τοῦ "βοάᾳ" ἐδήλωσεν, ὡς οὐκ εἰς ὁμαλὴν ἠιόνα ἐκπίπτει, ἀλλ' ⟨εἰς⟩ ἀντίτυπον χέρσον, καὶ "⟨πνοιῇ⟩ Βορέω" ὃς εἴωθε κύματα μακρὰ κυλίνδειν (Od. 5. 296). §. καὶ διὰ τῆς ἐκτάσεως τοῦ στοιχείου μεμίμηται τὴν ἐπὶ πλείονα ἔκτασιν τοῦ ἤχου, ὡς ἐπὶ τοῦ "ἠιόνες βοόωσιν" (Il. 17. 265).

B= 395. * ἀλεγεινῇ] ἀλγεῖν παρεχούσῃ τοῖς ἐντυγχάνουσιν.

A+ 397. * ὤρετο] τινὲς "ὤρορε."

3. supplevi ex B ‖ 9. τὸ scripsi, πρῶτον τὸ coni. W : οὔτε B, ὅτε ‖ 13. ἀλλὰ δι' ἀντιτύπων B ‖ 15. ἰδίως ὑπερθέσεσιν οὐ π. W ex B : ἰδιοπαράθεσις οὐ γὰρ π. ‖ παραβολαῖς post ἔχων del. W ‖ 21. βαθείης ‖ 28. supplevi ex B

Digitized by Google

398. τόσ⟨σ⟩ον γε] Ζηνόδοτος "τόσ⟨σ⟩ός γε." §. ὁ δὲ ἄνεμος ἐκ παρατρίψεως κάει τὰ δένδρα· τῶν δὲ τριῶν παραβολῶν τινες τὴν πρώτην ⟨τρίτην⟩ τιθέασιν. A~

399. * χαλεπαίνων] χαλεπῶς ἐμπίπτων.

400. τόσση ἄρα Τρώων] ἐν πολλοῖς "ὅσση" δίχα τοῦ τ, ὡς τὸ "τόσ⟨σ⟩ον τίς τ' ἐπιλεύσ[σ]ει, ὅσον τ' ἐπὶ λᾶαν ἵησιν" (Π. 3. 12) καὶ "τόσ⟨σ⟩οι δ' ὅσ⟨σ⟩οισιν" (94). A+

402. Αἴαντος δὲ πρῶτος ⟨ἀκόντισε⟩] ὡς ἐπὶ Αἴαντα, ὡς τὸ "ὡρμήθη Ἀκάμαντος" (488). A– §. ἄρχει δὲ τῆς ⟨συμ⟩βολῆς ἐπαιρόμενος, καὶ οὐ σταδην ἀγωνίζεται πειραθεὶς τοῦ μονομαχίου. B=

πρῶτος ἀκόντισε] ἅμα μὲν ὡς προπετής, ἅμα δὲ καὶ τὸ ἀξιόπιστον τῷ λόγῳ πρόσκειται, ἵνα πιθανὸν γένηται τοῦτον ἀρξάμενον τῆς συμβολῆς κακόν τι καὶ παθεῖν. B=

403. * ἐπεὶ τέτραπτο πρὸς ἰθύ οἱ] ἐπεὶ προσε⟨τέ⟩τραπτο αὐτῷ κατ' ἰθύ.

404. τῇ ῥα δύω τελαμῶνε] κατὰ τὴν κλεῖν· τρωτὸς δὲ ὁ Αἴας ὅλον τὸ σῶμα, οὐχ, ὡς Αἰσχύλος (fr. 78 N.), τὰ περὶ τὴν μασχάλην. δῆλον δὲ καὶ ἐκ τοῦ ἐπὶ Πατρόκλῳ ἀγῶνος· μονομαχοῦντος γὰρ αὐτοῦ πρὸς Διομήδην φησὶ "καὶ τότε δή ῥ' Αἴαντι περιδδείσαντες Ἀχαιοί" (Il. 23. 822) ὡς δυναμένου καὶ τρωθῆναι· τοῦτο δὲ ὑπονοοῦσι διὰ τὸ μηδέποτε παρ' Ὁμήρῳ τετρῶσθαι αὐτόν.

405. ἤτοι ὃ μὲν σάκεος] λείπει τὸ ὤν. ἐπεπτυγμένοι δὲ ἦσαν· καὶ τὸ σάκος δὲ πόρπακα οὐκ εἶχεν, ἀλλὰ τελαμῶνι ἤρτητο καὶ κανόνι μετήγετο· Κᾶρες δὲ τοὺς πόρπακας εὗρον· τινὲς δὲ πηλῷ βάλλεσθαι αὐτὸν ὑπὸ Τρώων, εἴ πως βαρηθείη ὑπὸ τοῦ πηλοῦ· ἀποσεισάμενον δὲ αὐτὸν δύο κολωνοὺς ποιῆσαι. ἀλλ' οὐδὲ θεός φασιν αὐτῷ βοηθεῖ· αἴτιον δὲ τούτου, ὅτι τὰ μὲν πρὸ τῆς μήνιδος οὐκ εἴρηκεν ὁ ποιητής, παιδιὰν δὲ τὴν Διομήδους ἀριστείαν εἶναι συνεργούσης Ἀθηνᾶς, τὰς δὲ ἄλλας μὴ ἔχειν θεούς, ἀπειπόντος Διός· διὸ οὐχ εὗρε καιρὸν εἰσάγειν θεόν· οἱ δέ, ὅτι τῆς ἀσπίδος ἐξέκοψε γλαῦκα· ὅθεν οὐκ ἐβοήθει αὐτῷ Ἀθηνᾶ.

406. τώ οἱ ῥυσάσθην] τινὲς ὑπονοοῦσι θώρακα αὐτὸν μὴ ἔχειν ἐκ τοῦ λέγειν, ὅτι οἱ δύο τελαμῶνες αὐτὸν ἔσωσαν. B+

* χώσατο δ' Ἕκτωρ] ὡς ἂν παρωξυγκὼς ἐφ' ἑαυτῷ τὸν ἄριστον. B=

3. supplevi ex A ‖ 9. supplevi ex B ‖ 12. κατάρξαι post ἀρξ. omisi ut B ‖ 23. εἶπεν: corr. Bekker ‖ 26. αὐτὸν scripsi: αὐτούς ‖ 28. παιδείαν: corr. W ‖ τὴν δὲ π. Δ. ‖ 31. ὅθεν W: ὅτι

Digitized by Google

B= 409. * ἀπιόντα] οὐ φεύγοντα ἐξ ὑποστροφῆς, ἀλλ' οἷον ὑποχωροῦντα.

410. * τά ῥα πολλά] τινὲς "ἃ μυρία βόσκει" (Od. 12. 97)· ἐκ δὲ τοῦ ἐναντίου Πίνδαρος (Ol. 3. 10) "θεόμοροι νίσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί, ᾧ τινι, κραίνων ἐφετμάς—."

411. * παρ ποσὶ μαρναμένων] ἄγαν ποιητικῶς, εὐπορίας οὔσης λίθων διὰ τὸ χωρίον.

A+ 412. * βεβλήκει] οὕτως Ἀρίσταρχος· Ζηνόδοτος δὲ "βεβλήκειν." §. πανταχόθεν δὲ αἰτίας ἀνευρίσκει ὁ ποιητής.

A~B= 413. στρόμβον] τινὲς τὸν ἄτρακτον ἀπὸ τοῦ περιστρέφεσθαι, οἱ δὲ τὸν βέμβικα, οἱ δὲ τὸν ῥόμβον, οἱ δὲ στρογγύλον λίθον· ὑπεροχὴ δὲ ῥώμης, ἄνδρα τηλικοῦτον ἔνοπλον οὕτω δεδινῆσθαι. τινὲς δὲ ἐπὶ τοῦ λίθου ἀκούουσιν· πῶς γὰρ ἂν ὑπὸ χερμαδίου οὕτω περιεστράφη; πῶς "ἐπ' αὐτῷ—ἀσπὶς ἑάφθη" (419); πῶς δὲ δρυῒ εἰκάζεται (414), ἢ πεσοῦσα αὐτοῦ μένει;

B= 414. ὡς δ' ὅθ' ὑπὸ ῥιπῆς πατρὸς Διὸς ἐξερίπῃ δρῦς] Αἴας Ζεύς, ὁ λίθος κεραυνός· Ἕκτωρ δρυῒ μεγίστῃ πεσούσῃ ἐκ ῥιζῶν ⟨εἰκασται⟩.

B− 415. πρόρριζος] ἱστορικῶς· ἅπαντα γὰρ διόβλητα τῶν δένδρων ἐκ ῥιζῶν ἀνασπᾶται. ὅθεν ἐνέφηνε καὶ ἐν τῷ "ἐξερίπῃ" (414) ψιλὴν τὴν πτῶσιν οὖσαν.

A− 418. * ὦκα] ἡ Χία καὶ ἡ Μασσαλιωτικὴ οὕτως· Ἀρίσταρχος "ὠκύ."

* ἐν κονίῃσιν] ἔδει εἰς κόνιν.

A−B= 419. ⟨χειρὸς⟩ δ' ἔκβαλεν ἔγχος, ἐπ' αὐτῷ δ' ἀσπὶς ἑάφθη] ἐπ' αὐτῷ τῷ δόρατι πεσόντι ἐπισυνήφθη καὶ ἐπηκολούθησεν ἡ ἀσπὶς καὶ ἡ κόρυς ἅμα τῷ ἀφεῖναι καὶ ὅλῳ τῷ σώματι συγκατηνέχθη. §. ἀπὸ
A+ τοῦ ἕπω τὸ ἐπακολουθῶ εἴφθη "ἑάφθη."

A~ 421. * ἰάχοντες] ὡς στενάχοντες.

422. * ἀκόντιζον δὲ θαμειάς] οὐ πάντες· οὐ γὰρ ἕκαστος εἶχε πολλάς.

A~B− 424. οὐτάσαι οὐδὲ βαλεῖν] "οὐτάσαι" ἐγγύς, "βαλεῖν" πόρρωθεν.

4. Πάνδαρος ‖ θεόμοροι Pindari codd.: θεόμηροι ‖ νίσοντ' vel νίσσοντ' Pind.: νείσονται ‖ 5. ᾧ Pind.: ὡς ‖ 10. περιστρέφθαι B ‖ 16. ῥιπῆς etiam textus ‖ 17, 18. supplevi ex B ‖ 19. διόβλητα B: διάβλητα ‖ 25. ἐκ δ' ἔβαλ' ἔγχος ‖ 26. ἐπικατήφθη A ‖ 27. ἐστιν post κόρυς omisi ut B

Digitized by Google

ὅθεν ἡμάρτηται τὸ "ὡς εἶδεν μέλαν αἷμα καταρρέον ἐξ ὠτειλῆς" (Il. 4. 149).

περίβησαν ἄριστοι] εἰκότως πολὺ τὸ τῆς σπουδῆς· "αὐτὸς γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ" (Il. 6. 403). ὅρα δὲ πῶς ἐπὶ τὸ ἀκρότατον ἐξάγει τὰς ἀγωνίας. B=

427. τῶν δ' ἄλλων οὔτις εὖ ἀκήδεσεν] οὐ μόνον κατείλοχε τοὺς ὑπερμαχοῦντας, ἀλλὰ καὶ συλλήβδην τοὺς λοιποὺς ἐπιφέρει, ὥστε πάντῃ πιθανὴν γενέσθαι τὴν σωτηρίαν αὐτοῦ. B=

τῶν δ' ἄλλων] Ζηνόδοτος "τῶν τ' ἄλλων." §. οὐδὲ τῶν ἄλλων A+ τις ἦν ὃς ἠμέλησεν. B=

428. εὐκύκλους] περιφερεῖς γάρ εἰσιν αἱ ἀσπίδες, ὅ ἐστιν ἐπιμήκεις· τινὲς δὲ τὰ σάκη ἐπιμήκη φασίν· ἀγνοοῦσι δέ, ὅτι ἀντιφράζει τῇ ἀσπίδι τὸ σάκος.

429. ἵκεθ' ἵππους] καταχρηστικῶς· κυρίως γὰρ ἱκέσθαι τὸ ποσὶ παραγενέσθαι. B=

433. πόρον ἶξον] πόρους τοὺς ποταμούς φησι διὰ τὸ πορεύεσθαι αὐτῶν τὸ ῥεῖθρον εἰς θάλασσαν, ὃ τῇ θαλάσσῃ οὐ παρέπεται, ἢ τὸ διαβατὸν αὐτοῦ μέρος, ὡς "Ἀλφειοῖο πόρον" (Il. 2. 592). B−

ἐυρείος ποταμοῖο] εὐρέ⟨ε⟩ος "εὐρεῖος," ὡς ἱππέες ἱππεῖς.

434. τέκετο Ζεύς] ἢ ὅτι χειμάρρους, ἢ τὸ μὲν σῶμα Διός, τὸ δὲ χεῦμα Ὠκεανοῦ, ἢ ὅτι τὰ πάντα ἐκ θεοῦ. A+

436. ὁ—ἀμπνύνθη] ἀνεκτήσατο τὸ πνεῦμα, ἔμφρων ἐγένετο. B=

437. ἑζόμενος δ' ἐπὶ γοῦνα] κακῶς· οὐδεὶς γὰρ ἐπὶ γονάτων καθέζεται· δύο γὰρ στάσεις, ἡ μὲν κατὰ φύσιν, ἡ δὲ ἐπὶ τῶν γονάτων· φησὶ γοῦν "στῆ δὲ γνὺξ ⟨ἐριπών⟩" (Il. 8. 329). ἔστιν οὖν, ἑζόμενος δὲ τὸ αἷμα ἐπὶ τῶν γονάτων ἀπέμεσ⟨σ⟩εν, ἀντὶ τοῦ ἤμει. A+B= §. οἱ δὲ γράφουσιν "ἀπέσε⟨ι⟩σεν·" ἀνοίκειος δὲ τῷ καιρῷ ἡ ἐνέργεια. πάντα δὲ δυνατῶς πέφρασται, ὡς καὶ ἐπὶ Σαρπηδόνος (Il. 5. 695). B−

438. αὖτις δ' ἐξοπίσω πλῆτο χθονί] ἐναργῶς πάνυ· προσενεχθέντος γὰρ τοῦ ὕδατος πρὸς ὀλίγον ἑαυτὸν συνέλεξεν, ἐμέσας δὲ τὸ αἷμα πάλιν παρείθη. B=

439. βέλος δ' ἔτι θυμὸν ἐδάμνα] "βέλος" τὸ τραῦμα· καὶ ἀλλαχοῦ "ὥς τις τούτων γε βέλος καὶ οἴκοθι πέ⟨σ⟩σοι" (Il. 8. 513). B=

6. εὖ ἀ. ‖ κατέλεξε B ‖ 9. οἱ δὲ ante οὐδὲ omisi, cf. B ‖ 18. πόρῳ ‖ 33. ὅστις

Digitized by Google

A– 440. *νόσφιν ἐόντα*] οὕτως· τὸ γὰρ "κιόντα" κατάχρησις.

443. * Σάτνιον] οὕτω καὶ ὁ τόνος· Σατνιόεις δὲ ποταμὸς Φρυγίας. §. τινὲς δὲ "Σαγγαρίοιο" (445).

445. * *παρ' ὄχθας*] Ζηνόδοτος "παρ' ὄχθης."

B= Σατνιόεντος] ἐπήγαγε (446) τὴν αἰτίαν τοῦ ὀνόματος, διὰ τί Σάτνιος ἐκαλεῖτο.

449. * *ἦλθεν*] τινὲς "ἦεν."

450. * Προθοήνορα] ἀντὶ τοῦ Προθόην. λείπει ἡ κατά.

B= 452. *ἕλε γαῖαν ἀγοστῷ*] ἔδει 'ἀγοστοῖς'· φησὶ γὰρ ὅτι τὰς χεῖρας ἐξέτεινεν, ὡς πολὺ τῆς γῆς περιλαβεῖν. §. ἀγοστὸς δὲ τὸ ἕως τοῦ ἀγκῶνος περὶ τὴν συναγωγὴν καὶ ἐπίκαμψιν τοῦ ἀγκῶνος.

453. * *ἔκπαγλον*] ὑπερηφάνως. §. γράφεται καὶ "ἔκπαγλος."

B– 454. Πανθοΐδαο—*ἄκοντα*] ἀντὶ τοῦ 'ἐμόν,' ὡς "τὸν δ' ἐσάωσεν ἐς ποταμοῦ προχοάς" (Od. 5. 452) ἀντὶ τοῦ 'ἑαυτοῦ'· ἕκαστον δὲ τῶν ῥημάτων ἐναργὲς καὶ φαντασίαν ἔχον.

B~ 456. *κόμισε χροΐ*] ἐπιμελείας ἠξίωσε περιλαβὼν τῷ ἰδίῳ χρωτί. οἱ δὲ ἀπήνεγκεν.

A= * *κόμισε*] χωρὶς τοῦ ν̄.

B= 457. * *σκηπτόμενον*] σκηριπτόμενον· σαρκασμὸς δὲ ὁ τρόπος.

458. Ἀργείοισι δ' ἄχος γένετο] οὐκ ἐπὶ τῇ ἀναιρέσει, ἀλλ' ἐπὶ τῇ χλεύῃ· καὶ ταῦτα δὲ ἀναγκαῖα, ἵνα παροξυνθέντες προθυμότεροι γένωνται.

B= 459. Αἴαντι—*θυμὸν ὄρινεν*] ἐπεὶ γὰρ οὗτος μέλλει ἀριστεύειν, πιθανὸν τῇ ἀρετῇ τοῦ ἀνδρὸς συμπρᾶξαι καὶ τὸ ἀπὸ τῶν βαρβάρων.

A~B+ 463. *λικριφίς*] παρὰ τὸ λέχριον, ἅπαξ δὲ νῦν, καὶ ἐν Ὀδυσσείᾳ (19. 451). ὁ δὲ τόνος ὡς "ἀπρίξ." οἱ δέ, λίαν ⟨ἐγ⟩χρίμπτων καὶ προσπελάζων τῇ γῇ.

464. Ἀρχέλοχος] Ἀρίσταρχος ἀναλογώτερον τοῦ Ἀρχιλόχου, ὡς φερένικος Μενέλαος.

B= *τῷ γάρ ῥα θεοὶ βούλευσαν ὄλεθρον*] τούτῳ γὰρ ἐπεκλώσθη τὸ εἱμαρμένον.

A~B= 465. *ἐν συνεοχμῷ*] τῷ συνέχοντι τὸν τράχηλον πρὸς τῇ κεφαλῇ τόπῳ, τουτέστι τῷ τελευταίῳ σπονδύλῳ. ἐπιφέρει γοῦν

4. Ζ. π. ὄχθαις vel ὄχθης coni. Heyne, ὄχθης W ‖ 19. σκηριπτόλεμον ‖ 24. τὸ scripsi: τὸν ‖ κ. τὸ βάρβαρον χλεύασμα B ‖ 25. supra λέχριον add. rec. πλαγίως, cf. B ‖ 26. supplevi ex B ‖ 29. φέρε νῖκος: corr. Bekker ‖ 32, 33. τῇ κεφαλῇ τόπον B, τὴν κεφαλὴν τόπῳ

Digitized by Google

*“νείατον ἀστράγαλον” καὶ ἐν Ὀδυσσείᾳ* (11. 64) *“ἐκ δέ μοι αὐχὴν ἀστραγάλων ἐάγη.”* §. *γίνεται δὲ ἐκ τοῦ ἔχω ἐχμός καὶ διπλώσει* ⟨*ἐεχμός*⟩, *ὡς ἐέλδωρ, εἶτα τροπῇ ἐοχμός, ὡς πλεχμός πλοχμός.* –

*νείατον ἀστράγαλον*] *τὸν συνάπτοντα* ⟨*τὸν τράχηλον*⟩ *τῷ ἰνίῳ, καλούμενον δὲ ὑπὸ τῶν ἰατρῶν θέσιν ἐγκεφάλου. τοὺς δὲ ἐν τοῖς ποσὶν ἀστραγάλους* Ἀριστοτέλης (H. A. 2, 1 p. 449$^{b}$ 24) *φησὶν οὔτε ἄνθρωπον ἔχειν οὔτε τῶν μονωνύχων τι καὶ ἀκεράτων.* B=

467. *πολὺ προτέρη κεφαλή*] *ἐπ⟨ε⟩ὶ τὸ ἡγεμονικὸν περὶ καρδίαν, φησὶν ὅτι τῆς κεφαλῆς πεσούσης ἀκέραιον σὺν τῇ καρδίᾳ ἔμενε τὸ σῶμα. ἢ ὑπερβολικῶς τὸ τάχος ἐνέφηνε τῆς ἀναιρέσεως—οὐ γὰρ ἀφῃρέθη ἡ κεφαλή, ὡς οὐδὲ ἡ Δόλωνος* (Il. 10. 457)—*ἢ διὰ τὸ τοὺς τένοντας ἀφῃρῆσθαι παραλέλυται ἡ κεφαλή.* B–

469. *Αἴας δ' αὖτ' ἐγέγωνεν*] *οὐκ ἀκαίρως καυχᾶται, ἐκείνου κομπάζειν ἀρξαμένου.* §. *Ζηνόδοτος δὲ γράφει “ἀμύμονα Πουλυδάμαντα.”* B= A=

470. * Πουλυδάμα] Ζηνόδοτος “Πουλυδάμαν.”

473. *κασίγνητος Ἀντήνορος*] *εἰκὸς ἀνοχὰς πρὸ τῆς μήνιδος γεγενῆσθαι δι' ὧν συνῇσαν ἀλλήλοις, ὡς καὶ ἐν τῇ ἀναιρέσει* (Il. 7. 416) *καὶ ταῖς ταφαῖς Ἕκτορος* (Il. 24. 781). *ὅθεν καὶ Ὀθρυονέα ἴσασιν* (Il. 13. 374). B–

474. * *αὐτῷ γὰρ γενεήν*] Ἀριστοφάνης *“αὐτῷ γάρ* ⟨*ῥα*⟩ *φυήν.”* A+

475. *ἦ ῥ' εὖ γινώσκω⟨ν⟩*] *διὰ τῆς ἐπιφωνήσεως τὸ ἦθος τῶν λόγων παρέστησεν ὁ ποιητής, ὅτι τὸ ὅλον ἐν εἰρωνείᾳ ἐξέφερεν ὡς ἀμφιβάλλων.* B=

* Τρῶας δ' ἄχος ἔλ⟨λ⟩αβε θυμῷ] *καὶ τούτους, ἐπὶ τῇ χλεύῃ.*

476, 7. *ἔνθ'* Ἀκάμας Πρόμαχον—*ὃ δ' ὕφελκε*] *τῶν τὴν δευτέραν τάξιν ἐχόντων ἐστὶν οὗτος.* §. *ποικίλως δὲ πάνυ ἀντέστρεψε τὰ πράγματα, προτάξας μὲν τὴν ἀναίρεσιν, ἐπαγαγὼν δὲ τὸ τί πράττων ἀνῃρέθη.* B= B=

479. *ἰόμωροι*] *ἰοῖς μόρον ἐπάγοντες, ἢ περὶ ἰοὺς κακοπαθοῦντες, ἢ ἰοὺς ὀξεῖς ἔχοντες· μόρον γὰρ τὸ ὀξὺ* Κύπριοι, ⟨*ὅθεν*⟩ *καὶ “ὑλακόμωροι”* (Od. 14. 29, 16. 7). §. *ὅρα δὲ οἷόν ἐστι τὸ βάρβαρον ἦθος. ὀνειδίζει γὰρ αὐτοῖς, ὡς παρὰ τοῖς* Τρωσὶν *οὐκ ὄντων τοξοτῶν.* B= B–

* *ἀπειλάων ἀκόρητοι*] *μὴ πληροῦντες τὰς ἀπειλάς, ἀπλήρωτα καυχώμενοι.* B=

2. *διπλώσεις*: corr. Bekker ‖ 3. *τροπῇ* Bekker: *γράφει* ‖ 4. *ἠνίῳ* B ‖ 7. *μωνύχων* Aristoteles ‖ 8. supplevi ex B ‖ *περὶ* B: *παρὰ* ‖ 11. *ἀφῃρέθη* W: *ἀνῃρέθη* ‖ 14. *προαρξαμένου* B ‖ 17. *συνῄεσαν* ‖ *συλλογῇ* B, *συναιρέσει* ‖ 19. supplevi ex A ‖ 21. *ὡς ἀμφιβάλλοντος ἐκείνου* B ‖ 24. *ἀνέστρεψε* B ‖ 26. *μοῖραν διδόντες* B ‖ *περὶ αὐτοὺς* B ‖ 27. *ἰοὺς* B: *τοὺς* ‖ 29. *αὐτοῖς ὡς* W: *αὐτῷ ἴσως*



Digitized by Google

481. * κατακτανέεσθε] κτανθήσεσθε.

483. * κασιγνήτοιό γε ποινή] ἡ ἐπὶ τῷ κασιγνήτῳ ποινή.

AB+ 485. Ἄρεως ἀλκτῆρα λιπέσθαι] Ζηνόδοτος "ἀρῆς," ἵν' ᾖ ἐπὶ πάσης βλάβης. §. καὶ ἐν Ὀδυσσείᾳ (16. 97) "οἷσί περ ἀνὴρ μαρναμένοισι πέποιθε."

B= 488. * ὡρμήθη δ' Ἀκάμαντος] λείπει ἡ κατά.

B= ὁ δ' οὐχ ὑπέμεινεν ἐρωήν] ἔφρασεν αὐτὴν διὰ τοῦ "ὡρμήθη."

B+ 491. Ἑρμείας Τρώων ⟨ἐ⟩φίλει ⟨καὶ κτῆσιν ὄπασσεν⟩] τὰς εὐποτμίας εἰς τοῦτον ἀνάγουσιν. διὸ τὸ κοινὸν τῶν θεῶν ⟨ἐ⟩ἰδικὸν αὐτοῦ ἔχει· διάκτορος ⟨γὰρ καὶ⟩ δώτωρ ἑάων· καὶ κλέπτης δέ ἐστιν, ἐπεὶ εὐχερές
B– ἐστιν αὐτῷ, ὡς τὸ δοῦναι, καὶ ⟨τὸ⟩ ἀφελέσθαι. §. ἐπιμελῶς δὲ ἐκτηνοτρόφουν οἱ παλαιοί, ὡς ἐπ' Ὀδυσσέως. καὶ τῷ Τυδεῖ "τρισχίλιαι ἵπποι" (? Il. 20. 221) καὶ ἄλλῳ "χίλιαι ἵπποι·" ὁμοίως καὶ "ἀλφεσίβοιαι" (Il. 18. 593). καὶ νόμιος ⟨ὁ⟩ θεός, καὶ "Ἑρμῇ, Μαιάδος υἱεῖ" (Od. 14. 435).

B= 492. τῷ δ' ἄρ' ὑπὸ μήτηρ μοῦνον τέκεν] πιθανῶς εἰς τὸ παθητικὸν αὐτὸν μόνον φησὶ γενέσθαι τῷ πατρί, ⟨καὶ⟩ τἆλλα αὐτῷ εὖ ἔχειν πράγματα· τετιμῆσθαι γὰρ ὑπὸ Ἑρμοῦ. συνιστὰς οὖν τοὺς ἀναιρουμένους θεραπεύει τοὺς ἀνελόντας.

B+ 493. *θέμεθλα] θέσιν, ῥίζαν.

B~ 494. * γλήνην] τὴν κόρην, παρὰ τὸ γλαύσ⟨σ⟩ειν.

AB+ 499. ὁ δὲ φὴ κώδειαν ἀνασχών] "φή" ὡς· ἀλλ' ἔστι νεώτερον· ἄμεινον οὖν παραλελεῖφθαι τὸ ὡς—"Τηλεμάχου ἑτάρω τε κασιγνήτω τε ἔσεσθαι" (Od. 21. 216)—καὶ ἐκ παραλλήλου εἶναι τὰ "φή"
B= "πέφραδεν" "ηὔδα." §. κώδεια δέ ἐστιν ἡ κεφαλὴ τῆς μήκωνος. φαντάζει δὲ ἡ ἐπ' ἄκρου τοῦ δόρατος ἐμπεπαρμένη κεφαλὴ τὴν ἐπὶ καυλῷ κώδειαν. §. . . . περὶ σκόλοψιν. §. Ἀρίσταρχος δὲ τὸ "φή" ῥῆμα
A= ἐκδέχεται καὶ ἀθετεῖ τὸν ἑξῆς· δύναται δὲ καὶ δισσολογία εἶναι, ὡς τὸ "τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἐχένηος (Od. 11. 342), ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο" (Od. 7. 158), "ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·" ἢ τὸ "πέφραδε" (500) διεσήμαινεν· πρὸς δὲ Ζηνόδοτόν φαμεν, ὡς οὐδέποτε τὸ "φή" παρὰ τῷ ποιητῇ ἀντὶ τοῦ ὡς παραλαμβάνεται.

3. οἱ περὶ Ζηνόδοτον B ‖ 10. διάκτορος B: διάκτωρ ‖ ⟨γὰρ καὶ⟩ et 11. supplevi ex B ‖ 12. ἐπ' Bekker: ἀπὸ ‖ 12, 13. locus turbatus, pro Τυδεῖ debebat 'Ἐριχθονίῳ' et pro χίλιαι ἵπποι fortasse "χίλι' ὑπέστη" (Il. 1. 244) ‖ 14. suppl. W ‖ 17. supplevi ex B ‖ 18. δὲ pro οὖν B ‖ 19. ἀναιροῦντας B ‖ 21. γλαύσσειν Et. M.: αἰγλήεσσαν εἶναι B, γλαύσειν ut Orion ‖ 23. παραλελῆφθαι, at cf. D ‖ 24. εἶναι τὸ φησι ‖ 27. lacunam indicavit W, cf. Il. 18. 177 ‖ 29. ὀψὲ δὲ δὴ μετέειπε codd. Od. 7. 155

Digitized by Google

504. *ἐλθόντι] ὑποστρέψαντι.

*γανύσσεται] μεταφορικῶς· γάνος γὰρ τὸ λάμπρυσμα. B+

505. * σὺν νηυσί] ἀντὶ τοῦ ἐν νήεσσιν.

508. * ἔσπετε νῦν μοι] οὐκ ἀσκόπως προοιμίῳ χρῆται· καινότης B=
γὰρ γέγονε μάχης, τῶν ἀρίστων ἀμειψάντων τὰ ὅπλα.

509. ⟨βροτόεντ'⟩ ἀνδράγρια] ἀθετοῦσι διὰ τὸ ξένον τῆς λέξεως καὶ AB=
μὴ κείμενον ἀλλαχοῦ. ἤτοι δὲ τὰ σκῦλα τὰ ἀπὸ ἀνδρῶν ἀγρευόμενα, ἢ ἀντ' ἀνδρῶν· ὅταν γὰρ μὴ δυνηθῶσιν ἀνελεῖν, ἀλλ' οὖν τὸν ἀναιρεθέντα σκυλεύουσιν. ἐκ δὲ τοῦ παρακολουθοῦντος τὸ προηγούμενον, ἀντὶ τοῦ τίς πρῶτος τῶν Ἑλλήνων ἀνεῖλέ τινα τῶν πολεμίων; τοῦτο γὰρ ἀποκρίνονται αἱ Μοῦσαι. σημαίνει δὲ σκῦλα ἠγρευμένα παρὰ ἀνδρῶν· ἀγρεῖν γὰρ τὸ λαβεῖν.

* δεῖ νοεῖν, ὅτι κατὰ τὸ σιωπώμενον ἐσκύλευσαν τοὺς πεσόντας. AB=

511. *Ὕρτιον] πῶς ἐν τῷ διακόσμῳ (Il. 2. 858) οὐ μέμνηται αὐτοῦ;

512. * καρτεροθύμων] τινὲς "βαρβαροφώνων."

516. * Ἀτρείδης] ὁ Μενέλαος· φησὶ γοῦν "οὐδὲ γὰρ οὐδὲ βίη A+
Ὑπερήνορος ἱπποδάμοιο" (Il. 17. 24).

518. κατ' οὐταμένην] ἐτυμολογικὸς ὁ τρόπος· οὕτω δέ φησιν A-B=
ἐξιέναι τὴν ψυχὴν διὰ τὸ ἅμα ⟨τῷ⟩ αἵματι χωρίζεσθαι αὐτήν.

521. ἐπισπέσθαι] ἐπιδιῶξαι, ἐπακολουθῆσαι τῇ τῶν ποδῶν ὁρμῇ. B=
§. παροξύνεται δὲ τὸ "ἐπισπέσθαι." §. τὸ δὲ "ὅμοιος" ⟨προπαρ- A+B=
οξύνεται· τὸ γὰρ "ὁμοῖος"⟩ μεταγενεστέρων ἐστὶν Ἀττικῶν. A+B=

522. * ὅτε τε Ζεύς] τινὲς "ὅτε δὴ θεός."

* φόβον] φυγήν.

## ΕΙΣ ΤΗΝ Ο.

1. Αὐτὰρ ἐπεὶ διά τε σκόλοπας] ἡ ἀναφορὰ πρὸς τὸ "πάπτηνεν AB=
δὲ ἕκαστος, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον" (Il. 14. 507). ἐνθάδε γὰρ τὸ πέρας τῆς διώξεως προσέθηκεν.

διά τε σκόλοπας ⟨καὶ τάφρον ἔβησαν⟩] ἢ ἀντὶ τοῦ διὰ σκολόπων A+B−
καὶ τάφρου, ὡς "διά τ' ἔντεα καὶ μέλαν αἷμα" (Il. 10. 298), ἢ τὸ ἑξῆς, διέβησαν. ἡ δὲ διακοπὴ τῆς λέξεως τὸ ταλαίπωρον καὶ δυσδιόδευτον ἐμφαίνει· οὐ γὰρ ἔφυγον "τῇ περ Ἀχαιοὶ ἐκ πεδίου

5. ἀριστέων B ‖ 9. ἐκ δὲ τ. π. τὸ B: τὸ δὲ ἐκ τ. π. ‖ 11. ἠγρευμένα A B: ἠρημένα ‖ 12. λαμβάνειν AB ‖ 13. προπεσόντας B ‖ 20, 22. supplevi ex B ‖ 26. addidi: ἀρχὴ σὺν θεῷ τῶν σχολίων τῆς ō inscriptum



Digitized by Google

νίσ⟨σ⟩οντο" (Il. 12. 118), ἀλλὰ διὰ τῆς τάφρου ἔφυγον. ἡ αὐτὴ διακοπὴ καὶ ἐν τοῖς "κατὰ πυρὸν ἄλεσσαν" (Od. 20. 109).

AB= 2. πολλοὶ δὲ δάμεν] τοῦτο διὰ μέσου· ἄλλοι γὰρ ἔδαμεν, ἄλλοι δὲ ἔφυγον.

B= 3. οἱ μὲν δὴ παρ' ὄχεσφιν] οἱ ἔξω καταλειφθέντες· οὐδεὶς γὰρ σὺν ἵπποις εἰσῆλθεν ἢ Ἄσιος Ὑρτακίδης (Il. 12. 110)· ἢ τοὺς ἡνιόχους φησίν—εἶπε γὰρ "ἵππους μὲν θεράποντες ἐρυκόντων" (ib. 76)—ἢ αὐτοὺς τοὺς ἐκφυγόντας, θέλοντας ἑαυτούς τε ἐκ τῆς φυγῆς ἀναλαβεῖν καὶ περισῶσαι τὰ ἅρματα· διὸ καὶ "ἐρητύοντο" εἶπεν. ἡ γὰρ χρεία αὐτὴ καὶ οὐδεὶς ἄλλος κατεῖχεν αὐτούς. οὐ γὰρ ἀλλήλους ἐξεδέχοντο· τοῦτο γὰρ ἀεὶ κατηγορεῖ τοῦ ἤθους τῶν βαρβάρων· φαίνονται γὰρ ἀεὶ τῆς ἰδίας σωτηρίας φροντίζοντες.

A=B– 4. ὑπαὶ δείους] εἴωθεν Ἰωνικῶς αὐτὰ συναιρεῖν· "τοίου μιν θάρσευς πλῆσε" (Il. 17. 573) "ἐξ Ἐρέβευς ἄξοντα" (Il. 8. 368) "ἡμετέρου δ' οὐκ ἔστι γένευς" (Od. 15. 533). ἢ ἐντελῶς "βέλεος ⟨δέ⟩ σε τείρει ἀκωκή" (Il. 13. 251), "ἄστεος αἰὲν ὑπὲκ κατ' ἀμαξιτόν" (Il. 22. 146). ἀλλὰ νῦν ἡ κακοφωνία τῇ κοινῇ κράσει ἐποίησεν αὐτὸν χρῆσθαι, καὶ ἐν τῷ "ἦ ῥα κατὰ σπείους" (Od. 9. 330). §. Ἰωνικῶς οὖν συνάγει Ὅμηρος ⟨τὰς⟩ γενικὰς τῶν οὐδετέρων.

ἔγρετο δὲ Ζεύς] καιριώτατα· εἰ γὰρ ἔτι βραχὺ τῆς μάχης ἀπέστησε τὸν Δία, οὐδὲν ⟨ἂν⟩ ἐκώλυ⟨σ⟩ε κατὰ κράτος ἁλῶναι τοὺς βαρβάρους.

5. Ἴδης ἐν κορυφῇσι ⟨παρὰ—Ἥρης⟩] ἔδει εἰπεῖν 'ἐπὶ τῶν κορυφῶν τῆς Ἴδης μετὰ τῆς Ἥρας κοιμώμενος' προστιθέασι δὲ καὶ τὸ "ἕζετο δ' ὀρθωθείς, μαλακὸν δ' ἔνδυνε χιτῶνα" (Il. 2. 42).

B= 6. στῆ δ' ἄρ' ἀναΐξας] ἀνορμήσας τῆς κατακλίσεως, συνῃσθημένος τῆς ἀπάτης καὶ ἑαυτοῦ κατεγνωκὼς ὅτι ὕπνωσεν.

6, 7. Τρῶας καὶ Ἀχαιούς, τοὺς μὲν ὀρινομένους] ὅτι ἀεὶ πρὸς τὸ πρῶτον ὑπαντᾷ ὁ ποιητής, ὡς καὶ ἐν τῷ "ἀρχοὺς αὖ νηῶν ἐρέω νῆάς τε προπάσας. Βοιωτῶν μὲν Πηνέλεως" (Il. 2. 493)· καὶ "⟨Ἀμφίμαχος καὶ⟩ Θάλπιος—υἷες ⟨ὁ⟩ μὲν Κτεάτου" (ib. 620), "Ἀθηναίη τε καὶ Ἥρη—ἤτοι Ἀθηναίη ἀκέων ἦν, οὐδέ τι εἶπεν" (Il. 4. 20, 2) καὶ ἄλλα
B– πολλὰ ⟨παρα⟩τίθησιν ὁ Ἐπαφρόδιτος. §. θαυμασίως δὲ ἐν τάχει

1. φεῦγον ‖ 2. πύρον καὶ ἦεσαν ‖ 4. ἔφυγον B: ἔφευγον ‖ 8. ἐκ om. B ‖ 11. ἐκδεχόμενοι B ‖ ἔθους coni. Dindorf ‖ 13. ὑπαὶδ δείους ut textus ‖ 15. γενικὴ ‖ 16. τείχεος αἰὲν codd. Il. ‖ ὑπὲρ ‖ 17. φράσει B ‖ 18. χρήσασθαι A ‖ 19. suppl. W ‖ 20. ἔτι scripsi: ἐπὶ ‖ 21. ⟨σ⟩ suppl. Bekker ‖ 23. ἐπὶ scripsi: περὶ ‖ 26. συναισθόμενος B ‖ 27. καὶ B: ἢ ‖ 28. ἀεὶ W: καὶ ‖ 33. suppl. W

Digitized by Google

πάντα παρέλαβε, τῶν μὲν τὴν φυγήν, τῶν δὲ τὴν ἀριστείαν, τοῦ Ποσειδῶνος τὴν βοήθειαν, τοῦ Ἕκτορος τὴν πάθην, ἵνα ἐκ πολλῶν φαίνηται κεκινημένος ἐπὶ τὴν ὀργὴν ὁ Ζεύς. περὶ δὲ τοῦ Ἕκτορος καὶ ἀναγκαίως ἐπεξεργάζεται, "Ἕκτορα δ' ἐν πεδίῳ ἴδε κείμενον" (9) καὶ "ὁ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι" (10), ἵνα μὴ μόνον διὰ τὴν ἀπάτην χαλεπήνῃ, ἀλλὰ καὶ δι' Ἕκτορα, ὃς δι' αὐτὸν τοιάδε ἔπαθεν· φησὶ γὰρ πρὸς Πολυδάμαντα "ὃς κέλεαι Ζηνὸς μὲν ἐριγδούποιο λαθέσθαι" (Il. 12. 235), ὡς Διὶ πεπιστευκὼς καὶ μαχόμενος. §· τὸ δὲ "ὀρινομένους" (7) μετὰ λύπης ταρασσομένους—"ὠρίνθη δέ οἱ ἦτορ" (Il. 16. 509)—μετὰ ἀπελπισμοῦ γὰρ ἔφευγον. §. τὸ δὲ "κλονέοντας" (7) παρὰ τὴν κλίσιν, ἢ ἀπὸ τοῦ κατακλᾶν· καὶ γὰρ ἀπὸ τοῦ φθίω φθόη καὶ φθόνος. B = B –

8. μετὰ δέ σφι] ὡς "ἔκδηλος μετὰ πᾶσιν" (Il. 5. 2)· δηλοῖ δὲ καὶ τὴν ἐπί, ὡς "μεταΐξας θάνατον τεύξειεν" (Od. 20. 11), καὶ τὴν πρός, ⟨ὡς τὸ⟩ "ἀλλ' ἐξ ἁλὸς ἦλθε μετ' αὐτούς" (Il. 20. 14) καὶ τὸ "θέω μετ' ἀμύμονα Πηλείωνα." B –

9. ἴδε κείμενον] πεπτωκότα, ὡς τὸ "ὁ δ' ἐπ' ἐννέα κεῖτο π⟨έ⟩λεθρα" (Od. 11. 577). καὶ τὸ τέθαπται "ἔνθα μὲν Αἴας κεῖται" (Od. 3. 109), καὶ κυρίως "εἵματα μὲν δὴ κεῖνται" (Od. 6. 26), καὶ "κεῖται Πάτροκλος" ἀντὶ τοῦ ἀνῄρηται (Il. 18. 20), καὶ τὸ νεκρὸν ἐρρῖφθαι, "κεῖται πὰρ νήεσ⟨σ⟩ι νέκυς" (Il. 22. 386), καὶ τὸ διάγειν, "κεῖτο παρὰ μνηστῇ ἀλόχῳ" (Il. 9. 556), καὶ τὸ ἔστιν, "θεῶν ἐν γούνασι κεῖται" (Il. 17. 514). B –

10. εἵαθ'· ⟨ὁ δέ⟩] Ἀρίσταρχος ψιλῶς, ἀπὸ τοῦ εἰμί ἐκδεχόμενος ἀντὶ τοῦ ὑπῆρχον—"ἔνθ' ἄρα οἱ μύλαι εἵατο" (Od. 20. 106)—ὁ δὲ Ἡρωδιανὸς δασύνει ἀπὸ τοῦ ⟨ἕω τοῦ⟩ δηλοῦντος τὸ κάθημαι· καὶ ἔστιν ἀντὶ τοῦ διέτριβον, ὡς "ἧμαι ἐνὶ Τροίῃ, σέ τε κήδων" (Il. 24. 542)· καὶ λέγομεν 'παρακάθηται τὴν πόλιν ὁ στρατός' ἀντὶ τοῦ προσεδρεύει. τῶν περὶ τῶν καθημένων τὸν Πρίαμον τὴν ἀσπίδα, ἀ[ντὶ] τοῦ ⟨ἐ⟩πολιορκοῦντο. εἰ δὲ ἐψιλοῦτο, ἦν ἄν, φησὶ κοώμενος, ἀντὶ τοῦ ἦσαν ἔασαν· ἔστιν οὖν 'περιεκύκλουν αὐτόν.' A + B –

4. ἐπεργάζεται B || εἶδε || supplevi ex B || 10. ἔφυγον B || 14. τεῦξε B || 16. 'confusa ex "θέω μετά ⟨σ' αὖθις" (Il. 10. 63) καὶ κυρίως "κάλλιστος—μετ'⟩ ἀμύμονα Π." (Il. 2. 674) videntur' W || 18. τεθάφθαι coni. Bekker || 19. μέν τοι κεῖται codd. Od. || 21. παρὰ || 25. ἀντὶ τοῦ B: τὸ || 26 supplevi ex B || κάθομαι || 27. εἶμαι || τε κήδων scripsi: τ' ἐκεῖ εἶδον || 28. παρακάθεται || 29. turbata || 30. ἦν scripsi: ἢ || κοώμενος corruptum: πλανώμενος coni. W || 31. περιεκύκλουν scripsi: περικυκλοῦν

Digitized by Google

B— κῆρ ἀπινύσσων] ἀπίνυτος [ὢν τὴν] ψυχήν—"δοκέεις δέ μοι οὐκ ἀπινύσσειν" (Od. 5. 342)—οἱ δὲ ἀναισθητῶν· πινυτὸν γὰρ τὸ αἰσ-
B= θητόν. §. τινὲς δὲ "κῆρα ⟨πινύσσων⟩·" οὐδαμοῦ δὲ τὸ πινύσσειν ἐπὶ τοῦ προσδοκᾶν ἔτ[αξεν Ὅμηρος]. πῶς δὲ δύναται προσδοκᾶν ὁ ἐσκοτωμένος καὶ ψυχορραγῶν ὑπὸ τῆς πληγῆς;

A+ ἀπινύσσων] Ἀρίσταρχος διὰ δύο σ̄· Ἀριστοφάνης "ἀπινύσκων." §. βαρύνεται δέ, ὡς μείρω ἀμείρω.

*ἀργαλέῳ ἔχετ' ἄσθματι] συνείχετο οὐκ εὐπόρῳ ἀλλ' ἀσθενεῖ πνεύματι.

A+ 11. *αἷμ' ἐμέων] καὶ ἄνω "αἷμ' ἀπέμεσ⟨σ⟩εν" (Il. 14. 437).

A+ ἀφαυρότερος] ἀσθενὴς ὅσον ἀφῇ· ἐνίοτε δὲ ἐκ πλήρους φησίν· "οὐ μέν μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν ἔμμεναι, ἀλλ' ὥριστος" (Od. 17. 415).

B— 13. δεινὰ δ' ὑπόδρα ἰδών] πῶς ὁ κεστὸς οὐκ ἐπράυνεν αὐτόν; ἐρώτων ἐστὶ κινητικός· ὃ καὶ ἔπραξεν· εἰκότως δὲ ⟨χαλεπαίνει⟩ ψευδὴς ἀποδειχθεὶς πρὸς Θέτιν καὶ Ἕκτορα, ᾧ ὑπέσχετο, ἕως ⟨ἂν⟩ δύνῃ ὁ ἥλιος, εὐδοκιμήσειν· ἄλλως τε ἡ περὶ αὐτὸν ἀπάτη ὑπεροχῆς ἦν ἐλάττωσις, καὶ μετὰ τοσαύτας ἀπειλάς.

B= 14. κακότεχνος] ὁ ἐπὶ κακῷ τεχνηθείς· ἔστι γὰρ καὶ χρηστὸς δόλος. τὸ δὲ ἑξῆς, 'μάλα ἀμήχανε, ⟨ἦ δὴ κακότεχνος σὸς δόλος.'
B= §. "ἀμήχανε" δέ⟩, πρὸς ἣν οὐκ ἔστι μηχανήσασθαι· "σὺ δ' ἀμήχανός ἐσσι, γεραιέ" (Il. 10. 167). δηλοῖ δὲ καὶ τὸ ἄπορον· "καὶ ἀμήχανα ἔργα γένοντο" (Il. 8. 130). καὶ πολλάκις δὲ ἁμαρτάνοντες ἐπὶ τοὺς πλησίον ἄγομεν τὴν αἰτίαν.

* ἀμήχανε] ἀμηχάνητε, ἀνίκητε.

A— 15. Ἕκτορα δῖον] ὅτι ἀφ' ἑαυτοῦ "δῖον" ἐκάλεσε τὸν Ἕκτορα, καὶ ἑξῆς τὴν θάλασσαν "ἢ εἰς ἅλα δῖαν" (161), πρὸς τὸ μὴ ὑποπτεύειν τὰ Ὀδυσσειακά· "περὶ δ' ἱρὰ θεοῖσιν ἀθανάτοισιν ἔδωκε" (Od. 1. 66) καὶ "πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην" (ib. 65, Il. 10. 243), οἱ δὲ παρὰ τὸ δέος, ἐπεὶ καὶ ἄδειαν τὴν ἀφοβίαν καλοῦμεν.

ἐφόβησε δὲ λαούς] τινὲς "ἐφόβησε δ' Ἀχαιούς" ἀντὶ τοῦ

1, 4. supplevi abscissa ex B ‖ 4. πῶς δὲ δύναται B: πρῶτος δὲ νέαται ‖ 6. σσ̄ ‖ 8. οὐκ B: οὖν ‖ 10. ἀπέμασσεν A ‖ 11. ἀσθενεῖ B: ἀθετεῖ ‖ 15, 20, 21. supplevi ex B ‖ 16. ᾧ W: ὁ ‖ 28. τὰ Ὀδυσσειακά scripsi, τὰ ἐν Ὀδυσσείᾳ A: τὰ Οδύσσεια κακά ‖ ἱερά ‖ 29. Ὀδυσσῆος

Digitized by Google

'φοβεροὺς ἐποίησεν,' ὡς "πάντας μέν ῥ' ἔλπει" (Od. 2. 91) ἀντὶ τοῦ 'ἐλπίζειν ποιεῖ.'

16. * οὐ μάν] Δωρικῶς· ἐν ἄλλοις δὲ "καὶ μὴν οἵ τότ⟨ε γ'⟩ εἰς ἀγορὴν ἴσαν" (Il. 19. 45).

κακορραφίης] κακομηχανίας—ἑξῆς γοῦν φησιν ἀντιφράζων "κακὰ μητιόωσα" (27)—ἢ κακοσυνθεσίας· ἀλλαχοῦ πού φησιν "οὐκ ὄφελον Τρώεσσι κοτεσ⟨σ⟩αμένη κακὰ ῥάψαι" (Il. 18. 367) καὶ "εἰνάετες—κακὰ ῥάπτομεν" (Od. 3. 118). B+

17. πρώτη ἐπαύρηαι] προτέρα τοῦ Ποσειδῶνος—ἄμφω γὰρ συμμαχοῦσι τοῖς Ἕλλησιν—ἢ τῶν Ἑλλήνων, 'πρὶν τούτους ἀπόνασθαι τῆς σῆς δολιότητος.' B=

* ἐπαύρηαι] προπαροξύνεται· ἔστι γὰρ μέσου β' ἀορίστου. A+B=

⟨καί σε πληγῇσιν⟩ ἱμάσσω] κυρίως 'ἱμάντι πλήξω,' τροπικῶς δὲ νῦν 'κεραυνώσω'· μάστιγα γὰρ Διὸς τὸν κεραυνόν φησι "Διὸς μάστιγι δαμέντες" (Il. 12. 37), τῷ φόβῳ τῆς χθιζῆς κεραυνοβολίας· καὶ "ὅτε γ' ἀμφὶ Τυφωέα γαῖαν ἱμάσσει" (Il. 2. 782) ἀντὶ τοῦ κεραυνώσει. §. ἀντεστραμμένως 'καί σε ἱμάσθλῃ πλήξω.' B−

18. * μέμνῃ] ἀλλαχοῦ τὸ ἐντελές· "μέμνηαι, ὅσα—πάθομεν κακά" (Il. 21 442).

⟨ἦ οὐ μέμνῃ,⟩ ὅτε τε—ἐκρέμω] ταῦτα ὁ Ὕπνος παρέλιπεν, ὑπόνοιαν φέροντα τῇ Ἥρᾳ· ἃ δὲ εἶπεν ἐκεῖνος, νῦν Ζεὺς παρέλιπεν· οὐ γὰρ ἔδει κατὰ ἀπόντος ⟨θρασύνεσθαι⟩. B=

20. * νεφέλῃσιν] ταῖς αἰθερίαις.

21. * ἐκρέμω] ἐκρέμασο, ἐκρέμαο, ἐκρέμω. B=

ἠλάστεον] ἄλαστα ταῦτα εἶναι ἔφασκον, ἢ ἐταράσσοντο, παρὰ τὴν ἄλην. B=

κατὰ μακρὸν Ὄλυμπον] "μακρόν," ὅτι ὄρος· τὸν δὲ οὐρανὸν "εὐρύν" φησιν. §. τινὲς δὲ γράφουσι "πρὶν τότε δή σ' ἀπέλυσα πεδῶν, μύδρους δ' ἐνὶ Τροίῃ κάββαλον, ὄφρα πέλοιτο καὶ ἐσ⟨σ⟩ομένοισι πυθέσθαι·" δείκνυνται γὰρ ὑπὸ τῶν περιηγητῶν οἱ μύδροι. B=

22. * παρασταδόν] ἢ βοηθητικῶς ἀπὸ τοῦ "ὅτε—πρόφρασ⟨σ⟩α

9. iteratur * πρώτη] ἀντὶ τοῦ προτέρα ‖ 12. προπαροξυτονητέον A, προπαροξυντέον B ‖ μέσος δεύτερος ἀόριστος B ‖ 16. ὅτε τ' ἀμφὶ Τυφωέι γ. ἱμάσσῃ codd. Il. ‖ τυφῶ ἰτέαν ἱ.: corr. Bekker ‖ 17. 'aut scribendum κεραυνώσει, ἀντεστραμμένως. ⟨κυρίως δὲ⟩ καὶ aut ante καὶ lacuna indicanda est' W ‖ ἱμάσθλην ‖ 22. supplevi ex B ‖ 26. ἄλην B: ἄλλην ‖ 28. ποδῶν ut Eust.: corr. Heyne ‖ 29. πέλοιντο coni. Heyne ‖ 30. περιηγητῶν Eust.: περιπτηγῶν

παρέστης" (Il. 10. 290), οἱ δὲ 'ὃν δὲ λάβοιμί σοι παριστάμενον πρὸς τὸ βοηθῆσαι.'

B− 23. ἀπὸ βηλοῦ] βαθμοῦ, παρὰ τὸ βήσω, Κράτης δὲ ὡς ἥλου. οὐ παράδοξον ἐν οὐρανῷ βηλὸν εἶναι, ὅπου καὶ πύλαι εἰσίν.

B= 24. * ὀλιγηπελέων] ὀλίγον ἔχων τὸ πέλειν.

AB− θυμὸς ἀνίει] 'Αρίσταρχος "θυμόν·" τινὲς δὲ "θυμός" ἀντὶ τοῦ ὀργή· ἀμείνων δὲ ἡ 'Αριστάρχου γραφή· ἔστι γὰρ 'Ομηρικὴ ἡ φράσις· "οἵ σ' ὠτειλὴν αἷμ' ἀπολικμήσονται" (Il. 21. 122).

B− 25. * ἀζηχής] σκληρά, ἀπὸ τῆς ἄζης, ἥ ἐστι ξηρασία ἐναντία τοῖς θάλλουσι φυτοῖς, οἱ δέ, συνεχὴς καὶ ἄπαυστος· λέγει δὲ ἴσως τὴν διὰ τὴν ἀπάτην ὀργήν.

26. τὸν σὺ ξὺν Βορέῃ] ἴσως, ἐπεὶ τοὺς υἱοὺς αὐτοῦ ἀνεῖλεν 'Ηρακλῆς. §. ἄδηλον δὲ πότερον Ἥρα καὶ Βορρᾶς ἀνέπεισαν τὰς B+ θυέλλας, ἢ Ἥρα ἅμα Βο⟨ρ⟩ρᾷ καὶ τὰς θυέλλας ἔπεισεν. §. τὸ δὲ A= "πιθοῦσα" ὡς δραμοῦσα τονιστέον.

A=B− 27. ⟨ἐπ'⟩ ἀτρύγετον ⟨πόντον⟩] ἄβυσσον, τρύγα μὴ ἔχοντα, ἢ ἄκαρπον παρὰ τὴν τρύγην, ὡς Εὐριπίδης, ἀκάρπιστα πεδία λέγων τὴν θάλασσαν (Phoen. 210). καὶ οἱ μὲν τὸ Μυρτῷον, οἱ δὲ τὸ Αἰγεῖον, οἱ δὲ ὑπὲρ τὴν ἄκρατον θάλασσαν. τινὲς δέ φασιν ἐπὶ Πελλήνην κατὰ Γιγάντων ἀπιόντα 'Ηρακλέα πλανηθῆναι.

28. * Κόωνδε εὖ ναιομένην] ἢ διὰ τὸ ὄνομα, ἢ διὰ τὴν πρὸς ἀλλήλους ὁμόνοιαν, ἥτις δυσεπίβατον ξένοις ἐποίει τὴν νῆσον· ἢ πολύανδρον.

29. * ἀνήγαγον αὖτις] πλεονάζει 'Αττικῶς ἡ ἀνά, ὡς "ἡμεῖς μὲν στεινωπὸν ἀνεπλέομεν" (Od. 12. 234) καὶ "ἐκ Τροίης ἀνιόντα" (Od. 10. 332). §. οἱ δὲ γράφουσιν "ἀπήγαγον αὖτις."

30. * ἐμφαίνει, ὅτι καρτερὰν μάχην ἐνίκησεν.

A+ 31. ἀπολήξῃς] δι' ἑνὸς λ̄ ὀφείλει γράφειν.

B= * οὐκ εἶπεν ἀπατώμενος αὐτὸς παύσεσθαι, ἀλλὰ παύσειν αὐτήν, τὴν ἁμαρτίαν τὴν ἑαυτοῦ ἐπ' ἐκείνην τρέπων.

32. * ἴδῃς] "ἴδῃ" χωρὶς τοῦ σ̄.

A+ 33. * οὐδὲ παρὰ τοῖς περὶ Ζηνόδοτον ἦν· καὶ μήποτε περισσός ἐστιν.

3. ἥλου Eust., ἥλω ‖ 5. ἐχόντων τοῦ π. ‖ 6. ἀνίη ‖ 13. βορέας B, βορέης ‖ 14. ἔπεισεν B: ἔπεισαν ‖ 16. ἔχοντα B: ἔχουσαν ‖ 19. ἄκρατος W: εὔκρατος ut A ‖ 20. Πελλήνην A: Παλήνην ‖ 23. ἢ ante πλ. omisi ‖ 27. iteratur *δι' ἑνὸς λ̄ ὀφ. γρ. ‖ 28. παύσεσθαι Bekker: παύσασθαι ‖ 29. τὴν ἑαυτοῦ ἁμ. B ‖ 31. οὔτε: corr. W

36. ἴστω νῦν τόδε γαῖα] κατὰ τῶν προγόνων ἢ τῶν ὁμοιογενῶν ὄμνυσι στοιχείων· τὸ γὰρ οὐράνιον πῦρ αἰθέρα καλεῖ ὁ ποιητής. διὰ τριῶν ἦν γὰρ ἔθος ὀμνύειν, ὡς Δράκων ἔταξε, Δία Ποσειδῶνα Ἀθηνᾶν· οἱ δὲ Δία Ποσειδῶνα Δήμητρα, ὡς Δημοσθένης ἐν τῷ ⟨κατὰ⟩ Τιμοκράτους (§ 151 p. 733 S.). καὶ ὁ ποιητὴς "Ζεῦ ⟨τε⟩ πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον" (Il. 2. 371) καὶ "Ζεὺς— ξενίη τε τράπεζα ἱστίη τ' ⟨Ὀδυσῆος⟩" (Od. 14. 158). B=

* τόδε] τοῦτο, περὶ οὗ ὁ ὅρκος ἐτέτακτο. B=

38. * δεινότατος] σεβάσμιος· "δεινή τε καὶ αἰδοίη θεὸς ἔνδον" (Il. 18. 394). B=

39. νωίτερον λέχος] συμπαθῶς δελεάζουσα τῆς ἐκ παίδων μίξεως ὑπέμνησεν, "ὅτε πρῶτον—⟨ἐ⟩μισγέσθην φιλότητι" (Il. 14. 295). εἰς ὁμόνοιαν δὲ ἄνδρας καὶ γυναῖκας καλῶν ὁ ποιητὴς σεμνύνει τὴν κοινωνίαν, ὅρκον αὐτὴν μέγιστον ποιῶν. ὁ μὲν οὖν Ζεὺς φιλότητα καὶ εὐνὴν ὠνόμασεν (32), ἡ δὲ σεμνοτέραις ταῖς προσηγορίαις χρῆται οὐκ ἀξιοῦσα ἐκφαυλίζειν τὴν κοινωνίαν. διὸ καὶ προσέθηκε "τὸ μὲν οὐκ ἂν ἐγὼ—μὰψ ὀμόσαιμι" (40), ἀξιοπιστίαν προσφέρουσα τῷ λόγῳ· ὅθεν καὶ ἐμειδίασεν ὁ Ζεύς (47). B–

41. μὴ δι' ἐμὴν ἰότητα] ἐσοφίσατο τὸν Δία, οὐ περὶ ὧν ⟨κατηγορεῖ⟩ ἀπολογουμένη—τῆς ἀπάτης—ἀλλὰ δι' ὃ χολᾷ τούτου ἑαυτὴν ἀλλοτριώσασα· καὶ μειδιᾷ Ζεύς (47). §. τὸ δὲ "μή" ἀντὶ τοῦ οὐ. A+

44. τειρομένους δ' ἐπὶ νηυσί] ἔλεον ὑπὲρ Ἑλλήνων κινεῖ καὶ ὑπεραπολογεῖται Ποσειδῶνος. B=

45. παραμυθησαίμην] παραινέσαιμι· συνωνυμεῖ γὰρ μῦθος καὶ αἶνος. τοσοῦτον ἀπέχω, φησί, τοῦ ἐναντιοῦσθαί σοι, ὥσ⟨τε⟩ κἀκείνῳ παραινεῖν. B= §. "καὶ κείνῳ" ἐκ πλήρους ἐστὶν ὁ "καί," ὡς καὶ αὐτῆς ἐπακολουθησάσης τοῖς Διὸς βουλήμασιν. A+

46. * τῇ ἴμεν, ᾗ κεν δὴ σὺ—ἡγεμονεύῃς] ταύτῃ πορεύεσθαι, ᾗ ἂν κελεύῃς σύ, καὶ ἐν παντί σοι ἡγεμόνι χρῆσθαι.

47. μείδησεν] ἢ διὰ τὸ λέχος ἢ διὰ τὸ ἀπολογήσασθαι καὶ ὑπὲρ Ποσειδῶνος ἢ διὰ τὸ ἰδεῖν αὐτὴν δείσασαν καὶ τὰ θυμήρη αὐτῷ ἐπαγγελλομένην· ἐνήργει δὲ ἄρα ὁ κεστός. B–

49. * εἰ μὲν δὴ σύ γ' ἔπειτα] ἐκ παραλλήλου τὸ "ἔπειτα" ἀντὶ τοῦ δή· "δὴ τότ' ἔπειτ' ἄνεμος μέν" (Od. 5. 391). B=

3. ὀμνύναι B || 4. Δήμητραν ut B || 7. supplevi ex B || 14. αὐτὸν B || 16. μὴ θέλουσα B || 25. supplevi ex B || 34. καὶ τότ' codd. Od.

Digitized by Google

A– βοῶπις] οἱ μὲν "βοῶπι," Ἀριστοφάνης δὲ "βοῶπις·" καὶ B= ἔστιν εὐφραδέστερον. §. τὸ δὲ "φρονέουσα" ἀντὶ τοῦ ὁμονοοῦσα. §. τὸ δὲ "καθίζοις" (50) ἀπὸ μέρους ἀντὶ τοῦ εἴης. §. γράφεται A+ καὶ "ἐν ἀθανάτοισι."

B= 51. * τῷ] ἀντὶ τοῦ ὁμοίως.

B= 52. μετὰ σὸν καὶ ἐμὸν κῆρ] ὑπαλλακτικῶς εἶπεν, ἀντὶ τοῦ ἐπὶ τὰ ὑπὸ σοῦ καὶ ἐμοῦ πραττόμενα καὶ νοούμενα.

A= 54. * κάλεσσον] γράφεται καὶ "κέλευσον."

55. ⟨Ἀπόλλωνα⟩ κλυτότοξον] τινὲς "κλυτὸν αὐδήν·" οὐκ οἶδε δὲ αὐτὸν Ὅμηρος ᾄδοντα ἀλλὰ κιθαρίζοντα.

A+B= 56. ὄφρ' ἢ μὲν μετὰ λαόν] ἀθετοῦνται ὡς περιττοὶ εἴκοσι καὶ δύο στίχοι, ὅτι οὐκ ἀρεστοὶ Ἥρᾳ, καὶ οὐκ ἐμπίπτουσι ταῖς ναυσὶν Ἀχιλλέως. καὶ εἰ ἔκρινεν ἀπολέσθαι Σαρπηδόνα, τί ἐκεῖ (Il. 16. 433) οἰκτίζεται; καὶ ἡ παλίωξις οὐκ ὀρθῶς· ἀφ' οὗ γὰρ Ἀχιλλεὺς ἐξῆλθεν, οὐκ ἐτράπησαν Ἀχαιοί. καὶ τὸ "Ἀθηναίης διὰ βουλάς" (71)· διὰ τί γὰρ μὴ δι' Ἥρας, καίτοι παρούσης; ῥητέον οὖν ὅτι σχῆμά ἐστιν ἡ προανακεφαλαίωσις, ὡς Ὀδυσσεὺς προαναφωνεῖ Τηλεμάχῳ τὴν μνηστηροκτονίαν, ἀλλ' οὐδὲν ἧσσον καὶ διὰ τῶν πρακτικῶν αὐτίκα διηγεῖται (Od. 16. 258)· ἔστι δὲ τῇ Ἥρᾳ εἰ καὶ μὴ νῦν τερπνά, ἀλλ' οὖν γε χαρᾶς περιποιητικὰ τὰ λεγόμενα. πεσεῖν δὲ εἰς τὰς ναῦς (63) ἀντὶ τοῦ δεηθῆναι Ἀχιλλέως, ὥς φαμεν 'ἐνέπεσεν εἰς τὰς χεῖράς σου.' οἰκτίζεται δὲ τὸν Ἕκτορα κρίνων σὺν τῇ Ἰλίῳ ἀπολεῖσθαι (Il. 22. 168). πόθεν δὲ δῆλον, εἰ ⟨μὴ⟩ μετὰ θάνατον Ἀχιλλέως γεγόνασι τροπαί; τό τε "Ἀθηναίη⟨ς⟩" (71), ἐπεὶ σὺν Ἐπειῷ τὸν ἵππον ἐποίησεν (Od. 8. 493). πρὸς δὲ τούτοις παραμυθεῖται τὸν ἀκροατήν, τὴν ἅλωσιν Τροίας σκιαγραφῶν αὐτῷ· τίς γὰρ ἂν ἠνέσχετο ἐμπιπραμένων τῶν Ἑλληνικῶν νεῶν καὶ Αἴαντος φεύγοντος, εἰ μὴ ἀπέκειτο ταῖς ψυχαῖς τῶν ἐντυγχανόντων, ὅτι οἱ ταῦτα πράξαντες κρατηθήσονται.

* ὄφρ' ἢ μέν] πρὸς τὸ πρῶτον ὑπήντησεν, ὡς τὸ "ἶδε δὲ Τρῶας καὶ Ἀχαιούς, τοὺς μὲν ὀρινομένους" (6).

58. πρὸς δώμαθ' ⟨ἱκέσθαι⟩] δύναται 'εἰς Ὄλυμπον' λέγειν· φησὶ γοῦν "ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα" (161)· "γαῖα

4. μετ' ἀθανάτοισι textus || 17. προαν. B: προσανακεφαλαίωσις || οὖν post Ὀδ. omisi ut B || 19. εἰσι B, ἔσται || 22. Σαρπηδόνα B Eust. pro τὸν Ἕκτορα || κρ. μὴ ἐν Ἰ. B || 23. supplevi: ante γεγ. supplet W || 24. supplevi ex B

Digitized by Google

δ' ἔτι ξυνὴ καὶ μακρὸς Ὄλυμπος" (193)· καὶ ὁ Κύκλωψ "εὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανόν" (Od. 9. 527).

63. * ἀεὶ ἐπὶ Ἀχαιῶν τὸ "πέσωσι·" "καί νύ κεν ἐν νήεσσι πέσον φεύγοντες Ἀχαιοί" (Il. 11. 311).

64. ⟨Πηλείδεω Ἀχιλῆος·⟩ ὁ δ' ἀνστήσει—Πάτροκλον] Ζηνόδοτος ἐνθένδε ἕως τοῦ "λισσομένη" (77) οὐδὲ ἔγραφεν· ἐοίκασι γὰρ Εὐριπιδείῳ προλόγῳ ταῦτα· ἐναγώνιος δέ ἐστιν ὁ ποιητὴς καί, ἐὰν ἄρα, σπέρμα μόνον τίθησιν· "κακοῦ δ' ἄρα οἱ πέλεν ἀρχή" (Il. 11. 604)· τάχα δὲ ὁ ταῦτα ποιήσας ⟨ἐποίησεν⟩ καὶ τὸ "ᾠχόμεθ' ἐς Θήβην" (Il. 1. 366) καὶ τὸ "ἤρξατο δ' ὡς πρῶτον Κίκονας δάμασε" (Od. 23. 310).

* Πηλείδεω Ἀχιλῆος] τινὲς λέγουσι λείπειν τὸ ἕνεκα· διὰ γὰρ τὸν Ἀχιλλέα ἔπεσον.

69. ἐκ τοῦ δ' ἄν τοι] οὐ τοῦ νῦν, ἀλλὰ μετὰ τὸ ἀπολέσθαι Πάτρο- B + κλον· τινὲς δὲ ἣν ἐποίησε Πάτροκλος ἀπέλασιν τῶν νηῶν παλίωξιν καλοῦσιν.

71. Ἴλιον αἰπὺ ⟨ἕλωσιν⟩] ἀεὶ θηλυκῶς λέγει ὁ ποιητής· τινὲς οὖν AB + "Ἴλιον ἐκπέρσωσιν."

72. παύω] οὕτως ἄνευ τοῦ σ. §. διὰ τί δὲ χολᾷ τοῖς Ἕλλησιν AB + οὕτως; προσποιεῖται ⟨τελειῶσαι⟩ τὴν ἱκετείαν Θέτιδος ⟨καὶ⟩ διὰ τὴν Ἥραν. B +

73. ἐνθάδ' ἐάσω] ἔδει εἰπεῖν 'ἐν τῇ μάχῃ' ἄκυρον γὰρ τὸ "ἐνθάδε." B +

75. ὥς οἱ ὑπέστην πρῶτον] καὶ μὴν Θέτιδι ὑπέσχετο (Il. 1. 528). §. Ἀρίσταρχος ἀθετεῖ (74–77) ⟨διὰ⟩ τὸ "τίμησόν μοι υἱόν" (Il. 1. 505)· οὐδέποτε γὰρ κατηράσατο τοῖς Ἀχαιοῖς Ἀχιλλεύς.

κάρητι] τινὲς ἀπὸ τοῦ κάρη· Ἀρίσταρχος κάρη⟨ς⟩ ὡς "Δάρη⟨ς⟩" (Il. 5. 9), ἵν' ᾖ ἀρσενικῶς.

77. * πτολίπορθον] Ὀδυσσέα μόνον οὕτω καλεῖ διὰ τὴν Ἴλιον. ἀλλὰ καὶ ἀλλαχοῦ λέγει "αὐτὰρ ὅ γ' ὡς ἐνόησεν Ἀχιλλῆα πτολίπορθον" (Il. 21. 551)· ἐπόρθησε γὰρ εἴκοσι πόλεις.

78. ὣς ἔφατ', οὐδ' ἀπίθησεν] τινὲς μετὰ τοῦτον γράφουσι "Ζὴν' ὑποταρβήσασα· νόος δέ οἱ ἄλλα μενοίνα."

1. δέ τι ‖ 5. ἀναστήσει ut textus ‖ 6. ἐνθένδε scripsi: ἔνθεν coni. Ludwich, ἔνθα ‖ 8. τίθησιν W: τιθείς ‖ 9. supplevi: post δάμασε l. 10 supplet W ‖ 17. δὲ pro οὖν B ‖ 19. παύω textus: παύσω ‖ 20. οὕτως B: ὁ ‖ προσποιεῖται B: προσποιήσῃ ‖ supplevi ex B ‖ 23. μὴν Bekker: μιν ‖ 24. τίμησόν μοι υἱόν W: τιμήσαμεν εἴη ‖ 31. Ζὴν' Heyne: Ζηνόδοτος ‖ 32. μενοίνα Heyne: μενοινᾷ

79. *βῆ δὲ κατ' Ἰδαίων*] Ζηνόδοτος "*βῆ δ' ἐξ Ἰδαίων*" ἀπὸ ἴσου γὰρ ἐπὶ τὸ ἴσον ἡ δίοδος.

B= 80. *ὡς δ' ὅταν ἀΐξῃ νόος*] ἐν ἄλλοις ἁπλούστερον καὶ συντομώτερον "*ἠὲ νόημα*" (Od. 7. 36)· ἐνθάδε ⟨δὲ⟩ καὶ ἐπεξειργάσατο τὸ τάχος, καὶ οὐ παντὶ νῷ ⟨προσάπτει τὸν λόγον⟩, ἀλλὰ πλάνητος ἀνδρός.

82. *ἔνθ' εἴη*] Ἀρίσταρχος "*εἴη*" ἀντὶ τοῦ πορευθείη ἐκ τοῦ εἶμι, τοῦ ἀνδρὸς δηλονότι λέγοντος 'ἀπέλθοιμι ⟨ἐκεῖ⟩ ἢ ἐκεῖ.'

A + B= ἄλλως: *ἔνθ' εἴην ἢ ἔνθα*] τὸ "*εἴην*" σὺν τῷ ν ⟨οἱ⟩ Ἀριστάρχειοι, καὶ σημαίνειν τὸ ὑπῆρχον, ὡς αὐτοῦ τοῦ ἀνδρὸς ἐπιλογιζομένου 'ποῖ πορευοίμην.' ὁ δὲ λόγος, 'εἰς ἐκείνην τὴν χώραν ἢ ἐκείνην πορευθείην.'

B= *μενοινήσειέ τε πολλά*] ὁ ἀνὴρ δηλονότι πολλὰ μέρη τῆς γῆς ἐννοήσηται.

84. *ἵκετο δ' αἰπὺν Ὄλυμπον, ὁμηγερέεσσι δ' ἐπῆλθεν*] ἐν ἀσχολίᾳ ὄντες μακαρίως εὐωχούμενοι διάγουσι καὶ ἐν τῇ Α (533) "*Ζεὺς δὲ ἑὸν πρὸς δῶμα· θεοὶ δ' ἅμα πάντες ἀνέσταν,*" ὡς ἐν Διὸς ἀφωρισμένου αὐτοῖς τόπου τοιούτου πρὸς τὰς εὐωχίας· οἱ δὲ πρὸς τῷ Ὀλύμπῳ.

86. *πάντες ἀνήιξαν ⟨καὶ δεικανόωντο δέπασσιν⟩*] ἐπὶ τοῦ ἐρωτικοῦ συμποσίου "*κάλεόν τε μιν εἰς ⟨ἑ⟩ ἕκαστος*" (Il. 23. 203)· ἀκροθώρακες γὰρ ὄντες εἰς ἐρωτικὰ ἐκεκίνηντο. §. τινὲς δὲ ἀντὶ τοῦ

AB+ "*δέπασσιν*" "*ἐπέεσσιν*" γράφουσιν· ἐλέγχονται δὲ ὑπὸ τοῦ "*Θέμιστι δὲ—δέκτο δέπας*" (87).

87. * *ἔασε*] παρῃτήσατο· "*τὸν δ' ἐχθρὸν ἐᾶσαι*" (Hesiod. Opp. 342).

* *Θέμιστι*] θεσμός, Θέμις.

B= 88. *δέκτο δέπας*] οὐχὶ τοὺς ἄλλους ἠτίμασε καὶ ταύτην προὔκρινεν, ἀλλ' ἔφθασέ φησι τοὺς λοιπούς· διὸ παρ' αὐτῆς λαμβάνει τὸ δέπας.

B= *θέουσα*] ἄμεινον "*φέρουσα*·" ἀκατάστατον γὰρ τὸ "*θέουσα,*" καὶ μάλιστα ἐπὶ Θέμιδος. ὑποφαίνει δὲ τὴν τάξιν τηρεῖν.

90. * *τίπτε βέβηκας*] λείπει τὸ οὕτως.

4. εἶπε τὸ pro ἠὲ B ‖ 4, 5. supplevi ex B ‖ 5. ἀλλ' ἀπλανήτου B ‖ 6. εἴη textus ‖ 7. suppl. W ‖ 8. supplevi ex B[2] ‖ 13. ἐννοήσεται, cf. D ‖ 16. δ' ἑὸν ‖ 19. δ' post πάντες omisi ‖ 28. φασι B ‖ 30. γὰρ B : δὲ

Digitized by Google

ἀτυζομένῃ δὲ ἔοικας] συμβάλλεται πρὸς τὴν ἀθέτησιν τῶν πρώην (56–77). εἰ γὰρ ἦν ἀκούσασα τὰ περὶ τῆς ἁλώσεως, οὐκ ἂν κατεπλήχθη· τάχα δὲ τεταραγμένη ὑπέστρεψε δι' ὑπόμνησιν τῆς ἀτιμίας.

91. * ἦ μάλα δή σε φόβησε] οὐ κατὰ προαίρεσιν ἐληλυθέναι ἐποίησεν, ἀλλ' ὅμοιόν τι φυγῇ· οἱ δὲ ὁμοίως ἡμῖν. B–

93. * οἶσθα καὶ αὐτή] πόθεν; ἢ ὅτι συνῴκηκεν αὐτῷ (Hes. Th. 901). ἀλλὰ κουριδίους αὐτούς φησιν (Il. 14. 296).

94. ὑπερφίαλος] ὅτι τῶν μέσων ἐστὶν ἡ λέξις· καὶ νῦν μὲν ἐπὶ ψόγου κεῖται ἀντὶ τοῦ 'οὐκ ἔνσπονδος,' ἐν ἄλλοις δὲ ἐπὶ ἐγκωμίου, "ὑπερφιάλοισι μεθ' ἡμῖν δαίνυσαι" (Od. 21. 289), εἰ μὴ λέγει, οὓς σὺ φῂς εἶναι ὑπερφιάλους. AB–

* ἀπηνής] ἄπωθεν τοῦ νεύειν ἢ τῶν ἡνίων. B+

95. ἄρχε θεοῖσι] παρὰ γὰρ ἀνθρώποις πολλὰ διὰ μέθην ἄτοπα γίνεται. διδάσκει δὲ ὅτι δεῖ τὸ δίκαιον ἐν τοῖς πότοις σῴζεσθαι. B=

96. * μετὰ πᾶσιν—ἀθανάτοισιν] ἀντὶ τοῦ μετὰ πάντων ἀθανάτων. B=

97. πιφαύσκεται] ἐνδείκνυται, οὐ κρυφίως ποιεῖ. ὑπερβολικῶς δέ φησιν, ὡς ἤδη πεπραχότος ταῦτα τοῦ Διός, ὡς "ἐγὼ δέ κ' ἄγω Βρισηΐδα καλλιπάρῃον" (Il. 1. 184). B+

98. * κεχαρησέμεν] χαροποιήσειν. B=

99. * οὔτε θεοῖς] πρὸς τὸν Ἄρην ταῦτα δι' Ἀσκάλαφον (111). B=

εἴπερ τις ἔτι νῦν δαίνυται εὔφρων] ἠθικῶς· εἴγε ὅλως φιλεῖτε ὑμεῖς εὐωχεῖσθαι εὐφραινόμενοι τὴν ψυχήν. δολερὸν δὲ καὶ γυναικεῖον ἐνέφηνεν ἦθος· ἀδικήσασα γὰρ Δία ἐπ' αὐτοῦ μὲν ἀπολογεῖται, νῦν δὲ ἠδικῆσθαί φησι καὶ τὸν Δία ὑπερφίαλον (94) καλεῖ καὶ ἐπανίστησιν αὐτῷ τοὺς θεούς. B=

101. * ὄχθησαν] ἐμετεωρίσθησαν, ἢ ἐβαρύνθησαν, ὡς ὄχθων προσκειμένων, ἢ ἠχθέσθησαν, παρὰ τὸ ἄχθος. B–

ἡ δ' ἐγέλα⟨σ⟩σε χείλεσιν] οὗτός ἐστιν ὁ Σαρδόνιος γέλως, ὁ μετὰ δηγμοῦ τῆς καρδίας γινόμενος. A+B=

103. ἰάνθη] διεχύθη· Σοφοκλῆς "ὡς ἂν Διὸς μέτωπον ἐκταθῇ χαρᾷ" (fr. 816 N.). ἰαίνειν δὲ κυρίως τὸ θερμαίνειν, "αἶψα δ' ἰαίνετο κηρός" (Od. 12. 175)· θερμὰ δὲ τὰ ἡδέα. B–

2, 3. κατεπλήχθη W: κατεπείχθη ‖ 6. συνώνηκεν: corr. Bekker ‖ 7. ἀλλὰ W: τἄλλα ‖ 10. δαίνυσαι B: δαίνυσθαι ‖ 22. ὀφείλετε B

Digitized by Google

B= πᾶσιν δὲ νεμεσσηθεῖσα ⟨μετηύδα⟩] πᾶσι μεμψαμένη ἐπὶ τῷ μὴ δέξασθαι τοὺς λόγους αὐτῆς, ἢ τῷ Διὶ μεμφομένη ἐν πᾶσιν ηὔδα.

A+ 104. μενεαίνομεν ⟨ἀφρονέοντες⟩] τινὲς "ἐριδαίνομεν ἀφρονέοντι."

A+B= 105. ἢ ἔτι ⟨μιν⟩ μέμαμεν—⟨ἢ ἔπει ἠὲ βίῃ⟩] τὸ⟨ν⟩ η̄ περισπαστέον· ἔστι γὰρ διαπορητικός. τοὺς δὲ ἑξῆς βαρυντέον· εἰσὶ γὰρ διαζευκτικοὶ ἢ παρα⟨δια⟩ζευκτικοί.

106. ὃ δ' ἀφήμενος] ἄπωθεν χωριζόμενος. §. τὸ δὲ "φησίν"
B= (107) ἀντὶ τοῦ λογίζεται, "οὐ μὲν γάρ ποτέ φησι κακὸν πείσεσθαι" (Od. 18. 131). ὅτι δὲ οὐ πρὸς πεῖραν ἀλλὰ πρὸς πειθαρχίαν οἱ λόγοι, δῆλον ἐξ ὧν φησιν "οὐκ ἀίεις ἅ τε φησὶ θεὰ λευκώλενος" (130).

B= 108. κάρτεΐ τε σθένεΐ τε] πρὸς τὸ "τόσ⟨σ⟩ον ἐγὼ περί τ' εἰμὶ θεῶν" (Il. 8. 27). ὡς ταπεινόφρονας δὲ αὐτοὺς ἐλέγχει, πειράζουσα εἰ φρ⟨υ⟩άξαιντο κατὰ Διός· ὅθεν ἐκείνων σιωπησάντων ἐπικερτομοῦσα τὸν ἐπίπλαστον ἐγέλασε γέλωτα, τόν τε Ἄρη ἐπανίστησι τῷ Διὶ καὶ τῆς συμμαχίας τῶν Τρώων ἀπανίστησιν.

B= 109. ἔχετε] ἀνέχεσθε. §. διδάσκει δὲ στέργειν τὴν θείαν διοίκη-
B= σιν. §. τὸ δὲ "ὅτ⟨τ⟩ι κεν ὔμμι" ἀντὶ τοῦ ὑμῶν. καὶ ταῦτα δὲ δεῖ
B= νοεῖν, ὡς οὐ μόνον περὶ τὸν Ἄρη δεινοῦ τινος συμβεβηκότος, ἀλλὰ καὶ περὶ τοὺς ἄλλους τῆς ὁμοίας οὔσης προσδοκίας.

B= 112. ὃν ἔμμεναι] ἑαυτοῦ· ἔστι δὲ ὅμοιον τῷ "μήτηρ μέν τε μέ φησι" (Od. 1. 215).

B= *τινές φασι τὸν Ἀσκάλαφον εἰς Ἑβραΐδα ⟨μετακομισθέντα⟩ τεθάφθαι. διὸ καὶ Σαμάρειαν καλεῖσθαι, διὰ τὸ σῆμα ὃ ἐποίησεν Ἄρης.

114. ὀλοφυρόμενος] ὃ μὲν κεκίνηται εὐθύς, ὡς ἂν προπετής· καταπαύει δὲ αὐτὸν ἡ Ἀθηνᾶ ὡς συνέσεως προεστηκυῖα δαίμων.

A−B= 116. τίσασθαι φόνον] οὗτός ἐστιν ὁ ἀλλοπρόσαλλος· νῦν γὰρ οὐκ ἐπίσταται οὐδ' ὅποι βαδιεῖται· εἰ μὲν οὖν τοῖς Ἕλλησι συμμαχήσει, ἀλλοπρόσαλλος φανεῖται, εἰ δὲ τοῖς Τρωσίν, ὡς πρόσθεν, τοῖς φονεῦσι τοῦ παιδὸς συμβαλεῖται.

ἰόντι] οὕτω τὸ τέλειον· τινὲς δὲ "ἰόντα·" τὸ δὲ "κεῖσθαι ὁμοῦ νεκύεσσιν" (118) ἀντιφράζεται τῷ "αὐτοῦ πήματ' ἔπασχον ἐν αἰνῇσιν νεκάδεσ⟨σ⟩ιν" (Il. 5. 886)· νεκάδας γὰρ τὰς τάξεις τῶν ἀνδρῶν φασιν.

1. προσηύδα textus || ἢ post μεμψαμένη omisi ut B || 5. βαρυντέον B: ἐγκλιτέον A, κλιτέον || 6. supplevi ex A B || 13. suppl. W: φράσαιντο B || 14. Ἄρην B, Ἄρεα || 16. ἔχεται· ἀνέχεται: corr. sec. || 17, 18. δεῖ νοεῖν B: δεινῶς || 18. Ἄρην || 22. Ἑβραΐδα B: Ἑβραίαν || supplevi ex Eust. || 26. οὗτος A: νῦν ut B || 27. ὅπη B

Digitized by Google

117. * πληγέντι] ἀντὶ τοῦ προβλαφθέντι.

119. Δεῖμόν τε Φόβον τε] ὅτι ἐντεῦθεν ἡ πλάνη γέγονε τοῖς A+ δεξαμένοις Δεῖμον καὶ Φόβον ⟨ἵππων⟩ ὀνόματα· ἐν ἄλλοις γὰρ σαφῶς φησι "τῷ δὲ Φόβος φίλος υἱός" (Il. 13. 299).

121. * μείζων] τοῦ πρὸς Ἥραν καὶ Ἀθηνᾶν καὶ Ποσειδῶνα χόλου. AB=

122. * χόλος καὶ μῆνις] παραλλήλως· οἱ δὲ "χόλος" γενικῶς. A+

123. πᾶσι—δείσασα] ἀντὶ τοῦ πάντων. εἰκότως δὲ ὡς δεδοικυῖα B− τὸν πατέρα καὶ ἤδη πεπαιδευμένη μὴ ἐναντιοῦσθαι, "ὄφρ' εἰδῇ γλαυκῶπις" (Il. 8. 406).

124. * ὦρτο δι' ἐκ προθύρου] ἡ "ἐκ" πρὸς τὸ "ὦρτο."

λίπε δὲ θρόνον, ἔνθα θάασ⟨σ⟩εν] παραπληρωματικὸν τῇ πιπτούσῃ χιόνι.

125. ἀπὸ μὲν κεφαλῆς] καὶ ἐπὶ Ὀδυσσέως "αὐτίκ' ἀπὸ κρατὸς A= κυνέην—καὶ σάκος ὤμοιιν, δόρυ δ' ἔκβαλον ἐκτ⟨οσ⟩ε χειρός" (Od. 14. 276). §. δῆλον δέ, ὡς ἀφοπλίζουσα τὸν Ἄρεα ταῦτα ἔλεγεν (128)· A= οὐ γὰρ σιωπῶσα.

127. ἡ δ' ἐπέεσσι] ὅτι ἐξ ἀναλήψεως τὰ ἄρθρα λαμβάνει. ὁμοίως A+B= καὶ τὸ "αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο" (Il. 5. 733), εἶτα "ἡ δὲ χιτῶν' ἐνδῦσα Διός" (ib. 736). καθάπτεσθαι δέ ἐστι καὶ τὸ πραΰνειν καὶ τὸ ἐξονειδίζειν· ἔστιν οὖν 'λόγῳ προσεφώνει.'

128. μαινόμενε, φρένας ἠλέ, διέφθορας] οὕτω Πορφύριος· οὐ δεῖ AB− στίζειν εἰς τὸ "φρένας ἠλέ," εἶτα καθ' αὑτὸ λέγειν "διέφθορας," ἀλλ' ὅλον συνάπτειν τὸ "φρένας ἠλὲ διέφθορας," ἵν' ᾖ 'τὰς φρένας διέφθορας, ὦ ἠλέ.' §. καὶ αὐτὸς δὲ ἐπάγει πρὸς μὲν τὸ "μαινόμενε" "ἦ νυ τοι αὔτως οὔατ' ἀκουέμεν ἐστί," πρὸς δὲ τὸ "φρένας ἠλέ" "νόος δ' ἀπόλωλε καὶ αἰδώς," ἵν' ᾖ τὸ "ἠλέ" θερμέ· πρὸς ὃ ἀνθυπήγαγε τὸ "αἰδώς·" οἱ γὰρ θερμοὶ ἀναιδεῖς. §. "ἠλέ" ὡς καλέ, εἴτε ἀποκοπή ἐστιν εἴτε συγκοπή· τὸ γὰρ τέλειον ἠλεέ· ἢ παρὰ τὴν AB− ἄλην, ἣν πάντες ἀλεόμεθα, ἢ παρὰ τὸ θερμόν· ἔστιν οὖν "φρένας ἠλέ" ὦ πεπλανημένε τὰς φρένας.

ἦ νύ τοι αὔτως οὔατ' ἀκουέμεν ἐστίν] εἰς τὸ μάτην ἀκούειν ἔχεις B= τὰ ὦτα, οὐ μέντοι τὰ ἀκουόμενα διακρῖναι.

* Ἀττικοὶ ἐνεργητικῶς φασι τὸ "διέφθορας." νῦν δὲ ἀντὶ τοῦ διέφθαρσαι.

1. schol. supra v. 118 scriptum ‖ 3. supplevi ex A ‖ 4. ῥητῶς A ‖ 6. ⟨"μῆνις" εἰδικῶς⟩ post γ. supplet W ‖ 14. ἔκβαλεν ‖ ἔκτε etiam A ‖ 24. ὦ ἠλέ B: ἢ ὠλεέ ‖ μὲν $B^2$: δὲ ‖ 25. δὲ τὸ $B^2$: τὸ δὲ ‖ 26. ἠλεὲ ‖ 31. ἔχων B ‖ 32. διακρίνειν B

Digitized by Google

130. * ἀίεις] αἰσθάνῃ.

132. * ἀναπλήσας κακὰ πολλά] οἷον κρατῆρα κακῶν πληρώσας.

A= 134. κακὸν μέγα πᾶσι ⟨φυτεῦσαι⟩] οὕτως ἡ Ἀριστοφάνους· ἡ Ζηνοδότου δὲ "θεοῖς μέγα πῆμα φυτεῦσαι."

* φυτεῦσαι] γεννῆσαι.

B= 137. μάρψει δ' ἑξείης, ὅς τ' αἴτιος ὅς τε καὶ οὐκί] καὶ πῶς τοιοῦτος "πατὴρ ἀνδρῶν τε θεῶν τε;" ἐπιτείνει οὖν εἰς δέος Ἄρεος· ἢ
B+ τὸ περὶ τοὺς ἄρχοντας μιμεῖται πάθος. §. τὸ δὲ "μάρψει" κυρίως τὸ χερσὶ συλλήψεται· μάρη γὰρ ἡ χείρ, ἔνθεν καὶ εὐμαρής. δηλοῖ δὲ καὶ ἁπλῶς τὸ καταλαβεῖν· καὶ μάρνασθαι τὸ διὰ χειρῶν μάχεσθαι.

B= 138. μεθέμεν χόλον υἷος ἑῆος] τοῦ ὑπὲρ τοῦ παιδὸς χόλου· διδάσκει δὲ τὸ μοιρίδιον πρᾴως φέρειν, ⟨ὡς⟩ καὶ κατὰ θεῶν ἀπαράβατον ὑπάρχον. §. Ζηνόδοτος δὲ γράφει "υἷος ἑοῖο" τοῦτο δὲ ἐν τῷ
A+ περί τινος λόγῳ τίθεται· νῦν δὲ πρὸς πρόσωπόν ἐστι, καὶ δεῖ γράφειν "ἑῆος" ἀντὶ τοῦ ἀγαθοῦ.

140. πεφήσεται] πέφαμαι πέφασαι· τοῦτο ποιεῖ μετ' ὀλίγον μέλλοντα πεφάσομαι, ὃ ἐξέτεινε διὰ μέτρον.

A+ ἀργαλέον δὲ πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε ⟨τόκον τε⟩] ἀδύνατον· "ἣ δὲ μάλ' ἀργαλέη περάαν" (Il. 12. 63). §. ἀδύνατόν
B+ φησι θεῷ τὴν ἐξ αὐτοῦ γένεσιν ἀνθρωπίνην πᾶσαν σῴζειν.

141. * πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε] παραμυθητικὰ ταῦτα.

γενεήν] τόκον· τὸ κοινὸν παραμυθητικόν. §. συστέλλει δὲ ὁ Θρᾲξ τὸ "ῥῦσθαι·" τὸ γὰρ πλῆρές ἐστι ῥύεσθαι.

B− 142. ἵδρυσε θρόνῳ ἔνι θοῦρον] τὸ βίαιον τῆς ἕδρας ἡ διακοπὴ δηλοῖ· ἔστι γὰρ ἐνίδρυσεν. διό τινες οὐκ ἀνέστρεφον τὴν "ἐνί" τὸ δὲ "ἵδρυσε" συστέλλεται, ὡς τὸ "ἐπίαχον υἷες Ἀχαιῶν" (Il. 7. 403).

B= 143. δώματος ἐκτός] ὁρῶσα παροξυνόμενον Ἄρη, ἵνα μὴ ἐπ' αὐτοῦ πέμπουσα αὐτοὺς ἀναγκασθῇ εἰπεῖν, διὰ τί καλεῖ αὐτούς, καὶ πλέον ἐρεθίσῃ τὸν Ἄρη διαλογισαμένη πότερον κρύφα βούλεται αὐτοῖς διαλεχθῆναι ⟨ἢ⟩ ἐπὶ πάντων, τὸ ἀσφαλέστατον εἵλετο.

8. ἐνδείκνυται B ‖ 9. ἡ χείρ B : αἱ χεῖρες ut Eust. ‖ 10. καταλαμβάνειν B ‖ χειρὸς Eust. ‖ 13. supplevi ex B ‖ 24. παραμυθητικόν W, cf. l. 22 : παράλληλον ‖ 30. Ἄρην B, Ἄρεα ‖ 32. Ἄρεα ‖ διαλογισαμένη W, λογισαμένη B : δῆλον ἡγουμένη ‖ 33. supplevi ex B ‖ ἀσφαλέστερον αἱρεῖται B

Digitized by Google

144. * θεοῖσι μετάγγελος ἀθανάτοισι] "θεοῖσι μετά" ἐν θεοῖς· οὐκ ἀναστρέφεται δὲ διὰ τὴν συναλ⟨ο⟩ιφήν.

146. Ζεὺς σφῶ] τῆς σφῶϊ ἀποκοπῇ· καὶ ὀρθὴ μὲν "σφὼ δὲ μάλ' ἠθέλετον" (Il. 11. 782), ὥστε οὐ δεῖ ἐγκλίνειν. τινὲς δὲ ἐγκλίνουσιν, ἐπεὶ αἰτιατικὴν δηλοῖ, ἀπολελυμένως.

* ἐγκλιτέον τὴν "σφῷ·" δευτέρου γὰρ προσώπου, καὶ μετα- A= λαμβάνεται εἰς τὴν ὑμᾶς.

* ὅττι τάχιστα] ὡς τάχιστα.

147, 8. αὐτὰρ ἐπὴν ἔλθητε—ἔρδειν—] οἱ δύο ἀθετοῦνται· ἔστι γὰρ A–B– ἐμβρόντητον τὸ λέγειν 'ἄπιτε καὶ ὃ ἂν εἴπῃ τοῦτο ποιήσατε·' καὶ γὰρ εἰ μὴ ἐκέλευσεν, οὐκ ἤμελλον παρακούειν Διός. ἄλλως τε πῶς φησι πείθεσθαι Διὶ τοῖς καθ' Ἑλλήνων πεμφθησομένοις; ἢ τάχα μεμψίμοιροί εἰσιν οἱ λόγοι, ἀπέλθετε ποιήσοντες ἃ κελεύει Ζεύς· ἀφ' οὗ τὸ δυσάρεστον ἐμφαίνει, ὥς φαμεν 'ποίει ὃ θέλεις.' ὅτι δὲ μεμψίμοιροι οἱ λόγοι, σιωπᾷ τὴν αἰτίαν τῆς κλήσεως, καίτοι ἀλλαχοῦ παλλιλογεῖν εἰωθώς· φυσικὸν οὖν ἐστι μηδὲ μεμνῆσθαι τῶν λυπηρῶν ἐπὶ πλέον· διὸ συνέτεμε τὸν λόγον. οἱ δὲ 'κατεπτηχυῖα' φασὶ 'τὰς ἀπειλὰς εὐλαβεῖται,' μὴ καθ' ὀντι⟨ν⟩οῦν τρόπον ἐμποδισθείσης τῆς Ἥρας Ζεὺς πάλιν ἐπ' αὐτὴν ἀγάγῃ τὴν αἰτίαν.

150. *πετέσθην] ὑπερβολικῶς· ⟨ἢ⟩ ἀπὸ τῆς Ἴριδος, κατὰ συνεκδοχήν.

152. * ἀνὰ Γαργάρῳ ἄκρῳ] τινὲς ἐν τῷ ἄκρῳ τοῦ Γαργάρου· ἔστι δὲ καὶ πόλις, ἀφ' ἧς οἱ Γαργαρεῖς.

153. θυόεν νέφος] ἐπεὶ τοῦτο ἦν τὸ νέφος, περὶ οὗ φησι "τοῖόν τοι A–B– ἐγὼ νέφος" (Il. 14. 343). "θυόεν" δὲ εὐῶδες "⟨ὀδμὴ κέδρου τ' εὐκεάτοιο⟩ θύου τ' ἀνὰ νῆσον ὀδώδει" (Od. 5. 60). §. φασὶ δὲ οἱ φυσικοὶ τὰ η' σταδίοις ὑπερέχοντα τῆς γῆς ὕψη οὐ νεφελίζεσθαι· ἔστιν οὖν αἰθέριον νέφος τὸ περικείμενον Διί.

154. * τὼ δὲ πάροιθ' ἐλθόντε] τὸ ἑξῆς, τὼ δ' ἐλθόντε.

155. οὐδέ σφωιν] ἐγκλιτικῶς· ἔστι γάρ, 'οὐδὲ ἐχολώθη αὐτοῖς A+B= ἰδὼν αὐτούς.' §. ἀόργητος δὲ ἔμεινε διὰ τὴν ταχεῖαν αὐτῶν παρουσίαν. B=

157. Ἶριν δὲ προτέρην] πρεπόντως πάνυ, ἵνα ἀποστήσας τὸν B– Ποσειδῶνα τῆς μάχης τότε παρορμήσῃ τὸν Ἕκτορα διὰ τοῦ Ἀπόλλωνος. ἐὰν δὲ ἐναλλάξῃς τὴν τάξιν, οὐχ ἁρμόζον φανεῖται.

1. μετάγγελος ἀθανάτοισι θεοῖσι textus ‖ 3. τῇ ‖ ἀποκοπή coni. W ‖ 5. αἰτιατικὴν W : αἰτιατικὴ ἡ ‖ ἀπολελυμένως scripsi, cf. Apollon. Synt. p. 97, 14 et infra p. 115, 29 : -ην ‖ 10. ἄπιτε B : ἔπειτα ‖ 11. ἤμελλον B ‖ 16. φ. γάρ ἐ. B ‖ 20. suppl. W ‖ post συνεκδοχήν add. sec. οὐ γὰρ ὁ Ἀπόλλων πτερωτός ‖ 26. τῆς γῆς ὕψη οὐ ν. Eust. : τὴν γῆν ὑφ' ἡμῖν ν.



Digitized by Google

B– 159. πάντα τάδ' ἀγγεῖλαι] πάντα τὰ μέλλοντα λεχθῆναι· οὐ μεταπέμπεται δὲ αὐτόν, ἵνα μὴ τραχυνθῇ, ὃς μηδὲ ἐπεστράφη τῶν
B= ἀπειλῶν τῶν ἐν τῇ Θ (405–427). §. τὸ δὲ "ἀγγεῖλαι" ἀντὶ τοῦ ἄγγειλον. τοῦτο δὲ προσέθηκεν, ἐπεὶ πρὸς ἴσον ἡ ἀποστολή. καλῶς δὲ καίτοι πάντων δεσπόζων λόγοις ἡμέροις χρῆται διδάσκων πρᾳότητα.

* εἶναι] ἀντὶ τοῦ ἔσο.

B– 161. εἰς ἅλα δῖαν] "δῖαν" τὴν μεγάλην· οἱ δὲ ὑγρὰν παρὰ τὸ διαίνειν, οἱ δὲ φοβερὰν παρὰ τὸ δέος, ὡς "δῖα Χάρυβδις" (Od. 12. 104).

162. εἰ δέ μοι οὐκ ἐπέεσσ' ⟨ἐπιπείσεται⟩] Ἀμμώνιος "εἰ δέ
B= μου." §. εἰκότως δὲ σκληρότερον ἐπανατείνεται τῶν πρώην ἀπειλῶν
B= οὐ φροντίσαντι. §. τὸ δὲ "ἀλογήσει" οἱ μὲν 'λόγον μου οὐ ποιήσεται,' οἱ δὲ 'ἀλογιστήσει καὶ μωρανεῖ.'

164. ἐπιόντα ταλάσσῃ] τινὲς "ἐπιόντα θελήσῃ" ἀντὶ τοῦ δυνηθῇ· "οὐδ' ἔθελε προρέειν" (Il. 21. 366) ἀντὶ τοῦ οὐκ ἠδύνατο.

A+ 165. * ἐπεὶ ἕο] "ἐπεί εὖ" ὁμοίως τῷ "καί εὖ κράτος ἐστὶ μέγιστον" (Il. 24. 293).

B= βίῃ πολὺ φέρτερος—καὶ γενεῇ πρότερος] τὸ μὲν δέος, τὸ δὲ αἰδῶ ποιεῖ. ἀρχικὸν δὲ τὸ ἀπὸ τοῦ δεινοτέρου ἄρξασθαι.

A+ 166. καὶ γενεῇ πρότερος] τινὲς ἀστερίσκους αὐτοῖς παρατιθεῖσιν ὡς μεταχθεῖσιν ἀπὸ τῶν Ἴριδος λόγων (182, 3). ἢ εἴωθεν ὁ Ζεὺς μετὰ τῶν ἀνατάσεων καὶ σύγγνωμόν τι ἐπάγειν· "⟨Ἥρῃ⟩ δ' οὔτι τόσον νεμεσίζομαι" (Il. 8. 407, 421)· πῶς γὰρ ἡ Ἶρις ἄν ποτ' ἔμφρων οὖσα πρὸς τηλικοῦτον ἐθρασύνετο θεὸν λέγειν ἀφ' ἑαυτῆς "σὸν δ' οὐκ ὄθεται φίλον ἦτορ" (182);

B= * οὐκ ὄθεται ⟨—ἶσόν οἱ φάσθαι⟩] οὐκ ἐπιστρέφεται τοῦ μὴ ἰσηγορεῖν, ἀλλ' ἰσηγορεῖ δηλονότι.

B= 167. * στυγέουσι] καταπλήσσονται· "κατὰ δ' ἔστυγον αὐτήν" (Od. 10. 113).

A– 169. * κατ' Ἰδαίων] Ζηνόδοτος γράφει "ἐξ Ἰδαίων." ἁρμόζει δὲ μᾶλλον τὸ "κατ' Ἰδαίων·" κατάβασιν γὰρ δηλοῖ, ὡς "οἵη τ' Ἄρτεμις εἶσι κατ' οὔρεος" (Od. 6. 102).

5. καίτοι B: καὶ τὸ || πρὸς βίαν post ἡμ. omisi ut B || 6. πραότητα B: πραΰτητα || 11. σκληροτέρως B || 13. οἱ δὲ ἄλογος γένηται κ. B || 16. ἐπεὶ εὖ || καὶ εὖ || 20. παρατιθεῖσιν, cf. A: περιτιθεῖσιν || 22. δ' οὔτι scripsi: δι' οὗ οὐ || 23. ἄν ποτ' W: καίτοι || 27. ἰσηγορεῖν ἀλλὰ δ. ἰσηγορεῖ B, ἰσογορεῖν ἀλλ' ἰσηγορεῖν δ.

Digitized by Google

170. * ὡς δ' ὅταν ἐκ νεφέων πτῆται νιφὰς ἠὲ χάλαζα] ταχέως B= φέρηται· τούτοις δὲ εἴκασται ἃ καὶ σημαίνει ἡ Ἶρις.

νιφὰς μὲν ἡ χιών, χάλαζα δὲ πεπηγὸς ὕδωρ μετὰ βροχῆς· B– θέλει δὲ σημᾶναι τὴν ὀρθρινὴν αὐτῆς πορείαν· τὴν δὲ Ἥραν ὡς βασιλίδα νοὶ εἴκασεν (80). §. τὸ δὲ "ῥιπῆς" (171) ῥίψεως· ῥίψει γὰρ B= παραπλήσιόν τι πάσχουσιν οἱ ἄνεμοι.

171. * ⟨χάλαζα⟩ ψυχρὴ ὑπαὶ ῥιπῆς αἰθρηγενέος βορέαο] φύσει B= ψυχρά. §. "πτῆται" (170) δὲ ὑπὸ βορέου.

αἰθρηγενέος ⟨βορέαο⟩] πῶς ⟨ὁ⟩ ἀεὶ νίφων αἰθρηγενής; ἤτοι οὖν B– παρέλκει τὸ ἐπίθετον, ὡς τὸ "πῆ ἔβη Ἀνδρομάχη λευκώλενος" (Il. 6. 377), ἢ ἀπὸ τοῦ πλεονάζοντος—διασκίδνησι γὰρ τὰ νέφη, "σκιόεντα πνοιῇσιν λιγυρῇσι διασκιδνᾶσιν" (Il. 5. 525)—οἱ δέ, ὅτι τὸ ψῦχος παρ' αὐτῷ αἶθρος ὀνομάζεται· "αἴθρῳ καὶ καμάτῳ δεδμημένον" (Od. 14. 318)· τάχος δὲ δίδωσι τῇ χιόνι ὁ ἄνεμος· βορρᾶ δὲ πνέοντος νιφετὸς ἐπιγίνεται. καὶ ἀλλαχοῦ "νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ Βορέαο πεσόντος" (ib. 475).

174. γαιήοχε κυανοχαῖτα] ἐδόξασεν αὐτὸν τοῖς δύο ἐπιθέτοις· B– καὶ οὐκ ἐντολήν, ἀλλ' ἀγγελίην αὐτῷ φέρει παρὰ Διός, οἷον 'οὐχ ἑκοῦσα ἥκω,' ὡς καὶ Ἑρμῆς "Ζεύς με γὰρ ἠνώγει δεῦρ' ἐλθέμεν" (Od. 5. 99) καὶ "τὸ⟨ν⟩ νῦν σ' ἠνώγει⟨ν⟩ ἀποπεμπέμεν" (ib. 112).

179. κἀκεῖνος ⟨—πολεμίξων⟩] "κἀκεῖνος" ἐκ πλήρους ⟨Ἀρί- A– σταρχος⟩, ὃ καὶ Ζηνόδοτος γράφει· "πτολεμίξων" δὲ διὰ τοῦ ξ, Ἀρίσταρχος δὲ διὰ τοῦ ζ. §. θέλει δὲ εἰπεῖν, ὡς, εἰ μὴ σὺ ἄπει, ἐκεῖνος ἐλεύσεται πολεμήσων. λείπει δὲ τὸ 'σύ.' §. ὁ δὲ "καί" πρόσκειται, ἵνα δείξῃ ὡς οὐκ ἄρξει Ζεὺς τῆς μάχης, ἀλλ' ἀμυνο⟨ύ⟩- B= μενος παρέσται. §. τὸ δὲ "ἠπείλει" ἀντὶ τοῦ ἔλεγεν. B=

180. * ὑπεξαλέασθαι] φυλάξασθαι· παρέλκουσι δὲ αἱ προθέσεις. B=

181. * σέο] ἀπολύτως.

182. * γενεῇ] τῷ χρόνῳ τῆς ἡλικίας.

σὸν δ' οὐκ ὄθεται φίλον ἦτορ] τὸ δὲ σὸν ἦτορ ἐπιβάλλεται αὐτῷ ἰσηγορεῖν καὶ οὐκ ἐπιστρέφεται.

185. ὑπέροπλον ἔειπεν] ὑπὲρ ἑαυτόν· οἷον μείζω λόγον εἶπεν, ὑπὲρ τὴν B– δύναμιν αὐτοῦ. §. ἡ μεταφορὰ ἀπὸ τῶν μὴ ἀναλογούντων ὅπλων. B=

1. schol. post l. 16 scriptum ‖ 4. ὀρθρινὴν W: ὀρθρίαν B, ὀρθὴν ‖ 12. διασκίδνησιν B: διασκιδνᾶσι ‖ 14. δεδμημένος ‖ δὲ B: τε ‖ 21, 22. supplevi ex A ‖ 23. ζ A: σ ‖ 25. suppl. W ‖ 33. δύναμιν scripsi: ἰσχὺν B, διάνοιαν



Digitized by Google

186. ὁμότιμον] ὃ μὲν τὸ τῆς ἡλικίας, ὃ δὲ τὸ τῆς φύσεως προβάλλεται, ὅτι ἀδελφός.

A– 187. ⟨τρεῖς γάρ τ'⟩ ἐκ Κρόνου] οὕτως ⟨'Αρίσταρχος⟩ διὰ τῶν β̄ κκ· καὶ πολλοὶ τῶν ἀπὸ τῆς σχολῆς· εἰ δὲ εἴη "τε Κρόνου," λείπει ἡ ἔξ πρόθεσις, ὡς ἐν τῷ "αἱ δὲ βόες χρυσοῖο τετεύχατο" (Il. 18. 574).

A= οὓς τέκετο 'Ρέα] οἱ μὲν ἐκτείνουσι τὸ ᾱ—ἐπὶ δὲ τοῦ ἐπιρ⟨ρ⟩ήματος συστέλλουσιν—οἳ δέ φασι δεῖν συστέλλειν, ἵνα δάκτυλος γίνηται, ὡς τὸ "καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα" (Il. 3. 237), "ἀνδρόμεα κρέα" (Od. 9. 347), "ἕ⟨σ⟩σατο τεύχεα" (Il. 7. 207).

188. * ἐνέροισιν] τοῖς ἐν τῇ γῇ, ὅθεν καὶ "ἔραζε" καὶ "ἐριπών" καὶ "ἠρίον" (Il. 23. 126).

A~B+ 189. τριχθὰ δὲ πάντα δέδασται] δοκεῖ ἐναντιοῦσθαι πρὸς τὸ "πάντα" τὸ "γαῖα δ' ἔτι ξυνὴ πάντων" (193)· οὐ γὰρ ἔτι πάντα δέδασται. λύοιτο δ' ἂν τῇ λέξει· τὸ γὰρ "πάντα" ἢ παρέλκει, ὡς ἐπὶ τοῦ "δέκα πάντα τάλαντα" (Il. 24. 232)—ἐὰν δὲ λάβωμεν αὐτὸ περισσόν, τί λοιπὸν δέδασται;—ἢ ἀντὶ τοῦ πλεῖστα· συνεχῶς γὰρ τὸ "πάντα" ἐπὶ τοῦ πλεονάζοντος τίθεται. §. τινὲς "πάντ' ἃ δέδασται," εἴασε δὲ τὸ τ̄, ὡς ἐν τῷ "ἐπίστιόν ἐστιν ἑκάστῳ" (Od. 6. 265).

* τιμῆς] βασιλικῆς δηλονότι, ὡς "τιμῆς τῆς Πριάμου" (Il. 20. 181).

B= 190. ἤτοι ἐγών] οὐ πάντως πρῶτος, ἐπεὶ προτέτακται. διδάσκει δὲ κλήρῳ ποιεῖσθαι τὰς διανομὰς καὶ μὴ φθονεῖν τοῖς περὶ κλῆρον εὐτυχήσασιν. ὁ δὲ κλῆρος τὸ εὐνοϊκὸν δείκνυσι τοῦ Διός. οὐ γὰρ ἀθετεῖ τοὺς ἀδελφούς, καὶ ταῦτα δυνάμενος αὐτῇ ⟨τε τῇ⟩ γῇ καὶ θαλάσσῃ πάντας ἀνέλκειν.

B– πολιὴν ἅλα] ὅτι τὴν κεφαλὴν ἔχει ἀφρίζουσαν. οὕτω δὲ καὶ τὸ ἔαρ (Hes. Opp. 477. 492) διὰ τὴν τοῦ σίτου ξηρασίαν. οἱ δὲ "πολλήν·" πλείων γὰρ τῆς γῆς. καὶ ἡ πολιὰ δὲ σημεῖον χρόνου πολλοῦ ἐστιν.

B= 191. * "ζόφον" τὰ ἀφώτιστα τῆς γῆς μέρη καὶ τὸν περὶ γῆν ὑγρὸν ἀέρα.

B= 192. Ζεὺς δ' ἔλαχ' οὐρανόν] πάντα τὸν ὑπὲρ γῆς ἀέρα τῷ Διί φησι δοθῆναι, διὰ μὲν τῶν νεφελῶν τὸν φωτιζόμενον ἀέρα, ὅπερ

3. ⟨'Αρίσταρχος⟩ supplevi ex A ‖ 8. γένηται A ‖ 9. εἴσατο A, ἔσατο ‖ 13. δ' ἔτι B: δέ τοι ‖ γὰρ ἔτι B: γὰρ ἐπεὶ ‖ 17. πάντα δ.: corr. W ‖ 22. κληροποιεῖσθαι B ‖ 24. supplevi ex B ‖ 26. ἀφρίζουσαν B: ἀφρίζουσα pr., ἀφριρίζουσα sec. ‖ τὸ ἔαρ W: τὸ θέρος ut B ‖ 27. τὴν ante πολλὴν omisi ‖ 31. ἔλαχεν

ἐστὶν ἀπὸ γῆς ἕως νεφελῶν, διὰ δὲ τοῦ αἰθέρος τὸν ὑπὲρ τὰ νέφη τόπον, ὃν καὶ οὐρανὸν ὀνομάζει· ἔστι δὲ οὗτος ἄχρι τῆς ζώνης τῆς σελήνης καὶ τῶν πλανητῶν· ἀμέλει καὶ πύλας οὐρανοῦ τὰ νέφη ὀνομάζει, "ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος" (Π. 8. 395). πιθανῶς δὲ εἶπε κοινὴν ἁπάντων εἶναι τὴν γῆν. αἱ γὰρ ἄνωθεν ⟨ἀπὸ⟩ τοῦ Διὸς βολαὶ ἐπὶ ταὐτὸν φέρονται ὑετοῦ καὶ χιόνος καὶ χαλάζης καὶ κεραυνῶν, ἥ τε τοῦ Ἅιδου μοῖρα ὑπὸ γῆν ἐστι, καὶ τὸ περιέχον τὸ ὕδωρ οὐδὲν ἄλλ' ἐστὶν ἢ γῆ. §. Ζεὺς οἱ μὲν αἰθήρ, οἱ δὲ ὁ διοικῶν τὰ πάντα λόγος, AB— οἱ δὲ τὸ ἡγεμονικὸν τοῦ κόσμου· εἴρηται δὲ παρὰ τὸ ζῶ· τοῦ γὰρ ζῆν αἴτιος· Ποσειδῶν δὲ τὸ συνέχον τὴν θάλασσαν αἴτιον καὶ ἡ αὐτῆς θεία δύναμις, ἐπ⟨ε⟩ὶ πόσεως αἴτιος· διηθουμένης γὰρ θαλάσσης ἐκρέουσι ποταμοὶ καὶ ὑετοὶ ἄναμμα ἀπὸ θαλάσσης ἔχουσιν· καὶ Ἀττικοὶ τὸν περὶ χειμερίους τροπὰς μῆνα Ποσιδεῶνα καλοῦσιν· Ἀνακρέων "μεὶς μὲν δὴ Ποσιδηιὼν ἕστηκεν, νεφέλαι δ' ὕδωρ— βαρὺ δ' ἄγριοι χειμῶνες κατάγουσιν" (fr. 6 B.)· ὁ δὲ Ἀιδωνεὺς παρὰ τὸ ἄω τὸ πνέω—οὐ γὰρ μόνον τὰς ψυχὰς συνέχει, αἵ εἰσι πνεῦμα, καὶ τοῖς καρποῖς δὲ αἴτιος ἀναπνοῆς καὶ αὐξήσεως, ἀφ' ὧν ἡμεῖς πνέομεν· διὸ καὶ Ζεὺς ⟨λέγεται⟩ καταχθόνιος, ὅτι ζῆν ποιεῖ, καὶ ⟨Πλούτων, ὅτι⟩ πλουτεῖν—οἱ δέ, παρὰ τὸ μὴ ὁρᾶσθαι ἢ ἀφανεῖς ἡμᾶς ποιεῖν.

193. ⟨γαῖα δ' ἔτι⟩ ξυνὴ πάντων] οἱ μὲν τῶν Κρονιδῶν, οἱ δὲ ὅλων τῶν θεῶν, ἵνα πάντας τιμῶμεν ὡς ἐφορῶντας τὰ ἀνθρώπεια, οἱ δὲ τὰ δ' στοιχεῖά φασιν αὐτὸν λέγειν, Δία ⟨αἰθέρα⟩, Ποσειδῶνα ὕδωρ, Ἅιδη ἀέρα· εἶτα γῆ καὶ κατ' ἐξοχὴν ἐν αὐτῇ ὁ Ὄλυμπος. §. ὅτι συναφὴς τῆς γῆς ὁ Ὄλυμπος ὡς ὄρος· τὸ δὲ ὅμοιον πεποίηκε καὶ ἐν Ὀδυσσείᾳ (9. 21) "ναιετάω δ' Ἰθάκην εὐδείελον, ἐν δ' ὄρος AB+ αὐτῇ Νήριτον" κεχώρικε γὰρ τὸ ὄρος τῆς Ἰθάκης.

194. βέομαι] ἐπιστρέφομαι, παρὰ τὴν βίαν. τινὲς δέ, οὐκ B+ ἀποσοβη⟨θή⟩σομαι τῆς βοηθείας διὰ τὸν Δία, ὡς τὸ "ὄφρ' ἂν ἐγὼ β⟨ε⟩ίω" (Π. 6. 113). φησὶν οὖν, ὅτι τοῦ κοινοῦ πάντως ἀπελαύνομαι χωρίου.

5. ἀπὸ Διὸς B ‖ 6. ἀφίενται B ‖ 6, 7. ἥ—ἐστί B: τότε τὴν τοῦ Διὸς μοῖραν τὴν γῆν εἶναι ‖ 10. Ποσειδῶν Eust.: Ποσειδῶνα ‖ 10, 11. τὸ σ. αἴτ. τὴν θ. ἐπεὶ πόσεως αἴτιος Eust. ‖ 11. αὐτῆς B: αὐτὴ ‖ supplevi ex B ‖ 12. ἄναμμα Eust.: νάματα ‖ 13. Ποσειδεῶνα B Eust., Ποσειδῶνα ‖ 14. Ποσειδηιών ut Eust. ‖ νεφέλαι Eust.: νεφέλας coni. Bergk, νεφέλη ‖ ὕδατι Eust. ‖ 15. βαρύνονται Eust., βαρύνει Δία τ' coni. Bergk ‖ ἄγριοι δὲ Eust. ‖ παταγοῦσι Eust., παταγεῦσι coni. W ‖ 18. καὶ ὁ Ζ. ‖ supplevi ex Eust. ‖ 18, 19. supplevi ex B ‖ 19. πλουτεῖν B: πλοῦτ pr. (h. e. et Πλούτων et πλοῦτον) ‖ 21. ὅλως coni. W ‖ τιμῶμεν W: τιμῷεν ‖ 23. ἀήρ ‖ 24. ὡς ἂν δ. A ‖ 28. supplevi ex B

A+B− 196. χερσὶ δὲ μήτι με πάγχυ κακὸν ⟨ὡς δειδισσέσθω⟩] τινὲς ‘ὡς κακὸν ταῖς χερσίν,’ οἱ δὲ ‘μὴ δειδισσέσθω με χερσὶν ὑπερέχων.’ καταλιμπάνει δὲ νοεῖν, ὅτι Ζεὺς ἰσοπάλῳ ἀπειλεῖ.

B= 197. * θυγατέρεσσιν] τὰς θηλείας προέταξε πρὸς καταβιβασμόν.
* υἱάσι] πλεονασμὸν ἔχει τοῦ ᾱ, διὰ τὴν ῡι· τινὲς δὲ “υἱέσι,” ὅπερ ἐστὶν Ἀττικὸν ἁμάρτημα.

B+ 198. * ἐκπάγλοις] ὑπερηφάνοις.

B− * ἐνισσέμεν] ἐπιπλήσσειν, παρὰ τὴν ἐνιπήν.

B− 199. * ὀτρύνοντος] κελεύοντος ἢ ἐπιτάσσοντος· οἱ δὲ ‘καὶ μὴ ὑβρίζοντος, ἀλλὰ μόνον λέγοντος.’

B= 201. οὕτω γὰρ δή ⟨τοι⟩ γαιήοχε] ἐπειδὴ ἐπὶ τὸ τραχύτερον προῆκται τὰ τῆς ἀποκρίσεως, ἐξεῦρεν ὅμοιον ἦθος διαφυλάξαι τῶν ὀργιζομένων, καταπαῦσαι δὲ τὴν ἀψιμαχίαν διὰ τῆς Ἴριδος. ἔχει δέ τι ἦθος ὁ λόγος. οὐ γὰρ ἀποτρέπουσα αὐτὸν συμβουλεύει, ὅτι οὐ χρὴ τόδε πράττειν, ἀλλ’ ἠθικῶς πυνθάνεται, εἰ βούλεται ἀπηνῆ λόγον καὶ κρατερὸν ἀπαγγεῖλαι αὐτὴν τῷ Διί. καὶ ἑξῆς πάλιν τὸ ὅμοιον σχῆμα τοῦ λόγου. οὐ γὰρ λέγει ‘μετάστρεψον,’ ἀλλ’ “ἤ τι μεταστρέψεις” πάλιν πυνθανομένη. χρηστὸν δὲ πρὸς μίμησιν ἦθος ἀγγέλου παρέλαβεν.

B= 203. στρεπταὶ ⟨μέν τε φρένες ἐσθλῶν⟩] πρὸς τὰ ἐσθλά, φαύλων δὲ πρὸς τὰ φαῦλα. ἐν βραχεῖ δὲ τὸ Ἡσιόδου (Opp. 295) περιείληφεν “ἐσθλὸς δ’ αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται.”

B= 204. οἶσθ’, ὡς πρεσβυτέροισιν] τοῦτο δυνατόν ἐστι καὶ ἐν ἐρωτήσει
B= καὶ ἐν ἀποφάσει προάγειν. §. “ἕπονται” δὲ ἀντὶ τοῦ ἀκολουθοῦσι καὶ συμμαχοῦσιν. πιθανῶς δὲ πρὸς τὸν λέγοντα “μή τι με πάγχυ κακὸν ὣς δειδισσέσθω” (196) οὐκέτι φησίν, ὅτι ἰσχυρότερός σου ἐστίν, ἀλλὰ πρεσβύτερος· τὸ γὰρ τοῦ γήρως πλεονέκτημα ⟨ἀν⟩επίφθονον, “⟨οἶσθ’⟩, ὡς πρεσβυτέροισιν Ἐρινύες ⟨αἰὲν ἕπονται⟩.” §. “τοῦτο
B= ἔπος” (206) ἢ τὸ “στρεπταὶ μέν τε φρένες ἐσθλῶν” (203) ἢ τὸ “ὡς πρεσβυτέροισιν Ἐρινύες” (204) ἢ—ὃ καὶ ἄμεινον—πάντα τὸν λόγον τῆς Ἴριδος. §. Ζηνόδοτος ἐσημειώσατο.

B= 207. ἐσθλὸν καὶ τὸ τέτυκται] καὶ Εὐριπίδης “ἐν ἀγγέλῳ γὰρ

2. ὑπερέχων scripsi cf. A B[a] D : ἢ πάγχυ ‖ 3. δειδισσέσθω ante κ. omisi ‖ 4. προσέταξε B ‖ 5. τὴν υἱί Bekker ‖ 13. δέ τι B : γάρ τι ‖ 14. οὐδὲ γ. B ‖ οὐ post ὅτι om. B ‖ 17. ἢ B: εἰ ‖ 21. τὸ B: τὴν ‖ 22. πείθεται B, πείθηται ‖ 27. supplevi ex B ‖ 28. τὸ post τοῦτο omisi ‖ 31. ἠθέτησε, scil. v. 206, desiderat pro ἐσ. Ludwich ‖ 32. Εὐριπίδης etiam B Eust. : debebat Αἰσχύλος (Cho. 773)

Digitized by Google

κρυπτὸς ὀρθοῦται λόγος." "ἄγγελον ἐσθλὸν ἔφα τιμὰν μεγίσταν πράγματι ⟨παντὶ⟩ φέρειν" Πίνδαρος (Pyth. 4. 278).

209. ὁμῇ πεπρωμένον ⟨αἴσῃ⟩] καταχρηστικῶς ἐπὶ θεῶν ἡ πεπρω-
μένη. ἀπὸ πρώτης γενέσεως μέχρι τέλους ἐνεχόμενον. §. τὸ δὲ "ὁ⟨π⟩- B+
πόταν" ⟨ἀντὶ τοῦ ἡνίκα⟩. §. "χολωτοῖσιν" ἀντὶ τοῦ πικροῖς, παρὰ B=
τὴν χολήν, ἢ εἰς χόλον ἐρεθίζουσιν. §. περισπαστέον δὲ τὸ "ὁμῇ." A+

* ὁμῇ πεπρωμένον αἴσῃ] ὁμοίᾳ μοίρᾳ μεμερισμένον. B=

211. * μέν κε] διὰ τοῦ γ̄ "μέν γε." A+

* νεμεσσηθείς] μεμψάμενος αὐτῷ καὶ καταγνούς, ἢ μεμπτὸν B=
ἡγησάμενος τὸ ἀντειπεῖν αὐτῷ.

212. ⟨ὑποείξω.⟩ ἄλλο δέ τοι ἐρέω] εὐσχήμονα τὴν ἀπαλλαγὴν B=
ὁρίζεται ἐπανατείνων τὴν ὀργὴν εἰς ὕστερον, ὡς καὶ Ἀχιλλεὺς "τῶν
δ' ἄλλων ἅ μοι ἐστί" (Il. 1. 300). §. ἀθετοῦνται δὲ οἱ ἕξ (212– A+B=
217)· πρὸς τί γὰρ ἡ ἀπειλή; ἀλλά φαμεν, ὡς εὐπρεπῶς ἐκστῆναι
θέλει. εἰ δὲ ἤκουσεν ὡς ἁλώσεται Ἴλιος, πῶς νῦν ἀπιστεῖ; ἀλλὰ καὶ
Ἀγαμέμνων "ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται" (Il. 4. 169),
καίτοι εἰδὼς παρὰ Κάλχαντος. ἄλλως τε δεῖ ἀντεπαχθῆναι τῷ
"ἀλλ' ἤτοι—μέν κε" (211).

214. * Ἥρης Ἑρμείω τε καὶ Ἡφαίστοιο] τινὲς "Ἥρης A=
Ἡφαίστου τε καὶ Ἑρμείαο."

215. * πεφιδήσεται] ἀπὸ τοῦ ⟨φείδω⟩ φιδῶ, ⟨ὡς⟩ ἀπὸ τοῦ πείθω AB=
πιθῶ, τεύχω τυχῶ· "τύχησε γὰρ ἐρχομένη νηῦς" (Od. 19. 291).

217. * χόλος] ἔχθρα.

219. ὣς εἰπὼν λίπε λαὸν—δῦνε δὲ πόντον] ἡνίκα μὲν σύμμαχον B=
αὐτὸν ἦγε τοῖς Ἀχαιοῖς, ἐκαλλιγράφει τὴν πορείαν αὐτοῦ· νῦν δὲ
συνέτεμεν, ἐπεὶ μετὰ λύπης γίνεται.

πόθεσαν δ' ἥρωες] ἐπὶ θάτερα γέγονεν αὐτοῖς ⟨ἡ⟩ μεταβολή. B–
ταχέως δὲ ἔφρασεν, ὅσον ἦν ὄφελος ἐκ τοῦ Ποσειδῶνος. §. "ἥρωες" δὲ
πάντες οἱ ἐπὶ τὸ Ἴλιον στρατευσάμενοι· πολλαὶ δὲ αἰτίαι τῆς ἥττης
Ἑλλήνων, Ποσειδῶνος ὑποχώρησις καὶ Ἀπόλλωνος κάθοδος καὶ τῆς
αἰγίδος ἐπεισόδιον.

221. ἔρχεο—μεθ' Ἕκτορα] ἀντὶ τοῦ πρός ἢ ἐπί. §. πρεπόντως δέ, B=
ὅτε τὸν Ποσειδῶνα μετέστησεν, ἐξέπεμψε τὸν Ἀπόλλω· οὐ γὰρ B=

1. ἔφη Eust., ὃ φᾶ coni. Bergk ‖ μεγίσταν B: μεγίστην Eust., μέγιστα ‖ 2. πράγματι B Eust.: πράγματα ‖ supplevi ex B Eust. ‖ 4. ante ἀπὸ W del. ἢ ‖ 5. suppl. W ex B ‖ 17. δὲ ante δεῖ omisi ut B ‖ τῷ B: τὸ ‖ 21. supplevi ex AB ‖ 27. supplevi ex B ‖ 32. ἔρχετο ‖ 33. Ἀπόλλωνα τότε ἔπεμψεν B

Digitized by Google

ὤφειλεν αὐτὸν τῷ πρεσβυτέρῳ ἀντιτάττειν, ἀξιώσας ὑπ' ἐκείνου τιμηθῆναι διὰ τὸ πρεσβύτερον.

B= 225. οἵ περ ἐνέρτεροι] "νέρτεροι" πρὸς σύγκρισιν τῶν ἐν τῇ ἔρᾳ διαγόντων μετὰ Ἀιδωνέως· ἄναξ γοῦν ἐνέρων Ἀιδωνεύς. ἔστιν οὖν ἐνερώτερος ⟨ἐ⟩νέρτερος κατὰ συγκοπήν, ⟨καὶ ἀποβολῇ νέρτερος⟩.

A+ * οἵ περ ἐνέρτεροι] Ζηνόδοτος γράφει "οἵ περ ἐνέρτατοι."

* ἀμφίς] ἀντὶ τοῦ περί.

B= 226. ἦ μὲν ἐμοὶ πολὺ κέρδιον] "ἐμοί" μὲν διὰ τὸ μὴ τιμωρήσασθαι ἀδελφόν, αὐτῷ δὲ διὰ τὸ μὴ βληθῆναι· τὸ γὰρ "ἀνιδρωτί" (228) ἐπὶ Ποσειδῶνος κεῖται.

A+ ἠδέ οἱ αὐτῷ] καθόλου ὀρθοτονητέον τὴν "οἷ," ὅτε προηγεῖται τῷ αὐτὸς κατὰ δοτικήν, σεσημειωμένου ὧδε τοῦ "⟨ἀλλὰ⟩ οἷ ⟨αὐτῷ⟩ Ζεὺς ὀλέσειε βίην" (Od. 4. 667).

229. λάβ' αἰγίδα] δύο φησὶν ὁ Σιδώνιος εἶναι τὰς αἰγίδας, τὴν μὲν Διός, τὴν δὲ Ἀθηνᾶς αὐτὸ μόνον σκέπην. ἐφ' ἧς φησι "τὴν οὐδὲ Διὸς δάμνησι κεραυνός" (Il. 21. 401)· καὶ γάρ φησιν ἐν τῇ B (447) "αἰγίδ' ἔχουσ' ἐρίτιμον," οὐδενὸς κατεπείγοντος ἔχειν τὸ Διὸς ὅπλον. ἐν ταὐτῷ δὲ εὑρίσκονται οἱ δύο ἔχοντες αἰγίδα. φησὶ ⟨γὰρ⟩ "καὶ τότ' ἄρα Κρονίδης ἕλετ' αἰγίδα" (Il. 17. 593), καὶ μετ' ὀλίγον "ἀμφὶ δ' Ἀθήνη ὤμοις ἰφθίμοις βάλ⟨εν⟩ αἰγίδα" (Il. 18. 203)· ἄτοπον δὲ ἔγχος μὲν αὐτὴν ἔχειν καὶ περικεφαλαίαν, ὅπλον δὲ μή. καὶ Ἄρης, ὅτε Διὶ ἐμέμφετο (Od. 5. 879), εἶπεν ἄν, ὡς 'καὶ τοῖς σοῖς ὅπλοις ὁπλίζεις αὐτὴν καθ' ἡμῶν.'

B= 230. τῇ μάλ' ἐπισσείων φοβέειν] "μάλα" φοβεῖν, ἢ "μάλα" ἐπι-
B= σείων. §. Ἄρη δὲ οὐ πέμπει ὡς νεότρωτον, ἢ δι' Ἀσκάλαφον, ὅπως μὴ μεταβληθῇ εἰς τοὺς Ἕλληνας.

A+ 231–5. * οἱ ε' ἀθετοῦνται ὑπὸ Ἀριστοφάνους ὡς ἀχρεῖοι. §. ἤ, ἵνα μὴ παντελῆ ποιήσηται ἀπώλειαν τῶν Ἀχαιῶν, προσδιωρίσατο.

B= 234. φράσομαι] οὐκ εἶπε βοηθήσω τοῖς Ἀχαιοῖς, ἀλλὰ "φράσομαι," ἵνα μὴ δύσθυμον ἐργάσηται τὸν Ἀπόλλωνα. "ἔργον" δὲ τὴν ἔξοδόν φησιν, "ἔπος" τὸ "ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπῃ νόος ἐστὶν ἑκάστου" (Il. 20. 25). §. "πόνοιο" δὲ τῆς ἀλγηδόνος· "ἀτὰρ οὔ

3. τῇ ἱερᾷ || 5. supplevi ex B || 6. νέρτατοι A || 12. τοῦ ὧδε || 15. αὐτὸ W: αὐτῷ || φησὶν ἦν: corr. Bekker || 16. φησὶν scripsi: σφίσι || 18, 19. φησὶ καὶ τοῦτο ἄρα Κρ. ἐλέγετ': corr. W || 22. Δία || 26. μετατραπῇ B || 27. schol. supra v. 232 scriptum, cf. A || 32. ἑκάστῳ B || ἀλγ. ἑτέρου

Digitized by Google

τιν' ἔχει πόνον" (Od. 13. 423) καὶ "δυσπονέος καμάτοιο" (Od. 5. 493).

237. ἴρηκι ἐοικώς] δυοῖν θεοῖν κάθοδον ἐκφράζων ἐπὶ μὲν τῆς Ἴριδος B= παρέλαβε καταφορὰν χαλάζης ἢ χιόνος (170), τούτοις εἰκάσας ἃ καὶ σημαίνει ἡ Ἶρις, τὸν δὲ ἱέρακα ἐπὶ τοῦ Ἀπόλλωνος· ἱερὸς γὰρ Ἀπόλλωνος ὁ ἱέραξ. §. καὶ τὸ "φασσοφόνῳ" (238) δὲ οἰκείως, ἐπεὶ B= καὶ ὁ θεὸς κάτεισιν ἐπὶ φόνῳ τῶν Ἀχαιῶν. §. δέκα δέ φασιν ἱεράκων γένη, ⟨ὧν⟩ ἓν τὸ φασσοφόνων· φάσσα δὲ ὅμοιον τρυγόνος, ὡς Ἀριστοτέλης φησίν (H. A. 9, 7 p. 613ª).

238. ὅς τ' ὤκιστος] ἐπὶ δὲ ἀετοῦ "ὅς θ' ἅμα κάρτιστός τε καὶ ὤκιστος" (Il. 21. 253).

241. ἀμφί ἓ γινώσκων] ὅτι τὸ "γινώσκων" ἀντὶ τοῦ ἀναγνω- A+B= ρίζων καὶ ὑπομιμνησκόμενος ἀρτίως τῆς ἑκάστου ὄψεως, οὐκ ἐκ προχείρου γινώσκων τοὺς παρεστῶτας. §. ὀρθοτονητέον δὲ τὴν "ἕ" A— εἰς σύνθετον γὰρ μεταλαμβάνει ⟨τὴν ἑαυτόν⟩· Χρύσιππος δὲ ψιλοῖ τὸ ε ὡς περισσεῦον καί φησιν 'ἀμφιγνοῶν ἀντὶ τοῦ ἀμφιβάλλων.'

244. τίη δὲ σύ] ἠθικῶς πάνυ, ὡς πρὸς νοσοῦντά φαμεν 'τί κατά- B= κεισαι.' §. τὸ δὲ "νόσφιν" ἀντὶ τοῦ ἀπό· ταὐτὸν γάρ ἐστι τὸ "ἀπό" B— τῷ "νόσφιν."

245. * ὀλιγηπελέων] ὀλίγην τοῦ πέλειν ἔχων μοῖραν, ἐγγὺς τοῦ B= ἐκλεῖψαι.

ἦ που] διαπορητικός· διὸ περισπᾶται· τινὲς ἀποφατικός. A—

246. ὀλιγοδρανέων] τὸ "ὀλιγηπελέων" (245) μετείληφεν, ⟨ἵν' ᾖ⟩ B= 'ὀλίγον τὸ δρᾶν ἔχων.' §. καὶ πῶς οἶδεν (247), ὅτι θεός ἐστιν; ἢ B— ἐκεῖνος ἑαυτὸν ἐγύμνωσεν, ἢ ἀπὸ τοῦ ἐρέσθαι (244, 5)· πάντες γὰρ ⟨οἱ⟩ Τρῶες ᾔδεσαν τὸ γεγονός.

248. * ἀΐεις] αἰσθάνῃ.

* ὅ με] ὅτι με· "ὅ μοι γέρας ἔρχεται ἄλλῃ" (Il. 1. 120).

249. * "οὖς" τοὺς αὐτοῦ.

βοὴν ἀγαθὸς—Αἴας] καὶ ἀλλαχοῦ "εἰ δέ που Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην" (Il. 17. 102)· ἐπὶ δὲ Διομήδους καὶ Μενελάου συνεχῶς.

251. * νέκυας καὶ δῶμ' Ἀΐδαο] περιφραστικῶς τὸν Ἅιδην.

6. οἰκείως B: οἰκεῖον ‖ 8. suppl. W ‖ φασσοφόνων W: φασσοφόνον ‖ 12. ἀμφὶ δὲ ‖ 15. μεταλαμβάνεται A ‖ supplevi ex A ‖ γὰρ scripsi: δὲ ‖ 22. περισπαστέον A ‖ iteratur *ἦ που] διαπορητικός· δ. π. τ. ἀποφατικός ‖ 23. supplevi ex B ‖ 24. τὸ B: τοῦ ‖ 26. supplevi ex B ‖ ᾔδεισαν ut B ‖ 30. Αἴ. τε

Digitized by Google

A+ 252. * ὄψεσθαι] οἱ μὲν "ἴξεσθαι" γράφουσιν, οἱ δὲ "ἰξεῖσθαι," ⟨οὐκ εὖ⟩· οὐ γὰρ ἄχαρις ἡ γραφή.

A+B= ἐπεὶ φίλον ἄιον ἦτορ] ὅτι τὸ "ἄιον" ἤλγησα· ἥψατο γὰρ τῆς ψυχῆς ἡ ἄλγησις, ὥστε αἴσθησιν αὐτῇ γενέσθαι.

254. * "τοῖον" οἷον οἶδας.

B= Κρονίων—προέηκε] ὑπὸ μεγίστου θεοῦ φήσας πεπέμφθαι εὐέλπιδα αὐτὸν ἀπεργάζεται.

B= 256. * Φοῖβον Ἀπόλλωνα χρυσάορον] ὅτι τοῖς ὀνόμασιν ἐπήγαγε τὸ "ῥύομαι" (257).

A+B= χρυσάορον] τὸν χρυσοῦν ἀορτῆρα περὶ τὴν κιθάραν ἔχοντα—καὶ Πίνδαρος χρυσάορα Ὀρφέα φησίν (fr. 139)—τινὲς δὲ χρυσοῦν ξίφος ἔχοντα.

B− 258. ἀλλ' ἄγε νῦν ἱππεῦσιν] προοικονομεῖ ἐντεῦθεν, ὥστε ἀπὸ ἴσου ὕψους γενέσθαι τὴν μάχην, "οἱ μὲν ἀφ' ἵππων, οἱ δ' ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες" (386, 7)· ἄλλως τε ἔδει ἐπὶ τῇ δευτέρᾳ εἰσελάσει ⟨καὶ⟩ περιττόν τι φαίνεσθαι· πρότερον οὖν πεζοὶ διέβαινον τὴν τάφρον, νῦν δὲ διὰ τὸν Ἀπόλλωνα μεῖζόν τι πράττεται, ὥστε μηδὲν ἐμπόδιον εἶναι ἐκ τῆς τάφρου περὶ τὴν εἰσέλασιν τῶν ἵππων.

B− * ἐπότρυνον] ἐπίταξον· "οἵ ἔθεν ὀτρύνοντος" (Il. 15. 199) ἀντὶ τοῦ ἐπιτάττοντος.

B= * ἱππεῦσιν—πολέεσσιν] πολλοῖς ἱππεῦσιν.

259. * νηυσὶν ἐπί] ἀντὶ τοῦ 'ἐπὶ νῆας.'

B= 261. λειανέω, ⟨τρέψω δ' ἥρωας Ἀχαιῶν⟩] τὴν τάφρον καταβαλῶ τοὺς Ἀχαιοὺς τρεψάμενος, ἵν' ᾖ ὁ "δέ" ἀντὶ τοῦ γάρ.

262. ἔμπνευσε μένος μέγα] Ζηνόδοτος ὁ Μαλλώτης ἐκ τούτου συνάγει, ὅτι Παιήων ἐστὶν ὁ Ἀπόλλων, εἴγε αὐτὸς ἐπιρρώννυσι τὸν Ἕκτορα. §. ἀναγκαία δὲ ἡ προσθήκη τοῦ "μέγα" πρὸς ἀνάληψιν
B= τοῦ οὕτω κεκακωμένου.

A+ 263. ὡς δ' ὅτε] ταῦτα δεῖ φέρεσθαι τὰ δύο διὰ τὸ "ὣς Ἕκτωρ" (269). ἀπὸ δὲ τοῦ "εἰωθώς" (265–8) ἀθετητέον· οἰκειότερον γὰρ ἐπὶ Ἀλεξάνδρου κεῖνται (Il. 6. 508–11)· οὐ γὰρ ⟨ἂν⟩ ἁρμόσειαν Ἕκτορι νῦν. §. τινὲς δέ, ὡς καλὸς καὶ Ἕκτωρ· "οἱ καὶ ἐθηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν Ἕκτορος" (Il. 22. 370)· εἰ δὲ τέτρωται, ἀλλ'

1. δ. ἱκνεῖσθαι coni. Ludwich ‖ 2. οὐδὲ ἄχ. coni. W ‖ 16. εἰσελάσει B : εἰσελάσειν ‖ supplevi ex B ‖ 23. καταβαλῶ W : ὡς καταβαλῶν ᾖ B, καταβαλὼν ᾖ ‖ 24. repetitur * ὁ "δέ" ἀντὶ τοῦ γάρ ‖ 29. post lemma iteratur ὡς δὲ ὅτε

Digitized by Google

ὑπὸ δύο θεῶν ἐπαίρεται. §. ἔστι δὲ ⟨Ἕκτωρ⟩ ἐπηρμένος καὶ ἐπαγαλλόμενος ταῖς τύχαις.

ἀκοστήσας] Κύπριοι ἀκοστάς τὰς κριθάς, οἱ δὲ παρὰ τὸν γοῖτον 'λίαν ῥυπωθείς·' ἢ 'ἄχος ἡγησάμενος τὴν στάσιν.'

264. * κροαίνων] τινὲς ἐπιθυμῶν.

265. ποταμοῖο] λείπει ὕδατι· ἢ ἀντὶ δοτικῆς, ὅ ἐστιν ὕδατι ποτίμῳ, ὡς καὶ τὸ "λοεσ⟨σ⟩άμενος ποταμοῖο" (Il. 21. 560).

* Ζηνόδοτος τοῦτον μόνον ⟨περι⟩γράφει, Ἀρίσταρχος δὲ καὶ τοὺς ἄλλους γ' (266–8).

269. * γούνατα] τινὲς δὲ τὸ γενικόν, τὸ "γυῖα."

270. * ὀτρύνων] τινὲς "ὀτρυνέων·" οὔπω γὰρ κατηντήκει εἰς τὸ πλῆθος τῶν Τρώων.

ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν] ὅτε ᾔσθετο, ὅτι ἣν ἔκλυεν αὐδὴν θεοῦ ἐστιν. B=

271. κεραόν] τινὲς τὸν ἄρσενα· οὗτος γὰρ κερασφορεῖ· τί οὖν A=
ἐστι τὸ "χρυσόκερων ἔλαφον θήλειαν ἄξοντα" παρὰ Πινδάρῳ (Ol. 3. 29);

272. * ἐσσεύοντο] αἱ πᾶσαι διὰ τοῦ ᾱ "ἐσσεύαντο." A+

ἀγροιῶται] ἀγρόται. οὕτω δὲ τοὺς θηρευτάς φασιν Ἀττικοί. B−
"οἷσί τε τέκνα ἀγρόται ἐξείλοντο" (Od. 16. 217).

273. ἠλίβατος] ἧς ἁμαρτάνομεν τῆς ⟨ἐπι⟩βάσεως, "ἠλιτόμηνον" (Il. 19. 118). εἰ δὲ ἦν 'ὑφ' ἡλίου μόνον βαινομένη,' ἦν ἂν 'τὸν μέν θ' ἠλίβατος πέτρη.' A+B−

δάσκιος] ἢ λίαν σκιώδης ἢ δασύσκιος. §. τὸν ἔλαφον δὲ ἡ ὕλη AB=
ἔχει· καὶ ἀλλαχοῦ "ἐκ νομοῦ ὕλης πιόμενος" (Od. 10. 159). A=

τὸν μὲν—εἰρύσατο] τὸν αἴγαγρον (271). B=

ἠλίβατος πέτρη—εἰρύσατο] οὗτος γὰρ τῶν ὀρειβατούντων ἐστίν. B=

274. οὐδ' ἄρα τέ σφι] περισσὸν τὸ "τέ," τινὲς δὲ "τί σφι." §. B−
"αἴσιμον" δὲ ἡ εἱμαρμένη· οἶδε γὰρ αὐτὴν καὶ μέχρι ζῴων B=
ἀλόγων φθάνουσαν· οἱ δὲ "αἴσιμον" ἀντὶ τοῦ καθῆκον.

275. τῶν δέ θ' ὑπὸ ἰαχῆς] ὑπὸ ἰαχῆς διεγερθεὶς δηλονότι. §. "λίς"
δὲ παρὰ τὸ λιαρόν, ἢ τὸ ἑλεῖν, ἢ τὸ λεῖον—λεῖος γὰρ ὅλος πλὴν τῆς A=B−
χαίτης—ἢ παρὰ τὸ λίαν φθείρειν. §. τὸ δὲ "ἐφάνη—εἰς ὁδόν" ἀντὶ B=

3. Κύπριοι Eust.: Κυπρεῖς ‖ 8. suppl. Hiller ‖ 11. οὔπω W: οὕτω ‖ 13. ὅτε B: ὅτι ‖ 20. supplevi ex D ‖ 20, 21. ἠλιτόμηνον scripsi: ἤλιτον ἥλιον ‖ 24. τρέφει A ‖ 26. ἠλιβατούντων B ‖ 27. δὲ "τί σφι" scripsi, δ' ἔτι σφι coni. Lehrs, δέ τε σφι Ludwich, qui in lemmate genuino olim τί σφι fuisse censet: δὲ ταῖσφιν ‖ 28. τὸ εἱμαρμένον ut B

Digitized by Google

τοῦ ἐν ὁδῷ· ἢ καὶ μεμαῶτας εἰς ὁδὸν πάντας ἔτρεψε καὶ στῆναι αὐτοῦ παρεσκεύασεν.

277. εἵως μέν] Ζηνόδοτος γράφει "τείως·" ἔστι δὲ ἀνταB= ποδοτικόν. §. φασὶ τὸ ἕως, ὅταν ᾖ μετὰ συνδέσμου, δηλοῦν τὸ ἕως B= τινός. §. τὸ δὲ "ὁμιλαδόν" ⟨ἐπίρρημα⟩ μεσότητος ἀντὶ τοῦ ὁμιλαδῶς· καὶ ἔστιν πολεμικῶς ἢ ἀθροιστικῶς.

B= * "αἰέν" ἐν ἐκείνῳ τῷ καιρῷ τῆς μάχης.

B= 280. παραὶ ποσὶ κάππεσε θυμός] ἡ ψυχὴ αὐτῶν ἐνενεύκει εἰς τοὺς πόδας, ὅπως διὰ τούτων σωθῶσιν· ἢ ταῖς ψυχαῖς ἐταπεινώB= θησαν καὶ κατέπεσον. §. ⟨τὸ "παραὶ ποσί"⟩ παραυτά.

B= 281. ⟨τάρβησαν—⟩ τοῖσι δὲ—ἀγόρευε Θόας] οὐχ ὑπὸ δειλίας, ἀλλὰ διὰ τὸ παράδοξον τῆς ἀναστάσεως ⟨σκοποῦντες,⟩ μὴ καὶ θεὸς ᾖ ὁ μαχόμενος. §. οὗτος δὲ Γόργης υἱὸς τῆς Οἰνέως, ὑπὸ Διομήδους ἀποδειχθεὶς βασιλεὺς Αἰτωλίας. §. διδάσκει δέ, ὡς δεόντως Ποσειδῶν αὐτῷ εἴκασται (Il. 13. 216) ὡς δυναμένῳ πείθειν εὐλόγως.

282. ἐπιστάμενος μὲν ἄκοντι] λείπει τὸ χρῆσθαι, ἢ τὸ "ἐπιστάμενος" ἀντὶ τοῦ 'ἐπιστήμων ἄκοντος.'

283. * ἐν σταδίῃ] λείπει μάχῃ.

284. ὀπ⟨π⟩ότε κοῦροι] τὸ ἑξῆς, "κοῦροι Ἀχαιῶν" ὡς "υἷες Ἀχαιῶν·" ἄτοπος γὰρ ἡ τῶν παίδων ἅμιλλα.

B+ 286. ὢ πόποι] τοῦτο ἀναφωνεῖται ἐπί τινι πάθει ὑποφαῖνόν τι παράδοξον.

A—B= 288. ἦ θην] ὅτι τὸ "ἦ θην" ἀντὶ τοῦ 'ὄντως που,' οἷον καὶ ἀλλαχοῦ "ἦ θήν σ' ἐξανύω γε" (Il. 11. 365).

* ἔλπετο] ἔδει 'ἐπέπειστο.'

289. * θανέειν] τεθνηκέναι ἢ θανεῖσθαι.

292. * ὣς καὶ νῦν ἔσσεσθαι ὀίομαι] τὸ πολλῶν Δαναῶν γούνατα λύσειν.

B= 293. ὧδε μενοινῶν] οὕτω διαμάχεσθαι ἡμῖν προθυμούμενος (291).

B= 295. πληθὺν μὲν ποτὶ νῆας] ἵνα μὴ ἄρδην διωκόμενοι ὑπὸ τῆς ἵππου, ἣν ἑώρα νῦν περὶ Ἕκτορα, ἐμπέσωσι τῇ τάφρῳ· ἄλλως τε ἀσθενὴς ὄχλος ἀχρεῖος πρὸς ἄμυναν καὶ μᾶλλον τροπῆς περιποιητικός.

B— 297. εἴ κεν πρῶτον ἐρύξομεν] πλεονάζει ὁ "κέν" εἰ ἐν πρώτοις αὐτὸν

4. δηλοῦντος τό: corr. Bekker ‖ 5. supplevi ex B ‖ 9. ταῖς ψυχαῖς etiam B: τὰς ψυχὰς A ‖ 10, 12. supplevi ex B ‖ 12, 13. θεὸς ᾖ B: θεοῖς εἴη ‖ 15. ἐν λόγωι ‖ 21. ὑποφαῖνον B: ὑποφαινόμενον ‖ 31. ἐμπέσωσι B: ἐπιπέσωσι ‖ 33. δὴ post εἴ κεν omisi

Digitized by Google

ὄντα ἐπισχήσομεν ὑπαντήσαντες, οἴω δείσεσθαι, καὶ τὰ ἑξῆς· ἀλλαχοῦ δὲ "ἀλλ' ἄγε δὴ στέωμεν καὶ ἀλεξώμε⟨σ⟩θα μένοντες" (Il. 22. 231).

299. ⟨μεμαῶτα θυμῷ⟩ δείσεσθαι] ἀντὶ τοῦ δείσειν· καὶ ἔστι βίαιον. §. μέσον ὂν τὸ ⟨"θυμῷ" οὐκ⟩ ἐδιπλασίασεν. A~

300. ⟨τοῦ μάλα μὲν⟩ κλύον ἠδὲ πίθοντο] ἔκλυον αὐτοῦ καὶ τοῖς λεχθεῖσιν ἐπείσθησαν.

301. ἀμφ' Αἴαντε] οὕτως οἱ περὶ Ζηνόδοτον δυϊκῶς· οἱ δὲ "ἀμφ' Αἴαντα." A+

302. Τεῦκρον ⟨Μηριόνην τε⟩] οὐκ ἐπὶ πάντων ὁ "τέ" συμπεπλήρωκε τὸν λόγον.

Μέγην τε] Ἀρίσταρχος μὲν βαρύνει τὸ "Μέγην" ἰακῶς, οἱ δὲ περὶ Πτολεμαῖον περισπῶσιν, ὡς ἀπὸ περισπωμένης εὐθείας, καὶ διφορεῖσθαί φασι τὸ Μέγης ὡς Θάλης καὶ Θαλῆς. καὶ μέντοι διχῶς κλιθέντα οὐ μετέβαλε τὸν τόνον ὡς Μύκης Μύκητος καὶ Μύκου, Μύνης Μύνητος καὶ Μύνου. A+

303. ⟨ὑσμίνην⟩ ἤρτυνον] παρεσκεύαζον ὥστε μάχεσθαι· οἱ δὲ κατήρτιζον εἰς μάχην τοὺς ἀριστέας.

305. ἡ πληθὺς—ἀπονέοντο] πρὸς τὸ σημαινόμενον ἀπέδωκεν. "ἡ πληθύς" γὰρ πολλοὺς σημαίνει. A~B–

306. * προὔτυψαν] προενέπεσον.

* "ἦρχε" τῆς ἐμβολῆς.

307. μακρὰ βιβάς] οὕτω τινές, ἐπεὶ καὶ "ὕψι βιβάντα" (Il. 13. 371) φησίν· ἄλλοι δὲ "βιβῶν" γράφουσι καὶ περισπῶσιν· Ζηνόδοτος δὲ "βοῶν" γράφει, ἐπεὶ καὶ ἑξῆς φησιν "ἐπὶ δ' αὐτὸς ἄυσε μάλα μέγα" (321). A+

309. ἀμφιδάσειαν] οἱ μὲν ἀμφίμαλ⟨λ⟩ον, οἱ δὲ κύκλῳ δασεῖαν διὰ τοὺς θυσάνους. A+B= §. προπαροξυντέον δέ, εἴτε σύνθετόν ἐστι εἴτε παρασύνθετον. A~B=

312. * ἀολλέες] λείπει γεγονότες.

ὦρτο δ' αὐτή] πανταχόθεν τὴν ἐνέργειαν ηὔξησεν, ἐκ τῆς βοῆς τῶν μαχομένων, ἐκ τῶν βαλλομένων βελῶν, ἐκ τῶν δοράτων, ὧν μὲν ἐπὶ σκοπὸν ῥιπτομένων, ὧν δὲ μάτην φερομένων. B=

313. * νευρῆφι] τῶν νευρῶν.

1. ἐπισχήσομεν W : ἐπίσχωμεν ut D ‖ 2. στέωμεν B: στέομεν ‖ 3. corruptum ‖ 4. ὂν τὸ scripsi cf. A: αὐτὸν ‖ 9. ὅτε ‖ 11. ἰακῶς W ex A ubi Hecataeus citatur: κακῶς ‖ 14, 15. Μύκου Μύνης scripsi cf. Eust.: μυκουμένης ‖ 26. supplevi ex A B

B= 316. πολλὰ δὲ καὶ μεσ⟨σ⟩ηγὺ ⟨—ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι⟩] "μεσ⟨σ⟩ηγὺ ἵσταντο" μεσοπαγῆ ἐγίνοντο, μέχρι τοῦ μέσου AB= ἐμπεπηγμένα τῇ γῇ διίσταντο. §. ἄλλως: ἐπιθυμοῦντα τῶν ἐφ' οὓς ἐβάλλετο ἐν τῇ διὰ μέσου γῇ ἐπήγνυτο.

A= χρόα λευκόν] ἀντὶ τοῦ 'λευκοῦ χροός.' §. ὡς ἐπίπαν δὲ λευκόχροες A= οἱ παλαιοί.

A–B= 317. λιλαιόμενα] λῶ λαίω λιλαίω, ὡς κερῶ κεραίω· "ζωρότερον δὲ κέραιε" (Il. 9. 203).

A+B= 320. ⟨κατ'⟩ ἔνωπα] Ἀρίσταρχος προπερισπᾷ τὸ "ἐνῶπα·" ἢ ἀπὸ τοῦ ἐνωπήν ἐνῶπα κατὰ μεταπλασμόν, ὡς ἰωκήν ἰῶκα· ὁ μέντοι Ἡρωδιανὸς προπαροξύνει λέγων αὐτὸ εἶναι ἀπὸ τοῦ ἐνώπιον καὶ ἐνώπια, ὃ σημαίνει τὰ ἐναντία, καὶ κατὰ συγκοπὴν ἔνωπα, ὡς μηρία μῆρα καὶ σιτία σῖτα.

κατένωπα ⟨ἰδών⟩] τινὲς προπαροξυτόνως. §. ὡς ὁ ἐναντία ἀντὶ τοῦ ἐξ ἐναντίας· οἱ δὲ ἐκ φανεροῦ· πρόσθεν γὰρ αὐτὴν εἶχεν "εἱμένος ὤμοιιν νεφέλην" (308).

324. θῆρε δύω] λέοντας, κατὰ Κεφαλ⟨λ⟩ῆνας.

B= θῆρε δύω] δύο μὲν λέοντας παρείληφεν, ἐπεὶ καὶ οἱ τοὺς Ἀχαιοὺς ταράττοντες δύο εἰσίν, Ἕκτωρ καὶ Ἀπόλλων. νυκτὸς δὲ οὗτοι ἐπιτίθενται· ὁ γὰρ ἐν ἡμέρᾳ φόβος ἥττων. εἰς ἐπίτασιν δὲ τὴν ἀσέληνον καὶ τῆς νυκτὸς τὸ μεσαίτατον παρείληφεν. τό τε "ἐξαπίνης" χαλεπὸν πρὸς τὸ μὴ παραφυλάξασθαι. καὶ ὁ ποιμὴν αὐτοῖς οὐ πάρεστι βοηθός, ὡς οὐδὲ ὁ Ποσειδῶν τοῖς Ἕλλησι συμ- B– μαχεῖ. §. τὸ δὲ "ἔθελξεν" (322), ἀντὶ τοῦ παρέλυσεν· ἐσκότωσε γὰρ αὐτῶν, φησί, τὸν νοῦν διὰ τὸ τὸν λογισμὸν οὐκ ἐκ τοῦ φανεροῦ φθείρεσθαι· "λιγυρῇ θέλγουσιν ⟨ἀοιδῇ⟩" (Od. 12. 44) καὶ "θελκτήρια πάντα τέτυκται" (Il. 14. 215).

κλονέωσι] ἐν τῇ ἐπαύλει· νυκτὸς γὰρ ταῦτα οὐ νέμεται· φησὶ "μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν" (Il. 12. 301).

ἀμολγῷ] ἐν ᾧ οὐ μογοῦμεν, ὕπνῳ βαθεῖ κατεχόμενοι, οἱ δὲ 'ἀκμῇ' κατ' Ἀχαιούς· δεινὸς δὲ ὁ ἐν σκότῳ κίνδυνος. §. ὅτι ἀεὶ πρότερον πρὸς τὸ δεύτερον ὑπαντᾷ ὁ ποιητής.

B– 326. ἀνάλκιδες] τότε γενόμενοι—ὡς "κυκλοτερὲς μέγα τόξον

3. ἐμπεπηγμένα B: ἐμπησσόμενα ‖ ἄλλως B: ἀλλ' ‖ 14. κατενώ[π] ‖ 15 πρόσθεν textus: πρώην ‖ 17. δύο textus ‖ κατ' ἐξοχήν D ‖ 26. θελκτούς ‖ 28. κλονέουσιν ‖ 30. μογοῦμεν Eust.: μολγοῦμεν ‖ 31. ἀεὶ W: καὶ ‖ πρότερον W: πρὸς τὸ πρῶτον

Digitized by Google

ἔτεινεν" (Il. 4. 124)—ὅ ἐστι 'μηδὲ κατ' ὀλίγον ἀμύνασθαι δυνηθέντες.'

Ἀπόλλων ἧκε φόβον] παραφυλακτέον, ὅτι τῇ Ἑλληνικῇ φυγῇ B— θεὸν ἀεὶ ἀντιπαρατάττει.

328. κεδασθείσης ὑσμίνης] τῆς τάξεως διαλυθείσης. §. μέγα δὲ τὸ B— παρὸν δυστύχημα· αἱ γὰρ ἀναιρέσεις τῶν ἡγεμόνων ἢ τῶν περὶ B— τούτους ἀριστέων ἔσονται. φησὶ γοῦν "Στιχίος δῖός τε Μενεσθεύς, ἀρχοὶ Ἀθηναίων" (Il. 13. 195)· ὠνόμασται δὲ παρὰ τὰς στίχας ⟨ὁ Στιχίος⟩.

κεδασθείσης ὑσμίνης] τῆς τάξεως διαλυθείσης. τότε γὰρ ἄλλοι B— ἄλλῃ φέρονται· τοῦτο πρὸς τοὺς ζητοῦντας, πῶς Λεῦκος πλησίον Αἴαντος εὑρεθεὶς τέτρωται (Il. 4. 491).

330. τὸν μὲν Βοιωτῶν] ὅτι πρὸς τὸ δεύτερον ὑπήντησεν· ὁ γὰρ A— Ἀρκεσίλαος Βοιωτός ἐστιν· ἑξῆς δὲ πρὸς τὸ πρῶτον ὑπαντήσει.

333. ἤτοι ὃ μὲν νόθος] τῆς κατὰ μέρος ἱστορίας χάριν ἡ ἐπανάληψις· δαιμονίως δὲ τῇ ἐξαλλαγῇ χρῆται· ἄνω γὰρ (330) πρὸς τὸ δεύτερον ὑπαντήσας νῦν πρὸς τὸ πρῶτον. A—

νόθος] ἐξ Ἀλκιμάχης τῆς Φυλάκου ἦν ὁ Αἴας, ὥς φησι Πορφύριος ἐν τῷ Καταλόγῳ· ἀλλ' οὐ συμφωνεῖ τῷ ποιητῇ· Ἐριώπιδος γάρ φησι τὸν Αἴαντα (336).

336. γνωτόν] γνωτὸς ὁ ἀδελφός, ὁ πλέον τῶν ἄλλων γνωριζόμενος, A+B— ὅθεν καὶ γνωστοὺς εἰώθαμεν καλεῖν τοὺς φίλους τοὺς γινωσκομένους ἡμῖν πλέον ὑπὲρ τοὺς κοινοὺς ἀνθρώπους.

μητρυιῆς Ἐριώπιδος] ὁμοίως τῷ ποιητῇ καὶ Ἑλ⟨λ⟩άνικος τὴν Ἐριώπην μητέρα Αἴαντός φησιν· Φερεκύδης δὲ ἐν ε΄ καὶ Μνασέας ἐν η΄ Ἀλκιμάχην, ὁ δὲ τῶν Ναυπακτικῶν ποιητὴς διώνυμον αὐτήν φησι (fr. 1 K.), "τὴν δὲ μεθοπλοτάτην Ἐριώπην ἐξονόμαζεν Ἀλκιμάχην δὲ πατήρ τε καὶ Ἄδμητος καλέεσκεν."

Ὀιλεύς] τὸν Ὀιλέα Ζηνόδοτος ἑπόμενος Ἡσιόδῳ (fr. 136 M.) καὶ Στησιχόρῳ (fr. 84 B.) χωρὶς τοῦ ō ὀνομάζει Ἰλέα, τὸ δὲ ⟨ō⟩ ἄρθρον φησίν· γελοῖον δὲ τὸ παρ' Ὁμήρῳ οὕτως ἀκούειν· οὐ γὰρ ἂν αὐτὸ καὶ ἐπὶ δοτικῆς προσέθηκε πτώσεως, "οὐδ' ἄρ' Ὀιλιάδῃ μεγαλήτορι Λοκροὶ ἕποντο" (Il. 13. 712). καὶ νῦν δὲ ἠδύνατο εἰπεῖν 'ἦν ἔχεν Ἰλεύς.'

337. * Ἀθηναίων] τῶν τὴν δευτέραν ἡγεμονίαν ἐχόντων.

21. Ἐριώπιδι post ἀλλ. addit B ‖ 25. ἐν πέμπτῳ Kinkel, ἐνεω ‖ 26. Ναυπακτικῶν Bekker: Ναπακτίδων ‖ 27. ἐξωνόμαζεν: corr. Bekker

338. ** *καλέσκετο*] *ἵν' ᾖ ὡς τὸ "σὴ παράκοιτις κέκλημαι"* (Il. 4. 60) *ἢ ὡς τὸ "μήτηρ μέν τε μέ φησι"* (Od. 1. 215).

AB– 339. Μηκιστῆ] *περισπαστέον, εἴτε κατὰ ἀποκοπὴν τοῦ ᾱ, ὡς* Τυδῆα "Τυδῆ" (Il. 4. 384), *εἴτε Δωρική ἐστιν ἡ κλίσις,* Μηκιστέα "Μηκιστῆ·" ⟨*ὃ*⟩ *καὶ ἄμεινον· τινὲς δέ φασι κἀκεῖνα μὴ κατὰ συναλ⟨ο⟩ιφὴν εἶναι, "ὣς* Ἀχιλῆ *ὤτρυνε"* (Il. 20. 174), "*ἐς* Πηλῆ *ἱκέτευσεν*" (Il. 16. 574).

B= 340. *πρώτῃ ἐν ὑσμίνῃ*] *ἐν τοῖς πρωταγωνισταῖς· οὐ γὰρ νῦν* ⟨*ἡ*⟩ *πρώτη συμβολή.*

B– 341. *νείατον ὦμον*] *τὸν πρὸς τῷ αὐχένι· οἱ δὲ πρὸς ἀντιδιαστολήν·* Ἐχίος (339) *γὰρ "πρώτῃ ἐν ὑσμίνῃ," οὗτος δὲ νείατος.*

B= ⟨*Δηίοχον δὲ—*⟩ *ὦμον ὄπισθεν*] *μόνον τοῦτόν φασιν* Ἑλλήνων *ὄπιθε βεβλῆσθαι· καὶ* Ἠιονεὺς *δὲ ἐν τῇ* Η (11) *ὑφ'* Ἕκτορος *οὕτως ἀναιρεῖται.* §. *τούτου δὲ οἱ ἀπόγονοι Σάμον ἐξ* Ἀθηνῶν *συνῴκισαν.*

B= 342. *φεύγοντ' ἐν προμάχοισι*] *τινὲς "ἐν πυμάτοισι·" καὶ οἰκεῖον τοῦτο* Πάριδι. *ἢ 'ἐν πρώτοις τῶν διωκόντων ὢν ὁ* Πάρις,' *οὐκ 'αὐτὸν ἐν τοῖς προμάχοισι φεύγοντα.'*

343. * *ἐνάριζον*] *φονεύσαντες ἐξέδυον.*

B– 344. *τάφρῳ—ἐνιπλήξαντες*] *τὴν μετὰ δέους γινομένην ἄτακτον ἔμπτωσιν διὰ τῆς λέξεως ἐδήλωσεν· "ἕρκει ἐνιπλήξωσι"* (Od. 22. 469).

B= 345. *δύοντο δὲ τεῖχος ἀνάγκῃ*] *δαιμονίως προσέθηκεν· οὐ γὰρ δι' ἀνανδρίαν ἔπραξαν τοῦτο, ἀλλὰ διὰ τὴν ἀπὸ τῶν θεῶν ἀνάγκην.*

B= 346–8. Τρώεσσιν *ἐκέκλετο—νηυσὶν ἐπισσεύεσθαι—ὃν δ' ἂν ἐγώ⟨ν⟩*] *βαρβαρικὴ ἡ ἀπειλὴ καὶ τὸ πρόσταγμα θρασύ, οὐχ ὡς ὁ* Νέστωρ *μουσικῶς καὶ πεπαιδευμένως φησὶν "ἀλλ' ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἕκηλοι νεκροὺς ἂμ πεδίον συλήσετε"* (Il. 6. 70).

B= §. *τὸ δὲ "νηυσὶν ἐπισσεύεσθαι"* (347) *ἀντὶ τοῦ ὡς ἐπὶ τὰς ναῦς ὁρμᾶν. λείπει δὲ τὸ λέγω· ἢ ἀπαρέμφατά εἰσιν ἀντὶ προστακτικῶν.*

349. * *αὐτοῦ*] *ὅπου ὁραθήσεται.*

*μητίσομαι*] *τὸ πρῶτον ἔσχατον ἔθηκεν· ὁ γὰρ ἀναιρεῖν ἐπιβαλλόμενος προβουλευσάμενος τοῦτο ποιεῖ.*

B= *οὐδέ νυ τόν γε—πυρὸς λελάχωσι*] *ἐντεῦθεν νόμος τὸν προδότην μὴ θάπτεσθαι παρὰ τῶν νομοθετούντων ἐκινήθη.*

4. *κλίσις* scripsi cf. A: *κρᾶσις* ‖ 5. supplevi ex B, *ὅπερ μοι δοκεῖ* A ‖ 6. Ἀχιλλῆ ‖ 8. *προαγωνισταῖς* B ‖ supplevi ex B ‖ 12. *φασιν* W: *φησιν* ‖ 13. *οὕτως* W: *οὗτος* ‖ *τούτῳ*: corr. Bekker ‖ 18. *φονεύοντες* ‖ 28. *λέγω* B: *λέγων* ‖ 29. *ὁραθῆναι* ‖ 30. *μητίσσομαι*

Digitized by Google

351. ἐρύουσι] τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα ἐν τῷ "ἐρύουσι." ἐνεστὼς A+B=
γάρ ἐστιν ἀντὶ μέλλοντος.

352. κατωμαδόν] κατὰ τῶν ἰδίων ὤμων, ἀφ' οὗ τὸν βάρβαρον καὶ B–
μετὰ θυμοῦ παριππεύοντα δηλοῖ. παρὰ τοῦτο τὸ "⟨ὅσσα δὲ
δίσκου οὖρα⟩ κατωμαδίοιο πέλονται" (Il. 23. 431).

ἤλασεν ἵππους ⟨κεκλόμενος Τρώεσσιν ἐπὶ στίχας⟩] ἤλαυνεν ἐπὶ B=
στίχας τοὺς ἵππους, Τρωσὶ κεκλόμενος. πῶς δὲ ἤλαυνε καὶ ἐπολέμει;

354. * ὁμοκλήσαντες ἔχον—ἵππους] τοῖς ἵπποις δηλονότι.

356. ὄχθας καπέτοιο] τὰς ἀνασκαφὰς τῆς τάφρου. "καπέτοιο" B–
δὲ καὶ "⟨σκα⟩πέτοιο." Ἀργεῖοι δὲ οὕτω τὴν τάφρον ὠνόμαζον.

357. γεφύρωσεν ⟨δὲ κέλευθον⟩] κυρίως τὸ ἐκ ξύλων γεγομφωμένον γέφυρα. §. ἐν βραχεῖ δὲ ἔδειξε τὸ ἔργον τοῦ θεοῦ.

358. * ὅσον τ' ἐπὶ δουρὸς ἐρωή] ὅσον ἐστὶ βολὴ δόρατος.

359. ὁππότ' ἀνὴρ σθένεος πειρώμενος ⟨ἧσιν⟩] εὖ τὸ μὴ ἁπλῶς B=
ἀκοντίζοντα παραλαβεῖν ἀλλὰ καὶ τῆς ἑαυτοῦ ἥβης ἀποπειρώμενον,
ὥστε ἐπὶ πλέον ἐξικέσθαι.

ἧσιν] δασυντέον· ἐπεκτέταται γὰρ τὸ ἧ, ὅπερ ἡ συνήθεια μετὰ A+
προθέσεώς φησιν 'ἀφῇ.'

360. * φαλαγγηδόν] ὡς ὁμιλαδόν· προηγεῖτο δὲ αὐτῶν Ἀπόλλων.

362. ῥεῖα μάλ', ὡς ὅτε τις] καὶ πῶς τοῖς θεοῖς πολλοῦ ἐδέησε
πρὸς παντελῆ ἀφανισμόν; §. διαναπαύουσι δὲ τῶν πόνων αἱ παρα- B=
βολαί. καὶ ταπεινὴ μὲν ἡ εἰκών, ὅμως πᾶσι γνωστή. §. ἀπὸ κοινοῦ B=
δὲ τὸ "συνέχε⟨υ⟩ε" (364).

363. ἀθύρματα] πιθανῶς παίγνιά φησι τὰ δώματα τῶν νηπίων. B=

364. * συνέχευε] συνέχεεν· οὐ γὰρ ἐκ λίθων ἦν, ἵνα εἴπῃ 'κατέβαλεν.'

ποσὶν καὶ χερσὶν ἀθύρων] ὅλῳ γὰρ ἐφάλλεται τῷ σώματι. B=
§. χρὴ δὲ ἐπὶ τὸ "χερσίν" διαστείλαντα πρὸς βραχὺ ἐπάγειν καθ' B=
αὑτὸ τὸ "ἀθύρων," ἵν' ᾖ τοῦ ὅλου ἐπεξήγησις· εἰ γὰρ συνάψομεν,
ἔσται ἀθύρειν τὸ πατεῖν ἀκύρως.

365. ἧκε] Ἀρίσταρχος δασύνει, παρὰ τὴν ἕσιν τῶν βελῶν· ὁ δὲ A+B–
Ἡρωδιανὸς ψιλοῖ· ἀεὶ γὰρ τὸ η̄ πρὸ φωνήεντος ψιλοῦται. οἱ δὲ

1. ὁ. ἐπὶ τὸ ἐρύουσι A || 10. suppl. W ex Herodian. II 530 L. || 14. ἂν ante ἀνὴρ omisi || 17. ἥσει δ. || 22. τῶν πόνων B: τὸν πόνον || 30. συνάψομεν B: συνάψαιμεν



Digitized by Google

338. ** *καλέσκετο*] *ἴν' ᾖ ὡς τὸ "σὴ παράκοιτις κέκλημαι"* (Il. 4. 60) *ἢ ὡς τὸ "μήτηρ μέν τε μέ φησι"* (Od. 1. 215).

AB– 339. Μηκιστῆ] *περισπαστέον, εἴτε κατὰ ἀποκοπὴν τοῦ ᾱ, ὡς* Τυδῆα "Τυδῆ" (Il. 4. 384), *εἴτε* Δωρική *ἐστιν ἡ κλίσις,* Μη*κιστέα* "Μηκιστῆ·" ⟨*ὃ*⟩ *καὶ ἄμεινον· τινὲς δέ φασι κἀκεῖνα μὴ κατὰ συναλ⟨ο⟩ιφὴν εἶναι,* "*ὦς* Ἀχιλῆ *ὄτρυνε*" (Il. 20. 174), "*ἐς* Πηλῆ *ἱκέτευσεν*" (Il. 16. 574).

B= 340. *πρώτῃ ἐν ὑσμίνῃ*] *ἐν τοῖς πρωταγωνισταῖς· οὐ γὰρ νῦν ⟨ἡ⟩ πρώτη συμβολή.*

B– 341. *νείατον ὦμον*] *τὸν πρὸς τῷ αὐχένι· οἱ δὲ πρὸς ἀντιδιαστολήν·* Ἐχίος (339) *γὰρ "πρώτῃ ἐν ὑσμίνῃ," οὗτος δὲ νείατος.*

B= ⟨*Δηίοχον δὲ*—⟩ *ὦμον ὄπισθεν*] *μόνον τοῦτόν φασιν* Ἑλλήνων *ὄπιθε βεβλῆσθαι· καὶ* Ἠιονεὺς *δὲ ἐν τῇ* Η (11) *ὑφ'* Ἕκτορος *οὕτως ἀναιρεῖται.* §. *τούτου δὲ οἱ ἀπόγονοι* Σάμον *ἐξ* Ἀθηνῶν *συνῴκισαν.*

B= 342. *φεύγοντ' ἐν προμάχοισι*] *τινὲς "ἐν πυμάτοισι·" καὶ οἰκεῖον τοῦτο* Πάριδι. *ἢ 'ἐν πρώτοις τῶν διωκόντων ὧν ὁ* Πάρις,' *οὐκ 'αὐτὸν ἐν τοῖς προμάχοισι φεύγοντα.'*

343. * *ἐνάριζον*] *φονεύσαντες ἐξέδυον.*

B– 344. *τάφρῳ—ἐνιπλήξαντες*] *τὴν μετὰ δέους γινομένην ἄτακτον ἔμπτωσιν διὰ τῆς λέξεως ἐδήλωσεν· "ἕρκει ἐνιπλήξωσι"* (Od. 22. 469).

B= 345. *δύοντο δὲ τεῖχος ἀνάγκῃ*] *δαιμονίως προσέθηκεν· οὐ γὰρ δι' ἀνανδρίαν ἔπραξαν τοῦτο, ἀλλὰ διὰ τὴν ἀπὸ τῶν θεῶν ἀνάγκην.*

B= 346–8. Τρώεσσιν *ἐκέκλετο—νηυσὶν ἐπισσεύεσθαι—ὃν δ' ἂν ἐγὼ⟨ν⟩*] *βαρβαρικὴ ἡ ἀπειλὴ καὶ τὸ πρόσταγμα θρασύ, οὐχ ὡς ὁ* Νέστωρ *μουσικῶς καὶ πεπαιδευμένως φησὶν "ἀλλ' ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἔκηλοι νεκροὺς ἂμ πεδίον συλήσετε"* (Il. 6. 70).

B= §. *τὸ δὲ "νηυσὶν ἐπισσεύεσθαι"* (347) *ἀντὶ τοῦ ὡς ἐπὶ τὰς ναῦς ὁρμᾶν. λείπει δὲ τὸ λέγω· ἢ ἀπαρέμφατά εἰσιν ἀντὶ προστακτικῶν.*

349. * *αὐτοῦ*] *ὅπου ὁραθήσεται.*

*μητίσομαι*] *τὸ πρῶτον ἔσχατον ἔθηκεν· ὁ γὰρ ἀναιρεῖν ἐπιβαλλόμενος προβουλευσάμενος τοῦτο ποιεῖ.*

B= *οὐδέ νυ τόν γε—πυρὸς λελάχωσι*] *ἐντεῦθεν νόμος τὸν προδότην μὴ θάπτεσθαι παρὰ τῶν νομοθετούντων ἐκινήθη.*

4. *κλίσις* scripsi cf. A : *κρᾶσις* ‖ 5. supplevi ex B, *ὅπερ μοι δοκεῖ* A ‖ 6. Ἀχιλλῆ ‖ 8. *προαγωνισταῖς* B ‖ supplevi ex B ‖ 12. *φασιν* W : *φησιν* ‖ 13. *οὕτως* W : *οὗτος* ‖ *τούτῳ* : corr. Bekker ‖ 18. *φονεύοντες* ‖ 28. *λέγω* B : *λέγων* ‖ 29. *ὁραθῆναι* ‖ 30. *μητίσσομαι*

Digitized by Google

351. ἐρύουσι] τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα ἐν τῷ "ἐρύουσι." ἐνεστὼς A + B = γάρ ἐστιν ἀντὶ μέλλοντος.

352. κατωμαδόν] κατὰ τῶν ἰδίων ὤμων, ἀφ' οὗ τὸν βάρβαρον καὶ B − μετὰ θυμοῦ παριππεύοντα δηλοῖ. παρὰ τοῦτο τὸ "⟨ὅσσα δὲ δίσκου οὖρα⟩ κατωμαδίοιο πέλονται" (Il. 23. 431).

ἤλασεν ἵππους ⟨κεκλόμενος Τρώεσσιν ἐπὶ στίχας⟩] ἤλαυνεν ἐπὶ B = στίχας τοὺς ἵππους, Τρωσὶ κεκλόμενος. πῶς δὲ ἤλαυνε καὶ ἐπολέμει;

354. * ὁμοκλήσαντες ἔχον—ἵππους] τοῖς ἵπποις δηλονότι.

356. ὄχθας καπέτοιο] τὰς ἀνασκαφὰς τῆς τάφρου. "καπέτοιο" B − δὲ καὶ "⟨σκα⟩πέτοιο." Ἀργεῖοι δὲ οὕτω τὴν τάφρον ὠνόμαζον.

357. γεφύρωσεν ⟨δὲ κέλευθον⟩] κυρίως τὸ ἐκ ξύλων γεγομφωμένον γέφυρα. §. ἐν βραχεῖ δὲ ἔδειξε τὸ ἔργον τοῦ θεοῦ.

358. * ὅσον τ' ἐπὶ δουρὸς ἐρωή] ὅσον ἐστὶ βολὴ δόρατος.

359. ὁππότ' ἀνὴρ σθένεος πειρώμενος ⟨ἧσιν⟩] εὖ τὸ μὴ ἁπλῶς B = ἀκοντίζοντα παραλαβεῖν ἀλλὰ καὶ τῆς ἑαυτοῦ ἥβης ἀποπειρώμενον, ὥστε ἐπὶ πλέον ἐξικέσθαι.

ἧσιν] δασυντέον· ἐπεκτέταται γὰρ τὸ ἧ, ὅπερ ἡ συνήθεια μετὰ A + προθέσεώς φησιν 'ἀφῆ.'

360. * φαλαγγηδόν] ὡς ὁμιλαδόν· προηγεῖτο δὲ αὐτῶν Ἀπόλλων.

362. ῥεῖα μάλ', ὡς ὅτε τις] καὶ πῶς τοῖς θεοῖς πολλοῦ ἐδέησε πρὸς παντελῆ ἀφανισμόν; §. διαναπαύουσι δὲ τῶν πόνων οἱ παρα- B = βολαί. καὶ ταπεινὴ μὲν ἡ εἰκών, ὅμως πᾶσι γνωστή. §. ἀπὸ κοινοῦ B = δὲ τὸ "συνέχε⟨υ⟩ε" (364).

363. ἀθύρματα] πιθανῶς παίγνιά φησι τὰ δώματα τῶν νηπίων. B =

364. * συνέχευε] συνέχεεν· οὐ γὰρ ἐκ λίθων ἦν, ἵνα εἴπῃ 'κατέβαλεν.'

ποσὶν καὶ χερσὶν ἀθύρων] ὅλῳ γὰρ ἐφάλλεται τῷ σώματι. B = §. χρὴ δὲ ἐπὶ τὸ "χερσίν" διαστείλαντα πρὸς βραχὺ ἐπάγειν καθ' B = αὑτὸ τὸ "ἀθύρων," ἵν' ᾖ τοῦ ὅλου ἐπεξήγησις· εἰ γὰρ συνάψομεν, ἔσται ἀθύρειν τὸ πατεῖν ἀκύρως.

365. ἧιε] Ἀρίσταρχος δασύνει, παρὰ τὴν ἕσιν τῶν βελῶν· ὁ δὲ A + B − Ἡρωδιανὸς ψιλοῖ· ἀεὶ γὰρ τὸ η̄ πρὸ φωνήεντος ψιλοῦται. οἱ δὲ

1. ὁ. ἐπὶ τὸ ἐρύουσι A ‖ 10. suppl. W ex Herodian. II 530 L. ‖ 14. ἂν ante ἀνὴρ omisi ‖ 17. ἧσει δ. ‖ 22. τῶν πόνων B: τὸν πόνον ‖ 30. συνάψομεν B: συνάψαιμεν

παρὰ τὴν ἴασιν ἢ παρὰ τὸ ἰέναι· ἥλιος γάρ. ἔστι δὲ περιπαθὴς ἡ ἀναφώνησις καὶ ἐμφαντικὴ τῆς δυνάμεως τοῦ θείου.

367. * ἐρητύοντο] τῆς ὁρμῆς ἐπείχοντο.

B= 369. εὐχετόωντο] δυστυχίας ἐπίτασις καὶ σωτηρίας ἀπόγνωσις εὐχὴ θεῶν. πιθανῶς δὲ τὰς τοῦ πλήθους ἐν κεφαλαίοις εἶπε, τὴν δὲ τοῦ εὐσεβεστάτου διεσάφησε καὶ ἐξειργάσατο Νέστορος. §. ἀπὸ μετοχῆς δὲ εἰς ῥῆμα· "τιτυσκόμενοι λάεσσί τ' ἔβαλλον" (Il. 3. 80).

371. χεῖρ' ὀρέγων] οὐ "χεῖρα," ἀλλὰ "χεῖρε" δυϊκῶς. §.
B= "ἀστερόεντα" δὲ οὐ τὸν τότε, ἀλλὰ τὸν φύσει ἀστερόεντα.

B= 372. ἐν Ἄργεϊ] Ἄργος ὅλην τὴν Ἑλλάδα. §. περισσὸς δὲ ὁ
B– "πέρ," ὡς "φυγόντι περ αἰπὺν ὄλεθρον" (Od. 17. 47). §.
B= πιθανὸν δὲ τὸ μὴ ὑπὲρ ὧν αὐτὸς ἔθυσε σωτηρίαν αἰτεῖν· οὐ γὰρ ὑπὲρ ἑαυτοῦ δέδοικεν, ἀλλ' ὑπὲρ ἁπάντων· διὰ τοῦτο τὴν κοινὴν εὐσέβειαν προβάλλεται.

373. ὅιος] τινὲς "οἰός," ἐπεὶ ἀεὶ δισυλλάβως, πλὴν τοῦ "νῶτον ἔθηκ' ὅιος" (Il. 9. 207). §. ἡ δὲ "κατά" πρὸς τὸ "καίων."

374. καὶ κατένευσας] ἐνέγκαι εἰς τὴν οἰκίαν.

B= καὶ κατένευσας] ἀμετάπτωτον ποιῶν τὴν ὑπόσχεσιν.

375. * τῶν] ἔδει 'τῷ.'

Ὀλύμπιε] τινὲς ⟨τὸν ἐν⟩ Ὀλυμπίᾳ, ⟨ἐπεὶ⟩ πλησίον Πύλου Πίσα.

376. * οὕτω] ὡς νῦν.

* Ἀχαιούς] ἡμᾶς.

B= 377. μέγα δ' ἔκτυπε] παιδευτικὰ καὶ ταῦτα ⟨διὰ τὸ⟩ ἐπισημαίνεσθαι τὸν θεὸν ἑνὸς ἀνδρὸς εὐχῇ· ἄκρως δὲ κεκράτηκε τῆς οἰκονομίας ὁ ποιητής. τὸ μὲν γὰρ μηδὲν ἐπιγενέσθαι τῷ πρεσβύτῃ σημεῖον ἀπίθανον, τὸ δὲ κατανεύειν ἤδη ἐναντίον· ὁ γὰρ μηδὲ Ἥρᾳ πειθόμενος ἀλλὰ φυλάττων τὴν πρὸς Θέτιν ὑπόσχεσιν πῶς ἂν
A+ ταχέως ἐπείσθη Νέστορι; §. Ζηνόδοτος δὲ γράφει "μέγα δ' ἔκλυε."

378. ἀράων αἴων] οὐ γὰρ ἐξολώλασιν Ἕλληνες ἀλλ' ἐνόστησαν.

379. * τὸ "ὡς" ἀντὶ τοῦ ἐπεί. §. πρὸς αὐτῶν δὲ οὗτοι τίθενται τὸ ἀγαθόν.

16. ἐπεὶ ἀείδει συλλάβως : corr. Bekker ‖ 16, 17. νῶτον δ' ἔ. ‖ 21. supplevi ‖ Ὀλυμπιά ‖ suppl. W ‖ 25. supplevi ex B ‖ 26. εὐχῇ B: εὐχὴν ‖ 27. μὴ δ' B

Digitized by Google

381. ὥς τε μέγα κῦμα] ἀεὶ ἑαυτὸν παρευδοκιμεῖ ὁ ποιητὴς ταῖς B= ὁμοιώσεσιν· τί γὰρ ἐναργέστερον ἢ ἐμφαντικώτερον ἢ καθάπαξ συμφωνότερον ταύτης τῆς εἰκόνος; χειμῶνι μὲν τὸν κίνδυνον εἰκάζει, σκάφει δὲ τὸ τεῖχος, τοὺς δὲ μετὰ βοῆς ἐπιόντας κύμασιν· οἱ δὲ Τρῶες ὑπερέβησαν τὸ τεῖχος ὡς κύματα ναῦν. §. τὸ δὲ "εὐρυπόροιο" B= ἀντὶ τοῦ μεγαλοπόρου, ἀναπεπταμένης· μείζονα γὰρ τὰ ἐν ⟨τῇ⟩ τοιαύτῃ θαλάσσῃ κύματα.

382. * νηὸς ὑπὲρ τοίχων καταβήσεται] ἀντὶ τοῦ ὑπὲρ τοὺς τοίχους. §. ὑψηλότερον γενόμενον τὸ κῦμα τῶν τοίχων τῆς νεώς. B+

384. * κατὰ τεῖχος ἔβαινον] κατέβαινον τὸ τεῖχος.

385. ἵππους δ' εἰσελάσαντες] πρὸς τὴν ἰδιότητα τῆς μάχης, ὅτι A— οἳ μὲν ἐπιβεβηκότες ταῖς πρύμναις, οἳ δὲ ἀπὸ τῶν ἵππων, ἵνα ἀφ' ὕψους μάχοιντο· ἐσήλασαν δὲ τοὺς ἵππους διὰ τῆς ὑπὸ Ἀπόλλωνος γενομένης κελεύθου.

ἐπὶ πρύμνῃσι μάχοντο] ἰδίωμά φησιν Ἀρίσταρχος γεγενῆσθαι B= περὶ τὴν μάχην. τῶν γὰρ Τρώων ἐντὸς τοῦ τείχους γεγονότων οἱ Ἕλληνες ἐπὶ τῶν πρυμνῶν μάχονται· διὸ Τρῶες, ὅπως ἀπὸ ἴσου βάλλωσιν ὕψους, ἀπὸ τῶν ἁρματείων δίφρων αὐτοὶ μάχονται, ὥστε ἀποστραφῆναι τοὺς ἵππους ὡς ἐπὶ τὴν Ἴλιον. ἔσονται δὲ καὶ οἱ ἡνίοχοι ὡς ἐπὶ τὴν πόλιν τετραμμένοι, τὰ δὲ νῶτα δόντες τοῖς πολεμίοις, οἱ δὲ παραβάται σκέποντες αὐτοὺς ἅμα καὶ μαχόμενοι· διὸ ὁ ἡνίοχος Πολυδάμαντος Κλεῖτος κατὰ τὸν αὐχένα βάλλεται (445).

386. αὐτοσχεδόν] αὐτόθεν, ἐκ τοῦ σύνεγγυς τόπου· τὴν γὰρ B= σύνεγγυς ἀντίστασιν σχεδίην καλοῦσιν. ἐκπλήσσων δὲ τὸν ἀκροατὴν ναυμαχίᾳ ἅμα ἱππομαχίαν κατέμιξεν.

388. * ξυστοῖσι] λείπει δόρασιν.

389. ναύμαχα] εἰκὸς ἀπὸ Μίνωος πεπολιτεῦσθαι ναυμαχίαν παρ' B— Ἕλλησιν· καὶ Ἀγαμέμνων "πολλῇσιν νήσοισι" ἦρχεν (Π. 2. 108). πεντηκόντεροί τε ἦσαν (Π. 2. 719)· ὅθεν οὐκ ἂν ναυσὶ φορ⟨τ⟩ηγοῖς μόναις ἐχρῶντο. πεφράχθαι δὲ αὐτὰς εἰκός, μὴ ἀνταναχθῶσιν οἱ Τρῶες. §. πεποίηται δὲ παρὰ τὴν μάχην, ὡς ἱπποκόμος παρὰ τὴν A—B—

2. τί sec.: τὸ pr. ut B ‖ 5. κύματα B: κῦμα ‖ 6. supplevi ex B ‖ 8, 9. τοὺς τοίχους D: τοῦ τείχους ‖ 11. ἰσότητα primitus scripserat pr. ‖ 14. κελευθείως sec. ‖ 16. Τρ. ἕως τοῦ B ‖ 18. βάλλοιεν ut B ‖ 22. Κλῖτος B ‖ 24. ἀκροατὴν B: θεατὴν ‖ 29. π. τε μόνον οὐκ ἂν ἦσαν ναυσὶ: corr. W ‖ suppl. sec. ‖ 30. αὐτοὺς



Digitized by Google

κόμην. ναυμάχος μὲν ⟨οὖν⟩ ὁ ἀνήρ, ὡς παμφάγος, ναύμαχον δὲ τὸ δόρυ τὸ ξυστόν.

B= κολλήεντα] ὑπὸ βλήτρων· φησὶ γοῦν καὶ "κολλητὸν βλήτροισι" (678). οἱ δέ φασι μήπω γνωρίζεσθαι ναυμαχίαν· ὅπως δὲ ἀναστέλλοιεν τοὺς ἀπὸ γῆς ε⟨ἴ⟩ργοντας, τοῦτο ἐπετήδευσαν.

B= στόμα] τὸ ἄκρον, παρὰ τὸ τμητικὸν εἶναι. δηλοῖ δὲ ὅτι οὐκ εἶχον κατ' ἄμφω τὰ μέρη σίδηρον, ἐπεὶ καὶ σαυρωτῆρες προσῆσαν τοῖς καταπηγνυμένοις εἰς γῆν· ἀλλ' ἐπὶ τῶν νεῶν ἔκειτο.

B= 390. Πάτροκλος δ', εἵως μέν] ὅταν ἐπὶ τὰ ἄκρα ἄγῃ τὴν ποίησιν, τότε ταῖς μεταβάσεσι χρῆται συνεχῶς, τὴν προσοχὴν τῶν ἀκροατῶν συνάγων· μεταβαίνει οὖν ἐπὶ τὸν Πάτροκλον νῦν· ἐπὶ τούτῳ γὰρ καὶ διατρίβειν αὐτὸν παρὰ τῷ Εὐρυπύλῳ ᾠκονόμησεν, ὅπως ἐκ τῆς ὄψεως κινηθεὶς ἐντονώτερον Ἀχιλλέως δεηθείη. πῶς δὲ ἐπιλαθόμενος Ἀχιλλέως τοσοῦτον χρόνον διάγει; ἢ οὐ πολὺς μὲν ὁ χρόνος, τὰ δὲ γεγονότα ποικίλα ἐν ὀλίγῳ καιρῷ.

392. * ἀγαπήνορος] ὑπὸ τῶν ἀνδρείων ἀγαπωμένου.

393. καὶ τὸν ἔτερπε λόγοις] τινὲς "ἔτερπε λόων"—τοὺς γὰρ νοσοῦντας ἔλουον· φησὶ γὰρ "εἰσόκε θερμὰ λοετρὰ ἐυπλόκαμος Ἑκαμήδη θερμήνῃ" (Il. 14. 6)—ἄμεινον δὲ "λόγοις·" φησὶ γοῦν ἀπιὼν "ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω" (401). §. καὶ Μένανδρος

B= "ἰατρός ἐστιν ὁ λόγος ἀνθρώποις νόσων· ψυχῶν ⟨γὰρ⟩ οὗτος μόνος ἔχει κουφίσματα" (fr. 23 M.). πρὸς τὸ μὴ συγκαταπίπτειν τῷ σώματι τὴν ψυχήν, ἀλλ' ὑπερορᾶν τὸ βάρος τοῦ σώματος. §. καὶ Λητὼ καὶ Ἄρτεμις τὸν Αἰνείαν κυδαίνουσιν (Il. 5. 447).

A+ 394. * ἀκήματα] διχῶς, καὶ "ἀκέσματα."

* ἔπασσε] ἐπέπασσε.

395. * τεῖχος ἐπεσσυμένους] τὸ ἑξῆς, ἐπὶ τεῖχος ἐσσυμένους.

A+ 398. * "ἔπος ηὔδα," οὐ "προσηύδα."

400. * ἐνθάδε] ⟨τὴν⟩ ἐν τόπῳ νῦν δηλοῖ σχέσιν.

401. * ποτί] πρός.

* τερπέτω] τῷ φαρμάκῳ.

B= 402. σπεύσομαι] ταχυνῶ, ἐνεργῶς πορεύσομαι.

1. κόμην Eust.: μάχην ‖ supplevi ex B ‖ 2. τὸ ξυστὸν scripsi: ἄξυλον ‖ 5. γῆς συμπολεμοῦντας B ‖ 7. ἐπεὶ καὶ scripsi cf. B: ἔπειτα γὰρ καὶ ‖ 8. ἔκειτο B: κειμένοις ‖ 9. ἀγάγῃ B ‖ 11. ἐρευνῶν μεταβ. B ‖ 13. δεηθῇ B ‖ 17. λόων Nauck, λοέων coni. Bekker: λούων ‖ γοῦν pro γὰρ Bekker ‖ 20. ποτιτέρπετο ‖ 21. supplevi ex B ‖ 22. ἔχει θελκτήρια schol. Aesch. Prom. 378

Digitized by Google

403. τίς δ' οἶδ', εἴ κεν οἱ] δῆλός ἐστι κεχειρωμένος τοῖς λόγοις Νέστορος (Il. 11. 792), δι' ὧν αὐτοὺς ἐπὶ μνήμης ἄγει. §. παρέλκει δὲ ὁ "κέν." §. "σὺν δαίμονι" δέ, ἐφαψαμένου θεοῦ. B=

404. ἀγαθὴ δὲ παραίφασις—ἑταίρου] ⟨ἡ⟩ ἐξ ἑταίρων γινομένη παραμυθία ἀγαθή, οὐχ ἡ δυνάμει ῥητορείας. διὸ οὐδὲ Νέστωρ ἀλλ' οἱ φίλοι πρεσβεύουσιν ἐν ταῖς Λιταῖς. B=

405. τὸν μὲν ἄρ' ὣς εἰπόντα πόδες φέρον· αὐτὰρ Ἀχαιοί] ⟨ἔδει⟩ τὸ ἑξῆς παραγαγεῖν, ὅτι ⟨ὁ Πάτροκλος⟩ παρίστατο τῷ Ἀχιλλεῖ (cf. Il. 16. 2)· ἀλλὰ τὸ διάστημα τῆς ὁδοῦ μέσην ἔχει τὴν μάχην. B=

πόδες φέρον] ὅτι οἱ πόδες αὐτὸν ἔφερον, οὐκ αὐτὸς τοὺς πόδας. AB= §. πρὸς Ζηνόδοτον ⟨ἡ⟩ ἀνα⟨φορά, ὅτι⟩ γράφει "ῥίμφ' ἑὰ γοῦνα φέρει" (Il. 6. 511). A=

406. Τρῶας ἐπερχομένους μένον] εἰκότως ἰσόρροπος ἡ μάχη· οἳ μὲν γὰρ ἐλπίδι τοῦ νικᾶν ἐφράξαντο, οἳ δὲ ἀπογνώσει σωτηρίας ἑστᾶσιν. B=

407. * παυροτέρους περ ἐόντας] ὅτι συμμάχοις ἐλάσσους Ἑλλήνων· οἳ δὲ ἀσθενεστέρους. A+B~

408. * ποτέ] ἀντὶ τοῦ ἐν τῷ μέρει τῆς ἡμέρας ταύτης.

409. * ῥηξάμενοι] διαστήσαντες.

* μιγήμεναι] πλησιάσαι.

410. ἀλλ' ὥς ⟨τε⟩ στάθμη] πρὸς τὸ ἀκριβὲς τῆς ἰσότητος. ἐν ἄλλοις μὲν ταλασιουργὸν παρέλαβεν, "ἥ τε σταθμὸν ἔχουσα καὶ εἴριον ἀμφὶς ἀνέλκει" (Il. 12. 434), νῦν δὲ ὑπὸ τέκτονος ἐμπείρου ἐξιθυνόμενον ξύλον πρὸς τὴν στάθμην· δυνατῶς δὲ πάντα φράζει. A~B—

* ὥς τε στάθμη δόρυ νήιον ἐξιθύνει] τοῦ γὰρ νηίου εἴ τις οὐκ ἀκριβώσει τὴν ἰσότητα, κινδυνεύ⟨σ⟩ει ἑτεροβαροῦς γινομένης τῆς νηός. B=

411. * τέκτονος ἐν παλάμῃσι δαήμονος, ὅς ῥά τε πάσης ⟨εὖ εἰδῇ σοφίης⟩] σημαίνει γὰρ ἄλλον τέκτονα.

412. εὖ εἰδῇ σοφίης] ἀντὶ τοῦ τέχνης· διό φασι μὴ εἶναι Ὁμήρου τὴν Ὀδύσσειαν, διὰ τὸ μὴ εἶναι ἐκεῖ σοφίαν· πᾶσαν δὲ τέχνην οὕτω καλοῦσι, σοφοὺς ⟨δὲ⟩ τοὺς τεχνίτας καὶ τὸν κιθαρῳδὸν σοφιστὴν Σοφοκλῆς (fr. 820 N.) καὶ τὸν ῥαψῳδὸν Εὔπολις (fr. 447 K.), οἱ δὲ φιλόσοφοι σοφίαν ⟨ἐπιστήμην⟩ εἶναι θείων καὶ ἀνθρωπίνων καὶ τῆς περὶ ἑκάτερον αἰτίας. A~B+ §. ὑποθημοσύναις δὲ ταῖς διδασκαλίαις. B=

4. supplevi ex A ‖ 7, 8. supplevi ex B ‖ 11. supplevi ex A ‖ ῥίμφ' ἑὰ A : ῥίμφα ἑ ‖ 13. ἰσορροποῦσιν οἱ B ‖ 21. τάλαντα ἕλκουσαν ἔλαβεν B ‖ 25. suppl. W ‖ 27. an δαήμονα τεκτονικῆς pro γὰρ ἄλλον τέκτονα? cf. εὖ εἰδῇ σοφίης] ἔμπειρος ἢ τεκτονικῆς A D ‖ 31. Εὔπωλις ‖ 32. suppl. W ex B

Digitized by Google

A= * *εὖ εἰδῇ σοφίης] ὅτι ἅπαξ ἐνταῦθα σοφίαν ὠνόμασε, καὶ οὐ τὴν λογικὴν ἀλλὰ τὴν τεκτονικὴν τέχνην.*

B= 413. *⟨ἐπὶ⟩ ἶσα μάχης τέτατο] πῶς ἴσοι τοσοῦτον πρότερον τῶν* Τρώων *⟨ὑπερεχόντων⟩; ἢ τάχα τὴν στάσιν, οὐ τὴν δύναμιν· οἱ μὲν γὰρ ἀπὸ τῶν νεῶν, οἱ δὲ ἀπὸ τῶν ἁρμάτων.*

B= 414. *ἄλλοι δ' ἀμφ' ἄλλῃσι] δαιμονίως παρακελεύεται τῷ ἀκροατῇ μείζω τὰ ἔργα ἡγεῖσθαι τῶν λόγων, ὡς ἔνια δὲ καὶ ὑπερβαίνων αὐτὰ ⟨ὑπο⟩νοεῖν ἡμῖν δίδωσιν.*

A= * *ὅτι ἐντεῦθεν ὁ ἐν τῇ τειχομαχίᾳ μεταπεποίηται στίχος* (Π. 12. 175). §. *⟨πύλαι ἀντὶ πύλης⟩· ἀρέσκει γὰρ* Ἀριστάρχῳ *μίαν εἶναι πύλην.*

B= 415. *ἐείσατο] ὥρμησεν. ἀκέσασθαι δὲ τὴν ἧτταν θέλει, ὑπὸ τῶν θεῶν ἐπικουρούμενος.*

416. * *μιῆς περὶ νηός] ἴσως τῆς* Πρωτεσιλάου.

* *ἐδύναντο] ἀνθ' ἑνικοῦ τοῦ ἐδύνατο.*

B= 418. *ἐπέλα⟨σ⟩σέ γε δαίμων] ὁ* Ἀπόλλων *ἢ ὁ* Ζεύς. §. *παρα-* B= *τήρει πάλιν τὴν προσθήκην, ὅτι τὴν ἐπὶ τὰς ναῦς παρουσίαν* Ἕκτορος *θεῷ ἀναφέρει.*

A– 419. Κλυτίοιο] *ὅτι οὗτος ὁ* Κλυτίος *ἀδελφός ἐστι* Πριάμου. "Λαομέδων *δ' ἄρα* Τιθωνὸν *τέκετο* Πρίαμόν *⟨τε⟩* Λάμπον *τε* Κλυτίον *θ'* Ἱκετάονά *⟨τ'⟩, ὄζον* Ἄρηος" (Π. 20. 237). *διὸ καὶ ἑξῆς φησιν* "Ἕκτωρ *δ' ὡς ἐνόησεν ἀνεψιόν*" (422). *ἀλλαχοῦ* "*καὶ* Δόλοπα Κλυτίδην" (Π. 11. 302), *υἱὸν* Κλύτου, *ἐπεὶ ἔδει* Κλυτιάδην, *εἰ μὴ συνέθλιψεν.*

420. *νῆα] τὴν ἀμφήριστον· προεῖπε γὰρ* "*τῷ δὲ μιῆς περὶ νηὸς ἔχων πόνον*" (416). *οὐ δεῖ οὖν γράφειν* "*νῆας.*" §. *ἀλλ' οὐδὲ τὸ μέτρον ἐπιδέχεται* "*νῆας*" *γράφειν.*

421. * *δαλός] οἱ νεώτεροι* Ἴωνες *δαυλός.*

425, 6. Τρῶες *καὶ* Λύκιοι—*μὴ δή πως] ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικόν.* §. *περισσὸς δὲ ὁ* "*πώ.*" *οὐ γὰρ προστάσσει νῦν μὲν μένειν, ὕστερον δὲ ὑποχωρῆσαι.*

B= 426. *στείνεϊ] τῷ μεταξὺ τῶν νεῶν καὶ τῆς τάξεως τῶν ἵππων* B= *στενῷ τόπῳ.*

3. *τοσοῦτον* B : *τοσούτων* ‖ 3, 4. supplevi ex B ‖ 4. *τάχα στάσει οὐ δυνάμει* B ‖ 8. supplevi ex B ‖ 9. *διεσκεύασται* A ‖ 13. *φυσώμενος* B ‖ 20. *τε* Ἰ. ‖ 23. *συνέθλιψεν* W : *ἐνέλειψεν* ‖ 24, 25. 'schol. olim ad v. 417 pertinebat cf. A; addita reliqua l. 25, 26, postquam loco motum est' W ‖ 29. *τὸ μικτόν*

Digitized by Google

427. σαώσατε] ἔδει ‘σαώσωμεν.’ §. ἀντὶ τοῦ ἐκ ⟨τοῦ⟩ σκυλευθῆναι ῥύσασθε, ἵν’ ἀβλαβῆ ἀπάξωμεν.

* μή μιν Ἀχαιοὶ τεύχεα συλήσωσι] ἀντὶ τοῦ αὐτοῦ, Ἀττικῶς. A+

428. * ἀγῶνι] τῇ ἀθροίσει.

431. Κυθήριον] τινὲς διὰ τῶν β′ ρ̄ρ̄· καὶ τοὺς Κυθηρρίους δημότας Ἀττικῆς φασιν, οὓς μᾶλλον οἰκείους εἶναι Αἴαντι.

432. * Κυθήροισιν ζαθέοισιν] διὰ τὸ ἱερὸν εἶναι Κύπριδος.

438. Κυθηρόθεν ἔνδον] ἐκ Κυθήρων ἐπιδημοῦντα τοῖς ἡμῶν οἴκοις.

439. τοκεῦσιν] Ζηνόδοτος “τέκεσσιν” οὐ πρέπει δὲ ταῖς ἡλικίαις. A+B=
§. Αἴαντος δὲ ἐκ Χειροβαφίας Φίλαιόν φασιν. §. ὅτι δὲ ἐτίμων οἱ
παλαιοὶ τοὺς γονεῖς, ⟨δῆλον ἀπὸ τοῦ λέγειν⟩ “μεμνῆσθαι πατέρος B=
καὶ μητέρος” (Od. 18. 267). οἱ δὲ ἐκ τούτων φασὶ καὶ ὁμομήτριον Αἴαντι Τεῦκρον εἶναι.

440, 1. ἰοὶ ὠκύμοροι] οἱ ταχέως τὸν μόρον πληροῦντες, “ὠκύμορος B−
δή μοι, τέκος, ἔσσεαι” (Il. 18. 95). §. “τόξον” (441) δὲ ἤτοι τὴν τοξικήν. AB+

442. * ξυνέηκε] ἀντὶ τοῦ ἤκουσεν.

444. ἰοδόκον] προπαροξυτόνως τινὲς ‘τὸν δεχόμενον ἰούς,’ ξεινο- A=
δόκον δὲ τὸν ξενίζοντα παροξυτόνως ἢ τὸν ξένους δοκεύοντα. ⟨καὶ⟩ Ἄτταλος δὲ παροξύνει.

* βέλεα] ἀντὶ τοῦ βέλος.

445. Κλειτόν] ⟨ὀξυντέον⟩ ὁμοίως τῷ ἐπιθέτῳ, ἐπειδὴ κόσμου ἐστὶ A=
τὸ ἐπίθετον.

447. * ὃ μὲν πεπόνητο καθ’ ἵππους] καθ’ ἵππους εἶχε τὸ ἔργον.

448. * τῇ] λείπει ‘κελεύθῳ.’

449. Ἕκτορι καὶ Τρώε⟨σ⟩σι χαριζόμενος] ἀθετοῦνται οἱ τρεῖς A+B−
(449–451). οἱ μὲν γὰρ ἐπίκουροι δεόντως ἂν λέγοιντο χαρίζεσθαι Ἕκτορι, ὡς Πάνδαρος “ἡγεόμην Τρώε⟨σ⟩σι, φέρων χάριν Ἕκτορι δίῳ” (Il. 5. 211). ἀνοίκειον δέ φησιν ὁ Ἀρίσταρχος ἐπὶ πολίτου τὸ “Τρώε⟨σ⟩σι χαριζόμενος.” καὶ διὰ τὴν πληγὴν ἀθετητέος ⟨ὁ στίχος⟩. πῶς γὰρ ἡνίοχος ὢν ὄπιθεν βάλλεται “αὐχένι γὰρ οἱ ὄπισθεν” (451); ἄτοπον γάρ ἐστι τὸ ἀπεστραμμένους εἶναι τοὺς δίφρους· ἐπρηνίσθησαν γὰρ ⟨ἂν⟩ οἱ παραβάται μόνον κινηθέντων τῶν

2. ῥύσασθε ἵν’ scripsi: ῥύσασθαι ‖ 5. Κυθηρεῖς ‖ 9. τοκεῦσιν textus: τόκοισιν ‖ Ζηνόδοτος etiam A: Ἀρίσταρχος B ‖ 10. δὲ ἐκ scripsi: γὰρ ἐκ ‖ ante Αἰ. γὰρ lacunam statuit W ‖ Χειροβαφίας corruptum ‖ 11. supplevi ex B ‖ 18, 21. supplevi ex A ‖ 27. φέρων χάριν B: χάριν φέρων ‖ 28. δὲ B: τε ‖ 29, 30. supplevi ex B ‖ 31. γάρ ἐστι B: γρ. (=γράφουσιν) αἱ Ἀριστάρχου

Digitized by Google

ἵππων εἰς τὴν πτέρναν ἑστῶτες τοῦ δίφρου. ποία τε χρεία τοῦτον ποιεῖσθαι περὶ τοὺς ταρασσομένους τῶν πολεμίων; ὅθεν ὑπονοεῖ ὁ Ἀρίσταρχος μετενηνέχθαι τοὺς στίχους. ῥητέον δὲ πρὸς ταῦτα, ὅτι χαρίζεται Ἕκτορι ἴσως καὶ αὐτὸς ὡς ⟨ἐπίκουρος⟩· Δαρδάνιος ⟨γὰρ ἦν⟩· φησὶ γοῦν περὶ Εὐφόρβου τοῦ ἀδελφοῦ Πολυδάμαντος, "Δάρδανος ἀνὴρ Πανθοΐδης" (Il. 16. 807) ἐπίκουρος ἦν. καθ' Ὅμηρον γοῦν ἄλλη ἐστὶν ἡ Τροία καὶ ἡ Δαρδανία. πῶς δὲ οὐκ εἰκὸς ἐπαινεῖν αὐτὸν τῆς προθυμίας, ὅπου μόνος ἐπιβαίνων τῷ δίφρῳ δίχα παραιβάτου πολεμεῖ ὡς Αὐτομέδων· "ὄπιθεν" δὲ βάλλεται ἴσως στραφείς· ποικίλη γὰρ ἡ κίνησις τοῦ πολέμου, ὡς καὶ αὐτός που φησὶν "ἠμὲν ὅτῳ στρεφθέντι
B– μετάφρενα γυμνωθείη" (Il. 12. 428). §. τὸ "ἔμπεσεν" (451) ἀντὶ τοῦ διῆλθεν, ὡς τὸ "αἰχμὴ δ' ἐξελύθη παρὰ νείατον ἀνθερεῶνα" (Il. 5. 293). αὐχένα γὰρ ὁ ποιητὴς τὴν πᾶσαν περιφέρειαν τοῦ τραχήλου φησίν. ἀντιπρόσωποι οὖν ἐμάχοντο. εἰ δὲ λέγοις 'καὶ πῶς ὠρέγοντο ἀλλήλων, μεσολαβούντων τῶν ἵππων;' καὶ Διομήδης τὸν ἑπταπέλεθρον Ἄρη τέτρωκεν (Il. 5. 858, cf. 21. 407).

A+ 450. * ἱεμένων] γράφεται καὶ "ἱεμένῳ."

451. * αὐχένι] ὅτι αὐχὴν πᾶς ὁ τράχηλος.

* ὄπισθε] Ἀριστοφάνης "πρόσθε" γράφει· καὶ ἔστι μᾶλλον εὔλογος ἡ γραφή.

B= 453. ἄναξ δ' ἐνόησε] ὁ ἄναξ τῶν ἵππων ἐναντίος ὑπήντησεν αὐτοῖς δίχα ἡνιόχου ἀπιοῦσιν.

456. εἰσορόωντα] ἢ φυλάσσοντα τοὺς ἵππους ἢ ἑαυτόν.

460. * μιν] ἀντὶ τοῦ αὐτοῦ.

A+B= 462. * Τεῦκρον] ἀντὶ τοῦ Τεύκρου.

463. * ἐυστρεφέα τε φαρέτρην] οὕτως ἄμεινον ἐκτείνειν ⟨τὸ ᾱ⟩.

B– ἀμύμονι τόξῳ] κατὰ μεταφορὰν τοῦ φοροῦντος ἢ ἄμωμον, "καὶ ἀμύμονος ἕρκεος αὐλῆς" (Od. 22. 442). ἀφοπλίζει δὲ τοὺς ἀριστεῖς φλέξαι θέλων τὴν ναῦ⟨ν⟩, νῦν μὲν Τεῦκρον, ἑξῆς δὲ Αἴαντα.

A+ 464. * ἐρύοντι] ἀντὶ τοῦ ἐρύοντος.

B= 465. χαλκοβαρής] ἐπὶ γὰρ τὸ χαλκωθὲν μέρος καταφέρεται τῷ βάρει.

B– 467. ἐπὶ μήδεα κείρει] τὸ ἑξῆς, ἐπικείρει· οὐκ ἐᾷ αὔξεσθαι· οἱονεὶ ἐπικόπτει τὰς βουλὰς ἡμῶν.

6. γοῦν B : οὖν ‖ 8. παραβάτου ‖ 10. ὅτῳ etiam textus ‖ 13. δὲ pro γὰρ B ‖ 15. ὡς post ἵππων ut B : omisi ‖ 16. Ἄρεα ut B ‖ 26. ἐυστρεφέων textus ‖ 28. ἑρκίου ‖ 29. τὰς ναῦς B

Digitized by Google

468. ὅ τε μοι βιόν] "ὅ τε" ἀντὶ τοῦ ὅστις· οἱ δὲ ⟨ἀντὶ τοῦ⟩ ὅτι· "ὅ τε με βροτοὶ οὔτι τίουσιν" (Od. 13. 129) ἀντὶ τοῦ ὅτι.

469. * νεόστροφον] τινὲς γράφουσιν "εὔστροφον." A+

470. πρώιον] ὅτι Ζηνόδοτος γράφει "πρῴην." §. ἔμφασιν δὲ ἔχει πλείονος χρόνου· τὸ δὲ "πρώιον" σημαίνει πρωίας. ἐν γὰρ τῇ κολῳ μάχῃ ἐν τῇ πρὸ ταύτης ἡμέρᾳ διερράγη ὑφ' Ἕκτορος, "ῥῆξε δέ οἱ νευρήν" (Il. 8. 328)· ὥστε εὔλογον, τῇ ἑξῆς ἡμέρᾳ πρωίας ἐμβαλεῖν τὴν νευρὰν ἐν τῷ τόξῳ. AB= AB=

* ἀνέχοιτο] δέχοιτο.

472. ταρφέας ἰούς] οὓς συνεχῶς βάλλεις κατὰ τῶν πολεμίων· οὐ γὰρ τῶν ἰῶν ἐπίθετον τὸ "ταρφέας." B=

474. ἑλὼν—δόρυ] εὐψύχου τὸ ἀντιπαρατάσσεσθαι τῇ τύχῃ καὶ μὴ ἀπολήγειν πρὸς τοὺς κινδύνους. B=

476. * ἀσπουδεί] ἀκμητί.

477. * μνησώμεθα χάρμης] μὴ προώμεθα τὴν μάχην. B+

480. κρατὶ δ' ἐπ' ἰφθίμῳ] ὅτι οὐκ εἶχον κόρυθας οἱ τοξόται. καὶ ἐπὶ τῶν Λοκρῶν "οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας" (Il. 13. 714). A=

482. * ἀκαχμένον ὀξέι χαλκῷ] τὴν ἀκὴν ὀξεῖαν ἔχον.

484. βλαφθέντα] βεβλαμμένα τῆς τῶν τόξων χρήσεως. B=

489. Διόθεν] ἀναγκαίως τὸ "Διόθεν," ἵνα τοὺς μὲν ἐπιρρώσῃ, τοὺς δὲ περιδεεῖς καταστήσῃ. τῇ οὖν ἀπὸ θεῶν ἐλπίδι ἀνεγείρει τὸν στρατόν. B=

490. ἀλκή] ἡ νίκη, ὅταν κατὰ προαίρεσιν θεοῦ γίνηται, φανερά ἐστιν. εἶπε δὲ αὐτῷ Ἀπόλλων "θάρσει νῦν· τοῖόν τοι ἀοσσητῆρα Κρονίων" (254) καὶ Ἶρις "εἰσόκε νῆας" (Il. 11. 208). B−

491. ὀτέοισιν] πλεονασμὸς τοῦ ε̄· οἱ δὲ τοῦ τέοισι πευστικοῦ ἀναφορικὸν τὸ "ὀτέοισιν."

ὀτέοισιν] τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα· ἀπὸ γὰρ τοῦ ὅτοισίν ἐστιν. A+B=

492. * ὅτινας] ἀπὸ τοῦ ὅτις ἀναφορικοῦ, ὃ καθ' ἓν μέρος λόγου ἐστίν· τινὲς τὸ ō ἀντὶ τοῦ ⟨οὓς⟩ πληθυντικοῦ. B−

* οὐκ ἐθέλῃσιν] ἀντὶ τοῦ μὴ θέλῃ.

494. ὕμεων] τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα· ἀπόλυτος γάρ ἐστιν· τινὲς δὲ παροξύνουσι διὰ τὴν μακράν, κακῶς. A−

5, 6. κολοβομάχη B, κόλλῳ μάχῃ ‖ 6. ῥῆξε Bekker: ἡ ‖ 7. ἐμβαλεῖν B: ἐνῆφθαι A, ἐνέβαλε ‖ 15. προώμεθα B, καταπροδῶμεν coni. W: καταπρόωμεν ‖ 17. εἶχον

Digitized by Google

AB= 495. * *βλήμενος ἠὲ τυπείς*] *ἡ διπλῆ πρὸς τὴν διαστολὴν τοῦ "βλήμενος" καὶ "τυπείς."*

B+ 496. *τεθνάτω· οὔ οἱ ἀεικές*] *κάλλιον ταῦτα τοὺς νέους ἀναγινώσκειν —ἐν βραχεῖ ⟨γὰρ⟩ καὶ δυνατῶς καὶ κατὰ τάξιν ⟨πάντα ἔγραψεν⟩ —ἢ ἃ* Τυρταῖος Λακεδαιμονίοις *ἔγραψεν* (fr. 10 B.). *ῥητορικῶς δὲ ἓν πρᾶγμα, τὴν πόρθησιν, εἰς πολλὰ κατεμέρισεν, ὡς καὶ τὸ "ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει, τέκνα δέ τ' ἄλλοι ἄγουσι"* (Π. 9. 593). *καὶ* Δημοσθένης *αὔξων τὴν* Μειδίου *κακίαν φησίν* (§ 20 p. 664 a S.)· *"καταδείσαντες τοῦτον καὶ τὸ τούτου θράσος καὶ τοὺς περὶ αὐτὸν ἑταίρους καὶ τὸν πλοῦτον ⟨καὶ⟩ τἄλλα δὴ ὅσα πρόσεστι τούτῳ ἔσχον ἡσυχίαν·" τὸ γὰρ ἁπλοῦν ⟨ἂν⟩ ἦν 'φοβηθέντες τοῦτον ἐσιώπησαν.'*

B~ *τεθνάτω*] *οὐ κεκράτηκε τῆς φράσεως . . . εἰπὼν 'ὃς ἂν θάνῃ, τεθνάτω·' ὃ μὲν γὰρ εἶπεν 'ὃς ἂν ἀποθάνῃ, ἀποθανεῖται μὲν κερδήσει δὲ πολλά.' ἢ ⟨ὁ⟩ "ἀλλά"* (497) *ἀντὶ τοῦ γάρ.*

B– 497. *ἄλοχος—σόη*] *ἀλλ' ἐγώ, φησί, πρὸ ἐκείνης ὤφειλον σῴζεσθαι· ἀγνοεῖ δέ, ὡς περὶ πολλοῦ τὴν τῶν γυναικῶν ὕβριν ἐποιοῦντο καὶ τὰς ψυχὰς ὑπὲρ τῶν οἰκείων ἐτίθεντο.*

* *σόη*] *εἴρηται καὶ σάος, ὅθεν σαώτερος, καὶ "σόον δ' ἀνένευσε"* (Π. 16. 252).

B= *καὶ παῖδες ὀπίσ⟨σ⟩ω*] *ἠδύνατο μὲν εἰπεῖν 'καὶ νήπια τέκνα,' ἀλλὰ τῷ σεμνοτέρῳ ὀνόματι τῶν παίδων χρῆται, παῖδας καλῶν τὴν πᾶσαν γενεὰν καὶ διαδοχήν. καλὴ δὲ καὶ ἡ προσθήκη τοῦ "ὀπίσσω," αἰωνίαν διαδοχὴν τοῦ γένους παριστᾶσα.*

B= 498. *καὶ κλῆρος ἀκήρατος, εἴ κεν Ἀχαιοί*] *εἰκότως πάντα ἐπεξεργάζεται, παραμυθίαν τῷ θανάτῳ ἐπιφέρων, ἀντιτιθεὶς τῷ θανάτῳ τὰ λυσιτελῆ.* §. *"κλῆρος" δὲ ἡ οὐσία καὶ ὁ πάλος· κλήρους γὰρ*

A+B– *ἔβαλλον περὶ τῶν μερίδων, "τοὶ δὲ ζωὴν ἐδάσαντο—καὶ ἐπὶ κλήρους ἐβάλοντο"* (Od. 14. 208).

B= 500. *μένος καὶ θυμόν*] *"μένος" τὴν προθυμίαν παρὰ τὸ μένω, "θυμόν" δὲ οἱονεὶ τὴν ὁρμήν, παρὰ τὸ θύω τὸ ὁρμῶ.*

4. ⟨*πάντα ἔγραψεν*⟩ supplevi ex B ‖ 7. *ἀμαθύνει* B: *ἀμαλθύνει* ‖ 9. *καταδείσαντες* B: *καταδήσαντες* ‖ *κ. γὰρ αὐτὸν καὶ* B ‖ 10. supplevi ex B ‖ *πρόσεστι τούτῳ* Demosthenis codd.: *πρὸς αὐτὸν τούτων* ‖ 10, 11. *ἡσυχίαν ἔσχον* Dem. codd., *ἔφυγον ἐκποδών* B ‖ 12. *τῆς συμβουλῆς* B ‖ lacunam, qua nomen critici cuiusdam maligni excidit, indicavit W ‖ 13. *ὃ μὲν* W: *ἐὰν* ‖ 14. suppl. Bekker ‖ 17. *προΐεντο* legit Eust. ‖ 23. *γένους* B: *τέλους* ‖ *παριστᾶσα* Victorius: *παριστάς* ut B ‖ 26. *ὁ πάλος* scripsi: *ἐπὶ* ‖ 28. *ἐδάσαντο* ‖ 29. post *μένω* omisi *ὅθεν παρήχθη τὸ μένος* ut B ‖ 30. *τὴν ψυχήν*

Digitized by Google

501. Αἴας δ' αὖθ' ἑτέρωθεν] οὐ μόνον ἔργοις ἀλλὰ καὶ λόγοις ἀλλήλοις ἀνταγωνίζονται. B=

502. αἰδώς, Ἀργεῖοι] λείπει 'ἐγγινέσθω.' καλὴ δὲ παρ' Ἕλλησιν αἰδοῦς ὑπόμνησις, οὐ φόβος ἀπειλούμενος καὶ νεκρὸς ἄταφος, ὡς παρ' Ἕκτορι (348). B=

ἄρκιον] ὠφέλιμον ἢ ἕτοιμον. B+

ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν] σωθῆναι καὶ ἀπώσασθαι· σωθῆναι μετὰ νίκης, ἐπεὶ τοῦ δίχα νίκης σωθῆναι κρείσσων ὁ θάνατος. B+

504. ἢ ἔλπεσθε] ἦθος καὶ εἰρωνεία καὶ βάρος, μεθ' ὑποκρίσεως αὐτοῦ τὰ ὡμολογημένα πυνθανομένου. B=

505. ἐμβαδόν] πεζῇ· ὅθεν ἡ μὴ πεζευομένη ἄβατος ⟨καλεῖται⟩. οἱ δὲ τὸν ἐμβατήριον ῥυθμόν, πρὸς ὃν Λακεδαιμόνιοι νικῶντες εἰσβάλλουσιν εἰς τὴν πατρίδα. AB=

506. ἢ οὐκ ὀτρύνοντος] διόλου παραφυλακτέον, ὅτι οὐκ ἀφίσταται τοῦ τῶν νεῶν κινδύνου, ὡς ἔσχατον κίνδυνον νομίζων. B=

* πάνυ ἐνεργῶς ἀπὸ τοῦ ὑπογύως πραχθέντος τὴν προτροπὴν λαμβάνει. B=

508. οὐ μὰν ἔς γε χορόν] ἐνέργειαν τοῦ χορεύειν· διὰ τοῦ ἐπικαλεῖσθαι "Τρῶες καὶ Λύκιοι" (486) οὐκ εἰς χορὸν αὐτοὺς καλεῖ. B=

509. ἡμῖν δ' οὔτις τοῦδε ⟨νόος⟩] τὸν Αἴαντα νῦν ἄριστον σύμβουλον προήγαγε τοῦ πολέμου ἀναγκάζοντος· ἄπεστι μὲν γὰρ ὁ βασιλεὺς ἱκανὸς καὶ εἰπεῖν καὶ πρᾶξαι τυγχάνων, ἄπεστι δὲ Ὀδυσσεὺς καὶ Διομήδης τραυματίαι γενόμενοι· ὁ δὲ Νέστωρ γέρων καὶ ἐπὶ τῶν νεῶν φαίνεσθαι ἀδύνατος. B=

510. * αὐτοσχεδίῃ] τινὲς μετὰ τοῦ ν̄. B= § οὐδὲν ἡμῖν ἐστι προτιμότερον ἢ χωρῆσαι εἰς χεῖρας. B=

511. βέλτερον] αἱρετώτερον καθ' ἕνα χρόνον τεθνάναι συντόμως μᾶλλον ἢ περ⟨ισσῶς⟩ κάμνειν ⟨ἐν⟩ πολυχρονίῳ μάχῃ οὕτως ὑπὸ χειρόνων πολεμουμένοις. A+B=

* ἕνα χρόνον] ἀντὶ τοῦ ἐν ὀλίγῳ χρόνῳ, συντόμως. B=

513. * ὧδε] ἀντὶ τοῦ οὕτως, οὐ τοπικῶς. A+

3. λ. τὸ γινέσθω B ‖ 8. κρείττων B ‖ 11. ἡ A: εἰ ‖ εἰ μὴ πεζεύοιτο B ‖ supplevi ex B ‖ 12. ἐμβ. πορθμὸν εἰς ὃν B ‖ 15. νομίζων scripsi cf. B: ὀνόμαζον ‖ 16. ἐναργῶς ut B ‖ 18. μάν etiam textus ‖ ἐν. τ. χ. corrupta ‖ τοῦ B: τὸ ‖ 18, 19. ἐπικαλούμενος B ‖ 19. βοᾷ καλῶν B, καλῶν ‖ 20. νῦν B: οὖν ‖ 23, 24. καὶ τῶν νέων φευγόντων φαίνεται ἀδυνατῶν B ‖ 25. ν̄ B: η̄ ‖ 27. ζῆν ἢ post χρ. ut B: omisi ut A ‖ 28. supplevi ex B ‖ 31. τοπικῶς Bekker: τοπικόν

Digitized by Google

B= ὑπ' ἀνδράσι χειροτέροισιν] ἀντὶ τοῦ ὑπ' ἀνδρῶν ἡσσόνων. γενναίου δὲ τὸ κἂν ταῖς ἐπιφοραῖς τῶν δεινῶν φυλάττειν τὸ φρόνημα, καὶ χείρους ἡγεῖσθαι ⟨καὶ⟩ νικῶντας τοὺς Τρῶας. ἅμα δὲ καὶ πρὸς ἐντροπὴν Ἑλλήνων τὸ ὑπὸ χειρόνων ἡττᾶσθαι.

A~ 515. Σχεδίον Περιμήδεος] ἔστι καὶ ἕτερος, Ἰφίτου παῖς· "ὃ δὲ Σχεδίον, μεγαθύμου Ἰφίτου υἱόν, Φωκήων ὄχ' ἄριστον" (Il. 17. 306).

516. * ἀρχὸν Φωκήων] τινὲς "ἀρχὸν Ἀθηναίων."

A+ 518. * Κυλλήνιον] Ἠλεῖον· ἐπίνειον γὰρ Ἤλιδος Κυλλήνη.

519. Φυλείδεω] τοῦ Μέγητος· ὁ γὰρ Φυλεὺς Ἠλεῖος ἦν καὶ ἀποικίαν ἤγαγεν ἐς τὰς Ἐχινάδας νήσους.

B= 520. ὕπαιθα λιάσθη] εἰς τοὔμπροσθεν ἀνεχώρησεν· ἤ, ὥς τινες, ἐκ πλαγίου ὥρμησεν, ὃ δὲ ἐπὶ τὸ ἔμπροσθεν ὁρμήσας ἄπρακτον τὴν βολὴν ἐποίησεν.

521, 2. οὐ γὰρ Ἀπόλλων εἴα Πάνθου υἱόν] ὡς Τρῶα καὶ ἀριστέα. τινὲς δὲ Πάνθουν Δελφόν φασιν, ἱερέα τοῦ Ἀπόλλωνος.

526. ⟨Λαμπετίδης, ὃν⟩ Λάμπος] ⟨Λάμπτος Λάμπετος⟩, ὡς πάχος πάχετος, πλεονασμῷ τοῦ ε̄, ἀφ' οὗ τὸ "Λαμπετίδης."

A+ φέρτατον ⟨υἱόν⟩] τῶν ἰδίων υἱῶν· ἔστι δὲ ἄλλος Δόλοψ ὑπὸ Ἀγαμέμνονος ἀναιρεθεὶς ἐν τῇ Λ (302)· "καὶ Δόλοπα Κλυτίδην."

527. Λαομεδοντιάδης] καὶ ἐν ἄλλοις "Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε Λάμπον τε Κλυτίον τε" (Il. 20. 237)· ἦν δὲ τὸ πατρωνυμικὸν αὐτοῦ 'Λαομεδοντίδης,' ἀλλ' ἐπλεόνασε τὸ ᾱ, ὡς ἐν τῷ Λαερτιάδης.

530. γυάλοισιν] ἀντὶ τοῦ γυάλῳ· "θώρηκος γύαλον" γοῦν πανταχοῦ φησιν.

A~ 531. ἐξ Ἐφύρης] τῆς ἐν Ἤλιδι, ἧς καὶ ἐν ἄλλοις μνημονεύει· "ἠ⟨ὲ⟩ καὶ εἰς Ἐφύρην ἐθέλει, πίειραν ἄρουραν, ἐλθεῖν" (Od. 2. 328)· οἱ δὲ τῆς Θεσπρωτίας.

A~ ποταμοῦ ἀπὸ Σελλήεντος] ποταμὸς Ἤλιδος ὁ Σε⟨λ⟩λήεις, ὃς ῥεῖ ἀπὸ Λασίωνος ὄρους· ἔστι δὲ καὶ Θεσπρωτίας.

532. Εὐφήτης] ζήτει περὶ τούτου τίς ἐστιν.

533. ἀλεωρήν] σκέπην, παρὰ τὸ ἀλέασθαι.

2. ἐπιφ. διαφυλάττειν τὸ B ‖ 3. supplevi ex B ‖ 4. ὅτι ὑ. χ. ἡττῶνται B ‖ 15. Τρῶια ‖ 19. φέρτατος lemma, φέρτατος ἀνδρῶν textus ‖ 23. Λαομεδοντιάδης: corr. Bekker ‖ 28. ἐθέλεις

Digitized by Google

534. ὅς οἱ καὶ τότε—ἤρκεσε] περιττὸς ὁ στίχος· ἤδη γὰρ εἶπεν ἀνωτέρω (529) "πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ."

536. κύμβαχον] τὸ διάκενον τὸ ὑπὲρ τῆς κορυφῆς, ὅθεν καὶ κύμβια, τοιουτώδη ποτήρια. εἰς τοῦτο δὲ καθίεται ὁ λόφος. εἴρηται δὲ παρὰ τὴν κεφαλήν· τὴν γὰρ κεφαλὴν κύμβην ἔλεγον· ὅθεν καὶ ⟨τὸ⟩ κυβιστᾶν. λέγει οὖν τὸ ἄκρον τοῦ κράνους, ἐπεξηγεῖται δὲ διὰ τῆς ἑξῆς λέξεως τὸ ὄνομα, διὰ τοῦ "ἀκρότατον." A— B+

538. νέον φοίνικι φαεινός] φοινικῷ χρώματι νεωστὶ λελαμπρυσμένος. B=

539. ἤλπετο νίκην] ἑκάτερος αὐτῶν δηλονότι. B=

541. εὐράξ] τὸ μὴ ἐκ πλαγίου ἀλλὰ κατὰ τοῦ ἔμπροσθεν ἢ ὄπισθεν, παρὰ τὸ εὖρος. B=

* εὐράξ] κατὰ πλάτος.

βάλε δ' ὦμον] τὸν δεξιὸν πάντως· εὔλογον γὰρ τὸν Μενέλαον μὴ τὰ γυμνὰ τοῦ σώματος ἔχοντα ἐναντία τοῖς ἐχθροῖς ἀνῃρηκέναι τὸν Δόλοπα, τὰ δὲ ὑπὸ τῆς ἀσπίδος ἐσκεπασμένα. B=

542. * μαιμώωσα] κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν φορούντων.

543. * ἐλιάσθη] ἀπεκλίθη.

544. * τὼ μὲν ἐεισάσθην] ὁ Μέγης καὶ ὁ Μενέλαος ὥρμησαν.

545. κασιγνήτοισι] συγγενέσιν, ἢ τοῖς ἀδελφοῖς· πρὸ δὲ τῶν ἀδελφῶν τὸν Μελάνιππον ὠνείδισεν. τινὲς δὲ ἔτι καὶ νῦν παρ' Ἴωσι τοὺς συγγενεῖς κασιγνήτους ⟨φασὶ⟩ καλεῖσθαι. ὁμοίως δέ φησι καὶ τὸ "ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε ἔται τε" (Π. 16. 674). B—

κασιγνήτοισι] ὅτι κασιγνήτους νῦν τοὺς ἀνεψιοὺς εἶπεν. A+

546. ἐνένιπεν] ἐπέπληξεν, ἀπὸ τῆς ἐνιπῆς, ἥ ἐστιν ἐπίπληξις. B=

547. * ὄφρα] τέως. A=

εἰλίποδας βοῦς] ἐπιβάλ⟨λ⟩ουσι γὰρ τῷ προτέρῳ ποδὶ τὸν ὀπισθίδιον πόδα. §. ἀνεψιὸς δὲ ὁ Μελάνιππος Ἕκτορος, "Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε Λάμπον τε Κλυτίον θ' Ἱκετάονά τ' ὄζον Ἄρηος" (Π. 20. 237).

548. * Περκώτῃ] Λαμψακηνῶν χώρα.

* δηίων ἀπονόσφιν] ἀπὸ τῶν ⟨δηίων⟩ νόσφιν.

550. * μετέπρεπε] διέπρεπεν.

3. διάκενον etiam A B: κάτακρον D, ἄκρον Et. M. s. v. ‖ κορυφῆς etiam A: κεφαλῆς B, τῆς περικεφαλαίας D Et. M. ‖ 6. supplevi ex B ‖ 7. ἑξῆς ante διὰ omisi ut A ‖ 10. οὐ τὸ ἐκ B ‖ ἀλλὰ τὸ κατὰ τὸ B ‖ 13. δ. ὦμον εὐλ. B ‖ 21. supplevi ex B ‖ 22. ταρχύσωσι ‖ 24. ἐνένισπεν ‖ 26. suppl. Bekker ‖ 28. θ' scripsi: τε

Digitized by Google

B= 553. οὕτω δή, Μελάνιππε] οὕτω νῦν. ὃν τρόπον νῦν μεθίεμεν, ⟨οὕτω μεθήσομεν⟩ καὶ οὐκ ἀντιληψόμεθα τῶν πραγμάτων;

A= 554. * ἀνεψιοῦ] ἐκτατέον τὴν ψι διὰ τὸ μέτρον.

A + B— 555. περὶ τεύχε᾽ ἕπουσιν] ἡ "περί" πρὸς τὸ "ἕπουσι·" τὸ γὰρ ἕπω ἐν τοῖς ἐνεργητικοῖς κινήμασι παρὰ τῷ ποιητῇ προθέσει συντάσσεται ὡς ἐπὶ τὸ πλεῖστον. διὸ τὸ "οὐ μὲν δὴ τόδε μεῖζον ἔπει κακόν" (Od. 12. 209), ἀντὶ τοῦ περιέπει.

* τεύχεα] λείπει 'συλῆσαι.'

B= 556. ἀλλ᾽ ἕπευ] ἀλλ᾽ ἕπου· τῆς γὰρ πρὸς Ἀργείους οὐκ ἀποστατέον μάχης, πρὶν ἢ κατακτείνωμεν ἢ ἐκεῖνοι ἡμᾶς ⟨ἀν⟩ελόντες τὴν Ἴλιον πορθήσωσιν. μέγας οὖν καὶ τελευταῖος ἀγὼν πρόκειται, ὥστε ἀναγκαῖον καὶ τὸν ἀκροατὴν τῷ ἀκμαιοτάτῳ τούτῳ μέρει τῆς ποιήσεως προσ⟨σ⟩χεῖν.

557. κατ᾽ ἄκρης] ὁλοτελῶς· "ἔλασεν μέγα κῦμα κατ᾽ ἄκρης" (Od. 5. 313) οἷον ὅλον αὐτὸν ἐβάπτισε τὸ κῦμα.

B= 563. αἰδομένων δ᾽ ἀνδρῶν] τῶν αἰδουμένων ἀλλήλους καὶ ἀγωνιζομένων πλείους σῴζονται ἤπερ φονεύονται· ἐπὰν δὲ φύγωσι, καὶ ἀδοξία καὶ ἀσθένεια αὐτοὺς καταλαμβάνει.

567. * ἕρκεϊ χαλκείῳ] στερεῷ, τῷ διὰ τῶν ἀσπίδων.

B— 568. Ἀντίλοχον δ᾽ ὤτρυνε βοὴν ἀγαθὸς Μενέλαος] φαίνεταί τις ὑποῦσα αὐτοῖς φιλία διὰ τὴν γειτνίασιν, "Νέστωρ φάσχ᾽ ὁ γέρων, ὅτ᾽ ἐπιμνησαίμεθα σεῖο" (Od. 4. 191)· τό τε ὁμότροπον ἐχυρὸν πρὸς φιλίαν· καὶ ἐν ἑτέροις δέ φησι "περὶ γὰρ δίε ποιμένι λαῶν, μή τι πάθῃ" (Il. 5. 566)· καὶ μετὰ τὴν παράβασιν τῶν ὅρκων πρῶτος πολέμιον ἀνεῖλεν (Il. 4. 457).

570. θάσσων] τῶν ἡλικιωτῶν· ἢ ὡς καὶ ἐπὶ Αἴαντος, "οὐ γάρ οἵ τις ὅμοιος ἐπισπέσθαι ποσὶν ἦεν ἀνδρῶν τρε⟨σ⟩σάντων" (Il. 14. 521). §. τὸ δὲ "οὐδ᾽ ἄλκιμος" πρὸς τὸ "πρῶτος δ᾽ Ἀντίλοχος" (Il. 4. 457) ἀναφέρεται.

571. εἴ τινά που—βάλοισθα] ὅτι τῷ εὐκτικῷ ἀντὶ τοῦ προστακτικοῦ ἐχρήσατο, ὥς φησι Διονύσιος.

B= 574. ἀμφί ἑ παπτήνας] τὰ περὶ ἑαυτοῦ σκοπήσας, μή τις αὐτὸν ἐξαλλόμενον τῶν ἄλλων βάλῃ, ὡς καὶ Ὀδυσσεύς (Il. 4. 497).

1. νῦν om. B ‖ 2. supplevi ex B ‖ ἀ. τῶν συγγενῶν B ‖ 3. ἐκτατέον A: ἐκλυτέον pr. κλιτέον sec. ‖ ψι A: ψ ‖ 6. διὸ W: διὰ ‖ οἱ μὲν ‖ 7. περιέπειν ‖ 10. suppl. W ‖ 13. supplevi ex B ‖ 17. πλείονες B ‖ 21. φάσκ᾽ ‖ 22. δὲ B pro τε ‖ ὀχυρὸν B ‖ 23. δεῖε ποιμένα

Digitized by Google

*ὑπὸ δὲ Τρῶες κεκάδοντο* ⟨*ἀνδρὸς ἀκοντίσσαντος*⟩] *ὑπὸ δὲ αὐτοῦ ἀκοντίσαντος ἐχωρίσθησαν οἱ Τρῶες.* B=

577. *νισσόμενον πόλεμόν*⟨*δε*⟩] *οὐχ ὡς νῦν αὐτοῦ πρῶτον ἐξιόντος, ἀλλ' ὡς διὰ τὴν προτροπὴν Ἕκτορος ἐπὶ τὸ δρᾶσαί τι ὁρμῶντος.* B=

580. *θορόντα*] *ἐπεὶ πτοηθεὶς ἐξάλλεται τῆς κοίτης.*

581. *ἐτύχησε βαλών*] *τυχὼν ἔβαλεν. τοσοῦτον δὲ Ἀντίλοχος μείζων Μελανίππου, ὅσον νεβροῦ κύων. τὸ ἀδεὲς δὲ καὶ ταχὺ καὶ πρόθυμον τοῦ Ἀντιλόχου ἐδήλωσεν.* B=

586. *ἀλλ' ὅ γὰρ ἔτρεσε* ⟨*θηρὶ κακὸν ῥέξαντι ἐοικώς*⟩] *δαιμονίως τῇ παραβολῇ κέχρηται· καὶ* ⟨*γὰρ*⟩ *ἡ φυγὴ τούτῳ κατὰ πρόνοιαν, οὐ κατὰ δειλίαν γίνεται.* B=

*θηρὶ—ἐοικώς*] *καλῶς οὐκέτι παραβέβληται κυνὶ—οὐ γὰρ ἔδει τὸν ἥρωα φεύγοντι κυνὶ εἰκάζειν—ἀλλὰ λέοντι, οὐ δεδιότι τοὺς ἐναντίους, ἀλλ' ἔφοδον πλειόνων* ⟨*ὑφορωμένῳ*⟩ *ἀγροίκων.* B=

593. *νηυσὶν ἐπεσσεύοντο, Διὸς δ' ἐτέλειον ἐφετμάς*] *τοῦτο γὰρ εἶπεν ὁ Ζεύς· "εἰσόκε νῆας ἐυσ*⟨*σ*⟩*έλμους ἀφίκηαι"* (Il. 11. 208) *καὶ "τρέψω δ' ἥρωας Ἀχαιούς"* (261).

594. * *ἤγειρε μένος μέγα*] *ὥστε γίνεσθαι μέγα· ἢ μεγάλως.*

*θέλγε*] *ἐπὶ τὸ χεῖρον· ἀναπτεροῖ δὲ τὸν ἀκροατὴν προσδοκῶντα τὸν ἐμπρησμόν.* B=

598. * *ἐξαίσιον*] *ἄδικον—τοὐναντίον γὰρ ἐναίσιμα τὰ καθήκοντα* ⟨*καὶ δίκαια*⟩—*ἢ ὑπεραγόντως μεγάλην.* B=

*ἀρήν*] *αἴτησιν—καὶ γὰρ ἡ εὐχὴ αἴτησις παρὰ τοῦ θεοῦ τυγχάνει—ἢ τὴν καθ' Ἑλλήνων κατάραν. ὡς φιλέλλην δὲ λοιδορεῖ τὴν εὐχὴν Θέτιδος· "ἐξαίσιον" γὰρ τὴν ἔξω τοῦ αἰσίου γινομένην φησίν, οἷον τὴν παρὰ τὸ ὅσιον, ὅπερ σημαίνει τὸ αἴσιον.* B–

599. *τὸ γὰρ μένε μητιέτα Ζεύς*] *μεγαλοφυῶς θεατὴν καθίστησι τὸν Δία τῶν γινομένων.*

601. *ἔμελλε παλίωξιν—θησέμεναι*] *ἐπιστάμενος τοὺς ἀκροωμένους ταῖς Ἑλληνικαῖς συμφοραῖς ἀχθομένους εὐέλπιδας ἀπεργάζεται τῇ τῆς μελλούσης νίκης προεκθέσει.* B=

*ἔμελλε*] *Ἀριστοφάνης Ἰακῶς γράφει "μέλλε."* A=

2. *διεχωρίσθησαν* B ‖ 3. *οὐ νῦν πρ. ἐξιόντα* B ‖ 4. *τροπὴν* B ‖ *ὁρμῶντα* B ‖ 5. *ἢ* ante *ἐπεὶ* omisi ‖ 7. *ὅσον* B: *ὡς* ‖ 8. *δηλοῖ* B ‖ 10. supplevi ex B ‖ 13. *φεύγοντα* B ‖ 14. supplevi ex B ‖ 16. *εἰσόκε* scripsi: *καὶ* ‖ 18. *μέγα μένος* textus ‖ 19. *ἠπάτα* post χ. add. B ‖ 22. supplevi ex B ‖ 23. *ἡ εὐχὴ* B: *ἡσυχῇ* ‖ 30. *συναχθομένους* B ‖ 32. *Ἀρίσταρχος* coni. M. Schmidt ‖ *μέλλε* Villoiso: *τοῦ μέλας* A, *μέλλει*

B= 605. *μαίνετο δ' ὡς ὅτ' Ἄρης] ἐνεργῶς ἐκινεῖτο τῷ σώματι. καὶ χαλεπὸν μὲν ὅμως εἰς ἔννοιαν ἐλθεῖν καὶ σωφρονοῦντος Ἄρεος, ὃ δὲ τὸ "μαίνετο" προσέθηκεν. καὶ οὐ μέχρι τούτου τὴν εἰκόνα ἵστησιν, ἀλλ' ἀφρίζειν τε αὐτῷ φησι τὸ στόμα τρόπον θηρίου καὶ τὰ ὄμματα λάμπειν ὥσπερ ἐνθουσιῶντος.*

*ὡς ὅτ' Ἄρης] πᾶσι τοῖς δεινοῖς αὐτὸν εἴκασεν, Ἄρει μαινομένῳ καὶ πυρὶ ὕλης ἐπειλημμένῳ.*

606. *τάρφεσιν] ἀπὸ τοῦ τάρφος. §. καὶ "βαθέης" δίχα τοῦ ῑ. §. καλῶς δὲ καὶ τῷ πυρὶ τροφὴν δασείας ὕλης δέδωκεν.*

B+ 607. *ἀφλοισμός] ἀφρὸς κατὰ Αἰτωλούς· οἱ δὲ τὸν ἀφρισμόν· οἱ δὲ οὐκ ἄπωθεν τοῦ φλοισμοῦ.*

*τὼ δέ οἱ ὄσσε] καὶ ἀλλαχοῦ "νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια"* (Il. 12. 463).

608. *ἀμφὶ δὲ πήληξ—τινάσσετο] τετύπωκε τὸν κορυθαίολον.*

A~B+ 610–4. *Ἕκτορος· αὐτὸς γάρ οἱ] ἀθετοῦνται στίχοι έ ὡς περιττοί· οὐδὲ παρὰ Ζηνοδότῳ δὲ ἦσαν οἱ έ· οὐ γὰρ διὰ τὸ ὀλιγοχρόνιον ἐτίμα αὐτόν· καὶ ὅτι "ἀπ' αἰθέρος"* (610)· *ἐπὶ γὰρ Ἴδης ἦν* (scil. *ὁ Ζεύς*). *καὶ διὰ τοῦ "μαρναμένοιο"* (609) *νοεῖται ⟨τὸ⟩ Ἕκτορος. τινὲς δὲ τὸν "γάρ" ἀντὶ τοῦ δέ, ὡς "αὐτίκα γάρ μοι ὀίσατο θυμὸς ἀγήνωρ ἄνδρ' ἐπελεύσεσθαι"* (Od. 9. 213). *καὶ ἀνάγεται ἡ φράσις εἰς τὰ τοιαῦτα "οὐδ' ἄρ' ἀπ' ἀσφάραγον μελίη τάμ ν —ὄφρα τί μιν προτιείποι"* (Il. 22. 328)· *"ἦλθε δ' ἐπὶ νότος ὦκα—ὄφρ' ἔτι τὴν ὀλοήν"* (Od. 12. 427). *"ἀπ' αἰθέρος"* (610) *δέ, ὅ⟨τι⟩ αἰθέριος Ζεύς· καὶ ἡ πρόληψις δὲ σχῆμα ποιητικόν. προσεκτικόν τε ταῦτα τὸν ἀκροατὴν καὶ περιπαθέστερον ἀπεργάζονται. καὶ τοῦ λέγοντος χρηστὸν ⟨τὸ⟩ ἦθος, καὶ ὡς ἀπὸ συναλγοῦντος ἡ πίστις.*

616. * *ἣ δή] καθ' ἣν ὁδόν.*

618. * *ἴσχον] ἐπεῖχον αὐτόν.*

B= *πυργηδόν] ἡ μὲν ἐμβολὴ τῶν βαρβάρων κύμασιν εἴκασται ταχὺ διαλυομένοις, ἡ δὲ τῶν Ἑλλήνων καρτερία τῷ τῆς πέτρας ἀκινήτῳ καὶ δυσπαθεῖ.*

1. *ἐνεργῶς* scripsi cf. D: *ἐναργῶς* ut B ‖ 2. *ἔννοιαν ἐλθεῖν* Dindorf: *εὔνοιαν ἀνελθεῖν* ut B ‖ 10. *ἀφρὸς* etiam Eust.: *ἀφρισμὸς* B D ‖ 17. *ἐπὶ* W: *ἀπὸ* ‖ 18. supplevi ex B ‖ 24. supplevi: *ὅτι* ante *ὁ* add. B ‖ 25, 26. *ἐργάζονται* B ‖ suppl. Bekker ‖ 27. *ἡ πίστις* B: *ἠπίστησεν*

Digitized by Google

619. * ⟨πέτρη⟩ ἠλίβατος] ψιλοῖ ἡ παράδοσις· παρὰ γὰρ τὸ ἀλιτεῖν ἐστι τοὺς ἐπιβαίνοντας αὐτῆς. A+B=

620. * λιγέων ἀνέμων] ἦχον ἀποτελούντων τῇ βίᾳ. B=

* κέλευθα] ἰδίως τὰς ἐφόδους. B=

621. * τροφόεντα] τρόφιμα.

τά τε προσερεύγεται ἀκτῇ] Ἀρίσταρχος "αὐτήν," δηλονότι τὴν πέτραν, ἵν' ᾖ τὰ ὑπὸ θαλάσσης πρὸς αὐτὴν ἐξωθούμενα. A+B–

623. * λαμπόμενος πυρὶ πάντοθεν] περιλαμπόμενος ὑπὸ τῶν ὅπλων ὡς ὑπὸ πυρός. B=

624. ἐν δ' ἔπεσ' ὡς ὅτε κῦμα] πεπύκνωται ταῖς παραβολαῖς ὁ τόπος πρὸς ἔμφασιν τῶν πραγμάτων. §. ἡ δὲ "ἐν" ἐμφαίνει τὴν βίαν τοῦ κύματος· εἰς ἐπίτασιν δὲ πρόσκειται "ἀνεμοτρεφές" (625). B=

§. εὖ τὸ μὴ φάναι ἐπῆλθεν ἢ ἐπέδραμεν ἀλλ' 'ἐνέπεσε,' σφοδρὰν τὴν βίαν δηλῶν. B=

625. ὑπαὶ νεφέων ἀνεμοτρεφές] ηὐξημένον ὑπὸ ἀνέμου, ὡς εἶναι ὑποκάτω τῶν νεφῶν καὶ πλησιάζειν αὐτοῖς. οἱ δὲ "ἀνεμοτρεφές" τὸ εὔτονον. καὶ Σιμωνίδης "ἀνεμοτρεφέων πυλάων" (fr. 230 B.) εἴρηκεν· ὁ δὲ κόμπος τῶν λεγομένων καὶ ὁ ψόφος τῶν ὀνομάτων οὐκ ἐᾷ ἰδεῖν τὴν ναῦν ἀφρῷ κεκαλυμμένην. A+B–

ἡ δέ τε πᾶσα] πᾶσα δὲ ἡ ναῦς τῷ ἀφρῷ τοῦ κύματος κρύπτεται. AB=

626. δεινὸς ἀήτης] ὅτι ἀρρενικῶς "δεινὸς ἀήτης·" ἔνιοι δὲ ἀγνοήσαντες πεποιήκασι "δεινὸς ἀήτη," ὡς "κλυτὸς Ἀμφιτρίτη" (Od. 5. 422). ἡ γὰρ ἀρσενικὴ ἐκφορὰ ἐμφαντικώτερον τὸν λόγον ἀπεργάζεται καὶ τὸν ἄνεμον σφοδρότερον δείκνυσιν. A+B=

* ἄχνῃ] Ζηνόδοτος δίχα τοῦ ῑ τὸ "ἄχνη." A=

627. * ἱστίῳ ἐμβρέμεται] προσλακτίζων αὐτῷ, τῇ βίᾳ δηλονότι. B=

ναῦται] οἱ ἐν τῇ νηί· "ἢ ναύτῃσι τέρας" (Il. 4. 76)· ὁ δὲ Αὐτόχθων πρὸς ἐπίτασιν τοῦ κινδύνου φησίν· ἐπιβάτας γὰρ καὶ βραχὺς κίνδυνος κλονεῖ, ἐπὶ τοὺς ναύτας δὲ ὁ φόβος φθάνων μέγεθος κινδύνου μεγίστου παρίστησιν. B–

628. τυτθὸν γὰρ ὑπὲκ θανάτοιο φέρονται] τὸ τυχὸν γὰρ ἀπέχουσι τοῦ θανάτου. πρῶτος δὲ εἶπε τὸ Ἀναχάρσιδος τοῦ Σκύθου, ὃς ἐρόμενός τινα τῶν ναυτῶν πόσον ἀπέχομεν τοῦ ὕδατος καὶ μαθὼν A+B–

14. ἐμφαίνων B ‖ 17. πυλᾶν coni. Bergk ‖ 20. τῷ ἀφρῷ τοῦ κ. B : ἀφρῷ τῷ τοῦ κ. ‖ 23. ἀητή // ‖ κλυτὸς δὲ B ‖ 27. προσλακτίζων B: προσλακτίζον ‖ 33. πρῶτος etiam A B ‖ εἶπε τοῦτο Ἀνάχαρσις ὁ Σκύθης B



Digitized by Google

*ὡς τέσσαρας δακτύλους τοσοῦτόν φησι καὶ τοῦ θανάτου. καὶ* Ἄρατος (Phaen. 299) "*ὀλίγον δὲ διὰ ξύλον*" *καὶ* Καλλίμαχος "*μέσον ἐπὶ ναύταις*" (fr. 515 Schn.).

B= 629. *ἐδαΐζετο*] *διεκόπτετο ἡ ψυχὴ ἀγωνιῶσα. πρὸς τὸ τελευταῖον δὲ τῆς παραβολῆς τὸ* "*τρομέουσι δέ τε φρένα ναῦται*" (627) *τὴν ἀνταπόδοσιν ἐπήγαγε τῆς παραβολῆς.*

B= 630. *ὥς τε λέων*] *πολλὰς ἤδη ἐφόδους λεόντων παρέλαβεν εἰς ὁμοίωσιν, νῦν δὲ ἐξεῦρέ τι καινόν· ὑπόκειται γὰρ πρωτόπειρος νομεὺς ἀνεπιστήμων τῆς πρὸς λέοντας μάχης. καὶ νεμομένας τὰς βοῦς παρέλαβεν, εἰκότως· οὐδὲ* ⟨*γὰρ*⟩ Ἕλληνες *ἐπὶ παρατάξεώς εἰσιν ἀλλ' ἐσκεδασμένοι, ὥστε καὶ εὔκολον εἶναι τὴν ἐπιχείρησιν διὰ τὸ ἄτακτον.*

* *λέων ὀλοόφρων*] *ἄδηλον, εἰ ὁ φύσει ὀλοόφρων.*

B— 631. *εἱαμενῇ*] *καθύδρῳ τόπῳ. καὶ οἱ μὲν παρὰ τὴν ἄνεσιν καὶ ἀνάδοσιν τῶν λιβάδων, οἱ δὲ τοὺς τόπους ἐξ ὧν τοῦ ὕδατος ὑπεκρυέντος πόαι γίνονται, οἱ δὲ παρὰ τὸ ἕω, ἔνθα ἵσταται ὕδωρ καὶ συνῆκται.*

B= 632. *οὔ πω σάφα εἰδώς*] *οὐ κατ' εὐτονίαν σώματος—οἷος δήποτε γὰρ ἂν ᾖ, οὐ δύναται εἷς ὢν πολεμεῖν λέοντι—ἀλλὰ κατ' ἐμπειρίαν· ὁ γὰρ ἔμπειρος τῆς πρὸς τὸ θηρίον μάχης ἢ κύνας προαφῆκεν ἢ λαμπάδας προσάγει.*

B= 633. *ἕλικος*] *τὸ ἁπλοῦν ἀντὶ συνθέτου, ὡς καὶ* Διονύσιός *φησιν,*
B= *ἀντὶ τοῦ εἰλίποδος.* §. "*φονῇσι*" *δὲ τῷ φόνῳ, ἢ τῷ τόπῳ ἔνθα πεφόνευται ὑπὸ τοῦ λέοντος.*

A+ 634. *πρώτῃσι καὶ ὑστατίῃσι βόεσ*⟨*σ*⟩*ιν*] *ὁ* "*καί*" *ἀντὶ τοῦ ἤ, ὡς τὸ* "*μειλιχίοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ*" (Il. 21. 339)· *ἢ οὕτως· ποτὲ μὲν πρώταις, ποτὲ δὲ ὑστέραις.*

635. * *ἐν μέσσῃσιν*] *σόλοικον, εἰ μὴ ἀντὶ τοῦ* '*εἰς μέσας.*'

637. *ὑφ'* Ἕκτορι *καὶ* Διὶ *πατρί*] *αὔξει* Ἕκτορα *συγκαταλέγων αὐτὸν τῷ* Διί.

639. Κοπρῆος] Κοπρεὺς *παῖς τοῦ* Ἠλείου Πέλοπος· *ἔστι δὲ καὶ ἄλλος* Βοιώτιος, Ἁλιάρτου *παῖς.*

** *ὃς* Εὐρυσθῆος] *φασὶν* Ἥρας *αὐτῷ παραστάσης ἐπιτάσσειν·*

2. *ὀ. δείδια ξ.* B ‖ *μέσσον ἔπι* coni. Schneider, *μεῖστον ἐπεὶ* Dilthey ‖ 8. *ὑπόκειται* W: *πρόκειται* ut B ‖ *ἄπειρος* coni. W ‖ 10. supplevi ex B ‖ 15. *ἐξ ὧν* scripsi: *ἀφ' ὧν* B, *ἐξ οὗ* ‖ 16. *ἑῶ* ‖ 18. *ἂν ᾖ* scripsi: *ἂν ἔοι* B, *ἔοι* ‖ 19. *προσαφῆκεν* ut B ‖ 22. *τῷ φόνῳ* B: *τοῦ φόνου* ‖ 30. *Κ. Πέλοπος παῖς τοῦ Ἠλείου* coni. W ex Apoll. bibl. II 5, 1 *Κ. Πέλοπος τοῦ Ἠλείου*: *ἡλίου παῖς τοῦ Πέλοπος*

Digitized by Google

τὸν δέ, Ἑρμοῦ καὶ Ἀθηνᾶς εἰπόντων ὡς διὰ τοῦτο ἔσοιτο ἀθάνατος, καταδέχεσθαι· οἱ δὲ παιδικὰ Ἡρακλέους θέλουσιν Εὐρυσθέα· διὸ χαριζόμενον αὐτῷ ἐπιτάσσεσθαι τοὺς ἄθλους.

640. * οἴχνεσκε] ἐπορεύετο, παρὰ τὸ ἴχνος.

641. * τοῦ γένετ' ἐκ πατρὸς πολὺ χείρονος υἱὸς ἀμείνων] οὐκ εὖ ἡ σύγκρισις.

ἐκ πατρὸς—χείρονος υἱὸς ἀμείνων] οὐ κεκράτηκε τῆς φράσεως, ὥς φησιν Ἄτταλος· τὸν μὲν γὰρ λίαν ἐπαινεῖ, τὸν δὲ ἀποδοκιμάζει· ὥστε οὐκ ἔστιν ἐκ συγκρίσεως ὁ λόγος.

642. * παντοίας] λείπει ἡ κατά.

* ἠμὲν πόδας ἠδὲ μάχεσθαι] ὅτι καὶ τὸ τάχος ἐν ταῖς ἀρεταῖς.

644. * ὅς ῥα τόθ' Ἕκτορι κῦδος ὑπέρτερον ἐγγυάλιξεν] ὅτι οὐχ ἑκών.

645. στρεφθεὶς γὰρ μετόπισθεν] ὥστε οὐδὲν ἀφ' ἑαυτοῦ κατορθώ- B=
σας φαίνεται ὁ Ἕκτωρ, τῇ δὲ τοῦ Περιφήτου δυστυχίᾳ συγκέχρηται· τὸ γὰρ πτῶμα συνέπραξε πρὸς τὸ εὐχερῆ γενέσθαι τὴν ἀναίρεσιν.

ἐν ἀσπίδος ἄντυγι πάλτο] παραποδισθεὶς τῷ μήκει τῆς ἀσπίδος B—
κατὰ τὴν ἄντυγα ὕπτιος κατηνέχθη. „πάλτο" δὲ ἐνεπελάσθη. οἱ δὲ ἐβλάβη· Ἰακῶς γοῦν φησι τὸ πρόσθ' „ἔνι βλαφθείς" (647).

* ⟨ἐστράφη,⟩ ὅπως φυλάξηται, συστείλας ἑαυτὸν ὑπὸ τὴν ἀσπίδα. B=

651. ἀχνύμενοί περ ⟨ἑταίρου⟩] λείπει ἡ περί. τινὲς δὲ Αἰολικῶς A+B—
'περὶ ἑταίρου' φασίν· ἀήθης δὲ ἡ τοιαύτη συναλ⟨ο⟩ιφὴ τῷ Ὁμήρῳ. Ἄτταλος δὲ συγκοπήν φησιν, ὡς ἐν τῷ „παρ Ζηνί" (Π. 4. 1).

652. αὐτοὶ γὰρ μάλ' ἐδείδισαν] ὅμοιόν τι πάσχουσι Μενελάῳ, ὅς φησιν „οὔτι τόσον νέκυος περιδείδια—ὅσ⟨σ⟩ον ἐμῇ κεφαλῇ περιδείδια" (Π. 17. 240).

653. εἰσωποὶ δ' ἐγένοντο νεῶν] ὑπέστειλαν ἑαυτοὺς ὑπὸ τὰς ναῦς· A—B=
εἰς γὰρ τὰ μεταξὺ διαστήματα φεύγουσι βραχὺ μέρος ὑπολειπόμενοι τῶν νεῶν, ὡς τὰς πρύμνας αὐτοὺς ὑποβεβηκέναι. οἱ δέ, ὅτι ὑποχωρησάντων τῶν Ἑλλήνων ἐν ἀπόψει γέγονε τὸ πλῆθος τῶν νεῶν τοῖς Τρωσίν.

* εἰσωποὶ δ' ἐγένοντο νεῶν] ἐντὸς ἑαυτῶν αἱ νῆες ἀνέλαβον τοὺς B=
Ἕλληνας.

654. * πρῶται] εἰ ἦν διστιχία, 'πρότεραι' ἂν εἶπεν.

18. ἐβλ. ἰακῶς γοῦν φησι τὸ πρόσθ' ἔνι βλαφθείς corrupta : ἐβλ. Ἰακῶς. φησὶ γοῦν coni. W, an ἐβλ.· καὶ σύμφησιν ὁ ποιητής, „⟨τῇ⟩ ὅ γ' ἔνι βλαφθείς"? ‖ 19. supplevi ex B ‖ συστείλας B: συστεῖλαι ‖ 27. βρ. τι μ. B ‖ 29. ὄψει A Eust. ‖ 31. αἱ ἄκραι νῆες ἔλαβον B ‖ 33. δυστυχία ‖ προτεραίαν



Digitized by Google

B= 656. κλισίῃσι] ὡς μετὰ τὰς πρύμνας τῶν πρώτων νεῶν παρεσκηνωμένων οἷον ταῖς πρῴραις αὐτῶν.

B− * τῶν πρωτέων] μέμφεται Διονύσιος· οὐ γὰρ περισπᾶται τὸ "πρωτέων," κατὰ συνίζησιν δὲ φαίνεται.

B= 657. * στρατόν] νῦν τὸ στρατόπεδον.

B= 657, 8. αἰδῶς καὶ δέος] "αἰδώς" μέν, εἰ φανοῦνται κακοί, φόβος δὲ περὶ τῶν νεῶν.

B= 658. * ἀζηχές] οἱ μὲν λίαν σκληρῶς, οἱ δὲ ἀδιαλείπτως.

660. * λίσσεθ' ὑπὲρ τοκέων γουνούμενος] πρώην μὲν ηὔχετο (371), νῦν δὲ παρακαλεῖ.

B+ 661. αἰδῶ θέσθε] πολὺς ὁ τῆς αἰδοῦς λόγος καὶ ἀλλήλους αἰδομένων καὶ ἄλλους ἀνθρώπους.

B= αἰδῶ—ἄλλων ἀνθρώπων] τὴν ἐξ ἄλλων παρακολουθήσουσαν ὑμῖν αἰσχύνην.

B= 663. παίδων] ἵνα μηδὲ ἐκείνοις ὄνειδος ἐπακολουθήσῃ δι' ὑμᾶς. καλῶς δὲ ἔχει ἡ προτροπὴ τέκνων καὶ γάμων ἀσφάλειαν, πλούτου φυλακὴν ἀναφαίρετον, γονέων ζώντων μὲν αἰδῶ τεθνηκότων δὲ μνήμην. πρεπόντως δὲ τὰ περὶ τέκνων καὶ γυναικῶν οὐ τοῖς Αἴαντος ἐμφέρεται λόγοις, ἀλλὰ τοῖς Νέστορος· πατρὸς γὰρ ἔχει τάξιν. διήκει δὲ ἡ παράκλησις οἷς μὲν ὁλοτελῶς, οἷς δὲ μερικῶς.

B= 665. * τῶν ὕπερ] δοκεῖτε ἐκείνους ὁρᾶν δεομένους.

666. * τρωπᾶσθε] ἀντὶ τοῦ τρωπάασθε.

A+B− 668. τοῖσι δ' ἀπ' ὀφθαλμῶν] ἀθετοῦνται στίχοι ϛ' (668–673)· οὐ γὰρ προδιεσάφησεν, ὡς εἶχον ἀχλύν τινα. πόθεν δὲ καὶ ἡ Ἀθηνᾶ ἄφνω νῦν παρεφάνη συγκαθεζομένη τοῖς ἄλλοις θεοῖς; εἰ μὴ λέγοις, ὡς λείπει ἄλλα ποιήματα δι' ὧν ἐδεδήλωτο ταῦτα. ἢ καὶ ἀποῦσα ἀφῄρηται, ὡς τὸ "εἰ μὴ ἐπὶ φρεσὶ θῆκ' Ἀγαμέμνονι πότνια Ἥρη αὐτῷ ποιπνύσαντι" (Il. 8. 218)· Τήλεφος δὲ ὡς ἐπὶ Διομήδους ἀκούει (Il. 5. 127)· ἐν σχήματι δὲ ἐδήλωσεν, ὅτι σκότος εἶχον.

B= 670. ἠμὲν πρὸς νηῶν] ἔδει ἐπαγαγεῖν τὸν ⟨ἠ⟩δέ, εἰ μὴ ὁ "καί" ἀντ' αὐτοῦ ἐστιν, ⟨ἵν' ᾖ⟩ 'καὶ περὶ τὰς ναῦς καὶ περὶ τοὺς πολεμοῦντας.'

B+ 674. οὐδ' ἄρ' ἔτ' Αἴαντι] οὐ μόνον τοὺς ἄλλους, ἀλλὰ καὶ Αἴαντα ἔρρωσεν ὁ λόγος τοῦ Νέστορος.

1. δὲ ὡς μ. B, τέως μ. || 3. τῶν προτέρων textus || περισπᾶται B : περιεσπᾶτο || 4. πρῶτον || 13. παρακολουθοῦσαν B || 19. ἐπέχει B || 20. δὲ ἡ B : γὰρ ἡ || 22. τρωπᾶσθαι textus || τρωπάασθαι || 23. ϛ' A : γ' ut B || 25. συγκαθημένη B || 27. θῆκεν || 30, 31. supplevi ex B || 31. τῶν νεῶν et τοῦ πολέμου B

Digitized by Google

676. ἴκρια] οἱ μὲν τὰ καταστρώματα, οἱ δὲ τὰ κατὰ πρῷραν καὶ πρύμναν σανιδώματα, ἢ τὰ ἐξέχοντα ἄκρα, ἢ τὰς καταγωγάς. AB=

βιβάσθων] ἀπὸ τοῦ βιβαστός βιβάσθω, αἰστός αἴσθω. A+

678. δύω καὶ εἰκοσίπηχυ] ὑφ' ἕν· τοὺς γὰρ ἀριθμοὺς οὕτω προφέρει· διὰ τοῦ ῑ, ὡς "εἰκοσινήριτα" (Il. 22. 349). τινὲς δὲ καὶ κατὰ παράθεσιν ὡς τὸ τρὶς καὶ δέκατος, ὥστε καὶ τὸ θηλυκὸν τρὶς καὶ δεκάτη. A= §. "βλήτροισι" δὲ τοῖς συμβλήμασιν· βλῆτρον δὲ ὡς φίλτρον. B+

679. ὑφ' ἓν τὸ "κελητίζειν·" παραγωγὸν γάρ ἐστι παρὰ τὴν κέλητος γενικήν, ἐπεὶ ἔδει 'κέληθ' ἵζειν.' ἀδιανόητον δὲ τὸ ἵπποις κέλητα ἵζειν. ἔστι δὲ ἀναχρονισμός· οὐ χρῶνται γὰρ οἱ Ἕλληνες κέλησιν· ἡ δὲ παραβολὴ τὸ γενναῖον αὐτοῦ καὶ εὐσταθὲς δείκνυσιν, ἄλλοτε ἐπ' ἄλλην ναῦν αὐτοῦ μεταπηδῶντος ῥᾳδίως. οἱ ⟨δὲ⟩ δύο ἐζευγμένοι ἵπποι ἄμιπποι καλοῦνται. AB+ §. ὅτι κέλητα μὲν αὐτὸς οἶδε, χρωμένους δὲ τοὺς ἥρωας κέλησιν οὐ ποιεῖ. A=

680. πίσυρας συναγείρεται] ⟨"συναείρεται"⟩ συζεύξει· "σὺν δ' ἤειρεν ἱμᾶσι" (Il. 10. 499)· οἱ δὲ "συναγείρεται." B= §. ἀντὶ τοῦ 'ἐκ πολλῶν δὲ οὓς ἐπιτηδείους οἶδε συνάγει ⟨τοὺς⟩ ἀρίστους καὶ ἰσοταχεῖς ἐκλεξάμενος·' κίνδυνος γὰρ ἐκπεσεῖν μεθαλλομένῳ ἀπὸ ἄλλου εἰς ἄλλον. B=

681. μέγα προτὶ ἄστυ] οὐ γὰρ ἐν μικρᾷ πόλει ταῦτα γίνεται.

682. * λαοφόρον] πολυπληθῆ.

683. ὁ δ' ⟨ἔμπεδον⟩ ἀσφαλὲς αἰεὶ θρῴσκων] μέγα τὸ ἐγκώμιον καὶ ἀσφαλῶς καὶ ἀεὶ ἐφαλλομένου· Δημήτριος δὲ ὁ Γονυπεσός ⟨φησι⟩ τεθεωρηκέναι τινὸς μεταβαίνοντος ἀνεμπόδιστον τηροῦντος τὸν δρόμον τῶν ἵππων, κατέχοντος τοὺς χαλινούς· καὶ νῦν δὲ ἐν Ῥώμῃ ποιοῦσί τινες. B= §. τὸ δὲ "αἰεί" ἀντὶ τοῦ 'συνεχῶς κατ' ἐκείνην τὴν ἡμέραν,' ὡς τὸ "αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ⟨ἔβαλλον⟩" (Il. 23. 502). B=

685. * ὡς Αἴας] οὕτω καὶ ὁ Αἴας ἐνεργῶς μετήρχετο.

688. οὐδὲ μὲν Ἕκτωρ μίμνεν] τινὲς ἐπισυνάπτουσι τούτῳ τόδε· "ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων."

689. * πύκα θωρηκτάων] ἐκ τοῦ παρεπομένου 'τῶν πολεμιστῶν.'

2. ὡς post πρ. ut A: omisi ut B Eust. schol. Od. 13. 74 ‖ 3. ἀπὸ Et. M. s. v. βιβάω: ἀντὶ ‖ 9. κελητος B: κέκλητος ‖ κέληθ' ἵζειν B: κεληθίζειν ‖ 12. αὐτοῦ post ναῦν om. B ‖ 14. οὐ συνίστησιν A ‖ 15. συναγείρεται etiam textus ‖ supplevi ex B ‖ 15, 16. σὺν δ' ἤειρεν B: συνδίειρεν ‖ 16, 17. ἐκ πολλῶν δὲ post συνάγει omisi ut B ‖ 23. γενυπεσὸς ‖ 24. supplevi ex Eust. ‖ τινὰ -ντα Eust.

Digitized by Google

B= 690. ἀλλ' ὥς τ' ὀρνίθων] ἀπὸ καταφρονουμένων μὲν ζῴων τὴν παραβολὴν φέρει Ἕλλησιν· καὶ "τῶν δ', ὥς τε ⟨ψα⟩ρῶν νέφος" (Il. 17. 755). ἀλλὰ καὶ παραμυθεῖται ἀντιτάσσων τὸν Δία. §. τὸ δὲ
B= "αἰετὸς αἴθων" ἢ θερμὸς ἢ ξανθὸς ἢ μέλας.

A= 691. βοσκομενάων] εἰ ἀρσενικῶς ἐλέγοντο οἱ κύκνοι, πάντως ἂν ἐπεκράτησεν· καὶ τὰς γεράνους (Il. 3. 4) γάρ φησι καὶ τὰς χῆνας (Od. 15. 161, 174).

B= 695. χειρί] λείπει τὸ ὡς. οἱ δὲ τῇ δυνάμει. ἢ ἐκπληκτικὸν τὸ τῆς φαντασίας, ⟨εἰ⟩ ἡ χεὶρ τοῦ Διὸς μέχρι τῆς γῆς φθάνει θνητὸν ὠθοῦσα.

B= 696. δριμεῖα ⟨μάχη⟩] ὀξεῖα, ἀπὸ τῶν ὀσφραντῶν, ὡς νῦν ἀρχὴν τοῦ πολέμου λαβόντος.

B= 700. οὐκ ἔφασαν φεύξεσθαι] οὐ λέγει, ὅτι ἀπεγνωκότες τῆς σωτηρίας ἐμάχοντο, ἀλλ' ὅτι ταύτην εἶχον τὴν διάνοιαν ὡς μέχρι θανάτου μαχησόμενοι ἢ φευξούμενοι. οἱ δὲ Τρῶες ἤλπιζον τὰς ναῦς ἐμπρήσειν καὶ τοὺς Ἀχαιοὺς κτενεῖν.

704. * ἥψατο] ἐπελάβετο.

A+ 705. ὠκυάλου] ψιλωτέον· οὐ γὰρ ἡ ἁλός ἔγκειται, ἀλλὰ παραγωγή ἐστι διὰ τοῦ αλος, ὡς ἐπὶ τοῦ ἀταλός βάταλος.

B– ἢ Πρωτεσίλαον ἔνεικεν] εὐπρεπῶς ἐπὶ τοιαύτην ναῦν ἐπήγαγε τὸν Ἕκτορα, ἧς οὔτε τὸν ἡγεμόνα μέμψασθαι ἐνῆν μὴ κωλύσαντα τὴν οἰκείαν ναῦν ἐμπιπραμένην, τούς τε πολίτας συγγνώμης ἄν τις ἠξίωσεν, εἰ ἀστρατήγητοι ὄντες ἀδυνάτως ἔσχον ἐπιβοηθῆσαι· ἵνα οὖν μὴ κατὰ ζῶντός τινος ἐπάξῃ τοῦτο τὸ ὄνειδος, τὴν Πρωτεσιλάου ⟨φησί⟩, καὶ τὴν κατὰ τὰς πύλας οὖσαν, "ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου" (Il. 13. 681)· ἴσως δὲ καῦσαι πάσας οὐκ ἠθέλησεν.

ἔνεικεν] τὰ μὲν ἔμψυχά φησιν ἄγεσθαι, τὰ δὲ ἄψυχα φέρεσθαι· κακῶς οὖν νῦν φησι τὸ "ἔνεικεν," καὶ ταῦτα ἐπαγαγὼν τὸ "ἀπήγαγε" (706). ὅμοιον δέ ἐστι τῷ "νῆες ⟨δ'⟩ ἐκ Λήμνοιο παρέστασαν οἶνον ἄγουσαι" (Il. 7. 467) ἀντὶ τοῦ φέρουσαι.

706. * οὐδ' αὖτις ἀπήγαγε πατρίδα αἶαν] τινὲς γράφουσιν "οὐδ' —ἀφίκετο." §. περιπαθὴς ἡ προαναφώνησις.

B= 709. τόξων] τῶν τοξευμάτων. §. "ἀμφίς" δὲ χωρὶς ἀλλήλων,
B= ⟨ἢ⟩ ἀντὶ τοῦ περιέμενον, ὡς "Κρόνον ἀμφὶς ἐόντες" (Il. 14. 274).

9. suppl. W ‖ 14. μαχησόμενοι B: μαχούμενοι ‖ φευξόμενοι B ‖ 15. κτεῖναι ut B ‖ 21. ἀξιώσαι B ‖ 22. εἶχον B ‖ 23. ζῶντος B: ζώντων ‖ supplevi ex B ‖ 24. ὅτι κ. τ. π. πρώτη ἦν B ‖ 28. παρέτρεσαν ‖ 31. περιπαθήσας ὡς πρ. ‖ 33. supplevi ex B

Digitized by Google

§. "αἰκάς" ὁρμάς, παρὰ τὸ ἄιξ· οἱ δὲ ἀπὸ τοῦ ἀική· καὶ ἐκτέταται A+B– τὸ ῑ· παρὰ τὸ ἀί⟨σ⟩σω γὰρ γίνεται.

711. * πελέκεσσι καὶ ἀξίνῃσι] οὐ μόνον εἰς τὸ φονεύειν ἀλλὰ καὶ εἰς τὸ διασχίζειν τὰς ναῦς τὰ τοιαῦτα.

712. * ἀθετεῖ Ἀρίσταρχος· ἐπιφέρει γὰρ περὶ ξιφῶν (713)· φασὶ δὲ A–B= πληθύ⟨ν⟩ειν αὐτὸν τὰς φωνὰς τῶν ὅπλων διὰ τὸ φαντάζειν τὸν ἀκροατήν.

713. μελάνδετα] σιδηρόδετα, ἐπεί φησιν ⟨Ἡσίοδος⟩ (Opp. 151) B– "μέλας δ' οὐκ ἔσκε σίδηρος." οἱ δὲ μελα⟨ί⟩νας λαβὰς ἔχοντα· τὴν δὲ λαβὴν δεσμὸν καλεῖ ὁ Σιμωνίδης (fr. 233). οἱ δὲ ἐπιμελῶς ἐνδεδεμένα πρὸς τὴν λαβήν.

714. ἄλλα μὲν ἐκ χειρῶν ⟨—ἄλλα δ' ἀπ' ὤμων⟩] σὺν ταῖς χερσὶν B= ἀποκοπτόμενα, ἄλλα ⟨δὲ⟩ σὺν ὤμοις· γελοῖον γὰρ τὸ οἴεσθαι ἀπὸ τῶν ὤμων ἐκπίπτειν τὰς μαχαίρας. §. διὰ δὲ τοῦ ο̄ γραπτέον τὸ "πέσον." A=

716. οὐχὶ μεθίει] ὅτι Ζηνόδοτος "οὐκ ἐμεθίει," ὥστε βαρβαρίζειν A– τὸν Ὅμηρον· ἔστι γὰρ τὸ "μεθίει" σύνθετον ἐκ τῆς μετά καὶ τοῦ ἱῶ, ὡσεί τις λέγοι 'ἐμετεκάλει.'

717. ἄφλαστον] οὐ τὸ ἀκροστόλιον, ἀλλὰ τὸ ἐπὶ τῆς πρύμνης εἰς A–B= ὕψος τεταμένον ἐκ κανονίων πλατέων, διήκοντος δι' αὐτῶν πλατέος κανονίου, ὠνομασμένου μὲν θρανίτου, ὑπηρεισμένου δὲ τῷ στυλίσκῳ ⟨τῷ⟩ ὄπισθεν τοῦ κυβερνήτου. κρέμανται δὲ ἐκ τῶν κανονίων καὶ τοῦ θρανίτου τὰ ἡνία. ἀκροστόλιον δὲ τὸ ἀπὸ τῆς πτυχῆς ἀνατεῖνον ξύλον ἐπὶ πρῷραν· πτυχὴ δέ ἐστιν, ὅπου ζωγραφοῦνται οἱ ὀφθαλμοὶ καὶ τὸ τῆς νηὸς ἐπιγέγραπται ὄνομα.

* τινὲς "ἄφλαστον" γράφουσιν ἐπιρρηματικῶς, ⟨ἵν' ᾖ⟩ τὸ ἀμ- B= φω ταῖς χερσὶν ἐπεστραμμένως ἐπειλῆφθαι τῆς νεώς.

718. οἴσετε] ἀντὶ τοῦ 'φέρετε' καὶ οὐ τὸν μέλλοντα δηλοῖ, ἀλλ' A– ἐστὶν ἀπὸ τοῦ "οἶσε θ⟨έ⟩ειον" (Od. 22. 481).

* ἅμα δ' αὐτοὶ ἀολλέες ὄρνυτ' ἀυτήν] ἅμα γὰρ τῇ κραυγῇ καὶ δέος γίνεται τοῖς πολεμίοις.

719. νῦν ἡμῖν] ἀντὶ ⟨τοῦ⟩ πάντων τῶν πόνων ἰσόρροπον ἡμέραν AB= ὁ Ζεὺς ἐχαρίσατο. §. ἄδηλον πότερον παρὰ γνώμην θεῶν "μολοῦσαι" B= (720), ἢ "ἡμῖν πήματα—ἔθεσαν" θεῶν ἀέκητι.

5. φασὶ B: οἱ ‖ 6. supplevi ex B ‖ 7. suppl. Bekker ‖ 12. ἀποκοπτόμενα B: ἀποκοπτομέναις ‖ supplevi ex B ‖ 14. οὐχὶ etiam textus ‖ 15. οὐκ ante ἔστι omisi ‖ 16. ἱῶ scripsi: εἰῶ ‖ 18. ἀνατεταμένον Eust. ‖ αὐτῶν Eust.: αὐτοῦ ut B ‖ 19, 20. ὑπ. τούτῳ στυλίσκου ὄ. Eust., τῷ στυλίσκῳ τῷ B: τῷ τοῦ στυλίσκου ‖ 21. τὰ ἡνία B: ταινία ‖ 22. ἐπὶ πρῷραν ξ. B ‖ 24. supplevi ex B ‖ 25. νηός B ‖ 27. οἶσαι ‖ 30. ἀμοιβὴν A pro ἡμέραν ‖ 32. θέσαν B

Digitized by Google

B= 721. κακότητι γερόντων] ἀβουλίᾳ. τὸ δὲ ἴδιον ἀσθενὲς τοῖς γέρουσι περιάπτει· οὐ γὰρ ἤθελεν ἐξιέναι διὰ τὸν Ἀχιλλέα.

A= 722. * οἵ μ' ἐθέλοντα] ὅτι κατὰ συναλ⟨ο⟩ιφὴν τὸ "⟨μ'⟩ ἐθέλοντα."

A+ 725. ἀνώγει] τινὲς περισπῶσι διὰ τὸ "ἠνώγει Πετεῶο" (Π. 12. 355)· ἀλλ' ἔστιν ⟨ὥσπερ ἐπὶ τοῦ⟩ "ἀγορῇ Μενέλαον ἄνωγεν" (Il. 11. 139).

B= 728. ἀναχάζετο ⟨τυτθόν, οἰόμενος θανέεσθαι⟩] ὅπως χρήσηται τῷ μεγίστῳ δόρατι οἰόμενος ἀποθανεῖσθαι μᾶλλον ἢ παραχωρήσων Ἕκτορι.

A~B= 729. θρῆνυν] τὴν τῶν κωπηλατῶν καθέδραν ἢ τὴν τοῦ κυβερνήτου. Ἀττικοὶ δὲ θρᾶνον τὸ τοῦ κωπηλάτου φασὶ καὶ θρανίτας αὐτούς.

731. * ἄμυνε νεῶν] λείπει ἡ κατά.

B= 735. ἠέ τινάς φαμεν] ἄρα οἰόμεθα ἥξειν ἐπικούρους μετὰ ταῦτα; ⟨οὐδαμῶς⟩. ὅμοιος δὲ τῷ πρώην (504) ἐστὶν ὁ λόγος, τὸ μὲν ἐρωτήσεως τὸ δὲ ἀποφάσεως ἔχων.

736. * τεῖχος ἄρειον] βέλτιον οὗ κατεσκευάσαμεν.

A+ 737. * οὐ μέν τι] οὕτως Ἀρίσταρχος χωρὶς τοῦ σ̄. τινὲς δὲ "οὐ μέν τις."

738. * ᾗ κ' ἀπαμυναίμεσθα] ἐν ᾗ ἐπιφυγόντες ἀμυνούμεθα.

B+ ἑτεραλκέα δῆμον ἔχοντες] τὸν ἴδιον δῆμον νικώμενον ἔχοντες· οἱ δέ, τὸν ἀπὸ τῆς πόλεως δῆμον ἔχοντες ἑτέραν ἡμῖν ἀλκὴν περιποιοῦντα.

739. * πύκα θωρηκτάων] ὡς ἀπὸ τοῦ ποιητικοῦ τοῦτο προσώπου.

740. πόντῳ κεκλιμένοι] περικλειόμενοι. §. συνέσταλται δέ, ὡς τὸ
B— "τρὶς δὲ περιστίξας" (Od. 4. 277). ἐμφαντικῶς δὲ πάντα πέφρασται.

* ἥμεθα] διατρίβομεν.

A+B= 741. ⟨τῷ ἐν χερσὶ φόως,⟩ οὐ μειλιχίῃ] σὺν τῷ ῑ τὸ "μειλιχίῃ" τὸ γὰρ ἑξῆς τοιοῦτόν ἐστιν· διὸ τὸ τοῦ πολέμου φῶ. ἡμῖν ἐν ταῖς χερσίν, οὐκ ἐν τῇ μειλιχίᾳ ἀπαντήσει· ἢ οὕτως· τὸ τοῦ πολέμου φῶς ἐν χερσίν, οὐκ ἐν προσηνείᾳ πολέμου· εἰ δὲ χωρὶς τοῦ ῑ τὸ "μειλιχίη," οὕτως ἐξηγητέον· 'οὐκ ἔστι προσήνεια οἰκεία πολέμου,' ἵν' ᾖ τὸ ἡμιστίχιον γνωμικώτερον.

B= 742. * ἔφεπ' ἔγχεϊ] καίτοι πολέμιον ἔχων Δία.

743. * ἐπὶ νηυσί] ἀντὶ τοῦ ἐπὶ ναῦς.

744. * σὺν πυρὶ κηλείῳ] τὸ ἐντελὲς κτητικὸν κήλειόν ἐστιν. τὸ γὰρ κήλεον Ἰακόν.

5. supplevi ex A || 8. δόρατι :— || μ. ἀποθανεῖν B, τὸ ἀποθανεῖσθαι μ. || παραχωρήσων scripsi: παραχωρήσειν ut B || ἐλόμενος ἀποθανεῖν μᾶλλον ἢ παραχωρῆσαι coni. W || 10. θράνητας B || 13. supplevi ex B || 26. φῶς B: φησίν || 27. ἵν' ᾖ pro ἢ B || 30. γνωριμώτερον: corr. W ex Eust.

Digitized by Google

χάριν Ἕκτορος ὀτρύναντος] εἰς τὴν τοῦ Ἕκτορος χάριν διὰ τὸ παροξύνθαι ὑπ' αὐτοῦ.

745. * τὸν δέ] περισσὸς ὁ "δέ."

746. * προπάροιθε νεῶν] ὑπὲρ νεῶν.

## ΕΙΣ ΤΗΝ Π.

1. Ὣς οἱ μὲν περὶ νηός] οὐ περὶ Ἕκτορος καὶ Αἴαντος ποιεῖται τὸν λόγον, ἀλλὰ περὶ ἀμφοτέρων τῶν στρατευμάτων. [οἱ μὲν γὰρ ὡς ἀρχηγὸν πονηρῶν ἔργων ἀπολέσθαι θέλουσιν, οἱ δὲ καὶ μετὰ θάνατον χάριν εἰδότες τῷ δεσπότῃ σῶσαι τὴν ναῦν προῄρηνται.] ὡς μέλλων δὲ ἑτέρων μεγάλων ἐνάρχεσθαι πραγμάτων, παραγραφὴν ἐνέβαλε τὸν στίχον. ἔστι δὲ τοιαῦτα πολλὰ παρ' Ὁμήρῳ· "ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον" (Il. 9. 1)· "ὣς οἱ μὲν μάρναντο δέμας πυρός" (Il. 11. 596)· "ὣς ὁ μὲν ἐν κλισίῃσι Μενοιτίου ἄλκιμος υἱός" (Il. 12. 1)· "ὣς οἱ μὲν στενάχοντο κατὰ πτόλιν" (Il. 23. 1)· "ὣς ὁ μὲν ἔνθ' ἠρᾶτο" (Od. 7. 1)· "ὣς ὁ μὲν ἔνθα καθεῦδε" (Od. 6. 1, 7. 344). §. ἡ δὲ "περί" ἀντὶ τῆς ἐπί· ἀντιφράζει γὰρ αὐτὴν τῷ ἕνεκα· "Πατρόκλῳ ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνή" (Il. 18. 171)· "σχήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντος" (Il. 17. 182). δηλοῖ δὲ καὶ τὴν ὑπέρ, "λεπτὸν καὶ περίμετρον" (Od. 2. 95), καὶ ⟨τὸ⟩ περισσῶς, "τὴν περὶ κῆρι φίλησε πατήρ" (Il. 13. 430). B—

3. δάκρυα θερμά] εἰκότως ὁ πρᾷος Πάτροκλος κλαίει, τὰ μὲν ἀκοῇ τὰ δὲ αὐτοψεὶ τῶν δεινῶν ἐπισκοπήσας. διὸ οὐδὲ φθέγξασθαί τι οἷός τε ἐστὶ συγκεχυμένος ὑπὸ τῶν δακρύων, ἀλλὰ σιωπῶν ἵσταται διὰ τοῦ σχήματος τὸν ἔλεον ἐπαγόμενος. καὶ ἐν ταῖς Λιταῖς (Il. 9. 433) ὁ Φοῖνιξ "δάκρυ' ἀναπρήσας· περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν." B—

* μελάνυδρος] ἡ βαθύυδρος, ᾗ κατὰ τοὺς φυσικοὺς μέλαν ἐστὶ τὸ ὕδωρ. A+B=

4. αἰγίλιπος ὑψηλῆς, ἧς καὶ αἶγες ἀπολ⟨ε⟩ίπονται διὰ τὸ ὕψος· ἐλαφρὰ δὲ ἔχουσι καὶ νευρώδη ⟨τὰ⟩ σκέλη αἱ αἶγες. οἱ δὲ τῆς μηδὲν φυούσης κατὰ Ἀργείους—ὃ γὰρ ἀποτρώγει αἴξ, ἄσπορον αὐτὸ ποιεῖ—οἱ δὲ καθύγρου καὶ λιπαινούσης τὰς αἶγας. §. ἀθρόαν δὲ ἔκχυσιν A=B—

5. addidi: ἀρχὴ τῆς π textui inscriptum ‖ 7–9. quae inclusi hoc scholio aliena sunt; explicant cur de Protesilai potissimum nave dimicetur: habet etiam B ‖ 16. ἕνεκα Bekker: ἐνεκάλει ‖ 22. ὄψει B ‖ ‖ οὔτε B ‖ 25. δεῖε ‖ 28. supplevi ex B ‖ 29. supplevi ex A B ‖ 30. ὃ Bekker: ὢν ‖ ἀποτρώγει A: ἀποτράγῃ ‖ 31. ἀθρόων B

Digitized by Google

δακρύων παριστὰς κατὰ πετρῶν φησι ῥεῖν τὴν κρήνην· τὰ γὰρ ἀφ' ὑψηλῶν φερόμενα ὕδατα σφοδροτέραν τὴν πρόχυσιν ἐμφαίνει.

* δνοφερόν] τὸ μετὰ δονήσεως φερόμενον.

5. * ᾤκτειρε] Ἀρίσταρχος γράφει "θάμβησε·" οὐ γὰρ ἂν ⟨ἐπ⟩έπληξεν ἐν τῷ πυνθάνεσθαι, εἴπερ ᾤκτειρεν.

B— 7. τίπτε δεδάκρυσαι] ἄτοπός ἐστιν αὐτὸς μὲν ἕνεκα παλλακίδος κλάων, τὸν δὲ Πάτροκλον κόρην καλῶν ἐπὶ τοιούτοις δεινοῖς δακρύοντα· ἴσως οὖν αὐτὸν ἐπίτηδες ἐταπείνωσε παύων τῆς ἱκετείας· ὅπως δ' ἂν τις ἤθους ἔχοι, τοὺς πέλας ψέγει· οἱ μὲν σκληροὶ τοὺς ἐπιεικεῖς καὶ πρᾴους γυναιξὶν εἰκάζουσιν, οἱ δὲ ἐπιεικεῖς τοὺς στερεοὺς ἀγρίους καὶ ἀνημέρους φασίν. καὶ νῦν ὁ μὲν Ἀχιλλεὺς τὸν Πάτροκλον ὡς κόρην, ὁ δὲ Πάτροκλος τὸν Ἀχιλλέα ὡς πετρῶν παῖδα (35).

B= ἠΰτε κούρη νηπίη] πᾶσαν ἡλικίαν εἰσαγαγὼν ὁ ποιητὴς γερόντων νέων ἐφήβων, ἐπεὶ καὶ βρέφος εἰσήγαγε τὸν Ἀστυάνακτα, θήλειαν οὐ δυνάμενος εἰσαγαγεῖν διὰ παραβολῆς τὸ λεῖπον πρόσωπον ἀνεπλήρωσε καὶ λαβὼν εὐτελὲς πρᾶγμα μεγαλοπρεπῶς καὶ μετ' ἐναργείας αὐτὸ ἐκφέρει. δεκτέον δὲ τὴν μητέρα χερνῆτιν, σπεύδουσαν "ἵνα παισὶν ἀεικέα μισθὸν ἔληται" (Il. 12. 435) καὶ οὐκ ἐθέλουσαν αὐτὴν ἐξαγαγεῖν· κατὰ γὰρ Ἡσίοδον "χαλεπὴ δ' ὑπόπορτις ἔριθος" (Opp. 601).

B— ἠΰτε κούρη] οὐκ ἠρκέσθη τῷ "κο⟨ύ⟩ρη," προσέθηκε δὲ καὶ τὸ "νηπίη" προανελεῖν αὐτοῦ θέλων τῇ αἰδοῖ τὴν δέησιν· ταῦτα δὲ ἐκ τοῦ ποιητικοῦ προσώπου εἰσίν· πολλαχοῦ γὰρ ἐνδύεται τὰ ἡρωικὰ πρόσωπα.

B= 8. ἥ θ' ἅμα μητρὶ θέουσα] οὐχ ἅμα ἐκείνῃ θεούσῃ καὶ αὐτὴ συνθεῖ, ἀλλὰ προσυπακουστέον τῷ "μητρί" τὸ βαδιζούσῃ, ὅπως συνεξανύῃ θέουσα ἡ κόρη.

ἀνώγει] καὶ ὡς περισπώμενον αὐτὸ ἔκλινεν· "καὶ δὲ τόδ' ἠνώγεον εἰπεῖν ἔπος" (Il. 7. 394)· τὸ γὰρ "ἠνώγει Πρίαμός τε" ἄδηλον, μὴ ὑπερσυντελίκου ἐστίν, ὡς "ἠ⟨ε⟩ίδειν" (Apoll. Rhod. IV 1700) ἤ⟨ε⟩ιδεν.

ἀνώγει] "ἠνώγεα, τοὶ δὲ μέγα νήπιοι οὐκ ἐπίθοντο" (Od. 9. 44).

B= * ἀνώγει] αἱ γὰρ ἀξιώσεις τῶν βρεφῶν κελεύσμασιν ἐοίκασιν.

B— 9. εἱανοῦ] τοῦ ἐνδυτηρίου πέπλου. ἐν ἄλλοις γοῦν "πέπλον μὲν κατέχευεν ἑανόν" (Il. 5. 734). σημειωτέον δέ, ὅτι καὶ ἐπὶ εὐτελοῦς

1. παριστᾷ καὶ κατὰ B ‖ 2. σφ. ἔκχυσιν B ‖ 3. δονηρὸν textus ‖ 5. suppl. W ‖ 6. ἔσται B ‖ 7. κλαίων τ. B ‖ 9. ψέγει B: ψέγειν ‖ 20. supplevi ex B ‖ 23. συνθεούσῃ B ‖ 28. suppl. Bekker ‖ 30. ἐπείθοντο

Digitized by Google

πέπλον. δηλοῖ δὲ ⟨καὶ⟩ τὸν λαμπρόν, "ἑανοῦ κασσιτέροιο" (Π. 18. 613). "ἁπτομένη" δὲ ἐπισπωμένη, "πρύμνης νεὸς ἥψατο" (Π. 15. 704), "ἥψατο δ' ἡμιόνου" (Π. 23. 666)· καὶ τὸ καθικνεῖσθαι, "ἅπτηται κατόπισθε" (Π. 8. 339). ὅθεν καὶ καθάπτεσθαι τὸ διὰ λόγων καθικνεῖσθαι.

* εἱανοῦ] λαμπροῦ.

11. * εἴβεις] κατείβεις, καταστάζεις.

12. ἠέ τι Μυρμιδόνεσσι] εἰρωνευόμενος ταῦτά φησιν—ἐπίσταται γὰρ περὶ οὗ κλαίει—καὶ τελευταῖον τοῦτο ἐπιφέρει "ἠὲ σὺ Ἀργείων ὀλοφύρεαι ὡς ὀλέκονται" (17); B=

* πάντες περιεσπά⟨σθη⟩σαν τῷ λόγῳ τῶν ἐρωτηματικῶν. A=

* πιφαύσκεαι] προορᾷς, προσημαίνεις. B=

13. * Φθίης ἐξ ἔκλυες] ἐκ Φθίας.

14. Μενοίτιον] τὴν μητέρα Πατρόκλου οὐκ ὠνόμασεν ὡς προθανοῦσαν· ἦν δὲ Σθενέλης· ὁ δὲ Ἄκτωρ τὸ ἀνέκαθεν Μυρμιδών.

* καλὸν διάταγμα πῶς χρὴ περὶ γονέας ἔχειν, καὶ ὡς ἡ τούτων τελευτὴ πάντων ἔσχατόν ἐστι ⟨κακόν⟩. B=

15. * ζώει δέ] ἔδει 'ζώειν δέ.'

16. τῶν κε] περὶ ὧν ἄν· οὐχὶ ἑκάτερος περὶ τοῦ ἰδίου, ἀλλὰ περὶ τῶν ἀλλήλων· τοῦτο γὰρ δεῖγμα τῆς φιλίας. λείπει δὲ ἡ περί. B=

* τεθνηώτων] διὰ τοῦ η̄ τὸ "τεθνηώτων." A+

17. ἠὲ σὺ Ἀργείων] ἠθικῶς πάνυ καὶ ἐπὶ τοῦτο ἧκε τελευταῖον, καίτοι γε ἀκριβῶς εἰδὼς τὴν πρόφασιν τῶν δακρύων. ἅμα δὲ καὶ ὡς ἤδη μετατεθεὶς τὴν γνώμην εἰς τοὺς περὶ Ἑλλήνων προκαλεῖται αὐτὸν λόγους· διὰ τοῦτο γὰρ αὐτὸν ⟨καὶ⟩ ἀπεστάλκει πρὸς Νέστορα. B=

18. ⟨ὑπερβασίης⟩] τῆς παραβάσεως τοῦ δικαίου. λεληθότως ⟨δὲ⟩ ὑπεραπολογεῖται ⟨ἑαυτοῦ⟩, ὡς ἀδικηθεὶς ὠργίσθη. B=

21. ὦ Ἀχιλεῦ, Πηλέως υἱέ, μέγα φέρτατ' Ἀχαιῶν] ὁμιλητικὴ ἡ ἀρχὴ καὶ θεραπεύουσα φιλότιμον ἄνδρα. ὁ δὲ λόγος φιλικὴν ἔχει B=

1. supplevi ex B || τὸ λ. B || 2. νεὸς B: νεὼς || 8. schol. scriptum post p. 154, l. 19 || 9. σύ γ' B || 10. τὰ post ὀλέκονται omisi ut B; post τὰ adnectitur schol. v. 18 || 11. supplevi ex A || κατὰ λόγον A || 12. σημαίνεις A || 15. Σθενέλης schol Pind. Ol. 107: ὅθεν ἔλης || ὁ διάκτωρ τ. ἀ. Μυρμιδόνων: corr. W || 17. τὸ ante πῶς omisi ut B || 18, 26, 29. supplevi ex B || 29. ὤργισται B

Digitized by Google

δέησιν, ἔλεον ἀτυχούντων, ἐπίπληξιν ἀπηνείας, μεγάλου ἔργου καὶ ῥᾳδίως ἀνυσθησομένου ἐλπίδα.

B= * Πηλέως] οὕτω Πτολεμαῖος· οἱ δὲ ὑπομνηματισάμενοι Ἰακῶς ⟨"Πηλῆος"⟩.

B= 22. μὴ νεμέσα] λείπει ⟨τὸ⟩ δεδακρυμένῳ· κλαίοντί μοι φησὶ μὴ μέμφου· εὐλόγως γὰρ ἐπὶ τοῖς Ἑλληνικοῖς ἀτυχήμασι τοῦτο πράττω.

βεβίηκεν] ἀπὸ τοῦ βιῶ βιᾷς, καὶ διαίρεσις "οἳ κεῖνον βιόωνται" (Od. 11. 503), "ὡς εἴ ἑ βιῴατο" (Il. 11. 467). τὸ δὲ ἀπὸ τοῦ βιάζω "ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεύς" (Il. 22. 229). ἔστι δὲ ὅμοιον τῷ "ἦ μάλα δή με βιάζετε μοῦνον ἐόντα" (Od. 12. 297), ἐνεργητικὸν ἀντὶ παθητικοῦ.

B= 23. οἳ μὲν γὰρ δὴ πάντες] δαιμονίως ἐπαίρει τὸν Ἀχιλλέα, τὴν πᾶσαν σωτηρίαν τῶν Ἑλλήνων αὐτῷ ἀνατιθεὶς καὶ διδάσκων, ὅτι οὐδὲν ὤνησαν τοὺς Ἀχαιοὺς οἱ ἄλλοι ἀριστεῖς, ἀλλὰ κεῖνται τετρωμένοι.

B— 25. βέβληται μὲν ὁ Τυδείδης] τῷ μὲν καταλόγῳ τῶν τραυματιῶν ἐκπλήσ⟨σ⟩ειν αὐτοῦ τὴν διάνοιαν οἴεται, οὐ προτάττει δὲ Ἀγαμέμνονα, ἵνα μὴ πρόηται τὴν ἔντευξιν ἐπὶ τῷ ὀνόματι χαλεπήνας ὁ Ἀχιλλεύς, ἀλλ' οὐδὲ ἔσχατον· δέος γάρ, μὴ τῇ τοῦ ὀνόματος μνήμῃ ἀνανεύσῃ πρὸς τὸ παρόν. διὸ εἰς μέσην αὐτὸν ἔταξε χώραν. πρῶτον δὲ Διομήδην, πρὸς ὃν μάλιστα δυσχεραίνει λέγοντα "εἰσόκε τέκμωρ Ἰλίου εὕρωμεν" (Il. 9. 48) καὶ "μὴ ὄφελες λίσσεσθαι" (ib. 698), εἶτα Ὀδυσσέα φίλον ὄντα καὶ χθὲς ὁμώροφον γεγονότα. Εὐρυπύλῳ δὲ δέδωκε τὴν ἐσχάτην τάξιν. ὡς δὲ ἐκταραχθεὶς ἐξελάθετο Μαχάονος, δι' ὃν καὶ ἐπέμφθη. τάχα δὲ σιωπᾷ τὸν Μαχάονα, ⟨ὑποφαίνων⟩ ὡς τούτων αὐτόπτης γεγονὼς οὐδὲ συνέτυχε Νέστορι, ἵνα μὴ δοκῇ ταῦτα παρ' ἐκείνου ἀκηκοὼς λέγειν. τινὲς δὲ ἤθελον μὴ τετρῶσθαι Μαχάονα, δι' ὃ οὐ θεραπεύεται, οὐ⟨δὲ⟩ βελουλκεῖται ἀλλὰ καὶ τὸν κυκεῶνα πίνει, καὶ ὀβελίζουσι τοὺς στίχους ἐν οἷς φησιν ὁ Νέστωρ "τοῦτον δ' ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πολέμοιο, ἰῷ ἀπὸ νεύρης βεβλημένον" (Il. 11. 663), ὅτι οἶδεν ὡς οὐ διὰ Μαχάονα ἐπέμφθη· οἱ δέ ⟨φασιν⟩,

5. supplevi ex B ‖ 9. ὡς ἠὲ ‖ 18. supplevi ex B ‖ διάνοιαν B : ἡδονὴν ‖ 19. πρόηται Eust. : προήσηται ‖ 20. τίθησιν post ἔσχ. add. Eust. ‖ γ. ἣν μὴ B ‖ 23. μηδ' ὄ. λίσσεσθαι B, μὴ ὄ. λήσεσθαι ‖ 24. ὁμώροφον B : ὁμόροφον ‖ 26. supplevi ex B ‖ 27. αὐτόπτης B : ἀπόπτης ‖ 29. δι' ὧν B

Digitized by Google

ὡς ἔθος Ὁμηρικόν, περὶ ὧν ⟨ἂν⟩ τις πεμφθῇ, μὴ παλιλ⟨λ⟩ογεῖν περὶ αὐτῶν, ὡς Θέτις πρὸς Ἀχιλλέα οὐδὲν περὶ Διός (Il. 1. 532), οὐδὲ Ὀδυσσεὺς περὶ Χρύσου (ib. 487). §. καὶ ἡ Ἶρις περὶ Ποσειδῶνος (Il. 15. 217).

* ὁ Τυδείδης] Ἀριστοφάνης δίχα ἄρθρου. A=

26. * δουρὶ κλυτός] δίχα ἐπιθέτου τὸ τοῦ Ἀγαμέμνονος ὄνομα ἀναγκαίως ἔταξεν.

27. * κατὰ μηρόν] ἐπὶ τὸν μηρόν· "νύξε δέ μιν κατὰ χεῖρα μέσην" (Il. 11. 252)· καὶ ἀντὶ τῆς ἐξ· "βῆ δὲ κατ' Οὐλύμποιο ⟨καρήνων⟩" (Il. 1. 44). B=

28. * πολυφάρμακοι] οὐχ ἑκάστης νόσου φάρμακον ἔχοντες, ἀλλ' ἑκάστῃ νόσῳ ποικίλας θεραπείας προσάγοντες. B=

τοὺς μὲν—ἀμφιπένονται] ἀμφὶ μὲν τούτους. ὅτι δὲ κατὰ ἔθνος ἦσαν ἰατροί, ἀπὸ Ἰδομενέως δῆλον· "ὁ δ' ἰητροῖς ἐπιτείλας" (Il. 13. 213). τοῦτο δὲ λέγει αὔξων τὸ δεινόν· οὐδένα γὰρ περιοδευόμενον εἶδεν. B+

29. σὺ δ' ἀμήχανος] ἀπροσμηχάνητος, πρὸς ὃν οὐκ ἔστι μηχανὴν εὑρεῖν. AB= §. ἐκείνους μέν φησιν ἰάσονται ⟨οἱ⟩ ἰατροί, σὺ δὲ ἔοικας ἀνίατος εἶναι τὴν ψυχήν. B=

30. χόλος] ἀντιμετείληφε τὴν μῆνιν. ἢ τάχα ἐφ' ἑαυτοῦ εὔξατο μὴ κατὰ τὸ τυχὸν ἐμπεσεῖν ⟨εἰς⟩ χόλον, πόσῳ ⟨δὲ⟩ μᾶλλον ⟨εἰς⟩ μῆνιν. A+B=

* καλῶς διὰ τῆς εἰς ἑαυτὸν εὐχῆς ἀπέστρεψε τὸν Ἀχιλλέα τῆς νόσου. B=

31. αἰναρέτη] σύνθετόν ἐστι παρὰ θηλυκόν, ὡς "ὑψαγόρη" (Od. 2. 85) μισογύνη, ὃ ἀγνοοῦντες γράφουσιν "αἰν' ἀρετῆς," ἵν' ᾖ ὁ χόλος πολέμιος ταῖς ἀρεταῖς καὶ ἐχθρός· "μὴ ἐμὲ γοῦν οὗτός γε λάβοι χόλος —αἰναρέτης·" ἐπεκράτησε δὲ ἡ δίχα τοῦ σ̄ ἀνάγνωσις Ἀριστάρχειος οὖσα, καὶ ἔστιν 'εἰς αἰνὸν χρώμενε τῇ ἀρετῇ,' εἰς ὄλεθρον, οὐκ εἰς σωτηρίαν. δι' ἑνὸς δὲ ὀνόματος ἔπαινον ἔμιξε καὶ ψόγον· ὅτι μὲν γὰρ ἔχει ἀρετήν, φησίν, ὅτι δὲ οὐκ ἐπ' ἀγαθῷ τῶν φίλων, διαβάλλει. A-B-

αἰναρέτη. τίς σευ ἄλλος] γίνεται γὰρ ἐκ τοῦ ζήλου καὶ ἐκ τῆς μιμήσεως τῶν παλαιῶν ὠφέλειά τις. ὅθεν καὶ ὁ Νέστωρ τὰς οἰκείας διηγεῖται πράξεις, ζῆλον ἐντιθεὶς τοῖς ἀκούουσιν. B=

33. ἱππότα Πηλεύς] οὐκ ἦν ὡς ἔοικέ σοι πατήρ· προαιτησάμενος δὲ συγγνώμην διὰ τοῦ δακρύειν πικρότερον ἅπτεται τῶν ἐγκλημάτων· B=

11. φάρμακα B ‖ 12. νόσῳ B: νόσων ‖ 15. οὔτε post π. omisi, 'natum ex -οντα supra περιοδευόμενον scripto videtur' W ‖ περιοδεύοντα B ‖ 17, 20. supplevi ex B ‖ 19. μὴ B: μηδὲ ‖ 23. αἰν' ἀρετῆς A: αἰναρετῆς ut B ‖ 32. προπαραιτησάμενος B ‖ 33. δακρύειν B: δακρύου

Digitized by Google

τοιαῦτα γὰρ τὰ τῶν φίλων ἐστί, καὶ μάλιστα, ὅταν πρὸς κρείσσους παρρησιάζωνται.

A+B− 34. γλαυκὴ δέ σε τίκτε θάλασσα] διὰ τὸ σκυθρωπὸν καὶ ἀπαραίτητον τῆς θαλάσσης, καὶ μάλιστα ἐν χειμῶνι. ὅθεν καὶ τοὺς ἀπηνεῖς Κύκλωπας καὶ Λαιστρυγόνας Ποσειδῶνός φησι καὶ Πολύφημον Θοώσης τῆς Φόρκυνος (Od. 1. 71). γλαυκὴν δὲ ἅπαξ εἰπόντος αὐτὴν Ὁμήρου Ἡσίοδος ἀντὶ κυρίου "καὶ τοῖς, οἳ γλαυκήν" (Th. 440).

35. ὅ τι τοι νόος ἐστὶν ἀπηνής] τρία μέρη λόγου, ἵν' ᾖ τὸ "ὅ" ἀντὶ τοῦ διό· περισσεύει δὲ τὸ "τι." §. Ἀρίσταρχος δὲ γράφει "ὅτε τοι."

B= *πρὸς τὰς οἰκήσεις τῶν γονέων· ὁ μὲν γὰρ ᾤκει τὸ Πήλιον ὄρος, ἡ δὲ τὴν θάλασσαν.

B= 36. εἴ δέ τινα φρεσί] ἐρεθιστικῶς ταῦτα τῷ φιλοδόξῳ φησί, πρὸς ὃ μάλιστα δηχθεὶς ἀπολογεῖται, ὡς οὐ δέει θανάτου πεποίηται τὴν λειποταξίαν.

A+B= 41. ἴσκοντες] ὁμοιοῦντες. οἱ δὲ νεώτεροι ἐπὶ τοῦ λέγοντος τάττουσι τὴν λέξιν. ἐντέχνως δὲ ὀνειδίσας δειλίαν ἐγγὺς ἔθηκε τὸ τῆς ὑπεροχῆς, εἴ γε καὶ μόνη ⟨ἡ⟩ φαντασία Ἀχιλλέως ἱκανὴ τρέψασθαι τοὺς πολεμίους. A+ §. τὴν δὲ ἄρχουσαν τοῦ "ἴσκοντες" συσταλτέον· ἀπὸ γὰρ τοῦ εἴδω μέλλων εἴσω· ἅμα δὲ τῷ πλεονασμῷ καὶ τοῦ κ̄ διαίρεσις τῆς διφθόγγου γίνεται ἐίσκω, καὶ ἀποβολῇ τοῦ ε̄ ἴσκω.

B= 43. ὀλίγη δέ τ' ἀνάπνευσις ⟨πολέμοιο⟩] ἡ περιλειπομένη αὐτοῖς τοῦ πολέμου ἀναπνοὴ μικρά ἐστιν· ἔτι γὰρ ὅσον καὶ ἀπολώλασιν. δεῖ οὖν ταχὺ ἐπιβοηθῆσαι. ἢ καὶ οὕτως 'ὀλίγον ἐστὶ δι' οὗ ἀνάπνευσις πολέμου γίνεται,' ἵνα κατασκευάσῃ ὅτι ἐκείνους μὲν μεγάλα ὠφελήσομεν, αὐτοὶ δὲ ὀλίγον πονήσομεν. καὶ ἔσται σύμφωνον καὶ τὸ ἐπιφερόμενον "ῥεῖα δέ κ' ἀκμῆτες" (44)· δεῖ γὰρ ἐπὶ τελευτῇ τοῦ λόγου καὶ ῥάστην τὴν βοήθειαν ἀποδεῖξαι, ἵνα καὶ διὰ τούτου προτρέψηται.

B− 46. μέγα νήπιος] ὡς ἀνεννόητος τῶν μελλόντων. αἱ δὲ προαναφωνήσεις αὗται τὸν ἀκροατὴν ἐπαίρουσιν, ὡς "νηπίη, οὐδ' ἐνόησεν, ὅ μιν μάλα τῆλε λοετρῶν ⟨—δάμασε⟩" (Il. 22. 445).

1. μᾶλλον B ‖ 4. χειμῶσι B ‖ 5. φησὶ W: φασὶ ut B ‖ 6. θεώσης ‖ 7. καὶ τοῖς οἳ γλαυκὴν A: καί τοι γε οὐ γλαύκη ‖ 12. οἰκεῖ B ‖ 14. schol. iteratur* ‖ ἐρεθιστικῶς B schol. alt.: ἐρεθιστικὰ ‖ 15, 16. τὴν λειποταξίαν etiam schol. alt.: τὸ λιποτάξιον B ‖ 17. τάττουσι B: ἄγουσι ‖ 18. τέθεικε B ‖ 21. τῇ ἐπενθέσει A ‖ κ̄ A: ι $\dot{\iota}^{\kappa}$ ‖ 26. κατασκευάζῃ B ‖ μέγα B

Digitized by Google

* ἔμελλεν] ἐῴκει· οὐ γὰρ αὖθις ἔμελλε παρακαλεῖν. AB+

47. λιτέσθαι] ἐχρῆν μὲν αὐτὸ προπαροξύνεσθαι—ἐνεστῶτος γάρ A+B− ἐστιν, ὡς καὶ τὸ νοητὸν ἀπαιτεῖ—ὅμως ἡ παράδοσις παρώξυνεν ὡς μέσου ἀορίστου δευτέρου ὄν. [ὡς ἐνεστῶτος προπαρωξύνθη] τοῦτο δὲ ὡς ἐνεστῶτος παρωξύνθη· καὶ λόγου γὰρ ἔχεται· τὰ γὰρ εἰς ⟨σ⟩θαι ἀπαρέμφατα τῷ ε̄ παραληγόμενα, οὐκ ὄντα ἀπὸ τῶν εἰς μι, ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλους τὸ ῑ συνεσταλμένον, μὴ ἐπιφερομένου διπλοῦ μηδὲ δύο συμφώνων, παροξύνεται, ἱκέσθαι ἰδέσθαι λιπέσθαι πιθέσθαι λιτέσθαι.

* λιπέσθαι] καταλιπεῖν.

49. ὤμοι, διογενές] σχετλιάζει πρὸς τὸ "εἰ δέ τινα φρεσὶ σῇσι" B= (36). πρὸς δὲ τὸν Πάτροκλον καὶ εὔλογος ἡ ἀγανάκτησις, ὅτι ὡς ἀγνοῶν τὴν αἰτίαν τῆς μήνιδος Ἀχιλλέως ταῦτα ἔφη· ὅθεν καὶ ἄνωθεν διηγεῖται τὸ γνωριμώτατον, ὥσπερ ἐξελέγχων αὐτὸν ὅτι τὴν αἰτίαν εἰδὼς τῆς ὀργῆς ἄλλας ὑπονοίας ἐκόμιζεν.

50. ἥν τινα οἶδα] Ἀρίσταρχος "εἴ τινα οἶδα" ἵν' ᾖ ἠθικώτερον· A−B= εἰ καὶ οἶδά τινα μαντείαν, οὐ φροντίζω· τῆς δὲ μαντείας ἐν ταῖς Λιταῖς ἐμέμνητο (Π. 9. 410).

* ἥν τινα] εἴ τινος.

53. * ὁππότε δή] Ἀρίσταρχος "ὁππότε τις."

* τὸν ὁμοῖον ἀνήρ] ἄνδρα ἀπὸ κοινοῦ.

* ἀμέρσαι] ἀποστερῆσαι, ἀπομερίσαι καὶ ἀποδιῶξαι. §. μέτριον B~ δὲ τὸ μὴ φάναι κρείσσονα ἀλλ' ὅμοιον. B=

54. * γέρας ἂψ ἀφελέσθαι] δοὺς πάλιν στερῆσαι. B=

ὅ τε κράτεϊ] "ὅ τε" ἀντὶ τοῦ ἐπεί· ἢ ἀντὶ τοῦ ὅστε, ἵν' ᾖ, B= ὁπόταν ἀνήρ, ὅστε κράτεϊ προβεβήκῃ, τὸν ὅμοιον ἐθελήσῃ ἀμέρσαι. §. "προβεβήκῃ" δὲ προὔχῃ τῶν ἄλλων. §. "κράτεϊ" δὲ τῇ ἀρχῇ, τῇ B= βασιλείᾳ. ἴσως δὲ ἐκείνων μέμνηται ὧν ἔλεγε Νέστωρ, "ἀλλ' ὅδε B= φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει" (Il. 1. 281). καὶ Ἀγαμέμνων "καί μοι ὑποστήτω, ὅσ⟨σ⟩ον βασιλεύτερός εἰμι" (Π. 9. 160).

* ὅ τε κράτεϊ προβεβήκῃ] ὁπόταν τῷ κράτει προέχῃ.

56. κούρην, ἣν ἄρα μοι γέρας] τὸν φόβον τοῦ θανάτου ἀπωσάμενος B=

3, 4. ἡ π. παροξύνει· ἐνεστῶτος γὰρ ὂν ὡς ἀορίστου παρωξύνθη· ἔχεται δὲ κ. λόγου B ‖ 4. inclusa delet W ‖ 6. supplevi ex B ‖ ε̄ B: ῑ ‖ 8. μηδὲ B: μήτε ‖ 10. λιτέσθαι textus ‖ 16. ἵν' ᾖ B: ἢ ‖ 26. προβεβήκει B: προβεβῇ ‖ ἐθέλησιν B ‖ 27. προβεβέκῃ B, προβεβήκει ‖ προὔχει ut B ‖ 30. supplevi ex B

Digitized by Google

ἐπὶ τὴν ὀργὴν μετέστησε τὴν αἰτίαν. καὶ πρὸς εἰδότα μέν φησιν, ὃς καὶ τῆς χειρὸς ἐξήγαγε τὴν παῖδα καὶ τοῖς κήρυξι παρέδωκεν, ἔστι δὲ ἠθικόν. ἔθος γὰρ τοῖς θυμουμένοις καὶ πρὸς τοὺς εἰδότας διηγεῖσθαι. ἄλλως τε καὶ ἀνάγκη προ⟨σ⟩βαλεῖν τὴν αἰτίαν, ἐπεὶ ὑπερτίθεται τὴν ἔξοδον. καὶ τῷ Πατρόκλῳ μεγάλα ⟨θέλει⟩ δοκεῖν χαρίζεσθαι, ἐκδιδοὺς αὐτὸν μεθ' ὕβριν τοσαύτην. εὖ δὲ καὶ δύο δικαιώματα προβέβληται, ὅτι παρ' Ἑλλήνων τὸ γέρας εἴληφεν, οὐ παρ' Ἀγαμέμνονος, καὶ ὅτι ἐξ ὧν ἔκαμε λαβὼν ἀφῄρηται.

56. * κούρην, ἣν ἄρα μοι γέρας ἔξελον] δι' ὅλου φαίνεται τοῦ ὀνόματος κρατῶν· καὶ "γέρας," οὐ παλλακίδα καλεῖ.

57. * πόλιν] τὴν Πήδασον οἱ τῶν Κυπρίων ποιηταί (fr. 15 K.), αὐτὸς δὲ Λυρνησόν (Il. 2. 690). σημειωτέον δὲ τοῦτο πρὸς τὸ "δῷσι πόλιν Τροίην εὐτείχεον" (Il. 1. 129), ὅτι οὐ μόνον Τροία εὐτείχ⟨ε⟩ος.

B= 58. τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων] οὔτε τὸ "κρείων" ἁρμόζον ἐχθρῷ παρὰ ἐχθροῦ" οὔτε τὸ "ἐκ χειρῶν ἕλετο—Ἀγαμέμνων" ἀληθές· οἱ γὰρ κήρυκες παρέλαβον αὐτήν. ῥητέον δέ, ὡς τὸ μὲν πρότερον ἐν ἤθει ἀναπεφώνηται, ὥσπερ εἰ ἔλεγεν ἀνασχετλιάζων 'ὁ θαυμάσιος καὶ κράτιστος,' τὸ δὲ δεύτερον οὐ ψεῦδος, ὅτι τὰς αἰτίας οὐχὶ τοῖς ὑπηρέταις ἀλλὰ τοῖς ἐπιτάττουσι λογιστέον. ἔχει δὲ καὶ ἔνδειξιν ὁ λόγος πολλὴν καὶ αὔξει τὴν κατηγορίαν. ἐν δὲ ⟨τῇ⟩ ῥητορικῇ καὶ ἑνὸς ὀνόματος χρῆσις εὔκαιρος τὸ ὅλον ἠτεροίωσεν.

B+ 59. μετανάστην] ἐν τῇ Μα⟨σ⟩σαλιωτικῇ καὶ τῇ Ῥιανοῦ "μετανάστιν," καὶ ἀκούουσι τὴν Βρισηίδα· ἐδόκουν δὲ ἀτιμότεροι εἶναι οἱ μέτοικοι ὡς διὰ μοχθηρίαν τρόπων τὰς ἰδίας καταλιπόντες. "κατὰ ξένου μετοίκου" ὁ κωμικός (Aristoph. Equ. 347).

B+ 61. ἀσπερχές] ἄγαν ἐπιτεταμένως.

κεχολῶσθαι] ἀντιφράζει αὐτὸ τῷ "οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν" (62).

62. μηνιθμόν] ὀργήν. §. ὡς τὸ "κεκορυθμένον" (802).

62, 63. ἀλλ' ὁπόταν—νῆας ἐμάς] μέμνηται ὧν ἐν Λιταῖς ἠπείλησε "πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον, Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι" (Il. 9. 651).

3. ἔθος B: ὅμοιον || 4, 5. supplevi ex B || 14. εὐτειχής coni. Bekker || 16. ἀφείλετο B || 21. supplevi ex B || 22. ἑτεροποιεῖ B, ἐποίησεν || 23, 24. μετανάστιν Lobeck Bekker: μετανάστειν || 25. ἐῶντες B || 30. ὀργήν D: τροφήν vel τροφή

Digitized by Google

* μηνιθμόν] ὀργήν. §. ὡς τὸ "κεκορυθμένον" (802).

64. τύνη δ' ὤμοιιν] οὐ βούλεται ταχεῖαν κρίσιν ἐπαγαγεῖν τῷ πολέμῳ· διὸ κατασχὼν Ἀχιλλέα προαπόπειράν τινα διὰ Πατρόκλου ποιεῖται, ἵνα λαμπρὸν τοῦτον ἐπιδείξας λαμπρότερον αὐτῷ ἐπαγάγῃ Ἀχιλλέα. B=

65. ἄρχε—Μυρμιδόνεσ⟨σ⟩ι] Μυρμιδόνων ἄρχε πρὸς τὸ μάχεσθαι, ὅ ἐστιν ἡγοῦ. B+

66. εἰ δὴ κυάνεον] εἰ δὴ ταῦτα οὕτως ἔχει. §. ἔνιοι γράφουσιν "ἢ δή," ἵν' ᾖ, ἐν ᾧ τόπῳ τὸ τῶν πολεμούντων πλῆθος ἀμετακίνητόν ἐστιν· ὅθεν φησὶν "ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο κινήσῃ πυκινὴν νεφέλην στεροπηγερέτα Ζεύς" (297, 8). B= B−

** ἀμφιβέβηκε] περικεκύκλωκεν.

68. ⟨ῥηγμῖνι θαλάσσης⟩ κεκλίαται] περικλείονται τῷ τῆς θαλάσσης αἰγιαλῷ. ἀεὶ δὲ ἡ κλίσις παρ' Ὁμήρῳ τὴν περιοχὴν δηλοῖ. B+

χώρης ὀλίγην ⟨ἔτι μοῖραν ἔχοντες⟩] τῆς δὲ χώρας ⟨ἤτοι⟩ τοῦ τόπου ὀλίγην μοῖραν οἱ Ἕλληνες ἔχουσιν.

69. πόλις] τοὺς πολίτας φησίν· ἢ τὴν Τροίαν φησὶν ἐπιβεβηκέναι τῷ ναυστάθμῳ ἐναργῆ τιθεὶς φαντασίαν, ὡς ἐάν τις ἐπιβῇ νεκρῷ. A~B+

70. ** θάρσυνος] ἀντὶ μετοχῆς· πρὸς ὃ ἡ διπλῆ. A=

λεύσσουσι] ἡ πόλις ἢ οἱ Τρῶες. οὐκ ἐξέκλινον δὲ οἱ παλαιοὶ τὸ αὐτοέπαινον. μεγαλοφυῶς δὲ φθέγγεται· οὐ γὰρ ἔφη ὅτι δεδοίκασι μαχόμενον, ἀλλ' ὡς μηδὲ τὴν αὐγὴν τῶν ὅπλων αὐτοῦ ὑφισταμένων τῶν βαρβάρων. B=

71. ** ἐγγύθι] ἧς καὶ μακρὰν ἀπόντες ὅμως δοκοῦσι πλησίον εἶναι διὰ φόβον. B=

ἐναύλους] προαναφθέγγεται τὴν παραποτάμιον μάχην· φησὶ γὰρ ὁ Σκάμανδρος "οὐδέ τι πῃ δύναμαι προχέειν ῥόον—στεινόμενος νεκύεσσιν" (Π. 21. 219). ἔναυλοι δὲ τὰ ἐν ὄρεσι κοιλώματα· οἱ δὲ "ἐναύλους" τοὺς παρὰ τὴν τάφρον τόπους, ἔνθα ἐστρατοπεδεύσαντο Τρῶες, οἱ δὲ τοὺς ἀγρούς, οἱ δὲ στενὰς διώρυχας—αὐλὸς γὰρ πᾶν τὸ ἐπίμηκες—"ὅν ῥά τ' ἔναυλος ἀποέρσῃ χειμῶνι περῶντα" (Π. 21. 283). B+

73. ** ⟨ἤπια⟩ εἰδείῃ] εἰδὼς ἦν· οὐ γὰρ εἰς φιλίαν αὐτὸν προκαλεῖται. καλῶς δὲ ἔφρασε τὸ εὐνοεῖν. B=

1. ὀργήν D: τροφήν vel τροφή ‖ confert W p. 174, 9 ‖ 3. προανάπειραν B ‖ 4. αὐτῷ vel ἐπ' αὐτῷ W: ἑαυτῷ ‖ μετ' αὐτὸν ἐξαγάγῃ B ‖ 8. τὸ B: τοῦ ‖ 10. κινήσει ut textus ‖ 17. ἐὰν scripsi: εἰ ‖ 19, 20. τὸ αὐτοέπαινον B: τὸν ἑαυτὸν ἔπαινον μέγα ‖ 22. μ. ἀπούσης οὗτοι δ. B ‖ 27. ἐστρατοπέδευσαν οἱ B ‖ 28. ἔναυλος B



Digitized by Google

στρατόν] στρατόπεδον.

B+ 74. οὐ γὰρ Τυδείδεω Διομήδεος] πρὸς τὸ "μὴ ὄφελες λίσσεσθαι" (Π. 9. 698) καὶ "εἰσόκε τέκμωρ Ἰλίου εὕρωμεν" (Il. 9. 48, 9), καὶ ἐπειδὴ πρῶτος ἠρίστευσε Διομήδης, εἶτα Ἀγαμέμνων.

B= 76. οὐδέ πω Ἀτρείδεω ὀπός] ὅτι στρατηγὸς ἂν οὐ θαρρεῖ προτρέπειν τὰ πλήθη. οἱ δὲ καὶ πρὸς τὸ "καὶ δ' Ἀχιλεὺς—μάχῃ ἔνι ⟨κυδιανείρῃ⟩ ἔρριγ' ἀντιβολῆσαι" (Il. 7. 113, 4)· καὶ ὅτι πρὸ τῆς ἀριστείας ἐβόησεν· "ἴδε ζώννυσθαι ἄνωγεν Ἀργείους" (Π. 11. 15, 16).

αὐδήσαντος] παρακελευσαμένου.

B= 77. ἐχθρῆς ἐκ κεφαλῆς] τὸ ἦθος τοῦ ὠργισμένου ἔτι διατηρεῖ ὁ ποιητής· γενόμενος γὰρ ἐπὶ τὸ ὄνομα τοῦ Ἀγαμέμνονος, καθ' οὗ καὶ κεκίνηται, ἐνδιατρίβει βλασφημῶν.

78. περιάγνυται] περιπορεύεται.

B+ 80. νεῶν ἀπό] οὐκ ἀφίσταται τοῦ ὀνόματος τῶν νεῶν. τοῦτο γὰρ δι' ὅλου παραγγέλλει, τὸν ἀπὸ τῶν νεῶν κίνδυνον ἀπώσασθαι μόνον. διὸ καὶ ἐπιφέρει "μὴ δὴ πυρὸς αἰθομένοιο νῆας ἐνιπρήσωσι" (81, 2) εἶτα ἑξῆς "ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν" (87).

⟨νεῶν⟩ ἀπὸ λοιγὸν ἀμύνων] τὸ ἑξῆς ἀπαμύνων· οἱ δὲ ἀναστρέφουσι τὴν "ἀπό."

81. ἐπικρατέως] ἰσχυρῶς.

μὴ δὴ πυρός] ἀντὶ τοῦ πυρί.

B= 83. πείθεο ⟨δ'⟩ ὥς τοι ἐγώ] βάσκανον ἦθος ἐνθάδε ὑπόκειται οὐκ ἐῶντος τὸν φίλον ἀπολαμπρύνεσθαι τέλεον. ἀπρεπὲς δὲ καὶ τὸ παλλακίδος καὶ δώρων μεμνῆσθαι. ἢ ὡς φιλέταιρος ἐξίστησιν αὐτὸν τῶν κινδύνων, εἰδὼς ὑπὲρ μὲν τῶν νεῶν ἅπαντας αὐτῷ συγκινδυνεύσοντας, μετὰ δὲ ταῦτα οὐκέτι θελήσοντας συνακολουθεῖν διὰ τὸν κάματον. πῶς οὖν οὐκ ἐκφέρει ταῦτα πρὸς τὸν Πάτροκλον, εἴπερ οὕτω διενοεῖτο; ἢ τὸ μὲν ἀληθὲς εἰπὼν ᾔδει Πάτροκλον τῆς ἰδίας σωτηρίας καταφρονήσοντα, ἐφ' ἑαυτὸν δὲ περισπάσας τὴν αἰτίαν ᾔδει Πάτροκλον φυλαξόμενον. ὅτι δὲ κηδεμονικῶς ταῦτα τῷ φίλῳ συμβουλεύει, ἐπιμαρτυρεῖ καὶ ἐν τοῖς ἑξῆς ὁ ποιητὴς "νήπιος· εἰ δὲ ἔπος Πηληιάδαο φύλαξεν, ἦ τ' ἂν ὑπέκφυγε κῆρα—μέλανος θανάτοιο" (686, 7). ὑποφαίνει δὲ τὴν προαίρεσιν ἑαυτοῦ ἐπαγαγὼν τὸ "μή τις ἀπ'

6. Ἀχιλλεὺς ‖ 8. ἠδὲ ‖ 11. οὗ W: ὃ ut B ‖ 12. κεκίνηται B: ἐνκεκίνηται ‖ 13. παραπορεύεται: corr. W ex Hes. s. v. ‖ 14. τοῦτο δὲ B ‖ 16. δὴ B: δὲ ‖ 25. συγκ. B: συνκ. ‖ 26. οὐκέτι B: οὐκ ἂν ἔτι ‖ 28. ἢ B: εἰ ‖ 31, 2. Πηληιάδεω B ‖ 33. αὐτοῦ B

Digitized by Google

Οὐλύμποιο θεῶν" (93), εὐπρεπῶς οὐ Τρῶας ἀλλὰ τὸν Ἀπόλλω δεδοικώς. οὐ βασκανίας οὖν κριτέον Ἀχιλλέα ἀλλὰ φιλεταιρίας, ὅς γε φησὶν εὐχόμενος "ἦ ῥα καὶ οἶος ἐπίσταται πολεμίζειν" (243).

85. ἀτὰρ οἵ] ὀρθοτονητέον τὴν "οἵ·" ἄρθρον γάρ ἐστι πληθυντικόν, ἵν' ᾖ 'οἱ δὲ Ἕλληνες.' A ~ B =

§. ἔρωτα δὲ παλλακῆς καὶ φιλαργυρίαν ἐπιδείκνυνται οἱ στίχοι. B =

87. ⟨ἐκ νηῶν⟩ ἐλάσας ⟨ἰέναι πάλιν⟩] ἀπελάσας, φησί, μόνον τῶν νηῶν ἴεσο τῇδε, μὴ φιλοτιμότερον τῇ νίκῃ χρώμενος καὶ διώκων. B =

89. μὴ σύ γ' ἄνευθεν] τοὺς β' (89, 90) ἀθετεῖ Ζηνόδοτος. A +

90. ἀτιμότερον δέ με] ὁ "δέ" ἀντὶ τοῦ γάρ. A +

92. ἐναιρόμενος] ἐναίρων.

93. μή τις ἀπ' Οὐλύμποιο] τοὺς δ' ἀθετεῖ Ζηνόδοτος καὶ ἀντ' αὐτῶν γράφει "μή σ' ἀπομουνωθέντα λάβῃ κορυθαίολος Ἕκτωρ," ὃν παρῳδεῖ Διονύσιος ὁ Θρᾷξ, ἀντὶ τοῦ "λάβῃ" 'δάκῃ' λέγων. A +

μή τις ἀπ' Οὐλύμποιο] ἐκφοβεῖ τῷ θεῷ· ὅτε δὲ λέγει "μηδ' Ἕκτορι ἶφι μάχεσθαι" (Il. 18. 14), ἀναφέρει ἐπὶ τὸ "μὴ ἀπάνευθεν ἐμεῖο" (89).

94. ἐμβήῃ] ἐμποδὼν στῇ, ἐναντίως σοι τῇ βάσει χρήσηται. B +

95. πάλιν τροπάασθαι] συνήθως· ἔστι γὰρ ποιητικόν.

96. ** δηριάασθαι] πολεμεῖν τε καὶ μάχεσθαι.

97. αἲ γάρ, Ζεῦ τε πάτερ] παντελῶς ἐκβλητέον τοὺς δ' στίχους· πρῶτον ὅτι παιδιώδης καὶ ἀδύνατος ἡ εὐχή, εἶθ' ὅτι φθονερά, εἶτα ἐρωτική. τί δὲ ἠδίκησαν οἱ Μυρμιδόνες; πῶς τε Φοῖβον ἐπικαλεῖται, ὃν ἤκουσεν ὑπὸ Θέτιδος φονέα ἑαυτοῦ ἔσεσθαι (Il. 21. 277); τί δὲ θαυμαστόν, εἰ ἐρήμην πορθοῖεν πόλιν; καὶ τὸ λύειν τὰ ⟨τείχη⟩ οἰκοδόμων ἐστίν· πῶς δὲ τὸ "νῶιν" (99) εὐθεῖαν δηλώσει; καλῶς οὖν φησιν Ἀρίσταρχος Ζηνόδοτον ὑπωπτευκέναι, ὡς εἶεν παρεντεθέντες οἱ στίχοι ὑπὸ τῶν ἀρσενικοὺς ἔρωτας λεγόντων εἶναι παρ' Ὁμήρῳ καὶ ὑπονοούντων παιδικὰ εἶναι Ἀχιλλέα Πατρόκλου. A ~

98, 9. μήτε τις οὖν Τρώων—μήτ⟨ε τις⟩ Ἀργείων] τινὲς ὑπερβολικῶς φασιν ἀντὶ τοῦ ἀπόλοιντο οἱ ἀριστεῖς. ἢ καὶ δεόντως πεποίηται τὴν εὐχήν, τοὺς μὲν μισῶν ὡς πολεμίους, τοὺς δὲ ὡς περιιδόντας B =

1. Ἀπόλλωνα ‖ 3. ἐπίστηται B ‖ 4. αὐτὰρ ‖ 5. παλλακίδος ‖ 7. μόνον B: μόνων ‖ 8. φ. τῇ B: φ. δὲ τῇ ‖ 12. δ' A: γ' ‖ 13. αὐτῶν A: αὐτοῦ ut B ‖ ἀπογυμνωθέντα A ‖ 16. μὴ σύ γ' ἄνευθεν textus Π. ‖ 18. χρήσεται B, χρῆσθαι ‖ 19. τροπᾶσθαι ‖ an ἀσυνήθως? ‖ 23. ἐρωτική Bekker: ἐρωτικά ‖ 25. supplevi, cf. Eust. ‖ 26. εὐθεῖαν Bekker: οὐ θεῖαν ‖ 31. πεποίηται B: πεποίηκε ‖ 32. ὑπεριδόντας B



Digitized by Google

ὑβριζόμενον. ἄλλως τε καὶ αὔξει τὴν εἰς Πάτροκλον χάριν, εἰ τοὺς Ἕλληνας σῴζει δι' αὐτόν, οὓς ἀπολέσθαι θέλει, ὡς οὐ κατὰ κηδεμονίαν τῶν Ἑλλήνων ἐκπέμπων τὴν συμμαχίαν, ἀλλὰ τῷ Πατρόκλῳ ἀντιλέγειν οὐ θέλων.

A + B− 99. ἐκδῦμεν] παροξυτονητέον τὸ "ἐκδύμεν" ἔστι γὰρ ἀπὸ τοῦ ἐκδύμεναι ἀπαρεμφάτου, ἵν' ᾖ ὁ λόγος, ἡμῖν δὲ γένοιτο ἐκδῦναι τὸν ὄλεθρον. καὶ λείπει τὸ εἴη. εἰ γὰρ τοῦ δύοιμεν εὐκτικοῦ συγκοπὴν αὐτὸ φήσομεν, οὐ κατάλληλος ἔσται ὁ λόγος.

B= 101. ὣς οἱ μὲν τοιαῦτα—Αἴας δ' οὐκέτι μίμνε] μέτεισιν ἐπὶ τὴν μάχην, ὅπως τὴν ναῦν ἐμπιπραμένην δείξας Ἀχιλλεῖ τὸν Πάτροκλον ἐξαγάγῃ. καλῶς δὲ τῇ ἐκλογῇ τῶν ὀνομάτων χρῆται· φυγὴν γὰρ οὐκ ὠνόμασεν, ἀλλ' ὅτι μένειν οὐκ ἠδύνατο καὶ τὰς πολλὰς αἰτίας ἐπάγει. θαυμάσιον δὲ τὸ κατὰ τὴν ἀπαγγελίαν· εἰώθασι γὰρ οἱ ποιηταὶ φαντασίαν παρέχειν τῷ λόγῳ ἐπὶ τροπικὰ χωροῦντες, καὶ παρὰ τῷ Ὁμήρῳ ἐστὶ πολλὰ τοιαῦτα· ἐνθάδε ⟨δὲ⟩ χωρὶς παραβολῆς καὶ πάσης τροπικῆς ἀπαγγελίας ἐπῆρται ὁ λόγος, ἀπ' αὐτῶν τῶν πραγμάτων γινομένης τῆς φράσεως.

B= ** ὣς οἱ μὲν τοιαῦτα] πῶς πάντα ὑπισχνούμενος εἰδέναι οὐ λέγει ταῦτα; λέγομεν ὅτι πράγματα μὲν μνημονεῦσαι ῥᾴδιον, οὐ μὴν λόγους· ἀφανίζονται γὰρ τὰ ἔπη πτερόεντα ὄντα.

102. βιάζετο γὰρ βελέεσσιν] ὑπὸ βελῶν κατεπονεῖτο· τρωτὸς ἦν ἄρα· καὶ "ὅσ⟨σ⟩ον ἐμῇ κεφαλῇ περιδείδια, μή τι πάθῃσιν" (Π. 17. 242).

103. δάμνα μιν Ζηνός τε νόος] μέγιστον ἐγκώμιον τοῦ Αἴαντος, ὅτι καὶ πρότερον καταστασιασθεὶς ὑπὸ Διὸς ἐπέμενεν.

B= 104. βάλλοντες] πρὸς ἐπίτασιν ἐπλεόνασε τῷ ῥήματι, "βάλλοντες" λέγων καὶ "βαλλομένη" (105) καὶ "βάλλετο" (ib.)· ἀμίμητα δὲ ταῦτα καὶ γραφεῦσι καὶ πλάσταις.

B+ δεινὴ⟨ν⟩ δὲ ⟨—πήληξ βαλλομένη καναχὴν ἔχε⟩] τοῦτο τῆς
B= καναχῆς ἐπίθετον. διὸ σὺν τῷ ν̄. §. καὶ μὴ ψαύοντες μὲν ἀκοντίζουσι τὴν κεφαλήν, ψαύοντες δὲ ἐρείδουσι τὴν ἀσπίδα, ὁ δὲ ἕστηκεν ἀκίνητος [τὴν προσβολήν]. καὶ ἔστιν αὐτὸν παραβάλλοντας τῷ Ἕκτορι τὴν ὑπεροχὴν γνῶναι· ὃ μὲν γὰρ ὑπὸ Διομήδους τὴν κόρυθα θλιβεὶς σκοτοδινιᾷ, ὃ δὲ ὑπὸ πολλῶν βαλλόμενος ἀνέχεται.

4. μὴ βουλόμενος B ‖ 7. τοῦ Bekker: τὸ ‖ 13. εἰώθασι γ. W: δρῶ φασι μὲν γ. ὅτι B, δρῶ φασι γ. ‖ 14. παρέχουσι B ‖ 15. παρ' αὐτῷ B ‖ ἐνταῦθα δὲ B ‖ 16. καὶ πάσης W: τοιαύτης πάσης καὶ ut B ‖ ἀπ' W: ἐπ' ut B ‖ 29. διὸ W: δεινὴν B, δι' ἧς ‖ 30. τῆς κεφαλῆς B ‖ δὲ τύπτουσι B

Digitized by Google

106. καὶ φάλαρ' εὐποίητα] ἄμεινον οὕτω γράφειν, ἵν' ᾖ ' καὶ ἡ πήληξ ἐβάλ⟨λ⟩ετο καὶ τὰ φάλαρα.' ἡ πήληξ μὲν οὖν εἰς ὃ τὸν λόφον τιθέασι, φάλαρα δὲ τὰ κατὰ τὰς παρειὰς πίπτοντα μέρη διὰ τὸ φανὰ εἶναι καὶ λαμπρά· ὡς δὲ ὁ Θρᾷξ, ὁ ἑκατέρωθεν αὐτῆς κόσμος. A~B+

ὃ δέ] ὡς περὶ ἑτέρου· ὅμοιον δέ ἐστι τῷ "ὃ δ' ἐρεύγετο οἰνοβαρ⟨ε⟩ίων" (Od. 9. 374).

107. ἔμπεδον—ἔχων σάκος] διὰ τὸ μὴ ἔχειν τοὺς διαδεξομένους ὁπλοφόρους πλησίον, "οἵ οἱ σάκος ἐξεδέχοντο, ὁππότε μιν κάματός τε καὶ ἱδρώς" (Il. 13. 710, 1). §. "πάντῃ δέ" (111) ἀντὶ τοῦ γάρ. §. ἐπαινεῖται δὲ ὁ τόπος ὡς καὶ ζωγραφίας ἐναργέστερον ἔχων.

οὐδὲ δύναντο ἀμφ' αὐτῷ πελεμίξαι] τὸ περὶ αὐτῷ σάκος οὐδ' ὅσον ἐδύναντο κινῆσαι.

108. ἐρείδοντες] πατάσσοντες. κυρίως δὲ ἐρεῖσαι τὸ ἐκ χειρὸς πατάξαι. εἴρηται δὲ καὶ ἐπὶ βολῆς· "καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο" (Il. 3. 358). B=

112. ἔσπετε νῦν μοι, Μοῦσαι] ὡς παράδοξον μέλλων λέγειν τὴν ὑποχώρησιν Αἴαντος τὸν ἀκροατὴν προσεκτικώτερον ποιεῖ τοῖς παρὰ Μουσῶν λόγοις. συνέτεμε δὲ τὸ προοίμιον ἐπειγόμενος τῷ καιρῷ· ἐκεῖνος μὲν γὰρ ὁ λόγος (Il. 2. 484) ἐδεῖτο τερατείας ἐξαρίθμησιν ἔχων νεῶν καὶ ἡγεμόνων, ὃ δὲ μιᾶς νεὼς ἐμπρησμόν. B=

114. δόρυ μείλινον] οὐδ' ⟨ἂν⟩ θεῷ εἶξεν, εἰ μὴ ἀχρεῖον αὐτῷ γέγονε τὸ δόρυ. B=

μείλινον ἄγχι παραστάς] πάλιν ἐπὶ τὸ κινδυνωδέστατον προήγαγε τὴν ὑπόθεσιν· παράδοξον γὰρ τὸ ἐγγὺς παραστῆναι τὸν Ἕκτορα. ἀλλ' οὐδετέρου τρῶσιν ὑπέθετο, τοῦ μὲν διὰ τὴν ὑπεροχήν, εἰ καὶ ὑπὸ θεοῦ νῦν καταστασιάζεται (103), τοῦ δὲ διὰ τὴν ἀπὸ τοῦ Διὸς βοήθειαν. ἀλλ' ἔδει τὸν ἕτερόν γε βλαβῆναι ἐκ τῆς κλάσεως. διὰ μέσου οὖν ἐχώρησε τὴν ὑποχώρησιν Αἴαντος τῷ δόρατι περιθείς. B=

115. παρὰ καυλόν] "καυλόν" τὸ καθιέμενον μέρος εἰς τὴν ἐπιδορατίδα. B=

116. ἀπάραξε] εἰ ἀπήραξεν, πῶς ἐπιφέρει "τῆλε δ' ἀπ' αὐτοῦ A+B−

1. καὶ φάλαρα A B: καφάλαρ' ‖ ἵν' ᾖ B: ἵνα ‖ 9. ὅτε ‖ 11. ἐναργέστερον Bekker: ἐνεργέστερον ‖ 15. εἴρηται scripsi: εὕρηται ‖ 20. ἐδέετο ut B ‖ 21. νηῶν ‖ 22. οὐδὲ θ. ut B ‖ 23. ἐγένετο B ‖ 25. παραστῆσαι B ‖ 28. ἀλλ' ἔδει scripsi: ἔδει γὰρ B, ἀλλ' ἐπὶ ‖ κλάσεως B: ἐμπλάσεως

Digitized by Google

αἰχμὴ χαλκείη" (117); ἔστι δὲ τάχος περὶ τὴν ἀπαγγελίαν, καὶ τὸ μὲν "ἀπάραξε" περὶ ὅλου τοῦ πράγματός φησιν, ἔπειτα τὰ κατὰ μέρος ὑποτίθησιν.

A + B = 117. πῆλε] ἐκράδαινε πρὸς τὸ διαγνῶναι εἰ τέλεον ἠχρείωται· διασείσαντος δὲ αὐτοῦ ἀπέρριπται ἡ αἰχμή. οἱ δὲ τὸ "κόλον" 'κολοβωθησόμενον' οἱ δὲ προειρῆσθαι τὸ κεφάλαιον, ἐπανειλῆφθαι δὲ ὡς γέγονεν ἕκαστον, ὡς ἐπὶ τοῦ "ὡς πολέας πέφνοντα Μενοιτίου ἄλκιμον υἱὸν Ἕκτωρ Πριαμίδης σχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα" (827)· καὶ ἔτι ζῇ Πάτροκλος. οἱ δὲ ⟨ἐν τῷ⟩ "τῆλε δ' ἀπ' αὐτοῦ" τὸν "δέ" ἀντὶ τοῦ γάρ φασιν.

A ~ αὔτως] δίχα μάχης, ἐπεὶ διάπειρα.

A = κόλον δόρυ] ἕως νῦν παρὰ Ἴωσιν οἱ κολοβοκέρατοι κριοὶ 'κόλοι' λέγονται.

119. γνῶ δ' Αἴας] ἑώρα γὰρ καὶ ἔβλεπεν, ὅτι παντελῶς τῆς μάχης τὰ ἐνθυμήματα ἠλάττου καὶ ἠφάνιζεν ὁ Ζεύς, τοῖς δὲ Τρωσὶν ἠβούλετο νίκην· ἢ μᾶλλον 'τὰ τῶν μαχομένων ἐνθυμήματα ἠλάττου.'

B = ῥίγησεν] οὐ τὸν Ἕκτορα, ἀλλὰ τὰ τῶν θεῶν ἔργα. καὶ σχεδὸν μὲν νενίκηται, ἡ δὲ νίκη οὐ τοῦ Ἕκτορος ἀλλὰ θεῶν.

A B + 120. κεῖρε] παρατατικός· τὸ γὰρ ἑξῆς ἐστιν, ἔγνω Αἴας εἰς ἄπορον ἥκουσαν αὐτῷ τὴν μάχην, ὡς μηδὲν δύνασθαι ἔτι μηχανήσασθαι. τοσοῦτον ἄρα ἐφεστὼς ὠφέλει· ὥστε καὶ τὸ ἐν ἀρχῇ "ὡς οἱ μὲν περὶ νηός" (1) εἰκότως ἐξηκούομεν περὶ τοῦ Αἴαντος καὶ πάντων τῶν Τρώων.

122. χάζετο δ' ἐκ βελέων] οὐκ εἶπεν 'ἐκ νεῶν.'

A + B − 123. τῆς δ' αἶψα κατ' ἀσβέστη] μόνως "ἀσβέστη" ἀναγνωστέον· οὕτω ⟨γὰρ⟩ εἴωθε λέγειν "ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως" (Il. 1. 599) καὶ "φλογὶ ⟨ε⟩ἴκελος Ἡφαίστοιο ἀσβέστῳ" (Il. 17. 88)· καὶ τὸ σχῆμα Ὁμηρικόν, καθάπερ τὸ "ῥεῖα δ' ἀριγνώτη πέλεται" (Od. 6. 108) ἀντὶ τοῦ ἀρίγνωτος.

B = ⟨κατ'⟩ ἀσβέστη] δυσκατάσβεστος. οἱ δὲ τάχιστα κατασβεσθησομένη.

2. τὰ B: τὸ ‖ 4. ἠχρείωται etiam A: ἠχρήστωται B ‖ 5. διασώσαντος B ‖ 6. ἐπανηρῆσθαι B ‖ 9. καίπερ ἔτι B ‖ 15. ἠλλάττου ‖ 17. ἠλλάττουν: corr. Bekker ‖ 18. τῶν θεῶν ἔργα B: ἔργα τῶν θεῶν ‖ 20. παρατατικῶς B ‖ 22. μήσασθαι A ‖ 27. supplevi ex B

Digitized by Google

κέχυτο] ἐμφαντικῶς τῷ ῥήματι ὡς ἐπὶ ὑγροῦ καταχυθέντος ἔφη τὴν διάδοσιν τοῦ πυρός· τὰ γὰρ ὑπεκκαύματα καὶ ἡ καιομένη ὕλη ⟨πέφυκεν⟩ εὐδιάλυτος εἶναι διά τε τὰ ξύλα καὶ τὸ χρῖσμα τῆς πίττης. B =

125. μηρὼ πληξάμενος] ὢ τῆς συμφορᾶς, ὅπου γε καὶ Ἀχιλλέα εἰς τοιαύτην ἐπάγει μεταβολήν. B =

126. ἱπποκέλευθε] ἐφ' ἵππων τὴν πορείαν ποιούμενε. B +

127. ἐρωήν] ⟨γράφεται⟩ "ἰωήν" ὁρμήν, παρὰ τὸ ἰέναι. A ~

128. μὴ δὴ νῆας ἕλωσι] μέμνηται τῶν λόγων ἑαυτοῦ· ἠπείλει γὰρ μὴ πρότερον ἐξελεύσεσθαι, πρὶν ταῖς ναυσὶν ἐπελθεῖν τοὺς Τρῶας "κατά τε ⟨σ⟩μῦξαι πυρὶ νῆας" (Π. 9. 653). B =

φυκτὰ πέλωνται] ὅτι ἀντὶ τοῦ πέληται. A +

129. δύσεο τεύχεα] πῶς γὰρ ἂν οὐκ ἦν φθονερός, μάχεσθαι συγχωρῶν τῷ φίλῳ, δι' ὧν δὲ ἄριστα μάχεσθαι μέλλοι, μὴ συγχωρῶν.

ἐγὼ δέ ⟨κε⟩ λαὸν ἐγείρω] δαιμονίως αὐτὸς ἐπισπεύδει, οὐκ ἐπιτρέπων πάντα τῷ φίλῳ, ἀλλὰ μέρος τι καὶ αὑτῷ. B +

131. κνημῖδας μὲν πρῶτα] σπεύδοντα δεῖ προφέρεσθαι ταῦτα, ἐπιπόθησιν τῆς ἐξόδου μιμούμενον.

134. ἀστερόεντα] ἄστρων μορφαῖς πεποικιλμένον. B =

ποδώκεος Αἰακίδαο] τινὲς "κακῶν βελέων ἀλεωρήν·" καὶ γὰρ "ξεῖνος γάρ οἱ ἔδωκε—δηίων ἀνδρῶν ἀλεωρήν" (Π. 15. 532, 3).

135. βάλετο ξίφος] τὸ ἴδιον ξίφος· διὸ Ἥφαιστος οὐ ποιεῖ.

140. ἔγχος δ' οὐχ ἕλετο] ἐχρῆν γάρ τι ἐξαίρετον εἶναι τῷ Ἀχιλλεῖ, ἄλλως τε οὐκ ἦν τέκτων Ἥφαιστος· οὐ γάρ εἰσιν ἐν οὐρανῷ ξύλα. εἰκότως οὖν, ὅπερ οὐκ ἐνῆν κατασκευάσαι, τοῦτο Ἀχιλλεῖ τετήρηκεν. κατέκρυψε μέντοι τὸ πλάσμα τῇ τοῦ Ἀχιλλέως ὑπεροχῇ, δι' ἀσθένειαν οὐ δυνηθῆναι φήσας τὸν Πάτροκλον καὶ τῷ δόρατι χρῆσθαι. A ~ B =

141. στιβαρόν] πᾶν τὸ μένον ἰσχυρὸν καὶ στιφρὸν λέγουσιν.

141, 2. τὸ μὲν οὐ δύνατ' ἄλλος—πάλλειν] ἀστερίσκους ἔχουσι κακῶς ὄντες ἐν τῇ Τ (388, 9). B +

§. κατὰ συλλογισμὸν ὁ ἔπαινος. ποῖον γὰρ ἦν, ὡς μηδὲ πάλλειν αὐτὸ τοὺς ἥρωας δύνασθαι; B +

1. καταχεθέντος ut B ‖ 2. ἀλλὰ γὰρ τὰ ὑπ. B, ὑπ. γὰρ ‖ 3. supplevi ex B ‖ 12. πέλονται textus ‖ 16. λ. ἐγείρει ‖ 19. ἐπιπύλησιν ‖ 25. ἐστὶν B ‖ 30. στιφνὸν ‖ 32. τῇ Γ

Digitized by Google

B= ἄλλως: τὸ μὲν οὐ δύνατ' ἄλλος—ἀλλ⟨ά μιν⟩ οἷος ἐπίστατο] τῇ ἐπιστήμ. τὴν δύναμιν προσάπτει.

A~B– 142. ἐπίστατο] ἐδύνατο· καὶ Σοφοκλῆς (fr. inc. 817 N.) "οὐπώποθ' ὑμᾶς συμβαλεῖν ἐπίσταμαι" οἱ δὲ πλάττονται λέγοντες, ὡς Πηλεὺς μὲν παρὰ Χείρωνος ἔμαθε τὴν χρῆσιν αὐτῆς, Ἀχιλλεὺς δὲ παρὰ Πηλέως, ὃ δὲ οὐδένα ἐδίδαξεν. καὶ ὁ τῆς μικρᾶς Ἰλιάδος ποιητὴς (fr. 5 K.) "ἀμφὶ δὲ πόρκης χρύσεος ἀστράπτει καὶ ἐπ' αὐτῷ δίκροος αἰχμή."

A= 143. πόρε Χείρων] "τάμε" καὶ "πόρε," διχῶς.

A+ 144. ἐκ κορυφῆς] καὶ "ἐν κορυφῆς." §. ἔστι δὲ ἄκρα Χειρώνειος ὑπὲρ Σηπιάδος ἄκρας πρὸς ζέφυρον ἄνεμον νεύουσα, ἔνθα ᾤκει ὁ Χείρων.

B= 145. Αὐτομέδοντα] ζῶντος Πατρόκλου οὐκ ἦν Αὐτομέδων ἡνίοχος Ἀχιλλέως. προπαρασκευὴ νῦν, ἵνα καὶ Ἀχιλλεὺς αὐτῷ χρήσηται ἡνιόχῳ.

ζευγνῦμεν] ζευγνύμεναι τὸ τέλειον.

B+ 146. τὸν μετ' Ἀχιλλῆα—τῖε] παιδευτικὸν καὶ τοῦτο· τὸ γὰρ συμμετρεῖσθαι τὰς φιλίας ἄριστον.

B= 147. πιστότατος] πιστότατόν φησι τὸν παρὰ τὴν μάχην οὐκ ἐγκαταλιμπάνοντα τοὺς φίλους, οἷον ὁ ἐν πολέμῳ κοινωνεῖν θέλων τῶν κινδύνων μεγάλην πίστιν τῆς φιλίας παρέχεται.

B+ 148. ὕπαγε ζυγόν] ὑπὸ ζυγὸν ἦγεν· καὶ ἀλλαχοῦ "τὴν ὅ γ' ὑπὸ ζυγὸν ἦγε, μέγα δρόμου ἰσχανόωσαν" (Il. 23. 300).

B+ 149. Ξάνθον καὶ Βαλίον] ὃ μὲν ἀπὸ τῆς χροιᾶς, ὃ δὲ ἀπὸ τοῦ πηδᾶν. εἰκὸς δὲ μετὰ θάνατον Ἀχιλλέως τὸν δόντα Ποσειδῶνα πάλιν αὐτοὺς ἀνακομίσασθαι, ὡς καὶ τὸ Ἀγαμέμνονος σκῆπτρον (cf. Il. 2. 100, Paus. IX 40. 11). ἐν δὲ τῷ Καταλόγῳ οὐδὲν περὶ αὐτῶν εἶπεν, ἐπεὶ οὐκ ἐπολέμουν, οὐδὲ περὶ τῶν Μυρμιδόνων.

B+ 150. τοὺς ἔτεκε Ζεφύρῳ] καὶ αἱ Ἐριχθονίου ἐκ Βορέου, ἅμα μὲν διὰ τὸ ὑπερβάλλον τάχος (Il. 20. 223), ἅμα δέ, ὥς φησιν Ἀριστοτέλης (H. A. VI p. 572$^{a}$ 13), ὡς ἐξανεμούμεναι ὁτὲ μὲν πρὸς νότον ὁτὲ δὲ πρὸς βορρᾶν κύουσιν.

7. αὐτῶν ‖ 8. δίκροος αἰχμή Heyne: δίκροος ἄρδις schol. Pind. Nem. VI 85, δίκρος αἰχμῆς ‖ 9. τάμε textus ‖ 10. κορυφῆς A: -αῖς ‖ 11. Σιπιάδος ἄκρης ‖ 14. προπαρασκευάζει B ‖ 21. τῇ φιλίᾳ B ‖ 28. ἐπ. μὴ ἐπ. ‖ 29. αἱ scripsi: οἱ ‖ δορέου: corr. Bekker ‖ 31. ἐξανεμούμενοι et οἱ lin. 29 Bekker ‖ 32. κύουσιν etiam B: θέουσιν codd. Aristot.

Digitized by Google

Ἄρπυια Ποδάργη] ὡς "Νηὶς Ἀβαρβαρέη" (Il. 6. 22)· φησὶν A− οὖν "τηλεκλυτὰ τέκνα Ποδάργης" (Il. 19. 400). §. "Ἄρπυια" δὲ A+ θήλεια ἄνεμος.

151. ** ⟨παρὰ ῥόον⟩] ἣ ἔτεκεν ἣ βοσκομένη.

152. ἐν δὲ παρηορίῃσιν] ἄπορον ὅτου χάριν Ἀχιλλεὺς τοῖς ἀθα- B− νάτοις ἵπποις θνητὸν συμπλέκειν ἀξιοῖ· τὸ γὰρ χεῖρον παρὰ πολὺ τοῖς κρείσσοσι συμπλεκόμενον αἰσχύνειν φιλεῖ. ἴσως οὖν ἁρμόσει λέγειν ὅτι τοῦτον προσέθηκεν ἐκείνοις, ἵνα ἐγκόπτοιντο ἐν τῷ δρόμῳ· μέτρ⟨ι⟩ον γὰρ εἶναι τὸ τάχος αὐτῶν ἐβούλετο καὶ οὐχ ὑπερβάλλον σφόδρα, ἐπεὶ καὶ τοῦτο ἄχρηστον ἐνίοτε. ἢ τάχα τὸν ἡνίοχον ἐπαινεῖ δυνάμενον ἀναχαιτίζειν τὴν ὁρμὴν τῶν ἀθανάτων ἵππων, ὅπως ἂν ὁ θνητὸς αὐτοῖς ἰσοδρομῇ. ἢ βούλεται ὁ ποιητὴς τὴν φύσιν ἐνδείκνυσθαι τοῦ ἥρωος, μικτὴν οὖσαν ἐκ θνητοῦ ⟨καὶ ἀθανάτου⟩. πῶς δὲ "ἀλεγεινοί" ὄντες "ἀνδράσι ⟨γε θνητοῖσι δαμήμεναι ἠδ' ὀχέεσθαι"⟩ (Il. 17. 77) Πατρόκλῳ ὑποτάσσονται; ἀλεγεινὸν οὖν ἐστι τὸ μετὰ φροντίδος κατορθούμενον· ἡνίοχός τε ἦν αὐτοῖς Πάτροκλος—διὸ καὶ κλάουσιν αὐτόν (Il. 17. 426)—πιθανόν τε Αὐτομέδοντα πάλαι συνησκῆσθαι αὐτοῖς διὰ τὰ συμβαίνοντα. B=

ἄλλως: παρηορίῃσιν] παρηρτημέναις σειραῖς πρὸς τὴν ζεῦξιν τοῦ περισσοῦ ἵππου. διὰ τί δὲ δεῖται παρηόρου; οἱ μὲν γὰρ ἄλλοι δεόντως πρὸς τὸ εἰ κάμοι ἢ τρωθείη εἶς ἀντεπεισάγεσθαι ἀντ' αὐτοῦ τὸν παρήορον, τοῖς δὲ ἀθανάτοις ποῖον δέος ἢ τρωθῆναι ἢ καμεῖν; ἔστιν οὖν εὔηθες τοὺς μὲν Ὁμηρικοὺς θεοὺς τιτρώσκεσθαι, ἵππους δὲ μή. ἄλλως τε ποικῖλαι θέλει τὴν Σαρπηδόνος μάχην καὶ οὐκ ἄπρακτον αὐτὸν ἀνελεῖν.

155. θώρηξεν] ἄμεινον "κόσμησεν"—"τοὺς δ' αὐτοὶ βασιλῆες ἐκόσμεον" (Il. 14. 379)—ἑαυτὸν γὰρ ἕκαστος θωρήσσει· καὶ μὴ εἰρημένον νοεῖται· διὰ τοῦτο "σὺν τεύχεσιν" (156).

156. λύκοι ὥς] διὰ μακροῦ ἀπέδωκεν αὐτῷ τὸ "ῥώοντο" (166). B= κεκορεσμένοις δὲ εἴκασε καὶ ἐπὶ ποτὸν ἐρχομένοις, ἐπεὶ πεινῶντες μὲν διασκεδάννυνται ἄλλος ἄλλοσε ἐς νομάς, ἐς ποτὸν δὲ ἀθρόοι ἀπίασιν.

158. οἵ τ' ἔλαφον—μέγαν] πρὸς τὸ κορέσαι αὐτούς.

πᾶσιν δὲ παρήιον] ἀντὶ τοῦ πάντων.

159. αἵματι φοινόν] πεφοινιγμένον ἀπὸ τοῦ αἵματος. λέγει δὲ καὶ B−

7. αἰσχύνειν φιλεῖ scripsi: αἰσχύνην φέρει B, αἰσχύνειν ἄλλο ‖ 9, 13. supplevi ex B ‖ 14, 5. suppl. W ‖ 22. δέος B: δέον ‖ ἔστιν οὖν B: ἔστι δὲ ‖ 25. ἐκόσμησε ‖ 26. ὡς post καὶ omisi ‖ 29. ποτὸν B: ποταμὸν ‖ 33. αἷμα δαφοινόν

"αἵματι φοινικόεσσαι" (Il. 23. 717) καὶ "χλαῖναν θέτο φοινικόεσσαν (Od. 14. 500) καὶ "ἡνία φοινικόεντα" (Il. 8. 116) καὶ "φοίνικι μιήνῃ" (Il. 4. 141) καὶ Φοίνικες, ὅτι παρὰ τὴν ἐρυθρὰν θάλασσαν ᾤκουν (cf. Herod. I 1), ἣν φοινικῆν Διονύσιος καλεῖ, καὶ τὸ φυτόν, ⟨ὅτι⟩ ὡς ἐπὶ τὸ πολὺ φοινίκεον ποιεῖ καρπόν, καὶ "φοινήεντα δράκοντα" (Il. 12. 202) ἀπὸ τοῦ φοινός, καὶ "φοίνιον αἷμα" (Od. 18. 97) ἐπὶ τοῦ Ἴρου· οὐ γὰρ πεφόνευται, ἵνα εἴπῃς ὅτι παρὰ τὸν φόνον γεγένηται ἡ λέξις.

AB+ 160. ἴασιν] ὧδε ἡ στιγμή.

AB+ 161. λάψοντες γλώσσῃσι] "λάψοντες" πιόμενοι. Ζηνόδοτος δὲ "λάψαντες," ἐμπλησθεῖσιν εἰκάζων αὐτούς. §. ὠνοματοπεποίηται δὲ
AB= ἡ λέξις ἀπὸ τοῦ γινομένου ἤχου ἐν τῇ πόσει τῶν κυνῶν καὶ τῶν λύκων.

B+ ἀραιῇσιν] δασέως, λεπταῖς καὶ ἐπιμήκεσιν. οἱ δὲ ψιλῶς, βλαπτικαῖς.

A− 162. ἄκρον, ἐρευγόμενοι] στικτέον εἰς τὸ "ἄκρον," ἵν' ᾖ 'λάψοντες ἀπὸ τῆς κρήνης τὸ ἄκρον ὕδωρ'—οὐ γὰρ καθιᾶσι τὴν γλῶσσαν εἰς τὸ ὕδωρ ὡς οἱ βόες, οὐδὲ ⟨ὡς οἱ⟩ λύκοι πάρδοι ἵπποι καὶ τὸ ἥμισυ τῆς ὄψεως—τινὲς δὲ τῷ "φόνον" ἐπισυνάπτουσιν "ἄκρον φόνον," τὸ ἀνωτάτω αἷμα τοῦ καταπινομένου καὶ ὄντος ἐν τῷ στομάχῳ.

φόνον αἵματος] ἀντὶ τοῦ 'αἷμα φόνου.'

A+ 163. περιστένεται δέ ⟨τε⟩ γαστήρ] Ἀρίσταρχος ἀντὶ τοῦ 'περιτείνεται' διὰ τὴν πλησμονὴν ὡς φερέβιος φερέσβιος, οἱ δὲ 'στένει' διὰ τὴν αὐτὴν αἰτίαν, οἱ δὲ στενοχωρεῖται, ὡς "στεινόμενος νεκύεσσι" (Il. 21. 220).

B+ 166. ῥώοντο] ἐρρωμένως περὶ αὐτὸν ἵσταντο.

B− 167. ὀτρύνων ἵππους] "ἵππους" τοὺς ἱππέας, ὡς φαμὲν νικᾶν τὴν ἵππον τῶν πολεμίων· ἢ τοὺς ἰδίους ἵππους ὀτρύνων· νοεροὶ γὰρ ἦσαν ὡς θεῖοι.

B= ἄλλως: ὀτρύνων ἵππους] ἀντὶ τοῦ ἱππέας· ἀντέταξε γὰρ αὐτῷ τὸ "ἀσπιδιώτας."

B− 170. πεντήκοντ' ἔσαν ἄνδρες] πῶς, φασίν, ἐν ἅπασιν αὔξων Ἀχιλ-

1. φοινικόεις ‖ 2. σιγαλόεντα textus Il. ‖ 3. οἱ π. B ‖ 5. supplevi ex B ‖ φοινίκεον ποιεῖ B: φοινίκειον ποῖ καλεῖ ‖ 7. Ἴρου W: ἱεροῦ ut B ‖ 9. ἴασιν B: ἶασιν ‖ 11. λάψαντες B: λάψοντες ‖ 14. δασείαις B ‖ 18. οὐδὲ ὡς οἱ Eust.: οἱ δὲ ‖ 19. τῷ φόνῳ ‖ ἀποσυνάπτουσιν: corr. Bekker ‖ 26. ῥώοντ' ‖ οὖν post αὐτὸν omisi ut B ‖ 30. αὐτῷ B: αὐτὸ ‖ 32. πεντήκοντα ἔσαν νῆες

Digitized by Google

λέα τούτῳ μειοῖ; τινὲς μὲν οὖν, ὅτι οὐκ ἐν πλήθει ἡ ἀρετή· Αἴας γοῦν δώδεκα ναῦς ἔχει (Il. 2. 557). Ἀρίσταρχος δέ φησι ν′ ἐρέτας εἶναι διὰ τὸ "ἐπὶ κληῖσιν" ἢ ναύτας πρὸς ὑπηρεσίαν, Διονύσιος δὲ τὸν μὲν ἐρετῶν ἀριθμὸν ρκ′ τιμᾷ, τὸ δὲ λοιπὸν ἐν τῷ μεταξὺ τούτων ἄγεσθαι, ὡς φθάνειν πάσας αποτε ἀνδρῶν.

πεντήκοντ' ἔσαν ἄνδρες ἐπὶ κληῖσιν] καὶ Πίνδαρος (fr. 259) πεντ κοντηρέτμους φησὶ τὰς ναῦς τῶν Ἀχαιῶν εἶναι.

171. πέντε—ἡγεμόνας] τάχα πρὸς τὸν παρόντα καιρόν· εἰ γὰρ μὴ τοῦτο, ἔδει καὶ Πάτροκλον ἄρχειν, εἰ μὴ Ἀχιλλεῖ συμπαρετάσσετο.

ἡγεμόνας ποιήσατο] τὸ ἑξῆς 'ποιήσατο σημαίνειν οἷς δι' ἀρετὴν ἐπεποίθει.'

172. μέγα κρατέων] τὴν κατὰ πάντων ἔχων ἐξουσίαν· οἱ γὰρ τοιοῦτοι εὐρυκρείοντες. B=

173. ἰῆς στιχός] τῆς μιᾶς τάξεως, παρόσον ἐπὶ στίχον ἡ τάξις πορεύεται.

174. διιπετέος] λαμπροῦ. καὶ Εὐριπίδης (Bacch. 1268) "λαμπρότερος ἢ πρὶν καὶ διιπετέστερος." ἐπεὶ δὲ χειμάρ⟨ρ⟩ους, πῶς "Σπερχειῷ ἀκάμαντι" (176); οἱ γὰρ παυόμενοι πόροι δοκοῦσιν ὥσπερ ἀποκαμόντες ἑστάναι. §. Σπερχειὸς ἐκ Πίνδου κατιὼν καὶ δι' Αἰνιάνων καὶ Δολόπων εἰς θάλασσαν ἐρεύγεται, εἰς τὸν Μαλιακὸν ἐκδιδοὺς κόλπον· οἳ δὲ διὰ Μηλίδος καὶ Φαρσάλου ἐπὶ Θερμοπύλας, ἔνθα Πυλαίας Δήμητρος ἱερόν. B+

ἄλλως: διιπετέος] τοῦ θείου ἢ τοῦ ἐκ τῶν Διὸς ὑετῶν ἀρχὴν ἔχοντος. A~

175. Πηλῆος θυγάτηρ] ἑτέρου Πηλέως. εἰ γὰρ ἦν ἀδελφιδοῦς Ἀχιλλέως, κἂν ἐμνήσθη αὐτοῦ ἐν τῷ Ἅιδῃ περὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐρωτῶν, καὶ ἐν ταῖς Λιταῖς φάσκων "ἔνθα δέ μοι μάλα θυμὸς ἐπέσσυτο" (Il. 9. 398) "κτῆσιν ἐμὴν δμῶάς τε" (Il. 19. 333) ἔφασκεν ἂν καὶ τῆς ἀδελφῆς ἀπόλαυσιν. Πηλέα τε οὐκ οἶδεν ὁ ποιητὴς ἑτέρᾳ γυναικὶ συνελθόντα. οἱ δὲ νεώτεροι ὡς ἀδελφιδοῦν A~B+

1. ὅτι B: ἢ ‖ ἡ B: ἢ ‖ 2. ἐρέτας B: ἀρετὰς ‖ 3. ἐπὶ κληῖσιν B: ἐπίκλησιν ν̄ ‖ ναύτας W: λιτὰς κ′ ‖ 4. μὲν ἐρετῶν scripsi: μέγιστον ‖ ρκ′: numerus corruptus ‖ τιμᾷ scripsi: τίμιον ‖ τὸ scripsi: τὸν ‖ 5. ἀπὸ τε: numerus corruptus ‖ 7. πεντήκοντα ἐρεγμούς: corr. Boeckh ‖ 11. τὸ σημαίνειν post ἐπ. del. W ‖ 17. ἢ πρὶν Euripidis codd.: τίς ἐστι B, ἦρι ‖ δὲ B: ἐν ‖ 19. solutionis particulam servavit B ‖ 21. Μειλιακὸν ‖ Μηλίδος corruptum ‖ 25. κἂν scripsi: καὶ ‖ 29. οἱ δὲ νεώτεροι ἀ. B, νεοτελῆ δὲ ὡς ἀ.

Digitized by Google

Ἀχιλλέως φασὶ τῆς πρώτης τάξεως ἡγεῖσθαι· ὃ καὶ μαρτυρεῖ ἐπιστήμην πολέμου· ὡς Ἀχιλλέως τε ἀδελφὴν γαμῶν ἀπερείσια δίδωσιν ἕδνα· εἰ δὲ μὴ ἐμνήσθη αὐτῆς ἐν Ἅιδου· οὐδὲ γὰρ Ὀδυσσεὺς Κτιμένης (Od. 15. 363). Φερεκύδης δὲ ἐξ Ἀντιγόνης τῆς Εὐρυτίωνος, Σουίδας ἐκ Λαοδαμείας τῆς Ἀλκμαίωνος, Στάφυλος ἐξ Εὐρυδίκης τῆς Ἄκτορος. Ζηνόδοτος δὲ Κλεοδώρην φησίν, Ἡσιόδου (fr. 95 M.) καὶ τῶν ἄλλων Πολυδώρην αὐτὴν καλούντων.

B+ 176. Σπερχειῷ ἀκάμαντι] φασὶ Πέλωρα τὸν γίγαντα σπερχόμενον ὑπὸ Ποσειδῶνος ἅλλεσθαι εἰς τὸν ποταμὸν καὶ πληγέντα τῇ τριαίνῃ ἀποθανεῖν.

177. * Βώρῳ Περιήρεος υἷι] ὁ Μενέσθιος.

Περιήρεος] Περιήρους τοῦ Διοπείθους τοῦ Μυρμιδόνος.

A+ υἷι] προπερισπαστέον καὶ διὰ τοῦ ῑ γραπτέον.

178. * ὅς] ὁ Περιήρης.

ὄπυιε] τὴν αὐτὴν Πολυδώρην.

A+B− 179. ἑτέρης] ἀντὶ τοῦ 'δευτέρας' διὰ τὸ μέτρον· πρὸς ὃ ἡ διπλῆ.

A+B= 180. παρθένιος] ὁ ἐκ νομιζομένης παρθένου.

B= τὸν τίκτε] προειπὼν τὸ κεφάλαιον ἐπὶ μέρους ἐξηγεῖται. §.

A+B= "χορῷ" δὲ "καλή" καλλίχορος· ἀρετῆς γάρ ἐστι τοῦτο παρθένων. διὰ τοῦτο καὶ "μετὰ μελπομένῃσιν" (182) αὐτῆς ἠράσθη.

B= 181. κρατύς] πάντων γὰρ περιγίνεται ὁ λόγος· ὅθεν καὶ "σῶκος" (Il. 20. 72) διὰ τὸ σωκεῖν, ὅ ἐστιν ἰσχύειν.

183. ἐν χορῷ Ἀρτέμιδος] ὡς διὰ τὴν ἀρετὴν ἀξιωθείσης αὐτῆς χορεύειν τῇ θεῷ, ἢ ὡς συγχορευούσης τῇ θεῷ. §. ἀθετεῖται δέ. ἠδέσθη γὰρ ἂν τὴν θεόν.

B− χρυσηλακάτου] χρυσοῖς βέλεσι χρωμένης· τὸν κάλαμον γὰρ τῶν βελῶν τινες ἠλακάτην φασίν· καὶ Αἰσχύλος ἐν Αἴτναις (fr. 7)

A+B− τοὺς ποταμοὺς πολυηλακάτους φησίν. §. "κελαδεινῆς" δὲ διὰ τὰς ἐν ταῖς θήραις ἐκβοήσεις, "ἢ δ' ἀμφ' αὐτῷ θῆκε πολὺν κέλαδον" (Il. 9. 547), ἢ διὰ τὰς χορείας, ἢ ἐπεὶ Ἐγκέλαδον ἀπέκτεινε βιαζόμενον αὐτήν.

A− 184. ὑπερῷ' ἀναβάς] ὅτι ταῖς γυναιξὶν ἀνάγαιοι θάλαμοι ἐγίνοντο πρὸς τὸ μὴ συντυγχάνειν τοῖς ἀνδράσιν· τὰ μετέωρα δὲ τῶν οἰκημάτων ᾦα Λακεδαμόνιοι καλοῦσιν, ἃ νῦν ὑπερῷά φαμεν·

1. ἡγεῖται B ‖ ὃ W: ὡς ‖ 2. γαμῶν B: γαμεῖν ‖ 5. Εὐρυτίωνος D: Εὐρυτίονος ‖ Ἀλκμαίωνος D: Ἀκμαίονος ‖ 8. Πέλωρα etiam B: -ία coni. W ‖ 12. Διοπλήθους ‖ 19. καὶ ante καλλ. omisi ‖ ἀρετὴ γὰρ καὶ αὕτη π. Eust. ‖ 23. ὡς Bekker: πῶς ‖ 28. κελαδεινῆς B: κελαδινή

Digitized by Google

δύναται δὲ νῦν τοῦ ὑπερώιον εἶναι ἀποκοπὴ καὶ τοῦ ὑπερῷι συναλ⟨ο⟩ιφή. B−

185. Ἑρμῆς δώτωρ ἐάων (Od. 8. 335), Ἑρμῆς πάντων ἀγαθῶν αἴτιος· καὶ οἱ μὲν θεοὶ κοινῇ "δοτῆρες ἐάων," ὁ δὲ Ἑρμῆς ἰδίᾳ δοτὴρ ἐάων· ὅθεν καὶ υἱὸς αὐτοῦ Εὔδωρος (186)· ἐξ αὐτοῦ δὲ τὸ Ἀκακήσιον ὄρος· οἱ δὲ 'υἱὸν ἀκακῆτα' προπερισπωμένως, ὡς γυμνῆτα. B−

ἀκάκητα] ὁ μηδενὸς κακοῦ αἴτιος. A+

πόρεν δέ οἱ] Ἑρμῆς αὐτῇ ἀγαθὸν δῶρον ἔδωκε τὸν υἱόν· διὸ καὶ Εὔδωρος (186)· μέγα γὰρ δῶρον ⟨ἡ⟩ παιδοποιία.

187. μογοστόκος] μογοῦσα περὶ τοὺς τόκους· ἑνικῶς δὲ εἶπε τὸ ὄνομα τοῦ συστήματος τῶν Εἰλειθυιῶν, ὡς "μῆνιν ἄειδε θεά" (Il. 1. 1).

Εἰλείθυια] αἱ Εἰλείθυιαι, ὡς "μῆνιν ἄειδε θεά" (Il. 1. 1) ἀντὶ τοῦ θεαί. §. αἱ λήθην ἐμποιοῦσαι ταῖς τικτούσαις.

188. πρὸ φόωσδε] Ἀρίσταρχος χωρὶς τῆς "πρό" ⟨"φόωσδε"⟩· Ζηνόδοτος μᾶλλον ἐπὶ τοῦ Εὐρυσθέως ἁρμόζειν φησὶ τὸ "πρὸ φόωσ⟨δε"⟩· ἠλιτόμηνος γάρ (Il. 19. 118). A+

ἄλλως: πρὸ φόωσ⟨δε⟩] ἢ περισσεύει ἡ "πρό," ὡς "νῆάς τε πρόπάσας," ἢ τόπον δηλοῖ, ὡς "διαπρὸ δὲ χαλκὸν ἔλα⟨σ⟩σεν" (Il. 13. 388)· οἱ δὲ ὅτι πρὸ τοῦ γαμηθῆναι τῷ Ἐχεκλεῖ ἐγεννήθη, ὡς καὶ τὸν Εὐρυσθέα ἡ Ἥρα "ἐκ δ' ἄγαγε πρὸ φόωσδε καὶ ἠλιτόμηνον ἐόντα" (Il. 19. 118)· τοῦτο γὰρ αἰτήσασθαι Ἑρμῆν τὰς Εἰλειθυίας.

189. τὴν μέν] τὴν Πολυμήλην.

191. * τὸν δέ] τὸν Εὔδωρον.

Φύλας] πατὴρ Πολυμήλης.

192. * ἀμφαγαπαζόμενος] φιλοφρονούμενος.

195. μετὰ Πηλείωνος ἑταῖρον] τὸν Πάτροκλον, κατ' ἐξοχήν. B=

196. γέρων] τινὲς γράφουσι "γερήνιος ἱππότα Φοῖνιξ," λέγοντες ὡς καὶ Νέστωρ διὰ τὸ εἶναι γέρων οὕτως ἐκαλεῖτο. B=

ἱππηλάτα Φοῖνιξ] δαιμονίως παρέλιπεν ἐπὶ τούτου τὸν πλείονα λόγον, ἐπεὶ φθάνει καὶ τὸν βίον καὶ τὸ γένος αὐτοῦ διασημήνας ἡμῖν (Il. 9. 447). οὐκ ἔδει δὲ παρὰ Πηλέως λαβόντα τὴν Δολόπων ἀρχὴν διὰ ⟨τὸ⟩ γῆρας αὐτὴν ἀφαιρεθῆναι. B−

197. Λαέρκεος] ὁμώνυμος αὐτῷ ὁ Πύλιος χρυσοχόος (Od. 3. 425).

1. ὑπερῷα σ. ‖ 4. δωτῆρες ‖ 5. δωτὴρ ‖ 15, 17. supplevi ex A ‖ 33. supplevi ex B ‖ αὐτῆς B

Digitized by Google

B= 200. *μή τις μοι*] οὐδὲν τῶν πρακτέων παρέλιπεν, ἀλλὰ καὶ τάσσει καὶ προτρέπει διὰ τῶν ἰδίων λόγων αὐτοὺς ἐντρέπων, "μή τις μοι ἀπειλάων λελαθέσθω, ἃς ἐπὶ νηυσὶ θοῇσιν," ἵνα μὴ δοκῆτε εἶναι πρὸ τῶν κινδύνων θρασεῖς, ἐν δὲ τοῖς πόνοις δειλοί.

B= *ἀπειλάων*] συνήθως, ἢ τῶν καυχήσεων. πρᾳότητα δὲ Ἀχιλλέως ἐμφαίνει ὁ λόγος, τότε μὲν ὑπ⟨ερ⟩ενεγκόντος τὰς ὕβρεις, νῦν δὲ ἀντὶ προτροπῆς αὐτοῖς ταῦτα προβαλ⟨λ⟩ομένου.

202. *μηνιθμόν*] τὸν τῆς μήνιδος χρόνον, ὃς ἦν μετὰ τῆς παρούσης ἡμερῶν ἐκκαίδεκα. πρὸς τὸ ἐν τῇ Η ζήτημα.

B= *⟨καί μ'⟩ ᾐτιάασθε*] λείπει ⟨τὸ⟩ 'ταῦτα λέγοντες.' πάλιν δὲ οἰκείως τὴν σύνταξιν τοῦ ἐπιμεριζομένου ἀπέδωκεν. τινὲς δὲ "μητιάασθε" ἐνίζουσιν, οὐχ ὑγιῶς.

A~B– 203. *χόλῳ—σ' ἔτρεφε*] διὰ τὸ ἄμετρον τῆς ὀργῆς. ἔστι δὲ ὡς Σάμος ἀντὶ τοῦ Σάμη (Il. 2. 634) καὶ "ἐν πύλῳ ἐν νεκύε⟨σ⟩σιν" (Il. 5. 397) ἀντὶ τοῦ πύλῃ.

204. *ἀέκοντας ἑταίρους*] οὐκ ἐγκαλοῦσιν, ὅτι συμμαχεῖν οὐ θέλεις, ἀλλ' ὅτι καὶ τοὺς ἑταίρους κατέχεις.

206. *κακὸς χόλος*] νῦν ὁμοίως ἡμῖν τὸ περὶ ψυχὴν πάθος φησίν.

A+ 207. *ταῦτά μ' ⟨ἀγειρόμεναι θάμ' ἐβάζετε⟩*] τὸ πλῆρες 'ταῦτά μοι' ἢ 'ἐβάζετε εἰς ἐμὲ ταῦτα ἅμα,' οὐχ ὑγιῶς.

*⟨θάμ'⟩ ἐβάζετε*] Ἰακῶς τὸ "βάζετε."

A+ *νῦν δὲ πέφανται*] νῦν δὲ ἐν μέσῳ ἐστὶν ἡ μάχη.

208. *ἕης τὸ πρὶν—ἐράασθε*] "ἕης" διῄρηται ὡς τὸ "ὅου κλέος" (Il. 2. 325). §. ἐντέχνως δὲ χάριν αὐτοῖς δοκεῖ κατατίθεσθαι προ-

B= πέμπων καὶ τὴν ὁρμὴν ἔρωτα κέκληκεν· καὶ ὡς ἐπιτυχόντας ὧν ἐπεθύμουν ἀνδρίζεσθαι παρακελεύεται.

A~B– 211. *ἄρθεν*] ἡρμόσθησαν, δασέως· δῆλον δὲ ἐκ τῆς παραβολῆς. οἱ δὲ ψιλοῦσιν, ἵν' ᾖ 'λόγοις ἐπήρθησαν καὶ φρονήματος ἐπληρώθησαν.'

*βασιλῆος*] ὅτι καὶ Ἀχιλλεὺς βασιλεύς· διό φησιν ὁ Ἀγαμέμνων "ὅ⟨σ⟩σον βασιλεύτερός εἰμι" (Il. 9. 160).

6. suppl. Bekker ‖ 7. πρ. αὐτὰς προβαλλομένου B ‖ 9. ἡμέρας ἐκκαιδεκάτης: corr. W ‖ confert W p. 161, 1 ‖ 10. supplevi ex B ‖ 12. ἐνίζουσιν scripsi: στίζουσιν ‖ 22. ἰακῶς A: ποσαχῶς ‖ 24. ἧς τὸ lemma ‖ ἕης δ. scripsi: ἐν ō δ. ‖ 31. Ἀχιλλεὺς W: Ἀγαμέμνων

Digitized by Google

213. ⟨δώματος⟩ ὑψηλοῖο] ταῦτα γὰρ μᾶλλον καταπνεῖται· ἀμελέστερον δὲ τὰ ταπεινὰ οἰκοδομεῖται. B=

215. κόρυν] τινὲς "κόρυθα." οὐ γάρ ἐστιν ὅμοιον τῷ πίτυς, ἵνα εἰς ν̄ ποιήσῃ τὴν αἰτιατικήν· καὶ "κόρυθα βριαρήν" (Il. 11. 375) φησίν· ἔστι δὲ ὅμοιον τῷ ὄρνιν.

217. ὡς πυκνοὶ ἐφέστασαν] καὶ κατὰ στίχον ἕστασαν, ὅ ἐστι ⟨κατὰ⟩ βάθος, καὶ κατὰ ζυγόν, ὅ ἐστι κατὰ μέτωπον.

218. θωρήσ⟨σ⟩οντο] γράφεται καὶ "θωρήσ⟨σ⟩εσθον." A=

221. ἀνέῳγε] πλεονασμῷ τοῦ ε̄, ὁμοίως τῷ "ἐπὶ στόμ' ἔωσε" (Il. 16. 410), Ἀττικῶς.

222. δαιδαλέης] δαίδαλα ἔλεγον τὰ ποικίλα κατασκευάσματα ἀπὸ Δαιδάλης τῆς Μήτιδος μητρός, παρ' ᾗ Ἀθηνᾶ ἐτράφη.

Θέτις—θῆκε] οὐκ ἄρα κεχώρισται Πηλέως μετὰ τὴν γένεσιν Ἀχιλλέως Θέτις, ἀλλὰ μέχρι γήρως συνῆν αὐτῷ· δῆλον δὲ καὶ ἐκ τοῦ "πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα εὐχομένης" (Il. 1. 396). A+B=

223. θῆκ' ἐπὶ νῆας ἄγεσθαι] οἱ περὶ Ζηνόδοτον "θῆκ' ἐπὶ νηὸς ἰόντι." A+

224. οὔλων τε ταπήτων] εὐειλήτων διὰ μαλακότητα, ἀφ' οὗ καὶ οὔλη θρίξ. B=

225. τετυγμένον] εὖ πεποιημένον. §. οὐ στρατιώτης δὲ ἀλλὰ Πυθαγορικός τις δοκεῖ νεανίας εἶναι.

227. οὔτε τέῳ⟨—ὅτε μὴ Διὶ πατρί⟩] Ἀρίσταρχος "ὅτι" διὰ τοῦ ῑ. οὐ γὰρ ὅτε Διὶ καὶ τοῖς ἄλλοις ἔθυεν. καλῶς δὲ τῷ προπάτορι Διὶ ἀφώρισε μόνῳ τὴν φιάλην. A–B=

228. τό ῥα] δι' ἑνὸς ρ̄ αἱ Ἀριστάρχου. A=

χηλὸς οἱονεὶ κῆλος παρὰ τὸ ἐγκεῖσθαι, οἱ δὲ παρὰ τὸ κῆλα, ὅ ἐστι τὰ ξύλα, οἱ δὲ παρὰ τὸ χωρῶ· Λάκωνες μὲν κιβωτὸν βούλονται, ἄλλοι λάρνακα, Μυτιληναῖοι δὲ ἀντίπηγα. B+

θεείῳ] τοῦτο κατὰ ἔθος πάτριον.

231. μέσῳ ἕρκεϊ] ἐπεὶ ἐν μέσῳ τοῦ οἴκου ἑρκείου Διὸς βωμὸς ἵδρυται, μεσέρκειον καλοῦσι τὸν Δία. ἕρκος δὲ νῦν τὸ περίφραγμα τῆς σκηνῆς. ἢ καὶ στρατιωτική τις σκηνή, ἐν ᾗ μέσῃ ἐσχάρα ἔκειτο. B–

233. Δωδωναῖε] εἰκότως τὸν πολίτην καὶ γείτονα καὶ προπάτορα AB–

7. suppl. Bekker ‖ 9. τὸ ἐπὶ ‖ ἔωσε scripsi: ἀνέωγεν ‖ 14. σύνεστιν B ‖ 20. οὐλόθριξ B ‖ 23. Ἀ. τὸ ὅτε B, Ἀ. οὔτι ‖ 26. Ἀρίσταρχος A ‖ 29. Μιτυληναῖοι ut B ‖ 30. θεεία ‖ 33. ἐν μ. τῇ ἐσχάρᾳ: corr. W

Digitized by Google

θεὸν ἐπικαλεῖται, ὡς καὶ Πάνδαρος ⟨εὔχεται⟩ τῷ Λυκογενεῖ (Il. 4. 101) καὶ Χρύσης Σμινθεῖ (Il. 1. 39), ὁ δὲ Δωδωναῖος καὶ Νάιος· ὑδρηλὰ γὰρ τὰ ἐκεῖ χωρία. οἱ δὲ γράφουσι "Φηγωναῖε·" Σκοτουσαῖοι γάρ φασι παρ' ἑαυτοῖς λόφον εἶναι φακόεντα ἀπέχοντα Σκοτούσης σταδίους ιε', ἐν ᾧ Διὸς Φηγωναίου ἐστὶν ἱερόν. οἱ δὲ γράφουσι "Βωδωναῖε"—πόλις γὰρ Θεσσαλίας Βωδώνη, οὗ τιμᾶσθαι τὸν Δία—τινὲς δὲ "ἀναδωδωναῖε" ὑφ' ἕν, παρὰ τὴν ἀνάδοσιν τῶν ἀγαθῶν. ὠνόμασται δὲ ἀπὸ Δώδωνος τοῦ Διὸς καὶ Εὐρώπης τῆς Ὠκεανοῦ, ὃς καὶ παρὰ Διὸς τὴν μαντικὴν εἰλήφει· ἄλλοι φασὶ Δευκαλίωνα μετὰ τὸν κατακλυσμὸν ἐν Ἠπείρῳ γενόμενον παρὰ τῆς πελειάδος τῆς ἐπικαθημένης τῇ δρυὶ κελευσθῆναι κατοικεῖν αὐτοῦ καὶ γήμαντα Δωδώνην Ὠκεανίδα τὴν πόλιν οὕτω προσονομάσαι· ὅτι δὲ ἐν Θεσπρωτοῖς οἶδε τὸ μαντεῖον τοῦ Διός, ὁ ποιητὴς φανερὸν ἐποίησεν ἐν Ὀδυσσείᾳ (14. 328), καὶ Εὐριπίδης (Phoen. 982) "Θεσπρωτὸν οὖδας. σεμνὰ Δωδώνης βάθρα;" Ὅμηρος δὲ οὐκ οἶδε τοῦ Διὸς ἱερὰν δρῦν, ἐπεὶ κἂν εἰρήκει, ὡς περὶ τῆς ἐν Ἰλίῳ ⟨φηγοῦ⟩ "φηγῷ ἐν ὑψηλῇ πατρὸς Διὸς αἰγιόχοιο" (Il. 7. 60) καὶ "Διὸς περικαλλέι φηγῷ" (Il. 5. 693).

AB= §. Δωδῶναι δύο, ἡ μὲν Θεσσαλίας, ἡ δὲ Μολοσσίας. τινὲς δὲ Δωδώνην τὴν γῆν, παρόσον πάντα δίδωσιν· δυσχείμερον (234) δέ, ὅτι πάγοις καὶ κρυμοῖς ὑπὸ τοῦ οὐρανοῦ συνέχεται.

A-B= Πελασγικέ] ⟨ὅτι⟩ ὑπὸ Πελασγῶν ἵδρυται τὸ περὶ Δωδώνην τέμενος. οἱ δὲ "Πελαργικέ·" ἐν γὰρ τῷ τεμένει λόφον εἶναι λευκόν, ὃν οὕτω καλεῖσθαι παρὰ τῷ ποιητῇ· οἱ δὲ "Πελαστικέ," οὗ πέλας
B= ἐστὶν ὁ ἀήρ. §. "τηλόθι" δὲ "ναίων," ἐπειδὴ ὁ αἰθὴρ ἄποθεν ἡμῶν. Ζεὺς γάρ ἐστιν ἡ τοῦ κόσμου ψυχὴ ἀεροειδὴς οὖσα.

234. δυσχειμέρου] οἱ περὶ Ζηνόδοτον "πολυπίδακος," διὰ τὸ Καλλιμάχου "κρηνέων τ' Εὐρώπῃ μισγομένων ἑκατόν" (cf. fr. 484).

A+B- Σελλοί] "Ἑλλοί" ἀπὸ Ἑλλοῦ τοῦ Θεσσαλοῦ· οὕτω δὲ ὁ ποιητὴς καὶ οἱ παλαιοί· τινὲς δὲ "Σελλοί" ἀπὸ Σε⟨λ⟩λήεντος τοῦ ποταμοῦ, ὃς νῦν Ἄωος καλεῖται· ἐὰν δὲ εἴπωμεν "Σελλοί,"

1. supplevi ex Steph. Byz. s. v. Δωδώνη ‖ Λυκηγενεῖ textus Il. ‖ 3. τὰ ἐκεῖ B: ἔχει ‖ 3, 4. Φηγωναῖε Steph.: Φηγοναῖε ‖ 4. Σκοπουσαῖοι ‖ 5. Φηγωναίου Steph.: Φηγοναίου ‖ 6, 7. Θ. ἡ Βωδὼν B ‖ 7. ἄνα δωδωναῖε ‖ 8. Δώδωνος Steph.: Δωδώνου ‖ 10. ἄλλοι scripsi cf. Steph.: ἀλλὰ ‖ 11. πέρα τ. πεδιάδος: corr. W ex A ‖ 15. σεμνὰ codd. Eur.: σαμένας ‖ 22. supplevi ex B ‖ 24. οὗ B: ὅτι ‖ 28. κρηνέων Bekker: κρηναίων ‖ 29. Σελλοῦ τ. Θετταλοῦ B ‖ 30. an Πίνδαρος pro ποιητὴς ut AD Eust.? ‖ 31. Ἄωος κ. scripsi: ὡς καλῶς κ.

Digitized by Google

*ἔσονται περὶ πᾶσαν τὴν Δωδώνην οἰκοῦντες, οὐ περὶ τὸ τέμενος τοῦ θεοῦ· καὶ βέλτιον· ἐν Δωδώνῃ γὰρ τὸ γένος ἐστὶ τῶν ἱερέων τοῦ Διὸς κατὰ διαδοχήν· κοινὸν δὲ τοῖς πᾶσιν Ἕλλησι τὸ ἐνταῦθα ἱερόν. §. σημειωτέον, ὅτι ἄνδρας φησὶν αὐτόθι προφητεύειν.*

235. *ἀνιπτόποδες] οἱ φυλασσόμενοί τι μιαρὸν πατῆσαι. ἢ μὴ* A+B– *προϊόντες τοῦ ἱεροῦ, ὡς μὴ δεῖσθαι νίπτρων—καὶ* Καλλίμαχος "*ἦσεν ἐκδοὺς σάμβαλον αὐλείου*" (fr. 492 Schn.)—*ἢ διὰ τὸ ὑποδεδέσθαι. ἢ καθ' ὑπόμνησιν τοῦ κατακλυσμοῦ ὅτι πεπολημένοι μετὰ τὸ σωθῆναι ηὔξαντο τῷ Διί· οἱ δὲ* "*ἀνιπτόποδας*" *ἀνιπταμένους ταῖς διανοίαις, μετεωρολόγους. §.* "*χαμαιεῦναι*" *δὲ οἱ χαμαὶ* B= *ὄντες καὶ τὰ πόρρω σκοποῦντες.*

236. *ἡμὲν δήποτ' ἐμόν] τὴν ἀπὸ τῆς μητρὸς δέησιν* (Π. 1. 528) B– *ἑαυτοῦ εὐχὴν νενόμικεν· ὁ γὰρ τὴν Θέτιν αὐτῷ ἀνεὶς* Ἀχιλλεὺς *ἦν, καὶ εἰς αὐτὸν ἄγεται ⟨ἡ εὐχή⟩. καὶ* Ἀλκμὰν *γάρ φησι* "*καί ποτ'* Ὀδυσσῆος *ταλασίφρονος ὤαθ' ἑτα⟨ι⟩ρων* Κίρκα *ἐπαλείψασα*" (fr. 41 B.)· *οὐ γὰρ αὐτὴ ἤλειψεν, ἀλλ' ὑπέθετο* Ὀδυσσεῖ.

237. *τιμήσας μὲν ἐμέ]* Ζηνόδοτος *οὐδὲ γράφει·* Ἀριστοφάνης *ἀθετεῖ.*

240. *ἀλλ' ἕταρον πέμπω] ὡς ⟨πρὸς⟩ παρόντα τὸν θεὸν καὶ* B= *ἀγνοοῦντα διαλέγεται ἀνθρωπείως· πάντα γὰρ οἶδεν ὁ θεός.*

*ἄλλως: ἀλλ' ἕταρον] ὁ* "*ἀλλά*" *ἀντὶ τοῦ δέ.*

241. *τῷ κῦδος] πρέπον* Ἀχιλλεῖ *δόξαι αἰτεῖσθαι πρὸ σωτηρίας·* B= *διὸ καὶ* Ζεὺς *διδοὺς τὸ ἕτερον τὸ μεῖζον αὐτῷ δίδωσι, φημὶ δὲ τὴν ἀνδραγαθίαν· οὐδεὶς γὰρ πάντα κατορθοῖ παρὰ θεοῖς τὰ αἰτούμενα.*

243. *ἐπίστηται] δύναται.*

244. *ἤ οἱ καὶ τότε χεῖρες] ὡς ἐρωτηματικὸν περισπαστέον.*

245. *ὁ⟨π⟩πότ' ἐγώ περ ἴω]* Ἀρίσταρχος *ὡς ἡνίοχόν φησιν ἠκο-* B– *λουθηκέναι* Πάτροκλον Ἀχιλλεῖ *ἐν οἷς φησι* "*κλαῖον, ἐπειδὴ πρῶτα πυθέσθην ἡνιόχοιο*" (Π. 17. 427), *οἱ δὲ ἐν* Ἰλίῳ *γεγενῆσθαι. πῶς οὖν* Ἀχιλλεῖ *συναγωνίζεται ἡνίοχος ὤν; καὶ τί θαυμαστὸν ἡνιο-*

5. *μὴ* ante *τι* add. B ‖ 6. 7. *οἶσιν ἄθικτον* coni. Naeke Hec. 50, *ἦσιν ἄθικτον* Rauch de aetiis 18, ⟨*οὐδὲ*—⟩ *ἧιεν ἐκδοὺς* Schneider ‖ 8. *πεπ.* corruptum ‖ 14. supplevi ex B ‖ *ποτὲ* ‖ 15. *ὤαθ'* Schneidewin *ὤϝαθ'* coni. Bergk: *ὠτά θ'* ‖ suppl. Heyne ‖ *ἐπήλειψεν* coni. Heyne, *ἐπάλειψ' αἶψα* Bergk ‖ 19. supplevi ex B ‖ 20. *ἀνθρωπείως* B: *ἀνθρωπιαίως* ‖ 23. *ἕτερον* B: *ἄτερον* ‖ *τὸ μ.* pr. expuncto quod antea scripserat *τῷ* ‖ 24. *θεῶν* B ‖ 26. *ἤ οἱ* pr. expuncto quod antea scripserat *εἴ οἱ*: *εἴ οἱ καὶ* textus

χοῦντα καιρῷ καὶ ἀναιρεῖν, ὅπου καὶ Αὐτομέδων τοῦτο ποιεῖ (Il. 17. 517) ἡνιοχῶν Πατρόκλῳ;

* μῶλον] μολυσμόν.

B– 247. ἀσκηθής ⟨μοι⟩] ἐκ τοῦ γὰρ θεραπεύειν τὸ ὑγιαίνειν. ἡ δὲ
B= λέξις Αἰτωλῶν. §. διὰ δὲ τῆς προσθήκης τοῦ "μοί" τὸ φιλόστοργον ἦθος δηλοῖ.

B= 248. τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισιν] ἴσον νομίζει θάνατον καὶ ἀποβολὴν ὅπλων.

249. τοῦ δ' ἔκλυε] σοφῶς καὶ διὰ βραχέων τὸ πᾶν ἐξήνεγκεν.

251. νηῶν μέν οἱ ἀπώσασθαι] πρὸς τὸ πρῶτον ὑπήντησεν.

A– 252. σόον] γράφεται καὶ "σάο⟨ν⟩" διὰ τὸ "σαώτερος ὥς κε νέηαι" (Il. 1. 32) καὶ "σάω δ' ἐρίηρας ἑταίρους" (363). πρὸς τὸ "ἦν γὰρ δή με σαῶσι θεοὶ καὶ οἴκαδ' ἵκωμαι" (Il. 9. 393).

B= 255. στῆ δὲ πάροιθε] εἰκότως θεατὴς τῆς μάχης γίνεται καραδοκῶν τὸ ἀποβησόμενον.

* ἔτι δέ] ἔτι γάρ.

B= 259. σφήκεσσι] παρόσον ὁμοθυμαδὸν ὁρμῶσι τῶν σκηνῶν καὶ θυμοῦ μεστοί· θυμικὸν γὰρ σφήξ, καὶ μάλιστα ἐνόδιος, ἀδιαλείπτως ἐρεθιζόμενος ὑπὸ τῶν ὁδιτῶν.

B= 260. εἰνοδίοις] παρὰ τὴν ὁδὸν ἔχουσι τὴν σφηκιάν.

B= ἐριδμαίνωσι] εἰς ἔριν ἐμβάλλωσιν· οἱ δὲ ἐρεθίζωσιν. §.
B– "ἔθοντες" δὲ ἐξ ἔθους ἐπιόντες· "ἔθων Οἰνῆος ἀλωήν" (Il. 9. 540).

AB= 261. αἰεὶ—] ἀθετεῖται διὰ τὴν ταυτολογίαν· τὸ γὰρ "ἀεί" ταὐτόν ἐστι τῷ "ἔθοντες," τὸ δὲ "κερτομέοντες" τῷ "ἐριδμαίνωσι," τὸ δὲ "ὁδῷ ἔπι" τῷ "εἰνοδίοις." ἄλλως τε ὁ ποιητὴς κερτόμησιν
B= ἀεί φησι τὸ διὰ λόγων ἐρεθίζειν, οὐκ ἔργῳ. §. τινὲς δὲ "ὁδῷ ἔπι οἰκί' ἔχοντες" γράφουσιν ἐπὶ τῶν παίδων ἀκούοντες. καὶ ⟨εἰς τὸ⟩ "κερτομέοντες" λείπει τὸ οἱ, οἱ κερτομικοί.

B= 263. παρά τις τε κιών] παροδεύων τις. πλεονάζει οὖν ὁ "τέ" σύνδεσμος.

A+ 264, 5. ἔχοντες προ⟨σ⟩σω πᾶς] πρὸς τὸ σχῆμα· καὶ τὸ "πᾶς" ἴσον τῷ 'πάντες.'

8. νομίζει B: νομίζεις ‖ 11. σαότερος ‖ 12. οὐ ante πρὸς del. W ‖ 13. σάωσι ‖ 19. ἐρεθιζόμενος B: ἐρεθιζομένη ‖ 21. ἐμβάλλωσιν B: ἐμβάλλουσιν ‖ ἐρεθίζωσιν B: ἐρεθίζουσιν ‖ 22. εἰς ἔθος ἔχοντες B ‖ 26. κερτομίζειν B, κερτομεῖν A ‖ 27. ἔργῳ B: ἔργων ‖ 28. supplevi ex B

Digitized by Google

265. πρό⟨σ⟩σω πᾶς πέτεται] ἥκιστα ἂν ἴδοις σφῆκα φεύγοντα, διώκοντα δὲ προθυμότατα.

267. βοὴ δ' ἄσβεστος] Ἀχαιῶν μὲν ἐπὶ τῇ χαρᾷ βοησάντων, Τρώων δὲ θορυβηθέντων. B=

268. ἑτάροισιν ἐκέκλετο] οὔπω ἐμβάλ⟨λ⟩ουσιν εἰς τὸν πόλεμον, ἀλλ' ἔτι περὶ αὐτὸν οὖσιν, ἐπεὶ οὐδ' ἂν ἠκούσθη· καλῶς δὲ ἐπὶ Ἀχιλλέως μὲν ἡσυχίαν ἄγει, νῦν δὲ ἐπ' ἐξουσίας γεγονὼς παρακαλεῖ γενναίαν καὶ φιλόστοργον παράκλησιν, φίλους τε Ἀχιλλέως καλῶν ἰσάζεσθαι παρακαλεῖ τῷ φίλῳ. B=

271. Πηλείδην τιμήσομεν] μέγαν αὐτοῖς ὑπογράφει σκοπὸν ἀνδραγαθίας τὴν Ἀχιλλέως τιμήν. B=

272. ἀγχέμαχοι] ἀπὸ κοινοῦ τὸ "μέγ' ἄριστος" (271). §. Σέλευκος δὲ ἀθετεῖ.

273. γνῷ δὲ καὶ Ἀτρείδης] ἔμφρων ὁ Πάτροκλος ὁ παρόντα μὲν ἐλέγχων μετὰ παρρησίας—"νηλεές, οὐκ ἄρα σοί γε πατὴρ ἦν" (Il. 16. 33)—ὑπὲρ ἀπόντος δὲ τοῦ φίλου ἀπολογούμενος. τὰ αὐτὰ δὲ τῷ Ἀχιλλεῖ προφέρεται. ἅμα δὲ καὶ ἐμβριθὴς ἡ παράκλησις δεῖξαι σπεύδοντος Ἀγαμέμνονι, ὡς αἴτιος τῆς Ἑλληνικῆς γέγονε συμφορᾶς. B−

274. οὐδὲν ἔτισεν] περισσεύει τὸ "ἕν"· ἔστι γὰρ 'οὐκ ἔτισεν.' A+

276. ἐν δ' ἔπεσον] ἀκολούθως τοῖς Ἀχιλλέως παραγγέλμασιν "ἔμπεσ' ἐπικρατέως, μὴ δὴ πυρὸς αἰθομένοιο νῆας ἐνιπρήσωσι" (81). B−

ἀμφὶ δὲ νῆες] οὐ πᾶσαι, ἀλλ' αἱ τῶν Μυρμιδόνων.

278. ὡς εἴδοντο Μενοιτίου] αὐτοὶ μὲν οὐκ εἶδον ὡς Μενοιτίου υἱόν, προαναπεφώνηκε δὲ τοῦτο ἀφ' ἑαυτοῦ ὁ ποιητής. B=

279. αὐτὸν καὶ θεράποντα] Αὐτομέδοντα ἐν τοῖς ὅπλοις ὄντα Πατρόκλου ᾤοντο εἶναι τὸν Πάτροκλον, ⟨Πάτροκλον δὲ⟩ Ἀχιλλέα. B=

280. πᾶσιν ὀρίνθη θυμός] ἀντὶ τοῦ 'πάντων.' B= §. ἐνδείκνυται δὲ ὁ ποιητὴς τοὺς πολλοὺς οὐκ ἀληθείᾳ, δόξῃ δὲ καὶ φαντασίᾳ ⟨τῶν πραγμάτων⟩ ἐχομένους. B=

280, 1. φάλαγγες, ἐλπόμενοι] ἔστι τι ὅμοιον καὶ παρὰ Θουκυδίδῃ (I 110) "ἐκ τῶν Ἀθηνῶν καὶ τῆς ἄλλης συμμαχίας ν' τριήρεις πλέουσαι ἐπ' Αἴγυπτον ἔσχον κατὰ τὸ Μενδήσιον κέρας, οὐκ εἰδότες τῶν γεγενημένων οὐδέν."

1. ἴδοις Bekker: ἰδὼν ‖ 10. τιμήσωμεν ‖ 11. τὴν Ἀχ. τιμὴν εἰς ἀνδραγαθίαν B ‖ 17. ἔτι post πρ. del. W ‖ ἐμβριθὴς ἡ παράκλησις B: ἐμβριθεῖση παρακλήσει ‖ 19. τὸ δὲ ἓν A ‖ 26, 8, 9. supplevi ex B ‖ 30. ἔ. τὸ ὅ. ‖ 31. ἐκ τῶν Thuc. codd.: ἔχον ‖ τριήρεις Thuc. codd.: πλήρεις ‖ 32. ἐπ' Αἴγυπτον Thuc. codd.: ἐπάγυρτον



Digitized by Google

A~ ἄλλως: φάλαγγες, ἐλπόμενοι] ἀντὶ τοῦ ἐλπομένων. Ζηνόδοτος δὲ γράφει "ἐλπόμεναι," ἐπὶ τῶν φαλάγγων. §. ἐπαινεῖ δὲ Ἀρίσταρχος, ὅτι οὐ φεύγοντας ἐποίησεν εὐθέως, ἀλλὰ καταπλησσομένους.

281. ναῦφι] ἀπὸ εὐθείας παρῆκται· δηλοῖ γὰρ γενικήν.

283. πάπτηνεν δὲ ἕκαστος] δεινότατον τῶν ἐπῶν Ὁμήρου τοῦτό φησιν Ἀριστοτέλης (fr. 129), ἐν ᾧ πάντες φευκτιῶσιν. καὶ οἰκεῖον βαρβάρων.

B= 286. νηὶ πάρα πρυμνῇ] καλῶς τῇ κινδυνευούσῃ νηὶ πρώτῃ ἐπικουρεῖ· τοῦτο γὰρ ἔλεγεν Ἀχιλλεὺς "μὴ δὴ νῆας ἕλωσι καὶ οὐκέτι φυκτὰ πέλωνται" (128).

287. ὃς Παίονας ἱπποκορυστάς] Μίμνερμος (fr. 17 Bergk) "Παίονας ἄνδρας ἄγων, ἵνα τε κλειτὸν γένος ἵππων." ἐν δὲ τῷ Καταλόγῳ καὶ "Παίονας ἀγκυλοτόξους" (Il. 2. 848). ἢ οὗτοι ὑπὸ Ἀστεροπαῖον, οἱ δὲ ἱππεῖς ὑπὸ Πυραίχμην. ἢ διαφόρῳ ὁπλίσει ἐχρῶντο. ἢ ἱπποτοξ⟨ότ⟩αι ἦσαν.

288. ἐξ Ἀμυδῶνος] Ἀμυδὼν φρούριόν ἐστι Μακεδόνων περὶ τὸν Ἀξιὸν ποταμὸν κείμενον.

A+B= 290. ἕταροι δέ μιν ἀμφεφόβηθεν ⟨Παίονες⟩] ἐκ πλήρους ἡ
B= "ἀμφί." §. τὸ δὲ ἑξῆς, περὶ αὐτὸν οἱ Παίονες ἐφόβηθεν. §. ἅμα μὲν
B= ἡὔξηται τοῦ Πατρόκλου ⟨ἡ⟩ ἀρετὴ οὐ τὸν τυχόντα ἀνελόντος, ἅμα δὲ διὰ τὴν ὑπεροχὴν τοῦ ἀναιρεθέντος πιθανὸν φεύγειν τοὺς ἄλλους.

B− 293. κατὰ δ' ἔσβεσεν] ἐπαινεῖται ταῦτα ὡς ἐν τῷ τάχει ἔχοντα καὶ ἀξιοπιστίαν, εἴ⟨γε⟩ μὴ πᾶν εἶπε πεπρῆσθαι τὸ σκάφος.

B= ἔσβεσεν] αἴτιος τῆς σβέσεως ἐγένετο. ἢ Πάτροκλος ἔσβεσεν ὅπερ ὁ Ζεὺς ἀνῆψεν (121).

B= 294. ἡμιδαής] ἐναργῶς ἔχει τὸ "ἡμιδαής·" σχεδὸν γὰρ αἱρεῖ τὰς αἰσθήσεις ἡ τῶν ὀνομάτων ἔμφασις, καὶ ἐν ὄψει τὸ πρᾶγμα δείκνυσιν.

B= τοὶ δὲ φόβηθεν] ὅρα ὅτι οὐκ ἀφίσταται τοῦ ὀνόματος (cf. 290)· τοῦτο γάρ ἐστι τὸ καιρὸν παρασχὸν κατασβέσαι, ἡ τῶν πολεμίων ὑποχώρησις.

296. * ἀλίαστος] ἀνέκλειπτος.

B− 297. ἀφ' ὑψηλῆς κορυφῆς] ἐπεὶ ἐν ταῖς ἀκρωρείαις πυκνὰ νέφη ἐπικαθίσαντα σκοτίζειν εἴωθε τὸν ὑποκείμενον τόπον· μέμνηται δὲ

10. πέλονται ‖ 12. Παίονας Bekker: Παιᾶνας ‖ 13. ἀγκυλότοξοι ‖ οὗτοι Bekker: οὕτω ‖ 19. ἅμα μὲν W: μία δὲ ‖ 20. supplevi ex B ‖ 27. ὀν. αἴσθησις B ‖ 28. τοῦ ῥήματος B

Digitized by Google

αὐτοῦ ὁ ποιητής· ἔλεγε γὰρ "εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκεν" (66).

298. κινήσῃ—νεφέλην] πιθανῶς οὐκ εἶπε 'σκεδάσῃ'· οὐ γὰρ προτροπάδην ἀπίασιν· ὁπότε δὲ προτροπάδην φεύγουσιν, "ὡς δ' ὅτ' ἀπ' Οὐλύμπου νέφος ἔρχεται" (364).

299. σκοπιαί] τόποι ἐπιτήδειοι πρὸς σκοπὴν τῶν πόρρω· §. καὶ B= ταῦτα δὲ Ὅμηρος τὰ αὐτόματα θεοῖς ἀνατίθησιν, οἱ δὲ μετ' αὐτὸν μετεωρολέσχαι οὐδαμοῦ προστιθέασιν ὄνομα θεοῦ. §. Νέστορος εἰπόντος "αἴ κεν τι φόως Δαναοῖσι γένηαι" (Il. 11. 797) φησὶν "ἄσπετος αἰθήρ" (300).

πρώονες] οἱ λόφοι τῶν ὀρῶν παρὰ Ἀργείοις. §. ἔστι δὲ τοῦ A= πρῶνες διαίρεσις. A=

300. ὑπερράγη ⟨—αἰθήρ⟩] τῶν νεφῶν διαρραγέντων ὤφθη ὁ A~B= αἰθήρ, ὥς φαμεν ῥαγῆναι τὸν ὑετόν.

303. οὐ γάρ πω—Τρῶες] δαιμονίως ἔτι συνέχει τὸν ἀγῶνα ὁ B= ποιητής· οὐ γὰρ πιθανὸν μηδενὸς δεινοῦ γενομένου φυγεῖν προτροπάδην τοὺς βαρβάρους.

304. προτροπάδην] ἀμετάστρεπτοι.

305. * ἀνθίσταντο] τινὲς "ἄντα ἵσταντο." A+

306. κεδασθείσης] ἄλλος γὰρ ἄλλῃ ἔφυγεν. διὰ δὲ τῶν Μυρ- B= μιδόνων σβέσας τὸ πῦρ καὶ τοὺς πολεμίους ἐάσας τοὺς ἡγεμόνας προήγαγεν ἀριστεύοντας, δεικνὺς ὡς οὐ σβέννυται τὸ γενναῖον τῶν ἀνδρῶν ἐν ταῖς συμφοραῖς. οὐκ ἐδεήθησαν οὖν ἀναψύξεως, ἀλλ' ἐκθυμότερον ἀφ' ὧν ἔπαθον ἀμύνονται τοὺς Τρῶας.

309. διαπρὸ δὲ χαλκὸν ἔλασ⟨σ⟩εν] διήλασε τὸν χαλκὸν εἰς τοὔμπροσθεν.

311, 2. Θόαντα στέρνον] ἀντὶ τοῦ Θόαντος. §. καὶ πρὸς τὴν ὁμωνυμίαν ἡ διπλῆ. A+

312. * στέρνον] λείπει ἡ κατά.

313. ἐφορμηθέντα] Ἀριστοφάνης "ὑφορμηθέντα," ἀντὶ τοῦ ὑποχωρήσαντα· καὶ οὐκ ἄχαρις ἡ γραφή. B=

314. ἄλλως· ἔφθη ὀρεξάμενος] προέφθασεν ἐκτείνας.

ὀρεξάμενος] τύψας· ὁ γὰρ τύπτων ἐκτείνει τὴν χεῖρα. B=

ἄλλως· ὀρεξάμενος] ἀντὶ τοῦ 'παίσας ἔφθη πρὶν οὐτάσαι.'

3. κινήσει ut textus ‖ σκεδάσει ‖ 4. ἀπιᾶσιν ‖ 5. Οὐλύμπου scripsi: οὐρανοῦ ‖ 9. φησὶν Bekker: φασὶν ‖ 11, 12. τοῦ πρώονες ‖ 24. ἀφ' ὧν B: παθῶν

Digitized by Google

B= πρυμνὸν σκέλος] τὸ ἔσχατον ὡς πρὸς τὸν μηρόν. λέγει δὲ τὴν γαστροκνημίαν.

A–B= 315. μυὼν ἀνθρώπου] μέμφονται λέγοντες τὰς πρὸς τοὺς μῦς πληγὰς ἐπωδύνους μέν, μὴ θανασίμους δὲ διὰ τὸ μὴ συνάπτειν τινὶ τῶν καιρίων. οἱ δέ φασιν, ὡς μύες ἐκ νευρῶν εἰσι πεπλεγμένοι καὶ σαρκὸς στεριφῆς· ὅθεν ἐν ταῖς διακοπαῖς αὐτῶν ὀδύναι γίνονται ἕνεκεν τῶν νευρῶν, αἱμορραγίαι δὲ διὰ τὰς φλέβας καὶ ἀρτηρίας, τελευτὴ δὲ διὰ τὰς τοῦ ἐγκεφάλου συμπαθείας· δύο γὰρ καταπεφύκασιν αὐτοῦ νεῦρα ἀπὸ νωτιαίου μυελοῦ. συμπαθεῖ δὲ καὶ ἡ καρδία τῷ ἐμπεφυκέναι αὐτῇ τὰς φλέβας. καλῶς δὲ καὶ πάχιστόν φησιν (314)· ὁ γὰρ ἐν τῷ σώματι παχύτατος μῦς ἐστιν ἐν τῇ κνήμῃ, καθάπτων ἐπὶ τὴν πτέρναν, καλούμενος τένων.

A+B= 317. Νεστορίδαι] ἀντὶ τοῦ Νεστοριδῶν· ἢ ἀπὸ κοινοῦ τὸ 'οὔ-
B= τασαν.' §. δεῖγμα δὲ φιλαδελφίας κοινὸν παρέλαβε τῶν φονευόντων ⟨καὶ φονευομένων⟩, ἥδιστα δὲ κατεσχημάτισεν ὅλον τὸν λόγον.

* οὔτασε] τινὲς "οὐτάς."

B= 320. Ἀντιλόχῳ ἐπόρουσε] ὑπερφυὴς ἡ ποικιλία. οὐ γὰρ ἔφη, ὅτι δύο ἀδελφοὶ δυσὶν ἀδελφοῖς ἐπεχώρησαν, ἀλλὰ μετὰ τὴν τοῦ προτέρου ἀναίρεσιν ὁ δεύτερος ἐπαμύνων τῷ ἀδελφῷ ἐπιχωρεῖ τῷ Ἀντιλόχῳ, ἀναιρεῖ δὲ αὐτὸν ὁ Θρασυμήδης ὑπερμαχῶν τοῦ ἀδελφοῦ. τὴν ἑκατέρου οὖν φιλαδελφίαν ἐνέφηνε, τοῦ μὲν διὰ ἀδελφὸν ἀποθανόντος, τοῦ δὲ διὰ ἀδελφὸν ἀνελόντος.

322. ἔφθη ὀρεξάμενος] προέφθασεν ἐκτείνας.

ἔφθη] τὸ ἑξῆς 'ἔφθη ὀρεξάμενος ὦμον ἄφαρ.'

B= 324. δρὺψ ἀπὸ μυώνων] εἰ τοῦ ἐγκεφάλου ἀποπέφυκε τὰ νεῦρα εἰς νωτιαῖον μυελόν, ἐκ νεύρων δὲ οἱ μύες, ἐκ καρδίας δὲ αἱ φλέβες εἰς τὸν μῦν, συμπάθειαν ἔχουσι καὶ τὰ καίρια· ὅθεν αἱ ἀθρόαι τῶν μυῶν πληγαὶ θανατοῦσιν.

B– ἄλλως: δρὺψ ἀπὸ μυώνων] τὸν ἔσχατον μυῶνα τοῦ βραχίονος ἀπέδρυψεν ἡ ἀκωκὴ τοῦ δόρατος, ἀπήραξε δὲ ἕως τοῦ ὀστέου.

B= ἀπὸ δ' ὀστέον ⟨ἄχρις ἄραξεν⟩] τὸ ἑξῆς, ἀπάραξεν ὀστέον.

1. ὡς ante πρὸς om. B ‖ 4. τὸ οὐ συνάπτεσθαι B ‖ 5. μυῖες B ‖ 6. στεριφῆς ὅθεν Bekker: στερριφῆς ὅθεν B, στερηθησομένων ‖ 8. τελευταῖον ut B ‖ 10. πάχιστον αὐτὸν B, μέγιστον ‖ 11. ὁ B: οὐ ‖ 12. καταγόμενος ἐπὶ B ‖ 14. παρέλαβε B: προῦβαλε ‖ 15. suppl. W ‖ 17. ὑπερφυὴς ἡ ποικιλία B: ὑπερφυῶς τῇ ποικιλίᾳ ‖ 19. ἐπιχειρεῖ B ‖ 21. ἐμφαίνει B ‖ 24. schol. scriptum ad v. 314: traieci ‖ 27. καὶ τὰ B: πρὸς ‖ 30. ἀπάρραξε

Digitized by Google

§. "ἄχρις" δὲ ἕως ὀστέου· τὸ γὰρ "ἄχρις" καὶ χρονικὸν καὶ τοπικὸν ὡς νῦν. B=

326. ὣς τὼ μὲν δοιοῖσι κασιγνήτοισι] ὑπὸ τῶν δύο ἀδελφῶν δαμέντες, ὡς τὸ "Ἀχιλῆι δαμασθείς" (Il. 22. 55).

328. Ἀμισωδάρου] οὗτος Καρίας δυνάστης, οὗ τὴν θυγατέρα ἔγημε Βελ⟨λ⟩εροφόντης, ὡς Ξενομήδης φησίν.

ὅς ῥα Χίμαιραν θρέψεν] ὅτι οὐ πέπλασται τὰ περὶ τὴν Χίμαιραν, πίστιν ἐπιτίθησι διὰ τοῦ χρόνου καὶ τοῦ θρέψαντος. ἴσως οὖν ἐν αἰπολίῳ χίμαρος τραφεὶς ἠγριώθη· οὐδὲ μὴν ἑτεροφυὴς ἦν, ὡς Ἡσίοδος ἔπλασεν (Th. 319).

329. ἀμαιμακέτην] τὴν ἀκαταμάχητον.

⟨ἀμαιμακέτην,⟩ πολέσιν κακόν] 'ἐφ' ἣν οὐκ ἄν τις ὁρμήσειεν.'

330. Αἴας δέ] πιθανῶς τὸ ζωγρῆσαι οὐκ ἄλλῳ τινὶ περιέθηκεν ἢ τῷ Ὀιλέως Αἴαντι· ἔστι γὰρ τάχιστος. διὸ καὶ τὸ "ἐπορούσας" πρόσκειται· ἱκανώτατος γὰρ ἦν τῶν ἄλλων ἐπιδραμὼν συλλαβεῖν τινά. B=

333. πᾶν δ' ὑπεθερμάνθη] ἀντὶ τοῦ ὅλον. τοῦτο δὲ ἐμφαίνει τὴν ἀθρόαν αἱμορραγίαν. ἀλλαχοῦ δὲ "ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσιν" (Il. 5. 75). B=

τὸν δὲ κατ' ὄσσε] ἀντὶ τοῦ '⟨τοῦ⟩ δέ.' B= §. ἡ δὲ "κατά" πρὸς τὸ ἔλαβεν. B=

335. Πηνέλεως δὲ Λύκων τε συνέδραμον] τὸ διήγημα κατὰ ἀναστροφήν· οὐ γὰρ πρῶτον ἀποτυχόντας εἰσάγει εἶτα διὰ τοῦτο συμπλεκομένους, ἀλλ' ὥσπερ αἰτίαν τῆς συνδρομῆς ἀποδιδοὺς τὸ προγεγενημένον δεδήλωκεν, ὅτι ἀκοντίσαντες ἐπ' ἀλλήλους ἥμαρτον. B=

336. μέλεον δ' ἠκόντισαν] ματαίως. οἱ τραγικοὶ δὲ τὸ "μέλεον" ἐπὶ τοῦ οἰκτροῦ τάσσουσιν. A+B= §. ὁ δὲ "δέ" ἀντὶ τοῦ γάρ. B=

339. φάσγανον ἐρραίσθη] ὑπὸ τῆς βίας τοῦ τύψαντος, ὡς τὸ Μενελάου "τριχθά τε καὶ τετραχθά" (Il. 3. 363). B+

αὐχένα θεῖνε] ἀντὶ παρῳχημένου τοῦ ἐπάταξε. ποικίλλει δὲ συνήθως τὰς πληγάς. AB=

340. ἔσχεθε δ' οἶον δέρμα] μόνον δὲ τὸ δέρμα κατέσχε καὶ κατεκράτει τὴν κεφαλὴν ἐκκοπεῖσαν.

342. κιχείς] ἀπὸ τοῦ κίχημι, ἢ τῆς κιχὼν παθητικόν, ὡς τῆς A—

4. Ἀχιλλῆι ‖ 6. Ξενομήδη, cf. schol. Ar. Lys. 447 ‖ φησίν W: ἔφη ‖ 9. μὴν Bekker: μὲν ‖ 12. πολλέσιν ‖ ἐφ' ἣν scripsi: ἔφη γὰρ ‖ 19. supplevi ex B ‖ 25. ἀκόντισαν ‖ 27. ἐρραίσθη B: ἐρέσθη

Digitized by Google

λιπών ἢ λιπείς, τῆς ἐριπών ἢ ⟨ἐ⟩ριπείς· "ἐριπέντι Πολυνείκει" (Pind. Ol. II 43).

343. ἐπιβησόμενον] ἐπιβατικῶς ἔχοντα.

345. Ἐρύμαντα] παρὰ τὸ ἔρυμα. τινὲς δὲ "Ὀρύμαντα."

B= κατὰ στόμα νηλέι χαλκῷ] ποικίλως πάνυ· φθάνει γὰρ τὸ ἐναντίον διαθέμενος περὶ τὸν Πάνδαρον (Il. 5. 291). τοῦ μὲν γὰρ ἄνωθεν πληγέντος τὸ δόρυ διὰ τοῦ στόματος διέρχεται, ἐνταῦθα δὲ ἡ μὲν πληγὴ διὰ τοῦ στόματος γίνεται, διαπερᾷ δὲ τὸ δόρυ διὰ τῆς κεφαλῆς.

B= 347. κέασ⟨σ⟩ε δ' ἄρ' ὀστέα] οἰκείως ἐπὶ μὲν ὀστῶν "κέασσεν," ἐπὶ δὲ ὀδόντων "ἐτίναχθεν" (348), ἐπὶ δὲ τοῦ δόρατος "ἐξεπέρησε" (346).

B= 348. ἐκ δ' ἐτίναχθεν ὀδόντες] ἐπάνω τῆς ὑπερῴας ἠνέχθη ἡ πληγὴ κατὰ τὸν ἐγκέφαλον, οἱ δὲ ὀδόντες κατ⟨ὰ τὴν⟩ ἐπιδρομὴν

B= τοῦ δόρατος ἐξετινάχθησαν. §. "ὀστέα" (347) δὲ Ἀπολλώνιος τοὺς σφονδύλους φησίν.

B= ἐνέπλησθεν δὲ—αἵματος ὀφθαλμοί] ἡ αἱμορραγία ὅλην τὴν κεφαλὴν διελθοῦσα διὰ τῶν ὀφθαλμῶν ἐφάνη μάλιστα· εἰσὶ γὰρ ἐξ ὑμένων λεπτῶν· ὅθεν οἱ ἰκτεριῶντες ἀπ' ὀφθαλμῶν δῆλοι τὰ πρῶτα γίνονται τῆς χολῆς ὑποδραμούσης.

B= 350. πρῆσε χανών] ἐξεφύσησεν· καὶ ἀλλαχοῦ "ἐν δ' ἄνεμος πρῆσεν" (Il. 1. 481). εἰκὸς δὲ τῶν ἐν τῇ κεφαλῇ φλεβῶν διακοπεισῶν προχυθὲν τὸ αἷμα διὰ τῶν ὀφθαλμῶν καὶ τοῦ στόματος καὶ τῶν ῥινῶν χωρῆσαι.

A=B— 352. ὡς δὲ λύκοι ἄρνεσσιν] ὅταν ἑνὸς ἔφοδον δηλῶσαι θέλῃ, λέοντα εἰς τὴν εἰκόνα παραλαμβάνει, "ἤτοι ὁ μὲν πρώτῃσι—βόεσ⟨σ⟩ι" (Il. 15. 634). νῦν δὲ τὴν τοῦ πλήθους ἔφοδον ἐμφῆναι βουληθεὶς τὰ ἀγεληδὸν ἐφορμῶντα ζῷα παρέλαβε, τοὺς λύκους.

ἐπέχραον] ἀθρόοι ἐπεβάρησαν, ἢ ἀθρόοι ἐπῆλθοσαν.

B— 353. ὑπὲκ μήλων αἱρεύμενοι] ἐξ αἰγῶν ἢ προβάτων ὑπεξαιρούμενοι.

A=B— μήλων] προβάτων καὶ αἰγῶν. καὶ ἐν ἄλλοις "μῆλ' ὄιές τε καὶ αἶγες" (Il. 9. 84). πρόβατα γὰρ πάντα ἐκάλουν τὰ θρέμματα οἱ παλαιοί· καὶ Εὔπολις (Capr. fr. 14 K.) προβατικὸν χορόν φησι τὸν ἐξ αἰγῶν.

A~ αἵ·τ' ἐν ὄρεσσιν] αἱ ἄρνες δηλονότι καὶ οἱ ἔριφοι. §. καλῶς δὲ

6. δ. τοῦ περὶ Π. B ‖ 9. ἄρ' ὀστέον ‖ δ. ἐκέασθεν ‖ 11. ὑπερώας B, ὑπερώης ‖ 12. supplevi ex B ‖ 14. σπονδύλους B ‖ 25. ἔφοδον B: ἐφόδιον ‖ 28. ἐρεύμενοι ‖ ὑπεξαιρούμενοι Bekker: ὑπεξυφαιρούμενοι B, ὑφαιρούμενοι ‖ 33. αἱ ἔρ.

Digitized by Google

*καὶ τὸ νέον καὶ τὸ θῆλυ καὶ τὸ "ἐν ὄρεσ⟨σ⟩ιν," ἔνθα οὐκ ἔστι φυγή.*

354. *διέτμαγεν] διὰ τοῦ ε̄ τὸ "διέτμαγεν," ὡς "κόσμηθεν"* A+ (Il. 3. 1)· *τὸ γὰρ 'διέτμαγον' ἐνεργητικόν ἐστιν.*

356. *ὣς Δαναοί] καὶ Μυρμιδόνας συμπεριλαμβάνει.*

* *ἐπέχραον] ἐπῆλθοσαν.*

357. *δυσκελάδου] προσφυὲς τὸ ἐπίθετον· βοῶσι γὰρ καὶ οἱ διώ-* B= *κοντες καὶ ⟨οἱ⟩ διωκόμενοι.*

358. *Αἴας δ' ὁ μέγας] δαιμονίως οὐκ ἄλλῳ περίκειται τὸ ἐπιτηρεῖν* B= *τὸν Ἕκτορα ἀλλὰ τῷ Αἴαντι, εἰκότως· ἔχει γάρ τι πρὸς αὐτὸν ὁ ἥρως ὡς ἂν δι' αὐτὸν ἀποκρουσθεὶς τῆς νεώς* (122)· *εἰκὸς οὖν αὐτὸν σπεύδειν ἀποδοῦναι τὴν ὁμοίαν.*

*Αἴας δ' ὁ μέγας] πρὸς διαστολὴν τοῦ Ὀιλέως.* A+

361. *σκέπ⟨τ⟩ετο] σκοπεύων ἐφυλάττετο· τ⟨οι⟩οῦτον δὲ ἀκοντο-* A~B– *δόκον φασίν.*

*οἰστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων] καλῶς ἐπὶ μὲν τοῦ βαρέος* B= *"δοῦπον," ἐπὶ δὲ τοῦ ταχέος "ῥοῖζον."*

364. *ἀπ' Οὐλύμπου] τοῦ τόπου, ἔνθα τὰ νέφη ἐπικαθέζεται.*

*νέφος ἔρχεται οὐρανὸν εἴσω] οὐ τὴν ἄνω φορὰν ποιούμενον—* B= *πῶς γὰρ ἐξ αἰθέρος γενομένης τῆς λαίλαπος ὑψοῦται τὰ νέφη;— ἀλλὰ τὴν εἰς πλάτος. οὕτω καὶ οἱ Τρῶες προσεδρεύοντες πρώην τῷ ναυστάθμῳ ἐπεξετάθησαν εἰς τὸ πεδίον.*

*οὐρανόν] τὸν ὑπὲρ τὰ νέφη τόπον εἴωθε καλεῖν.* B+

365. *αἰθέρος ἐκ δίης] "Δίης" τινὲς τῆς ὑπὸ Διὸς ἀρχομένης, ὡς* B– *Ὀδυσσήιος δόμος* (Od. 18. 353). §. *ὅταν ἐκ τοῦ αἰθέρος ὁ Ζεὺς ἐπιτείνῃ* B= *λαίλαπα.* §. *ἐν δὲ τοῖς ὑπομνήμασι κατὰ δοτικὴν τὸ "λαίλαπι,"* B= *ἵν' ᾖ, ὅταν ὁ Ζεὺς ἐν λαίλαπι παρατείνῃ τὰ νέφη.*

*ἄλλως: αἰθέρος ἐκ δίης] ὡς ἐξ εὐδίας ἐπιταράσσεται ὁ οὐρανός, οὕτω ταραχὴ γέγονε τῶν Τρώων.*

368, 9. *λ⟨ε⟩ῖπε δὲ λαὸν—οὓς ἀέκοντας] ὅτι πρὸς τὸν νοῦν ὑπήντησεν.*

370. *πολλοὶ δ' ἐν τάφρῳ—ἵπποι] καὶ μήν φησιν ἔξω τὴν ἵππον* B= *εἴασαν. ἀλλ' ὁ Ἀπόλλων ἱππήλατον ὁδὸν αὐτοῖς ἐποίησεν·*

1. *τὸ νέον* W: *τὸν σὸν* ‖ supplevi ex B ‖ 3. *τὸ διέτμανεν* ‖ *ἐκόσμηθεν* ‖ 8. supplevi ex B ‖ 10. *ἔχει γ. τι* B: *ἔχει γ. ἔχει* ‖ 12. *τὰ ὅμοια* B ‖ 20. *γινομένης* B ‖ 23. *περὶ τὰ* ‖ *καλῶν* ‖ 25. *Ὀδυσσῆος νόμος*: corr. W ‖ *τῆς αἰθερίας* B ‖ 26. *τὸ* scripsi: *τῷ*

Digitized by Google

„αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποισι κέλευθον πᾶσαν λειανέω" (Il. 15. 260)· „ἵππους δ' εἰσελάσαντες ἐπὶ πρύμνῃσι μάχοντο" (ib. 385).

B= 371. ἄξαντε] πρὸς τὰς συνωρίδας, αἷς ἐχρῶντο οἱ Τρῶες, τὸ B– δυϊκόν. §. „πρώτῳ" δὲ „ῥυμῷ" τῷ ἄκρῳ πρὸς τὸν ζυγόν· οἱ δὲ τῷ πρὸς τὸν ἄξονα. ὃ καὶ μᾶλλον τρίβεται.

ἄλλως: ἄξαντ' ἐν πρώτῳ ῥυμῷ] ἀπὸ κοινοῦ τὸ „ἅρματα."

372. σφεδανόν] ἐσπευσμένως· οἱ δὲ συντόνως, ἀφ' οὗ καὶ σφὴν ὁ διατείνων πάντα καὶ σφίγγων.

B= 374. τμάγεν] διεκόπησαν καὶ διεσχίσθησαν ἀπ' ἀλλήλων. δι' ὧν δὲ μεστοῖ πάσας τὰς ὁδούς, τὸ πλῆθος παρίστησι, „πολλαὶ γὰρ ἀνὰ στρατόν εἰσι κέλευθοι" (Il. 10. 66).

A– * ἀέλλη] ὁμιχλώδης κονιορτός.

375. * ὑπαὶ νεφέων] ἔμπροσθεν τῶν νεφῶν.

τανύοντο δέ] ἐμφαντικώτερον τοῦτο τοῦ ἔτρεχον.

377. ᾗ πλεῖστον] ὅπου πολὺν ἐργάσασθαι φόνον ἠδύνατο.

378. * ἔχε] ἤλαυνε τοὺς ἵππους.

B= φῶτες ἔπιπτον] οἱ Τρῶες, φησί, πρηνεῖς πίπτοντες ὑπὸ τοῖς ἄξοσιν ἐγίνοντο, εἰς οὓς καὶ ἀνεκυμβαλίαζον οἱ δίφροι, ὡς τοὺς πίπτοντας αἰτίους πτωμάτων τοῖς ἐπιβάταις γίνεσθαι. πρηνεῖς δὲ ἔπιπτον ὡς ὄπισθεν τιτρωσκόμενοι.

A+ 379. ἀνεκυμβαλίαζον] Ἀρίσταρχος διὰ τοῦ ᾱ „ἀνακυμβαλίαζον."

B= §. τουτέστιν ἀνεπήδων καὶ ἀνεκουφίζοντο, ἀπὸ τῶν κυμβάλων ἃ προσκρουόμενα ἀλλήλοις ὑπερπηδᾷ. ἅμα δὲ καὶ βομβῶδες ὂν τὸ ῥῆμα ἔδωκεν ἔμφασιν τῇ ἀνατροπῇ. τὸ δὲ ἑξῆς οὕτως, ἐγὼ οἶμαι ὑπὸ τῶν ἀξόνων πρηνεῖς ἔπιπτον ἐξ ὀχέων. οἱ γὰρ δίφροι ἀνεκυμβαλίαζον· ἀνακουφιζομένων οὖν τῶν ἀξόνων πρηνεῖς κατέπιπτον οἱ ἐπιβάται.

380. ἀντικρὺ δ' ἄρα τάφρον] τοῦτο πρὸς τὴν ἀρετὴν τῶν Ἀχιλλέως ἵππων· Ἕκτωρ δὲ αὐτὸ μόνον ἐκαυχήσατο, οὐ μὴν ἐτέλεσεν, „ἵπποι δὲ ῥέα τάφρον" (Il. 8. 179)· Αἰσχύλος δὲ Ἕκτορα σὺν τῇ πανοπλίᾳ φησὶν ὄπιθεν ὁρμήσαντα πηδῆσαι τὴν τάφρον μὴ δείξαντα ⟨τὰ⟩ νῶτα τοῖς ἐχθροῖς (fr. 371 N.).

382. πρόσ⟨σ⟩ω ἱέμενοι] παρεκελεύετο γὰρ αὐτοὺς κατὰ τοῦ Ἕκτορος ὁρμᾶν.

1. προπάροιθεν ἰὼν B ‖ 2. μάχονται B ‖ 8. σφηνοδία τείνων: corr. Bekker ‖ 9. καὶ διεσκορπίσθησαν B ‖ 14. τοῦ ἔτρεχον scripsi: τὸ ὑποτρέχον ‖ 24. οὕτως ἐγὼ οἶμαι corrupta: an οἱ ἐπιβάται? ‖ 25. ἀνεκυμβάλιζον B ‖ 26. ἔπιπτον B ‖ 29. Ἕκτορα Hermann: Ἀχιλλέα ‖ 31. suppl. Bekker

Digitized by Google

383. τὸν δ' ἔκφερον] ἐξενηνόχεισαν ἴσως διὰ τῆς ὑπ' Ἀπόλλωνος γεγονυίας ὁδοῦ (Π. 15. 260). πῶς δὲ οὐ καταλαμβάνει Πάτροκλος; ἢ ὅτι καὶ αὐτὸς διαφόρους ἵππους ἔχει, ὡς Αἰνείας (Π. 5. 272)· καὶ γὰρ ἐν Ἀβύδῳ ἱπποστάσια ἔχει Πρίαμος (Π. 4. 500)· ἀφ' οὗ καὶ οἱ Ἀσίου, "ὃν Ἀρίσβηθεν φέρον ἵπποι" (Π. 2. 838)· ὧν καὶ διὰ τὴν ὑπεροχὴν ἐπιμελεῖται Ἀνδρομάχη (Π. 8. 187)· ἄλλως τε ἄτοπον ἐπιδιώκοντα πόρρω που ἐκεῖνον ἀμελεῖν τῶν λοιπῶν. B–

384. λαίλαπι] λαῖλαψ ὁ μετὰ ὑετοῦ ἄνεμος· ποτὲ δὲ ἁπλῶς ὑετός, "ὡς δ' ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριχε χθών."

385. ὀπωρινῷ] τῷ μετοπωρινῷ· καταρρήγνυται γὰρ ὄμβρος πολὺς κατὰ τὸ μετόπωρον. Ὁμήρῳ δὲ οὐκ ἀρκεῖ τὸ φυσικὸν μόνον πρὸς αὔξησιν, ἀλλὰ καὶ τὴν τοῦ θείου ὀργὴν προσπαρέλαβεν, ὠφελῶν κἀν ταῖς παραβολαῖς καὶ δεικνὺς ὅσα τοῖς ἀδικοῦσι συμπίπτει δεινά, οὐ καθ' ἕνα μόνον, ἀλλὰ κοινῇ· ἐντεῦθεν Ἡσίοδός φησι "λιμὸν ὁμοῦ καὶ λοιμόν" (Opp. 243). B–

387. οἳ βίῃ εἰν ἀγορῇ] παιδευτικὰ πρὸς τοὺς βασιλέας ταῦτα καὶ τοὺς κριτάς. οὐκοῦν ἐὰν παρὰ καιρόν τι φαίνηται γινόμενον, οὐκ ἐχρῆν ἐπικαλεῖν τὸ δαιμόνιον. ἔοικε γὰρ κολάζειν τοὺς ἀδίκους. B–

⟨οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας⟩] σκολιὰς ποιήσωσι θέμιστας· ἢ τὸ 'κρίναντες' ἀπὸ κοινοῦ. B–

388. θεῶν ὄπιν οὐκ ἀλέγοντες] τὴν ἐπιστροφὴν τῶν θεῶν οὐκ ἔχοντες ⟨ἐν⟩ λόγῳ. B=

389. *τῶν δέ] τῶν ἀσεβῶν ἀνδρῶν.

390. κλιτῦς] κλίματα ὀρῶν. §. καὶ ἐχρῆν μὲν περισπᾶσθαι, ἐπεὶ ἀπὸ τοῦ 'κλιτύας,' ἀνεγνώσθη δὲ ὀξυτόνως, ὡς τὸ "κνημῖδας γραπτὰς δέδετο, γραπτῦς ἀλεείνων" (Od. 24. 229). AB= AB+

χαράδραι] κυρίως οἱ κοῖλοι τόποι, παρὰ τὸ κεχαράχθαι· νυνὶ δὲ αἱ ῥύσεις. B=

ἄλλως: χαράδραι] χάραδρός ἐστιν ὁ ἐν γεωλόφοις κατερρηγμένος τόπος, χαράδρα δὲ ὁ ἐν ἐπιπέδοις ἐκ ποταμῶν καὶ ὑετῶν ἐκρησσόμενος. B–

392. ἐξ ὀρέων ἐπικάρ] τὸ τέλειον "ἐπὶ κάρα," ὅ ἐστιν ἄνωθεν A+B–

5. τὸν δ' Ἀρ. ‖ 9. βέβριχε etiam textus ‖ 12. τ. ἀπὸ τοῦ B ‖ 16. βασιλεῖς B ‖ 19. ποιήσουσι ut B ‖ 22. supplevi ex B ‖ 24. ἀποκλίσεις AD ‖ 25. ἦν ante ἀνεγνώσθη omisi ut B ‖ κνημῖδας ‖ 25, 26. γραπτὰς etiam Apoll. Soph., ῥαπτὰς textus: γραπταὶ ‖ 26. δὲ διὸ γρ. ‖ 31. ἐκρησσόμενος D: ἐκρεόμενος ‖ 32. κάρα ὅ B cf. A: κάρας

Digitized by Google

κάτω. ἄμεινον δὲ ἐπικαρσίως εἶναι τὸ τέλειον διὰ τὸ σύνηθες τῶν ἀποκοπῶν. οἱ δὲ ‘ἐπικάρπια ἔργα μινύθει.’

B= 393. ὣς ἵπποι] ὡς αἱ χαράδραι. κέχρηται δὲ ἐνταῦθα τῇ παραβολῇ, ὡσεὶ "μεγάλα στενάχουσι ῥέουσαι" (391), εἶτα ἀντέθηκε "μεγάλα στενάχοντο θέουσαι."

στενάχοντο] πρὸς τοῦτο ἡ πᾶσα παραβολή· τὰ δ' ἄλλα εὐσεβείας χάριν παρέθηκεν.

B= 395, 8. ἂψ ἐπὶ νῆας ἔεργε—μεταΐσσων] θαυμάσειεν ἄν τις τὴν Ὁμήρου φύσιν κατὰ πολλὰ ὅτι λανθάνει τὰ ὅμοια λέγων, ὥστε δοκεῖν ἄλλα καὶ ἄλλα εἶναι. ταῦτα γὰρ οὐδὲν διαφέρει τῶν ἐπ' Ἀχιλλεῖ λεγομένων, ὅπου κατὰ νώτου φησὶν αὐτὸν τῶν πολεμίων γενόμενον τὴν ἑτέραν μοῖραν τῶν βαρβάρων διώκειν· "ἔνθα διατμήξας τοὺς μὲν πεδίονδ' ἐδίωκεν" (Il. 21. 3).

ἄλλως: ἂψ ἐπὶ νῆας] πάλιν ὀπισθορμήτους ἀπεῖργεν ἐπὶ τὰς ναῦς.

B= 395. παλιμπετές] παλιμπετῶς· ἀπὸ τῶν εἰς τοὐπίσω πιπτόντων βελῶν. §. ἀναμφιβόλως δὲ αὐτοὺς ἔχειν βούλεται, ὅπερ καὶ ἐπὶ Δόλωνος πράττουσιν (Il. 10. 354).

B= 399. Πρόνοον] παραβάτης ἦν, διὸ καὶ ἀσπίδα φέρει· ὁ δὲ Θέστωρ ἡνίοχος αὐτοῦ.

B= βάλε δουρί] συντόμως ἅμα καὶ κεχαρισμένως τῷ ἀκροατῇ ποιεῖται τὴν ἐκδίκησιν τῶν Ἑλλήνων.

401. * ὁ δὲ Θέστορα] Θέστορα δέ.

402. * δεύτερον ὁρμηθείς] ἀπὸ κοινοῦ τὸ "βάλε" (399).

B= εὐξέστῳ] οὐ διαιρήσεις τὴν λέξιν διὰ ⟨τὸ⟩ μέτρον.

* εὐξέστῳ] ἀδιαίρετον.

A=B+ 403. ἀλείς] συστραφεὶς ἐν ἑαυτῷ.

405. γναθμόν] ἀρσενικῶς, καίτοι τῆς γνάθου θηλυκῶς λεγομένης, ἐπεὶ πᾶν ὄνομα εἰς μος ὀξύτονον ἀρσενικόν ἐστιν, ὡς λιμός.

B= διὰ δ' αὐτοῦ πεῖρεν ὀδόντων] διέπειρε δὲ τῶν ὀδόντων αὐτοῦ, Ἀττικῶς.

B= 406. ὑπὲρ ἄντυγος] ἐμφαντικῶς τῇ προσθήκῃ τοῦ "ὑπὲρ ἄντυγος" καὶ τὸν τόπον ἔδειξε, δι' οὗ εἷλκε, καὶ τὸ πρᾶγμα ὑπ' ὄψιν ἤγαγεν.

B= ἕλκε δὲ δουρὸς—ὡς ὅτε τις φώς] παντάπασιν ἡ παραβολὴ ὡμοιω-

1. ἐπικαρσίως εἶναι Bekker, ἐπὶ κρασὶν ὡς εἶναι οὕτω B: ἐπικρασιως εἶναι ‖ 10. γοῦν B ‖ 11. Ἀχιλλεῖ B: Ἀχιλλέα ‖ 16. βελῶν B: βολῶν ‖ 17. πράττουσιν scripsi: γράφουσιν ‖ 18. παραιβάτης B ‖ 21. πεποίηται τὴν τῶν Ἑ. ἐκδίκησιν B, περὶ τῶν ἐκδικουμένων Ἑ. ‖ 24. supplevi ex B ‖ 28. ὄνομα in fine lineae fere evanidum

Digitized by Google

ται. καταδέδυκε γὰρ ἐν τῷ δίφρῳ, ὡς ὁ ἰχθὺς ἐν τῇ θαλάσσῃ. καὶ ὃ μὲν τῷ ἀγκίστρῳ, ὃ δὲ τῇ αἰχμῇ ἐνέχεται. κεχήνασιν ἀμφότεροι. καὶ ὃ μὲν ἕλκων παραβέβληται τῷ ἁλιεύοντι, ὃ δὲ ἑλκόμενος τῷ ἰχθύι, τὸ δὲ δόρυ δι' οὗ εἵλκετο τῷ ἁλιευτικῷ καλάμῳ.

407. ἐπὶ προβλῆτι] διδάσκει ποῦ δεῖ τοὺς ἁλιεύοντας καθέζεσθαι, οὐ παρ' αἰγιαλῷ, ὅπου σπανίως ἰχθὺς παρατρέχει. B=

ἱερὸν ἰχθύν] οἳ μὲν τὸν ἀνθίαν, ἐπεὶ Ἀριστοτέλης ἐν τῷ θ' περὶ ζῴων (9. 37 I p. 620$^b$ 33) ἱστορεῖ, ὅτι "ὅπου δ' ἂν ἀνθίας ὁραθῇ, οὐκ ἀδικεῖ τι θηρίον· ᾧ καὶ σημείῳ χρώμενοι κατακολυμβῶσιν οἱ σπογγιεῖς καὶ καλοῦσιν ἱεροὺς ἰχθύας τούτους·" οἳ δὲ χρύσοφρυν, οἳ δὲ πομπίλον. ἄμεινον δὲ μέγαν καὶ ἀσυνήθη θεοῖς ἀνειμένον θαλασσίοις· οἳ δὲ διερόν. Πλάτων δὲ ἀγνοῶν ἱερόν φησι, διὰ τὸ μὴ θηρεύεσθαι ἐπὶ τῶν ἡρωικῶν (? Pol. III 13, p. 404 b). A+B−

408. λίνῳ] τῇ διὰ νεύρων ὁρμιᾷ· καὶ ταῦτα γὰρ λίνα φασίν. §. A−B+ τὸ δὲ "θύραζε" ὅμοιον τῷ "δόρυ μείλινον ὦσε θύραζε" (Π. 5. 694). B+

ἤνοπι χαλκῷ] ἐμφώνῳ ἢ λαμπρῷ, ἐν ᾧ ἔστιν ἐνοπτ⟨ρ⟩ίσασθαι.

ἄλλως: ἤνοπι χαλκῷ] τῷ ἀγκίστρῳ· ἀπὸ τοῦ ὅλου τὸ μερικόν. §. B= "ἤνοπι" δὲ ἐμφώνῳ· μόνος γὰρ τῶν ἀψύχων φωνὴν ἔχει. οἱ Πυθαγορικοὶ γάρ φασι τὸν χαλκὸν παντὶ συνηχεῖν θείῳ πνεύματι καὶ ἐν νηνεμίᾳ πολλάκις ἀτρεμούντων ἁπάντων σειομένοις ἐοικέναι τὰ κοῖλα χαλκώματα. B+

411. * ἐπεσσύμενον] γράφεται καὶ "ἐπεσσύμενος."

ἄλλως: βάλε πέτρῳ] πῶς λίθων εὐπορεῖ ἐφ' ἅρματος ὤν; ἔοικε κατὰ τὸ σιωπώμενον καταβεβηκέναι, εἶτα μετὰ τὸ πλῆξαι τὸν Εὐρύαλον πάλιν ἐπαναβεβηκέναι. ὅτι γὰρ ἐφ' ἅρματός ἐστι, πάλιν ἑξῆς φησι (427) "Πάτροκλος δ' ἑτέρωθεν ἐπεὶ ἴδεν ἔκθορε δίφρου." καὶ τὸ "ἐπεσσύμενον" ἐπὶ μὲν πεζοῦ οἰκεῖον, ἀπίθανον δὲ ἐπὶ ἱππότου. B=

414. θυμοραϊστής] φησὶ τετρασυλλάβως καὶ βαρυτόνως ὁ Γλαῦκος· οὐδέποτε γὰρ τὸ ῥαῖσαι εἶπεν ἢ δισυλλάβως. πῶς οὖν τὸ "θυμοραϊστέων" (591. Il. 18. 220) διεῖλεν; B=

415. Ἀμφότερον] εἰς ἰδιότητα ὤξυνεν Ἀρίσταρχος τὸ "Ἀμφι- A+

2. μὲν ἐν τῷ B ‖ 5. ἁλιέας B ‖ 6. σπάνιος B ‖ 7. θ' Dindorf: ιθ' B, ἐννεακαιδεκάτῳ ‖ 9. ἔστι θ. codd. Arist. ‖ σπογγεῖς B codd. Arist., σπονγιεῖς ‖ 10. ἰχθῦς codd. Arist. ‖ 13. ἐστιν post ἡ. del. W ‖ 23. λίθων B: λίθους ‖ 25. ἐστὶ B: ἔστη ‖ 27. τὸ ἐπεσσύμενον B: τότε ἐπεσσύμενος

κάτω. ἄμεινον δὲ ἐπικαρσίως εἶναι τὸ τέλειον διὰ τὸ σύνηθες τῶν ἀποκοπῶν. οἱ δὲ 'ἐπικάρπια ἔργα μινύθει.'

B= 393. ὣς ἵπποι] ὡς αἱ χαράδραι. κέχρηται δὲ ἐνταῦθα τῇ παραβολῇ, ὡσεὶ "μεγάλα στενάχουσι ῥέουσαι" (391), εἶτα ἀντέθηκε "μεγάλα στενάχοντο θέουσαι."

στενάχοντο] πρὸς τοῦτο ἡ πᾶσα παραβολή· τὰ δ' ἄλλα εὐσεβείας χάριν παρέθηκεν.

B= 395, 8. ἂψ ἐπὶ νῆας ἔεργε—μεταΐσσων] θαυμάσειεν ἄν τις τὴν Ὁμήρου φύσιν κατὰ πολλὰ ὅτι λανθάνει τὰ ὅμοια λέγων, ὥστε δοκεῖν ἄλλα καὶ ἄλλα εἶναι. ταῦτα γὰρ οὐδὲν διαφέρει τῶν ἐπ' Ἀχιλλεῖ λεγομένων, ὅπου κατὰ νώτου φησὶν αὐτὸν τῶν πολεμίων γενόμενον τὴν ἑτέραν μοῖραν τῶν βαρβάρων διώκειν· "ἔνθα διατμήξας τοὺς μὲν πεδίονδ' ἐδίωκεν" (Il. 21. 3).

ἄλλως: ἂψ ἐπὶ νῆας] πάλιν ὀπισθορμήτους ἀπεῖργεν ἐπὶ τὰς ναῦς.

B= 395. παλιμπετές] παλιμπετῶς· ἀπὸ τῶν εἰς τοὐπίσω πιπτόντων βελῶν. §. ἀναμφιβόλως δὲ αὐτοὺς ἔχειν βούλεται, ὅπερ καὶ ἐπὶ Δόλωνος πράττουσιν (Il. 10. 354).

B= 399. Πρόνοον] παραβάτης ἦν, διὸ καὶ ἀσπίδα φέρει· ὁ δὲ Θέστωρ ἡνίοχος αὐτοῦ.

B= βάλε δουρί] συντόμως ἅμα καὶ κεχαρισμένως τῷ ἀκροατῇ ποιεῖται τὴν ἐκδίκησιν τῶν Ἑλλήνων.

401. *ὁ δὲ Θέστορα] Θέστορα δέ.

402. *δεύτερον ὁρμηθείς] ἀπὸ κοινοῦ τὸ "βάλε" (399).

B= εὐξέστῳ] οὐ διαιρήσεις τὴν λέξιν διὰ ⟨τὸ⟩ μέτρον.

*εὐξέστῳ] ἀδιαίρετον.

A=B+ 403. ἀλείς] συστραφεὶς ἐν ἑαυτῷ.

405. γναθμόν] ἀρσενικῶς, καίτοι τῆς γνάθου θηλυκῶς λεγομένης, ἐπεὶ πᾶν ὄνομα εἰς μος ὀξύτονον ἀρσενικόν ἐστιν, ὡς λιμός.

B= διὰ δ' αὐτοῦ πεῖρεν ὀδόντων] διέπειρε δὲ τῶν ὀδόντων αὐτοῦ, Ἀττικῶς.

B= 406. ὑπὲρ ἄντυγος] ἐμφαντικῶς τῇ προσθήκῃ τοῦ "ὑπὲρ ἄντυγος" καὶ τὸν τόπον ἔδειξε, δι' οὗ εἷλκε, καὶ τὸ πρᾶγμα ὑπ' ὄψιν ἤγαγεν.

B= ἕλκε δὲ δουρὸς—ὡς ὅτε τις φὼς] παντάπασιν ἡ παραβολὴ ὡμοίω-

1. ἐπικαρσίως εἶναι Bekker, ἐπὶ κρασὶν ὡς εἶναι οὕτω B: ἐπικρασιως εἶναι || 10. γοῦν B || 11. Ἀχιλλεῖ B: Ἀχιλλέα || 16. βελῶν B: βολῶν || 17. πράττουσιν scripsi: γράφουσιν || 18. παραιβάτης B || 21. πεποίηται τὴν τῶν Ἑ. ἐκδίκησιν B, περὶ τῶν ἐκδικουμένων Ἑ. || 24. supplevi ex B || 28. ὄνομα in fine lineae fere evanidum

Digitized by Google

ται. καταδέδυκε γὰρ ἐν τῷ δίφρῳ, ὡς ὁ ἰχθὺς ἐν τῇ θαλάσσῃ. καὶ ὃ μὲν τῷ ἀγκίστρῳ, ὃ δὲ τῇ αἰχμῇ ἐνέχεται. κεχήνασιν ἀμφότεροι. καὶ ὃ μὲν ἕλκων παραβέβληται τῷ ἁλιεύοντι, ὃ δὲ ἑλκόμενος τῷ ἰχθύι, τὸ δὲ δόρυ δι' οὗ εἵλκετο τῷ ἁλιευτικῷ καλάμῳ.

407. ἐπὶ προβλῆτι] διδάσκει ποῦ δεῖ τοὺς ἁλιεύοντας καθέζεσθαι, οὐ παρ' αἰγιαλῷ, ὅπου σπανίως ἰχθὺς παρατρέχει. B=

ἱερὸν ἰχθύν] οἳ μὲν τὸν ἀνθίαν, ἐπεὶ Ἀριστοτέλης ἐν τῷ θ' περὶ ζῴων (9. 37 I p. 620ᵇ 33) ἱστορεῖ, ὅτι "ὅπου δ' ἂν ἀνθίας ὁραθῇ, οὐκ ἀδικεῖ τι θηρίον· ᾧ καὶ σημείῳ χρώμενοι κατακολυμβῶσιν οἱ σπογγιεῖς καὶ καλοῦσιν ἱεροὺς ἰχθύας τούτους·" οἳ δὲ χρύσοφρυν, οἳ δὲ πομπίλον. ἄμεινον δὲ μέγαν καὶ ἀσυνήθη θεοῖς ἀνειμένον θαλασσίοις· οἳ δὲ διερόν. Πλάτων δὲ ἀγνοῶν ἱερόν φησι, διὰ τὸ μὴ θηρεύεσθαι ἐπὶ τῶν ἡρωικῶν (? Pol. III 13, p. 404 b). A+B−

408. λίνῳ] τῇ διὰ νεύρων ὁρμιᾷ· καὶ ταῦτα γὰρ λίνα φασίν. §. A−B+ τὸ δὲ "θύραζε" ὅμοιον τῷ "δόρυ μείλινον ὦσε θύραζε" (Π. 5. 694). B+

ἤνοπι χαλκῷ] ἐμφώνῳ ἢ λαμπρῷ, ἐν ᾧ ἔστιν ἐνοπτ⟨ρ⟩ίσασθαι.

ἄλλως: ἤνοπι χαλκῷ] τῷ ἀγκίστρῳ· ἀπὸ τοῦ ὅλου τὸ μερικόν. §. B= "ἤνοπι" δὲ ἐμφώνῳ· μόνος γὰρ τῶν ἀψύχων φωνὴν ἔχει. οἱ Πυθαγορικοὶ γάρ φασι τὸν χαλκὸν παντὶ συνηχεῖν θείῳ πνεύματι καὶ ἐν νηνεμίᾳ πολλάκις ἀτρεμούντων ἁπάντων σειομένοις ἐοικέναι τὰ κοῖλα χαλκώματα. B+

411. * ἐπεσσύμενον] γράφεται καὶ "ἐπεσσύμενος."

ἄλλως: βάλε πέτρῳ] πῶς λίθων εὐπορεῖ ἐφ' ἅρματος ὤν; ἔοικε κατὰ τὸ σιωπώμενον καταβεβηκέναι, εἶτα μετὰ τὸ πλῆξαι τὸν Εὐρύαλον πάλιν ἐπαναβεβηκέναι. ὅτι γὰρ ἐφ' ἅρματός ἐστι, πάλιν ἑξῆς φησι (427) "Πάτροκλος δ' ἑτέρωθεν ἐπεὶ ἴδεν ἔκθορε δίφρου." καὶ τὸ "ἐπεσσύμενον" ἐπὶ μὲν πεζοῦ οἰκεῖον, ἀπίθανον δὲ ἐπὶ ἱππότου. B=

414. θυμοραϊστής] φησὶ τετρασυλλάβως καὶ βαρυτόνως ὁ Γλαῦκος· οὐδέποτε γὰρ τὸ ῥαῖσαι εἶπεν ἢ δισυλλάβως. πῶς οὖν τὸ "θυμοραϊστέων" (591. Il. 18. 220) διεῖλεν; B=

415. Ἀμφότερον] εἰς ἰδιότητα ὤξυνεν Ἀρίσταρχος τὸ "Ἀμφο- A+

2. μὲν ἐν τῷ B ‖ 5. ἁλιέας B ‖ 6. σπάνιος B ‖ 7. θ' Dindorf: ιθ' B, ἐννεακαιδεκάτῳ ‖ 9. ἔστι θ. codd. Arist. ‖ σπογγεῖς B codd. Arist., σπογγιεῖς ‖ 10. ἰχθῦς codd. Arist. ‖ 13. ἐστιν post ἠ. del. W ‖ 23. λίθων B: λίθους ‖ 25. ἐστὶ B: ἔστη ‖ 27. τὸ ἐπεσσύμενον B: τότε ἐπεσσύμενος

Digitized by Google

τερός· ἀγνοεῖ δέ, ὅτι ἐπὶ τοῦ ἀριθμοῦ οὐ λέγεται ἑνικῶς· τὸ γὰρ "ἀμφότερον βασιλεύς ἀγαθός" (Il. 3. 179) μεσότητός ἐστιν ἐπίρρημα.

B= 416. Τληπόλεμόν τε] διὰ ταχέων πάλιν καταλέγει τίσιν ἐπιτρέχει· τὸ γὰρ ἐπὶ πάντων κατὰ μέρος ⟨ἐπ⟩εξεργάσασθαι ἀδόλεσχον ἦν.

417. καὶ Ἀργεάδην πολύμηλον] τὸ πολύμηλος ἐπίθετον, Ἀργεάδης δὲ τὸ κύριον· εἰ δὲ κύριον τὸ πολύμηλος, ἔσται τὸ Ἀργεάδης πατρωνυμικόν.

B≠ 419. Σαρπηδὼν δ' ὡς οὖν ἴδεν] ἔδει γὰρ ἀπὸ τῶν πολεμίων γενέσθαι τινὰ ὑπεναντίωσιν· τὸ γὰρ μέχρι παντὸς ἀναιρουμένους αὐτοὺς εἰσάγειν καὶ ἀπίθανον καὶ ἀργόν.

B= ἄλλως: Σαρπηδὼν δέ] καλῶς τῷ Ἀχιλλεῖ τὸν ἄριστον τῶν Τρώων φυλάττων τῷ Πατρόκλῳ τὸν ἄριστον τῶν συμμάχων ἄγει εἰς μάχην.

A B– ἀμιτροχίτωνας] οὐχ ὑποζωννυμένους μίτρας τοῖς θώραξιν, ἢ ἀνακώλους ἔχοντας χιτῶνας πρὸς τὸ μὴ δεῖσθαι μίτρας· οἱ δὲ ἀζώστους· οὐδέποτε δὲ μίτραν φησὶ τὴν ζώνην ὁ ποιητής. ἄτοπον δὲ οὕτω καταφρονεῖν καὶ μὴ χρῆσθαι μίτρᾳ, ὅπου καὶ Ἄρης ταύτῃ χρῆται. οἱ δὲ τοὺς ἅμα θώρακι συνηρτημένην ἔχοντας μίτραν. οἱ δὲ οὐκ ἐπὶ πάντων τὸ ἐπίθετον ἀλλ' ἐπὶ τῶν ἀνῃρημένων, οἷον ἐπεὶ εἶδεν αὐτοὺς ἀμιτροχίτωνας γεγενημένους διὰ τὸ ἐσκυλεῦσθαι.

B= 422. ⟨νῦν⟩ θοοὶ ἔστε] ἀγαθοὶ ⟨καὶ ταχεῖς εἰς τὸ⟩ πολεμεῖν γίνεσθε, ὡς τὸ "νῦν τοι ἐελδέσθω πόλεμος κακός, εἰ θοός ἐσσι"

B= (494). §. καιρίως δὲ κεῖται τὸ "νῦν," οἷον 'εἰ καὶ πρότερον ἐφεύγετε, νῦν ἐπιστρέψατε ἑαυτούς.'

B= 423. ἀντήσω γὰρ ἐγώ] ἐναντίος ἥξω. ἀνύσιμοι δὲ αἱ ἐκ τῶν πονούντων παραινέσεις.

ὄφρα δαείω] οἶδε μέν, ὅτι οὐκ Ἀχιλλεύς· ἀγνοεῖ δέ, εἰ Πάτροκλός ἐστιν.

427. ἔκθορε] κατὰ τὸ σιωπώμενον ἐπιβέβηκε τῷ ἅρματι.

B– 428. ὥς τ' αἰγυπιοί] πρὸς τὸ ἰσοδυναμοῦν τῶν ἀντιμαχομένων τῇ εἰκόνι κέχρηται, ἐνδείξασθαι βουλόμενος ὅτι ὅμοιοι ἦσαν οἱ συνιστάμενοι· διόπερ οὐχ ἑτερογενῆ ὄρνεα ὑποτίθεται.

4, 5. τίσιν ἐπιτρέχει B: τίνας ἐπιτρέχων ‖ 5. supplevi ex B ‖ 6. τὸ Bekker: ὁ ‖ 7. τὸ π. scripsi: ὁ π. ‖ 9. νῦν ἴδεν ‖ 12. καλῶς W: καὶ ὡς ‖ 13. Πατρόκλῳ B: Ἀχιλλεῖ (in fine lineae) κλῳ (in initio sequentis lineae) ‖ 16. οὕτως ‖ 17. ὅπου γε B ‖ αὐτῇ B ‖ 19. ὅτι εἶδεν B, ἐπεὶ οἶδεν ‖ 21. supplevi ex B ‖ 24. ἑαυτούς B: αὐτούς ‖ 32. ἑτερογενῆ W: ἑτεροῖον ἢ

Digitized by Google

ἀγκυλοχεῖλαι] παρὰ σύνθεσιν ἐκ τοῦ ἀγκυλόχειλος, ἢ ὡς τὸ "δωδεκέται" παρὰ Κρατίνῳ (fr. 406 K.).

429. πέτρῃ ἐφ' ὑψηλῇ μεγάλα κλάζοντε] ἄκρως τὸ ὁμοίωμα παρετήρησεν· οὐ γὰρ ἀφώνως συμβάλλει τὰ ζῷα ταῦτα εἰς μάχην· φησὶ γοῦν καὶ Ἀλέξανδρος ὁ Μύνδιος μετὰ βοῆς ἐπὶ πετρῶν ταῦτα μάχεσθαι. A=B–

430. κεκλήγοντες] ὡς λέγοντες· ἐν δὲ τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου "κεκληγῶτες·" οὕτω καὶ αἱ πλείους· οὐ γὰρ ἀναγκαῖον τὸ Αἰολικόν, μέτρου μὴ ἐπείγοντος. A+

431. τοὺς δὲ ἰδὼν ἐλέησε] ἅμα μὲν ἵνα διάστημα γένηται ἀπὸ τῆς μάχης ἐπιβάλλει ταῦτα ὁ ποιητής—οὐδὲ γὰρ ἄξιον ἦν Διὸς υἱὸν ὄντα τὸν Σαρπηδόνα ἀνεπισημάντως ἀναιρεθῆναι—ἅμα δὲ προσοχὴν ἐργάζεται τῇ τοῦ μονομαχίου σκέψει. B=

432. Ἥρην δὲ προσέειπε] παρὰ Ζηνοδότῳ οὐκ ἦν ὁ διάλογος τῆς Ἥρας καὶ τοῦ Διός· πῶς γάρ, φησίν, ἐν τῇ Ἴδῃ εὕρηται ἡ θεός; οἳ δὲ ὡς ἠκούσης αὐτῆς εἰς Ἴδην κατὰ τὸ σιωπώμενον, ἵνα μετὰ τοῦ Διὸς σκέψηται τὰ περὶ τῶν Ἑλλήνων, ὡς ἤδη τοῦ Διὸς μεταβεβλημένου τῷ γεγενῆσθαι ἃ ἠξίωσεν ἡ Θέτις. A+

433. ὤ μοι ἐγών] οὐ μεμπτέον τὸν ποιητήν· ἢ γὰρ ἀφιέναι δεῖ τὴν συγγένειαν τῶν θεῶν τὴν πρὸς ἀνθρώπους ἢ τὰ ἑπόμενα αὐτῇ λέγειν· ἅμα δὲ καὶ παιδευτικὴ ἡ τοῦ Διὸς ὀλόφυρσις διδάσκοντος τοῦ ποιητοῦ, ὅτι καὶ θεοὶ τῇ εἱμαρμένῃ ἐμμένουσιν· δεῖ οὖν καὶ τοὺς ἀνθρώπους τὰς εἱμαρμένας φέρειν γενναίως. B–

436. ἤ μιν ζῳόν] τὸ μὲν πρῶτον ἡ ὀξυτονητέον, τὸ δὲ δεύτερον (438) περισπαστέον. A=

438. ἢ ἤδη] τὸ ἑξῆς "ἢ ἤδη—δαμάσ⟨σ⟩ω·" οὐ γὰρ τοῦτο σκέπτεται ὁ Ζεύς, εἰ ὕστερον ὑπὸ Πατρόκλῳ δαμάσει τὸν Σαρπηδόνα, ἀλλ' εἰ 'ἤδη δαμάσει,' τουτέστι 'νῦν ὑπὸ Πατρόκλῳ δαμάσει.' B=

441. πεπρωμένον αἴσῃ] κεκριμένον τῇ μοίρᾳ. AB= §. εὐπρεπῶς δὲ πάλιν ἀντιλέγει, οὐ διὰ τὴν πρὸς βαρβάρους ἀπέχθειαν τἀναντία συμβουλεύειν προσποιουμένη, ἀλλὰ διὰ τὸ καθόλου καθῆκον. B=

445. αἴ κε ζῳόν] "ζών" ἀπὸ τῆς "ἢ κεν ζὼς ἀμενηνὸς ἔᾳ" (Il. 5. 887). A+ §. ἔστι δὲ αὐτοῦ μητρυιά· σύμμαχος δὲ Ἑλλήνων ἡ Ἥρα.

2. δεδόκεται: corr. Meineke ‖ 3. κλάζοντες ut textus ‖ 4. ἀφώνως W: ἀφανῶς ‖ 8. κεκληγῶτες A: -ότες ‖ 14. schol. scriptum post schol. v. 450 ‖ 19. ἀφιέναι δεῖ W: ἀφίησι δὴ ‖ 21. ἅμα W: ἀλλὰ ‖ 27. σκέπτεται B: βούλεται ‖ 29. αἴσῃ B: ἐστιν ‖ κατακεκριμένον A ‖ 32. κε ζωόν etiam textus ‖ 33. μητρυιά Bekker: -ᾷ ‖ Ἥρα scripsi: μοῖρα

* δόμονδε] ὡς οἴκονδε.

B= 446. μή τις ἔπειτα θεῶν] ἰσχυρότατα ἀντιλέγει· μιμήσεσθαι φάσκουσα καὶ τοὺς ἄλλους τὴν Διὸς διάθεσιν· χρὴ γὰρ ὑπόδειγμα ὥσπερ τοῖς ὑπηκόοις εἶναι τὸν βασιλέα. ἔστιν οὖν τὸ κατὰ παράθεσιν ἐνθύμημα.

B= 449. υἱέες ἀθανάτων] Ἰάλμενος Ἄρεος, Μενέσθιος Σπερχειοῦ, Εὔδωρος Ἑρμοῦ, Ἀχιλλεὺς Θέτιδος, Αἰνείας Ἀφροδίτης.

B= 450. ἀλλ' εἴ τοι φίλος ἐστί] δεξιὸν τοῦτο τῷ ἀποθύμια διαλεγομένῳ τὸ μέν τι ἀνατρέπειν, τὸ δὲ χαρίζεσθαι· ἁρμόδια δὲ καὶ ταῦτα τῇ μητρυιᾷ· συγχωρεῖ γὰρ τὸ μηδὲν ἐκεῖνον ὠφελοῦν.

457. τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων] ἀπόχρη ἄρα τάφος καὶ στήλη τοῖς τεθνεῶσιν· καὶ μὴ περιεργάζου πλέον.

458. οὐδ' ἀπίθησε πατήρ] διδασκαλικὸν τὸ καὶ τὸν Δία φέρειν τὴν εἱμαρμένην.

B= 459. αἱματοέσσας δὲ ψιάδας] ἁρμόδιος ἡ τερατεία, ἐφ' ἥρωι τοιούτῳ καὶ πατρὸς πενθοῦντος Διὸς τὸ τὸν κόσμον μόνον οὐχὶ συνάχθεσθαι.

B= 460. παῖδα] ἀπήρκεσεν αὐτῷ τὸ ὄνομα πρὸς ἔνδειξιν τῆς τοῦ θεοῦ διαθέσεως.

* ἔμελλεν] ἐῴκει.

B= 463. ἔνθ' ἤτοι Πάτροκλος] χαρίεν τὸ πρὸ τῆς ἀναιρέσεως προαγῶνά τινα γενέσθαι· ὃ μὲν γὰρ βάλλει τὸν θεράποντα, ὃ δὲ τὸν Πήδασον.

ἄλλως: ἔνθ' ἤτοι Πάτροκλος] κατ' ἀρχὴν πολλάκις ἀποτυγχάνοντας ποιῶν τοὺς βάλλοντας ἐναγώνιον ποιεῖ τὸν ἀκροατήν.

B= 465. νείαιραν ⟨κατὰ γαστέρα⟩] ἀπὸ τοῦ τὰ σιτία νεῖσθαι δι' αὐτῆς· οὐδαμοῦ γὰρ ἐπὶ τοῦ ἐσχάτου χρῆται τῷ ἐπιθέτῳ.

ἄλλως: γράφεται "νέαιρα." §. νέω νέαιρα, ὡς χέω χέαιρα "ἰοχέαιρα."

A+ 467. δεύτερος ὁρμηθείς] οἱ ὑπομνηματισταὶ "δεύτερον" διὰ τοῦ ν̄.

A+ ὃ δὲ Πήδασον οὔτασεν] οὐτάσαι τὸ ἐκ χειρὸς τρῶσαι. ἐνταῦθα δὲ ἐπὶ τοῦ βαλεῖν τῷ ῥήματι κέχρηται· λέγει γὰρ "Σαρπηδὼν δ' αὐτοῦ μὲν ἀπήμβροτεν" (466), ὅπερ ἐπὶ τῶν ἀφιέντων τάσσεται· διὸ καὶ γράφει Ἀρίσταρχος "ὃ δὲ Πήδασον ἀγλαὸν ἵππον, τόν ῥα ποτ'

6. Ἄρεως ‖ 13. διδασκαλικὸν W: διδακτὸν ‖ 22. γίνεσθαι B ‖ 27. γρ. νέαιρα corruptum ‖ ὡς ante νέω omisi ‖ 33. ῥ' ἀπό τ'

Digitized by Google

Ἠετίωνος ἑλὼν πόλιν ἤγαγ' Ἀχιλλεύς, ⟨ὃς⟩ καὶ θνητὸς ἐὼν ἕπεθ' ἵπποις ἀθανάτοισι, τὸν βάλε δεξιὸν ὦμον.”

οὔτασ⟨εν⟩ ἵππον] δοκεῖ συγκεχύσθαι ἐνθάδε τὸ βαλεῖν καὶ ⟨τὸ⟩ οὐτάσαι· καὶ ὁ μὲν Ἀρίσταρχος οὕτως ἀφῆκε τὸ ἄπορον, ὁ δὲ Φιλήμων “ἤλασεν” γράφει· καὶ ἐπὶ τοῦ βαλεῖν γὰρ κεῖται τὸ ἐλάσαι, ὡς ἐκεῖ· “καὶ βάλεν Ἀρήτοιο κατ' ἀσπίδα—ἡ δ' οὐκ ἔγχος ἔρυτο—νειαίρῃ δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασ⟨σ⟩εν” (Π. 17. 517). A+

468. αἴσθων] αἴω αιστός αἴσθω, ὡς βιβάζω βιβαστός βιβάσθω. A+

469. μακών] εἰς μῆκος ἐκταθείς, ἢ βοήσας.

470. κρίκε] καὶ “κρίγε” καὶ “τρίγε.” ἄντα δὲ τῶν κατὰ μίμησιν. B− §. γραφικῶς δὲ ἔδειξε τὸν μὲν παρήορον κείμενον, τὰς δὲ ἡνίας συγκεχυμένας, τοὺς δὲ ἵππους διεστηκότας, τὸν δὲ ζυγὸν ἠχοῦντα τῇ παρατρίψει. B=

.* κρίκε] ἠχῆσαι ἐποίησεν.

471. * παρήορος] ὁ παρῃωρημένος ἵππος.

472. τοῖο μὲν Αὐτομέδων] θέλουσιν ἐμβεβηκέναι Πάτροκλον τῷ δίφρῳ, ἵνα κινδυνεύων καταπεσεῖν ἀναιρῇ τὸν Σαρπηδόνα.

τοῖο μέν] τοῦ ⟨μὴ⟩ ἀπευθυνθῆναι τοὺς ἵππους ἢ τοῦ συγχυθῆναι τὰ ἡνία.

474. αἴξας ἀπέκοψε] ἐνέφηνε τὴν συντομίαν διὰ τοῦ ῥήματος· ἐπὶ δὲ Νέστορος τῷ παρατατικῷ κέχρηται “ὄφρ' ὁ γέρων ἵπποιο παρηορίας ἀπέτεμνεν” (Il. 8. 87)· καὶ ἐπ' ἐκείνου μὲν “φασγάνῳ αἴσσων” (ib.) φησίν, ἐπὶ δὲ τοῦ Αὐτομέδοντος “αἴξας.”

οὐδὲ μάτησεν] οὐκ εἰς μάτην δὲ διεπράξατο.

475. τὼ δ' ἰθυνθήτην] οὐχ ὡς αἰτίαν τῆς συνόδου τῶν ἡρώων τὸ ἰθυνθῆναι παρέλαβε τοὺς ἵππους—οὐ γὰρ ἐπὶ τῶν ἁρμάτων μάχονται—ἀλλὰ ⟨τὰ⟩ περὶ τοὺς ἵππους διηγησάμενος ἐπὶ τὰ περὶ τὸν Πάτροκλον μεταβαίνει λέγων “τὼ δ' αὖτις ξυνίτην” (476). B=

* ἰθυνθήτην] εἰς ὀρθὸν κατέστησαν. B−

* ῥυτῆρσι] ἑλκυστηρίοις. §. γράφεται καὶ “ῥυτῆρι” ἑλκυστηρίῳ. “ἀκοντιστὰς ⟨ἠδὲ⟩ ῥυτῆρας ὀιστῶν” (Od. 18. 262)· “οἷόν τε ῥυτῆρα βιοῦ τ' ἔμεναι” (Od. 21. 173). B+

481. * ἔβαλε] ἐπέτυχε.

1. suppl. Heyne ex v. 154 ‖ 5. τὸ οὐτάσαι cf. A ‖ 6. ὡς ἐκεῖ ἔβ. ‖ ἀρίτοιο ‖ ἔροιτο ‖ 12, 13. τὸ et ἠχοῦν B ‖ 13. τῇ παρατρέψει (-ίψει corr. Bekker) post ἠχοῦν add. B : ante θελ. l. 17 ‖ 27. supplevi ex B ‖ ἐ. τὰ B : ἐ. τοὺς ‖ 31. ἀκοντιστὰς scripsi : ἀντὶ ‖ ῥυτῆρος ὀιστόν ‖ 32. ἔμμεναι



Digitized by Google

B= φρένες] τὸ ὑπὸ πνεύμονα διάζωμα τοῦ θώρακος. τοῖς δὲ τὰς φρένας τρωθεῖσιν ἕπεται ἐρεύγεσθαί τε μεῖζον καὶ μεγάλας τὰς ἐκπνοὰς ποιεῖσθαι.

B– ἔρχαται] εἰργμέναι εἰσίν. αἱμορραγίας οὖν γενομένης θνήσκει· θάτερον γοῦν μέρος τοῦ πνεύμονος τὴν ἐκ τῶν ὑμένων ἔχει σκέπην καὶ ἔστιν ἀπαθές· διὸ φθέγγεται.

ἄλλως: φρένες ἔρχαται] ἐκ τοῦ εἴργω τὸ κωλύω.

B= ἀδινὸν κῆρ] πυκνόν, παρὰ τὸ ἄδην. κέαρ δέ φησι τὴν καρδίαν· πυκνὴ δὲ αὕτη καὶ νευρώδης κατ' οὐσίαν.

* κῆρ] τὴν καρδίαν.

486. * βεβρυχώς] τινὲς διὰ τοῦ κ̄, κακῶς.

B= 487. ἠύτε ταῦρον] ἡ πρώτη εἰκὼν πρὸς τὸ πτῶμα καὶ τὴν ἐπὶ πολὺ ἔκτασιν, ἡ ⟨δὲ⟩ δευτέρα πρὸς τὴν στοναχήν. ἅμα δὲ καὶ παραβέβληται τῇ τοῦ Σαρπηδόνος πρὸς τοὺς ἄλλους Τρῶας ὑπεροχῇ ἡ ταύρου ἐν ἀγέλῃ βοῶν.

* μετελθών] ἐπελθών.

A+ 488. * ἐν εἰλιπόδεσσι] γράφεται "ἐπ' εἰλιπόδεσσι·" αἱ δὲ πλείους διὰ τοῦ ν̄ "ἐν εἰλιπόδεσσι."

A+ 491. * μενέαινε] τὸ μένος ἠφίει, ἐλιποθύμει.

492. πέπον ⟨πολεμιστά⟩] ἄμεινον γράφειν "πάρος πολεμιστά" ἀντὶ τοῦ "πέπον·" ἀντίκειται γὰρ τῷ "νῦν σε μάλα χρή."

B= 494. ἐελδέσθω] ἐν ἐπιθυμίᾳ γινέσθω.

B= πόλεμος κακός] τινὲς "θρασύς" γράφουσιν· πῶς γὰρ ἂν προτρέπων αὐτὸν πολεμεῖν κακὸν εἶπε τὸν πόλεμον;

* θοός] ἀγαθός, δραστικός.

A+ 496. Σαρπηδόνος] ἀντὶ τοῦ ἐμοῦ, ὡς "Νέστορί τ' ἀνδρῶν" (Il. 11. 761).

A+ 497. περιμάρναο] ὑφ' ἓν Ἀρίσταρχος· δύναται δὲ διχῶς ἀναγινώσκεσθαι ἡ πρόθεσις.

B= 498. κατηφείη καὶ ὄνειδος] αἴτιος αἰσχύνης καὶ ὀνείδους. §. ἐνάB= ρετος δὲ ὁ ἥρως οὐ τὸν θάνατον αἰδούμενος ὅσον τὸ ⟨τὰ⟩ λάφυρα καταλεῖψαι τοῖς πολεμίοις.

B= 500. νεῶν ἐν ἀγῶνι] ἄμεινον παροξυτόνως ἀναγινώσκειν τὸ

2. τε Eust: τὸ ut B ‖ μεῖζον B Eust.: μᾶλλον ‖ 13. supplevi ex B ‖ 15. ὡς ταύρου ut B ‖ 19. ἐλιποθύμει A: ἐλειπυθύμει ‖ 31. ὅσον scripsi: ἀλλὰ B, οἷον ‖ supplevi ex B

Digitized by Google

"νέων·" οὐ γὰρ παρὰ ταῖς ναυσίν ἐστιν ὁ κίνδυνος νῦν. ἔστιν οὖν ὅμοιον τῷ "νέων δ' ἀλάπαζε φάλαγγας" (Il. 11. 503).

ἄλλως: νεῶν ἐν ἀγῶνι] τῷ ἀθροίσματι τῶν νεῶν· οἱ δὲ τῇ περὶ A+B= τῶν νεῶν μάχῃ.

502. τέλος θανάτοιο] τὸ ἀποπνεῦσαι· καὶ διαλεγόμενος γὰρ B= τελευτᾷ.

503. * ὀφθαλμοὺς ῥῖνάς τε] ὄψιν καὶ ἀναπνοήν.

504. ἕλκε—ποτὶ δὲ φρένες ⟨αὐτῷ ἕποντο⟩] "ἕλκε" "ποτί" A+ "ἔχοντο·" οὕτω γραπτέον τὰ τρία.

ποτὶ δὲ φρένες αὐτῷ ἕποντο] τὰς σωματικὰς λέγει φρένας· κατ' B= ἐκεῖνο γὰρ καὶ γέγονεν ἡ πληγή. τῷ δόρατί φησιν ⟨ἐξ⟩ελκομένῳ οἱ ὑμένες ἐνείχοντο τοῦ διαφράγματος.

507. λίπον ἅρματα] "λίπεν" διὰ τοῦ ε· τὸ γὰρ ἑξῆς ἐστιν, A+B= ἐπειδὴ τὰ ἅρματα ἐλείφθησαν τῶν ἀνάκτων, ὅ ἐστιν ἠρημώθησαν τῶν δεσποτῶν.

508. ἀίοντι] παρατατικῇ φωνῇ ἀντὶ συντελικῆς, ἀντὶ τοῦ ἀκούσαντι. A~B=

510. ἐπίεζε] διὰ τοῦ ε· "χερσὶ στιβαρῇσι πίεζον" (Od. 12. 174)· "ἐπὶ μάστακα χερσὶ πίεζεν" (Od. 4. 287).

511. ὅ δή μιν Τεῦκρος] "Τεῦκρος δὲ Γλαῦκον, κρατερὸν παῖδ' Ἱππολόχοιο, ἰῷ ἐπεσσύμενον βάλε τείχεος—ᾗ ῥ' ἴδε γυμνωθέντα βραχίονα, παῦσε δὲ χάρμης" (Il. 12. 387, 9).

515. πάντοσ' ἀκούειν] Ἀρίσταρχος τὸ πλῆρες 'πάντοσε,' Ζηνό- A−B+ δοτος "πάντ' ἐσακούειν," τινὲς δὲ "πάντοθι·" οἱ δὲ ὡς τὸ "πεύθετο γὰρ Κύπρονδε" (Il. 11. 21)· ὅταν ἐκ τόπου εἰς τόπον ἀφικνουμένης φήμης ἄφιξιν δηλοῖ, τῷ εἰς τόπον χρῆται.

516. ἀνέρι κηδομένῳ] ἀντὶ τοῦ 'ἀνέρος·' "Ἀχιλλῆος ὀλοὸν κῆρ—δερκομένῳ" (Il. 14. 139)· "τῆς δ' αὐτοῦ λύτο γούνατα—σήματ' ἀναγνούσῃ" (Od. 23. 205).

518. οὐδ' ἐμοὶ αἷμα] οὐ δύναται ξηρανθῆναι τὸ αἷμα. ἀλλαχοῦ B− δὲ τὴν ξηρασίαν φησὶν ὀδύνης ⟨ποιητικήν⟩. "τέρσετο, ⟨παύσατο⟩ δ' αἷμα, ὀξεῖαι δ' ὀδύναι δῦνον μένος" (Il. 11. 267).

1. ἐστὶν B: ἔσται ‖ 5. ἀποπνεῦσαι B: διαπνεῦσαι ‖ 6. τελευτᾷ B: ἐτελεύτα ‖ 8. εἷλκε textus Il. ‖ ποτὶ etiam textus Il. ‖ 11. supplevi ex B ‖ 20. ᾗ ῥ' ‖ 23. πάντες ἀκούειν ut A: corr. Ribbeck ex B ‖ 25. ἡ ante φήμης delevi ‖ 26. Ἀχ. ἕλε κῆρ ‖ 29. schol. scriptum post schol. v. 523 ‖ ἄλλως lemmati praefixum omisi ‖ οὐδ' ἐμοὶ ἕλκος ‖ 30. prius supplevi ex B ‖ 30, 31. τέρσετο—μένος ab antecedentibus separata et τέρσετο δ' αἷμα pro lemmate praescripta



Digitized by Google

A + 522. ᾧ παιδὶ ἀμύνει] "οὗ παιδὸς ἀμύνει" οὕτως ἡ γραφή· καὶ λείπει ἡ περί

523. ἕλκος ἄκεσσαι] Ἀρίσταρχος ἀπαρέμφατόν φησιν, ἀγνοῶν ὅτι τὸ ἀκῶ ἐνεργητικῶς οὐδέποτε ἔκλινεν ὁ ποιητής, ἀλλ' ἢ παθητικῶς ἢ μέσως· ἔστιν οὖν προστακτικόν.

B = 527. τοῦ δ' ἔκλυε] ἀντὶ τοῦ ἐπήκουσεν· οὐδέποτε γὰρ ψιλῶς ἐπὶ τοῦ ἀκοῦσαι τάσσει τὸ ῥῆμα.

B = 530. ἔγνω—ἐνὶ φρεσί] τὸ γὰρ παραυτίκα παύσασθαι τὴν ὀδύνην καὶ μένους αὐτὸν ἐμπλησθῆναι προφανῶς θεῖον ἦν.

B = 532. πρῶτα μὲν ὤτρυνεν] ὑπεκκαύματα τῷ πολέμῳ πάλιν δίδωσιν ὁ ποιητής.

A + 542. εἴρυτο] δύναται ἀπὸ τῶν εἰς μι εἶναι· διὸ ἐξετάθη.

B = δίκῃσί ⟨τε⟩ καὶ σθένεϊ] ταῦτα γὰρ σῴζει, τὸ μὲν πόλιν καὶ οἰκήτορας, τὸ δὲ ἀπεῖργον τοὺς πολεμίους. Αἰσχύλος (fr. 372 N.) "ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη, ποία ξυνωρὶς τῶνδε καρτερωτέρα;" τὴν δὲ δίκην προέταξεν ὡς μᾶλλον βασιλεῖ συμφέρουσαν.

B − 544. ἀλλὰ φίλοι] ἀπὸ τῶν ὀνειδιστικῶν ⟨λόγων⟩ εἰς τοὺς δεητικοὺς ἧκε καὶ ἀπὸ τῶν περὶ τὸν Ἕκτορα ἐπὶ τὸ πλῆθος τὸν λόγον μετήνεγκεν, ὡς τὸ "Ἀτρεΐδη, νῦν δή σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ πᾶσιν ἐλέγχιστον θέμεναι," εἶτα ἑξῆς "τλῆτε, φίλοι, καὶ μείνατε" (Il. 2. 299).

B = 547. τοὺς—ἐπέφνομεν] παλαιᾶς ἀνδραγαθίας ὑπέμνησεν, ὅπως μὴ ἀπολέσωσιν αὐτὴν τοῖς νῦν.

A + B − 548. κατὰ κρῆθεν] ἀπὸ τοῦ καρή ὀξυνομένου, ὅπερ ὁ μὲν ποιητὴς οὐκ οἶδεν, οἱ δὲ ἄλλοι πάντες, καρῆθεν ἦν τὸ ἀνάλογον, καὶ κατὰ συγκοπὴν "κρῆθεν·" δύναται καὶ ἀπὸ τοῦ κάρητος καρήτοθεν κάρηθεν "κρῆθεν·" Ἡσίοδος "τῆς καὶ ἀπὸ κρῆθεν" (Scut. 7). τινὲς "ἄκρηθεν," ἐπεί φησι "μέγα κῦμα κατ' ἄκρης" (Od. 5. 313)· "ὤλετο πᾶσα ⟨κατ' ἄκρης⟩" (Il. 13. 772).

A = B − 549. *ἕρμα] τὸ σήκωμα τῆς νεὼς πρὸς τὸ μὴ ἀνατρέπεσθαι ἐν τῷ πλεῖν· νῦν οὖν τούτου ἀποθανόντος ἀνετράπη ἡ Ἴλιος. οἱ δὲ τὸ ὑποστήριγμα· ὅθεν καὶ Πίνδαρος "ἔρεισμ' Ἀκράγαντος" εἶπε τὸν Θήρωνα (Ol. 2. 6)· ῥητορικῶς οὖν αὔξει τὸν οἶκτον, ἐπιμαρτυρῶν τῷ ἀποθανόντι.

B = 557. οἷοί περ πάρος ἦτε] προθυμίαν πρὸς τοὺς πόνους ἐργάζεται ἡ μαρτυρία τῶν πρόσθε πονηθέντων.

4. ἔκλινεν Bekker : ἔκρινεν ‖ 14. post οἰκ. supple ex. gr. συνέχον ‖ 16. προτάσσει B ‖ 18. περὶ W : πρὸς ‖ 23. κάρη ‖ 24. κάρηθεν ‖ 30. πλεῖν Eust. : πεσεῖν ut A ‖ ἀνατραπήσεται B ‖ 31. ἔρεισμα ut A ‖ 33. περ B : τε

Digitized by Google

558. ὃς πρῶτος ἐσήλατο] τῶν πεπραγμένων αὐτῷ ὑπομιμνήσκει πρὸς ἀμύνης ὑπόμνησιν. πῶς δέ φησιν ἀλλαχοῦ "Πριαμίδῃ, ὃς— ἐσήλατο" (Il. 12. 437); ἢ ἑκάτερος τῆς ἰδίας φάλαγγος πρῶτος. B=

§. Πορφύριος δὲ ψιλοῖ τὸ "ἐσήλατο" καὶ ἐκδέχεται τὸ ἐσάλευσε, ἀπὸ τοῦ σάλω· ὅθεν καὶ ὁ σάλος· τοῦτο δὲ σπανίως εἴρηται· οἱ δὲ 'ἔβλαψεν' ὑπερβολικῶς. A~

559. ἀλλ' εἴ μιν ἀεικισ⟨σ⟩αίμεθα] ὅπερ σπεύδει δρᾶσαι, τοῦτο αὐτὸς κινδυνεύει παθεῖν ὑφ' Ἕκτορος, ὡς κἀκεῖνος ὑπ' Ἀχιλλέως· οὕτω τὰ τῆς Ἀδραστ⟨ε⟩ίας ἐνδείκνυται. πῶς δὲ μείλιχον ὑποστησάμενος τὸν ἄνδρα ἦθος αὐτῷ νῦν περιέθηκεν ὠμὸν τῷ θέλειν λυμήνασθαι σῶμα ἀναίσθητον; ἴσως οὖν τὸ προκείμενον ἀπολογία ἐστὶ τῆς ὠμότητος "ὃς πρῶτος ἐσήλατο" (558), καὶ χαλεπαίνει δικαίως τῷ πρῶτον εἰς τὸ τεῖχος εἰσθορόντι. B=

ἄλλως: ἀλλ' εἴ μιν ἀεικισσαίμεθα] "εἴ μιν" ἀντὶ τοῦ εἴθε. §. Ἀρίσταρχός φησι λείπειν τὸ 'καλῶς ἂν γένοιτο.' A=

561. αὐτοῦ ἀμυνομένων] αὐτοῦ πέρι, ἢ ἐνταῦθα τοπικῶς. A+

564. Τρῶες καὶ Λύκιοι] Τρῶες Ἀχαιοῖς, Λύκιοι Μυρμιδόσιν ἀνθίστανται.

567. νύκτ' ὀλοήν] σκότον, "ὀρώρει δ' οὐρανόθεν νύξ" (Od. 5. 294). καὶ ἐπὶ Πατρόκλῳ "ἐπεὶ οὐδὲ Μενοιτιάδην ἤχθαιρε" (Il. 17. 270). ἐπ' αὐτῷ δὲ δεινὴν τὴν μάχην ἤγειρεν· μόνος γὰρ ἐν ἀμφοτέροις τοῖς στρατοῖς υἱὸς Διός. B=

569. ὦσαν δὲ—Τρῶες—Ἀχαιούς] πιθανῶς, ὡς μὴ πάντα τοῖς Ἕλλησι καταχαρίζεσθαι δοκοίη· γενομένης οὖν τῆς Γλαύκου προτροπῆς εἰκὸς συστραφῆναι ὡς ἂν περὶ μειζόνων ἀγωνιζομένους. B=

ἑλίκωπας] πρὸς οὓς ἑλίσσομεν τοὺς ὦπας. B+

572. ἐν Βουδείῳ] τὸ Βούδειον πόλις Φθιώτιδος, ἀπὸ Βουδείου τοῦ Ἄργου ὠνομασμένη. πῶς δ' ἂν ἱκέτευε τὸν βασιλέα τῆς ἑαυτοῦ πόλεως; οὐ γὰρ ἦν ἔθος τοῦτο· ἴσως οὖν ἀπὸ Βουδείας τῆς ἀπ' Ὀρχομενοῦ τῆς Βοιωτίας, μητρὸς Ἐργίνου· ἐπώνυμος ἦν πόλις ἐν τῇ Βοιωτίᾳ τὸ Βούδειον. AB–

576. Ἴλιον εἰς εὔπωλον] ἡ "εἰς" ἀντὶ τῆς πρός. §. σημειωτέον B=

2. Πριαμίδης ὃς ‖ 8. ὡς B : ὁμοίως ‖ 9. supplevi ex B ‖ 10. τὸ θ. B ‖ 11. ἴσως scripsi : πῶς ‖ 11, 12. ἐστὶ τῆς B : ἐστὶν ‖ 15. αἱ Ἀριστάρχου A ‖ 19. ὠρώρει ‖ 20. Πατρόκλῳ B : -ου ‖ ἤχθαιρε B : ἤχθειρε ‖ 23. Ἀχαιοῖς ‖ 24. γὰρ pro οὖν B ‖ 25. ἀγωνισομένους B ‖ 26. ἑλίκωπες ‖ 27. Φθιῶτις B ‖ 29, 30. ἀπ' Ὀρχομενοῦ W : ἀποκτίμενον

Digitized by Google

B= δὲ ὅτι ἕως τῆς ἐπὶ Ἴλιον στρατείας συνῆν Θέτις Πηλεῖ. §. "ἱκέτευσε" (574) δέ, ἱκέτης ἦλθεν. τὸ ἥμερον δὲ Πηλέως δείκνυται ἀπὸ Πατρόκλου (Il. 23. 88) Φοίνικος (Il. 9. 480) καὶ τούτου.

B= 581. Πατρόκλῳ δ' ἄρ' ἄχος γένετο] δριμυτέραν τὴν μάχην ποιεῖ, οὐ τὸν τυχόντα ποιῶν ἀναιρούμενον, ἀλλ' ἑταῖρον Πατρόκλου, ἵν' ἐπὶ τούτῳ πλέον χαλεπήνῃ.

B= 582. ἴρηκι ἐοικώς] πρὸς τὴν ὁρμὴν καὶ τὸν ἀπ' αὐτοῦ γενόμενον φόβον τοῖς πολεμίοις. εἶτα παρέλαβεν ἐπὶ τῶν φευγόντων τὰ ἀγεληδὸν ἱπτάμενα τῶν ὄρνεων καὶ εὐκαταφρόνητα, κολοιοὺς καὶ ψᾶρας (583).

583. ψῆρας] διὰ τὸ κακόφωνον οὐ ψᾶρας, ἐκεῖ δὲ (Il. 17. 755) "ὥς τε ψαρῶν" καὶ "αἶψ' ἀγξηράνῃ" (Il. 21. 347)· οὗ δὲ "θερμήνῃ" (Il. 14. 7) φησίν.

B+ 589. αἰγανέης] διὰ τὸ εἰς αἶγας κεῖσθαι· "ὦρσαν δὲ νύμφαι— αἶγας ὀρεσκῴους—καὶ αἰγανέας—εἱλόμεθα" (Od. 9. 154, 7).

B= αἰγανέης ταναοῖο] τεταμένης. §. οὐ βούλεται δὲ τοὺς Τρῶας τέλεον B= φεύγειν· διὸ εἴληφε σύμμετρον ἀκοντίου διάστημα βουλόμενος σημῆναι πόσον ὑπεχώρησαν.

A–B= 590. ἥν ῥά τ' ἀνὴρ ἀφέῃ] ἣν ἀφῇ ὁ ἀνὴρ ἐν ἄθλῳ πειρώμενος ἢ καὶ ἐν πολέμῳ οὐχὶ πειρώμενος ἔτι· τίς γὰρ ἂν πεῖρα ἐν πολέμῳ ⟨γένοιτο⟩; ἀλλὰ τὸ ⟨μὲν⟩ "πειρώμενος" ἐπὶ τοῦ ἐν ἀγῶνι μόνον βεβλημένου ἀκοντίου τέτακται, τὸ δὲ "ἠὲ καὶ ἐν πολέμῳ" πρὸς τὸ "ἀφέῃ," ἡ δὲ "ὑπό" ἀντὶ τῆς 'μετά,' ἢ πλεονάζει. τινὲς δὲ 'ὑπὸ δηίων πειραζόμενος.'

B= 593. Γλαῦκος δὲ πρῶτος] ποικίλως χρῆται τῇ τάξει· μετὰ γὰρ τὴν τοῦ Γλαύκου προτροπὴν ἄρχεται ⟨τοῦ⟩ ἔργου ὁ Ἕκτωρ ὡς ἂν ὑπερέχων (553), ἐν δὲ τῇ ὑποστροφῇ τὰ πρωτ⟨εῖ⟩α Γλαύκῳ περίκειται.

B= 594. ἐτράπετο] ἐδήλωσεν αὐτὸ ἑξῆς διὰ τοῦ "στρεφθεὶς ἐξαπίνης" (598). καινὸς δὲ ὁ τρόπος· ὁ ⟨γὰρ⟩ φεύγων ἐπιστραφεὶς κτείνει τὸν διώκοντα.

595. ⟨Βαθυκλῆα μεγάθυμον⟩ Χάλκωνος—υἱόν] Πρόδικος "ἀπὸ τῆς τοῦ χαλκοῦ κτήσεως καὶ Βαθυκλέα· εἰρήκει δὲ ἂν 'Χρύσωνος' ἀπὸ τῆς καλλίστης ὕλης."

ὃς Ἑλλάδι] Ἑλλὰς χώρα ὑπὸ Ἀχιλλεῖ.

10. οὐ scripsi : τοὺς ‖ 11. ὡς τὸ ψ. ‖ αἶψ' ἀγξ. scripsi : αὖ μιν ξ. ‖ οὗ W : οὐ ‖ 13. κεῖσθαι B : γενέσθαι ‖ πρὸς αἰγῶν ἄγραν ἐπιτηδείου D ‖ 14. ὀρεσκόους ‖ 15. πλέον B ‖ 17. σημᾶναι ut B ‖ 18. ἁ. ἀφείη ‖ ἢ καὶ sec. ut B : ἥκοι pr. ‖ 20. μόνου ‖ 20, 24, 25, 27. supplevi ex B ‖ 30. εἰρήκει W : εἴρηκεν ‖ 32. Ἀχιλλέως

601. στὰν δ' ἀμφ' αὐτόν] ἔστησαν περὶ τὸν Γλαῦκον ἐπιβοηθοῦντες τῷ προκαταρξαμένῳ τῆς ὑποστροφῆς. B=

604. * Λαόγονον] ὡς ὀρίγανον. A~

* θρασὺν υἱόν] γράφεται "φίλον υἱόν." τί γὰρ ἐποίησε θράσους;

606. ὑπὸ γναθμοῖο καὶ οὔατος] μεταξὺ τοῦ ὀστοῦ τῆς σιαγόνος καὶ τοῦ ὠτός. B=

611. πρόσσω γὰρ κατέκυψε] ὑπὲρ τοῦ ἀξιοπίστου τὸν μὲν Αἰνείαν ἐπιτυγχάνοντα πεποίηκεν—ἐπέτυχε γὰρ ἄν, εἰ μὴ κατέκυψεν ὁ Μηριόνης—καὶ τὸ τοῖς Ἕλλησι κεχαρισμένον διὰ τῆς Μηριόνου σωτηρίας. B=

612. οὖδει ἐνισκίμφθη] ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου οὐκ ἐφέρετο.

617. καὶ ὀρχηστήν περ ἐόντα] Κρῆτες γὰρ ἀσκοῦσι τὴν ἐνόπλιον ὄρχησιν· καὶ οἱ μὲν αὐτοῖς, οἱ δὲ Νεοπτολέμῳ, οἱ δὲ Μολοσσοῖς, οἱ δὲ Κάστορι, οἱ δὲ Διονύσῳ τὴν εὕρεσιν διδοῦσιν. ἄκρως δὲ ἐξεφαύλισε τὸ εὐκίνητον τοῦ ἀνδρὸς συνεπιστάμενος ἑαυτῷ, ὅτι αὐτὸς μὲν εὐστόχως ἀφῆκεν, διὰ δὲ τὴν ἐκείνου παρατροπὴν γέγονεν ἡ ἁμαρτία. βουλόμενος δὲ αὐτὸν ἐλαφρὸν εἰπεῖν τοῦτο παρατρέψας εἰς ὄρχησιν ἐχλεύασεν. A+B=

ἄλλως: καὶ ὀρχηστήν] ἔμπειροι γὰρ ὀρχήσεως Κρῆτες· ἀπὸ τῆς τῶν Κουρήτων μυθολογίας. B=

620. *χαλεπόν] ἀδύνατον· "χαλεπὸν δέ τ' ὀρύσσειν" (Od. 10. 305). B+

621. * πάντων ἀνθρώπων—ὅς] πρὸς τὸ σχῆμα. B=

σβέσ⟨σ⟩αι μένος] σβέσις γὰρ δυνάμεως ὁ θάνατος. ἔμψυχος οὖν ἡ μεταφορά, τὸ θάνατον εἰπεῖν σβέσιν δυνάμεως. B=

628. οὔ τοι Τρῶες ὀνειδ⟨ε⟩ίοις ἐπέεσσιν] ἀποτροπὴ τοῦ φιλολοίδορον εἶναι, ὅπου καὶ τοὺς πολεμίους οὐκ ἐᾷ λοιδορεῖν· διδάσκει δὲ δρᾶν αὐτούς, μὴ λέγειν κακῶς. B=

630. * ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ] καλὴ καὶ βραχυλόγος ἡ γνώμη.

633. ὥς τε δρυτόμων] πρὸς τὸ πᾶν ἁρμόζει ἡ παραβολή, πρός τε τὸν ἄναρθρον κτύπον, ἅμα δὲ καὶ τοῖς τεμνομένοις ὅπλοις τὰ τεμνόμενα σώματα εἴκασται, καὶ τὰ ξίφη τοῖς πελέκεσι παραβέβληνται. §. τὸ δὲ "ὀρώρει" οὐ δύναται κατὰ τῶν μαχομένων· B= A+

9, 10. τὴν σωτηρίαν M. B ‖ 12. ἔνοπλον A ‖ 21. δέ τ' Apoll. Soph. s. v.: δὲ γῆν ‖ 24. τὸ scripsi: τὸν ‖ 26. διδάσκει B: διδάσκειν ‖ 31. ἄναρθρον B: ἄθρουν ‖ 33. ὀρώρει etiam textus

Digitized by Google

ἐπάγει γὰρ "ὣς τῶν ὤρνυτο δοῦπος·" ἔστιν οὖν ἀνθ' ὑποτακτικοῦ τὸ "ὀρώρει."

A= * ὀρώρει] γράφεται "ὄρωρε."

A= 634. * ἀκουή] Ἀριστοφάνης "αὐτή."

A= 635. ὣς τῶν ὤρνυτο ⟨δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης] ψιλωτέον· παραγωγὴ γάρ ἐστιν, οὐ σύνθεσις ⟨τὸ "εὐρυοδείης"⟩.

636. χαλκοῦ τε ῥινοῦ ⟨τε⟩ βοῶν τε] περισσὸς ὁ εἷς "τέ."

B= ἄλλως: χαλκοῦ τε] τῶν χαλκῶν ἀσπίδων. "ῥινοῦ" δὲ τῶν ἀκατεργάστων βοῶν, ὅ ἐστι τῶν λαισηίων. §. ἄμεινον δέ φησιν Ἀρί-
A= σταρχος χωρὶς τοῦ "τέ" "βοῶν εὐποιητάων," ἵν' ᾖ 'ῥινοῦ βοῶν.'

B= * εὖ ποιητάων] τῶν εὖ γεγονυιῶν.

B= 638. φράδμων] ἔμπειρος, ἐπιστήμων, εἰδὼς καὶ ἐγνωκὼς τὸν Σαρπηδόνα ἀκριβῶς.

⟨οὐδ' ἂν ἔτι φράδμων περ ἀνὴρ⟩ Σαρπηδόνι δίῳ] ἵν' ᾖ 'τὶς συνήθης Σαρπηδόνι.'

B= 641. ὡς ὅτε μυῖαι] πρὸς τὸ πλῆθος καὶ ⟨τὸ⟩ πρόθυμον ἡ παραβολή.

B= 642. περιγλαγέας] περισσῶς γεγαλακτωμένας, ὅ ἐστι πληθούσας τῷ γάλακτι, ἢ περιβεβρεγμένας γάλακτι. §. πέλλα δὲ ξύλινον ἄγγος, ἀπὸ τοῦ πεπελεκῆσθαι.

B= 647. ἀμφὶ φόνῳ Πατρόκλου] τί δήποτε τιμήσειν ὑποσχόμενος τὸν βασιλέα μεῖζον ἔβλαψεν, ὡς λέγειν αὐτὸν "ἀλλὰ τί μοι τῶν ἦδος" (Π. 18. 80); ἢ μὴ δεόντως χρησάμενος τῇ παρὰ Διὸς δωρεᾷ ἀτυχεῖ· οὐ γὰρ ἀποχρῆν ἡγήσατο, εἰ μὴ τὸ πᾶν ἀπόλοιτο τῶν Ἀχαιῶν, καὶ τὰς λιτὰς οὐ προσήκατο.

648. ἢ ἤδη κἀκεῖνον] ἀντὶ τοῦ εἰ· ἐκ πλήρους δὲ ὁ "καί."

651. ἢ ἔτι καὶ πλεόνεσσιν] τοῦτον τὸν η̄ περισπαστέον.

B= 653. ὄφρ' ἠὺς θεράπων] πολλὴ ἡ εἰς Ἀχιλλέα τιμή, ὅπου καὶ τοῦ υἱοῦ φονέα ὄντα τὸν Πάτροκλον τιμᾷ διὰ τὴν Ἀχιλλέως τιμήν.

657. * φύγαδ' ἔτραπε] προσυπακουστέον 'ἵππους.'

B= κέκλετο δ' ἄλλο⟨υ⟩ς] τῷ ἔργῳ, οὐ τῇ φωνῇ, ὡς τὸ "Ἀργείων προκαλίζετο πάντας ἀρίστους" (Il. 3. 19). ἀγαθοῦ δὲ στρατηγοῦ τὸ εἴκειν θεῷ.

7. supplevi ex B ‖ 11. γεγονυιῶν B: γεγονότων ‖ 15. συνήθης etiam D ‖ 18, 19. πλ. γάλακτος B ‖ 19. πέλλη ‖ βεβρεγμένας καταπέλλα δὲ B, καταβεβρεγμένας πέλλα δὲ coni. Bekker ‖ 20. ἀπὸ τοῦ καταπεπελεκῆσθαι B ‖ 26. haec lineae 17 adhaerent: traieci et lemma distinxi

Digitized by Google

660. *ἴδον] ᾔσθοντο.

* δεδαϊγμένον] ἀντὶ τοῦ ‘νεκρόν.’ A+

663. οἱ δ' ἄρ' ἀπ' ὤμοιιν] εἰ γὰρ ἀσκύλευτον αὐτὸν ἔκλεψεν ᾿Απόλλων, οὐδ' ἂν ἐτόλμησαν ᾿Αχαιοὶ πρὸς τὸ τεῖχος ἐλθεῖν (698). B=

666. καὶ τότ' ᾿Απόλλωνα προσέφη] ὡς κατὰ τὸ σιωπώμενον εἰς ῎Ιδην ἀφικομένου ᾿Απόλλωνος. μικρᾷ δὲ παρεκβάσει ἀναπαύει τὸν ἀκροατὴν καμόντα. B=

ἄλλως: καὶ τότ' ᾿Απόλλωνα ⟨προσέφη νεφεληγερέτα Ζεύς⟩] Ζηνόδοτος “καὶ τότ' ἄρ' ἐξ ῎Ιδης προσέφη Ζεὺς ὃν φίλον υἱόν.” A+

667. εἰ δ' ἄγε νῦν, φίλε Φοῖβε] ἠθέτει Ζηνόδοτος· ἄτοπον γάρ φησι τὸν ἀπενθῆ τοιαῦτα διακονεῖν. ἀλλὰ τοῦτο προστάσσεται ὡς τιμώμενος ἐν Λυκίᾳ. A−

* εἰ δ' ἄγε] δύναται ἀντὶ τοῦ δή.

668. ⟨κάθηρον—⟩ Σαρπηδόνα] ἀντὶ τοῦ Σαρπηδόνος. §. δύναται δὲ ἀντὶ τοῦ ‘καθαρθῆναι ποίησον,’ ὡς “ἀλλ' ὅτε δή μιν ἐγὼν ἐλόευν” (Od. 4. 252). §. ὑπακούει δὲ Θάνατος ⟨᾿Απόλλωνι⟩ (672)· ᾿Απόλλωνι γὰρ ἀνάκεινται οἱ αἰφνίδιοι τῶν θανάτων.

ἄλλως: Σαρπηδόνι] οὕτω κατὰ δοτικὴν ‘κάθηρον τῷ Σαρπηδόνι τὸ αἷμα.’ A+

669. *ἄπο] ἄπωθεν. “πρό” δὲ ἀντὶ τοῦ ἔμπροσθεν. A+B

672. διδυμάοσιν] τελευτώντων γὰρ ἐκλείπει παντελῶς ἡ ψυχή, καθευδόντων δὲ συστέλλεται ἡ δύναμις τῆς ψυχῆς. AB=

673. ἐν Λυκίης] ἡρῷον φαίνεται Σαρπηδόνος ἐν Λυκίᾳ· τινὲς δὲ Γλαῦκον κατελθόντα θάψαι αὐτόν.

674. κασίγνητοι] ἁπλοϊκῶς νῦν οἱ συγγενεῖς· οὐδεὶς γὰρ ἱστόρηκεν αὐτοῦ ἀδελφούς. AB=

676. *᾿Απόλλων οὐδὲν φθέγγεται ἐπείγοντος τοῦ καιροῦ. B=

684, 5. ⟨Πάτροκλος δ' ἵπποισι—⟩ Τρῶας καὶ Λυκίους μετεκίαθε] ἀλλ' ὑποστρέφει ὁ Πάτροκλος διὰ τὸ μὴ προτροπάδην τοὺς Τρῶας φεύγειν ἀλλ' ἔτι ἀνθίστασθαι. οἱ δέ, ἐπεὶ “νεώτεροι ἀφραδέουσιν” (Od. 7. 294). ὁ δὲ ποιητής φησιν “ἀλλ' αἰεί τε Διὸς κρείσσων νόος—ὅς οἱ καὶ τότε θυμόν” (688, 91). B−

687. κῆρα κακήν] δόγμα ῾Ομηρικὸν τὸ δύο τὰς Μοίρας εἶναι,

13. δὴ W: δεῖ ‖ 14—17. schol. ad v. 678 iteratur ‖ 15. ἄλλοτε δέ ut schol. alt. ‖ 30. ἐπεὶ B: ἔτι ‖ 31. κρείσσων B: κρεῖσσον ‖ 33. κῆρας pro Μοίρας codd. Il.

Digitized by Google

ὡς καὶ ἐπ' Ἀχιλλέως "διχθαδίας Μοίρας" φησὶ "φερέμεν" (Il. 9. 411).

B= 688. ἀλλ' αἰεί τε Διός] συνεβούλευσε μὲν γὰρ τὰ ἄριστα ὁ Ἀχιλλεύς, κρατεῖ δὲ ἡ τοῦ Διὸς γνώμη βουλομένου αὐτὸν ἀνελεῖν ὑπὲρ ἐκδικίας Σαρπηδόνος.

* Διὸς κρείσσων νόος ἠέ περ ἀνδρῶν] ἰδίως εἶπεν· ἔδει γὰρ 'κρείσσων ἀνδρῶν.'

B= 692. ἔνθα τίνα πρῶτον—ἐξενάριξας] ἥδισται αἱ ἀποστροφαὶ τῷ ποιητικῷ εἴδει. ἄλλως τε καὶ ἀεὶ προσπάσχει ὁ ποιητὴς τῷ Πατρόκλῳ.

A+ 697. * ἕλεν] Ζηνόδοτος "ἕλες."

A+ * φύγαδε] εἰς φυγήν.

B= 702. ἐπ' ἀγκῶνος] ⟨ἐπ'⟩ ἐξοχῆς. καὶ ὁ Ἕκτωρ "πύργῳ ἔπι προὔχοντι" (Il. 22. 97). ὕψος δὲ ἔχει ὁ ἀγκὼν ὑπὲρ μῆκος ἀνδρός, ὡς ἐγγὺς εἶναι τῆς ἐπιθέσεως τῆς ἐπάλξεως.

B= 704. χείρεσ⟨σ'⟩ ἀθανάτῃσι ⟨φαεινὴν ἀσπίδα νύσσων⟩] ἄμφω ταῖς χερσὶν ἀπωθύομενος τὴν ἀσπίδα, ἐμφαντικῶς.

A+ 707. * οὔ νυ τοι] "οὔ νυ πω" διὰ τοῦ "⟨π⟩ω."

AB+ 710. ἀνεχάζετο πολλὸν ὀπίσσω] ἤκουσε γὰρ "μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων" (94), καὶ δέδιε πρᾶος ὢν καὶ ὑπ' οὐδενὸς θεοῦ βοηθούμενος· ὁ δὲ Διομήδης θερμὸς καὶ ἔχων Ἀθηνᾶν (Il. 5. 443).

A= * πολλὸν ὀπίσσω] ἐνταῦθα "πολλόν," ἐπὶ δὲ Διομήδους "τυτθόν" (Il. 5. 443).

A+ 713. * δίζε] ἐδίσταζεν.

714. * ὁμοκλήσειεν] μετὰ ἀπειλῆς κελεύσει⟨εν⟩.

B= 717. Ἀσίῳ] εἰκότως τούτῳ εἴκασται, ἵνα διὰ τὴν συγγένειαν δέξηται τὴν παραίνεσιν.

B= μήτρως] μητρὸς ἀδελφός. οἱ δὲ νεώτεροι τὸν πρὸς μητρὸς πάππον μήτρωα καλοῦσιν.

718. αὐτοκασίγνητος Ἑκάβης] Δύμαντος καὶ Εὐθόης νύμφης, ὡς Φερεκύδης· Ἀθηναίων δὲ Κισσέως καὶ Τηλεκλείας, εἰ μὴ ἄρα ὁμομήτριος αὐτῇ ὁ Ἄσιος. §. νεωστὶ δὲ πάρεστιν ὁ Ἄσιος· διὸ οὐδὲ ἐν τῷ Καταλόγῳ αὐτοῦ μέμνηται.

6. ἀνδρὸς textus ‖ 7. κρεῖσσον ‖ 26. συγγένειαν Bekker: εὐγένειαν ut B Eust. ‖ 30. νύμφης Εὐαγόρας schol. Eur. Hec. 3 ‖ 31. Τηλεκλείας etiam schol. Eur. l. c. ‖ Ἀθηνίων δὲ καὶ Τηλεκλείδης Κισσέως Eust.

719. ὃς Φρυγίῃ ναίεσκε] ὁ δὲ ἕτερος Ἄσιος Ὑρτάκου ἐστίν· "Ἄσιος Ὑρτακίδης" (Il. 2. 838, 12. 96).

721. Ἕκτορ, τίπτε] ἔστι καὶ τοῦτο προτροπῆς εἶδος· μαρτυρεῖ B=
μὲν ἀρετήν, ἐλέγχει δὲ ὡς ἀνάξια πράττοντα.

734. * γραφικῶς τοῦτο.

735. * ὅν οἱ περὶ χεὶρ ἐκάλυψεν] χειροπληθῆ.

736. * "ἅζετο" καὶ ἀπέσχετο.

739. μετώπιον] μεσόφρυον, ⟨τὸ⟩ μεταξὺ τῶν ὠπῶν. B=

740. ὀφρῦς σύνελεν] συνέχεε καὶ εἰς ἓν συνήγαγεν. B=

741. ὀφθαλμοὶ δὲ χαμαὶ πέσον] δηλονότι ἐκθλιβέντες ὑπὸ τῶν B=
ὀστῶν συντριβέντων.

742. ⟨αὐτοῦ⟩ πρόσθε ποδῶν] ἔμπροσθεν τῶν Πατρόκλου ποδῶν B=
ἐξακοντισθέντες, ἢ ὅπου ἔμελλε κυβιστήσας ὁ νεκρὸς ἕξειν τοὺς πόδας.

* ἀρνευτῆρι] παρὰ τοὺς ἄρνας.

744. ⟨ἐπι⟩κερτομέων] διὰ τοῦ "ἐπικερτομέων" τὸ ἦθος τῶν B=
ῥηθησομένων λόγων ὑποβάλλει.

745. * ἐλαφρὸς ἀνήρ, ὡς ῥεῖα κυβιστᾷ] σαρκάζων.

747. πολλοὺς ἂν κορέσειεν] οὐχ ὅμοια ταῦτα τῇ ἄλλῃ περὶ τοὺς A+B=
ἥρωας διαίτῃ· οὐδὲ γὰρ τοὺς ἁβροδιαίτους Φαίακας ἢ μνηστῆρας τοῖς τοιούτοις χρωμένους εἰσήγαγεν. ἤτοι οὖν ὅπερ αὐτὸς ἠπίστατο τοῖς ἥρωσι περιέθηκεν, οὐχ ὡς ἀεὶ χρωμένων τοῖς ὀστρείοις πρὸς τροφὴν τῶν ἡρώων, ⟨πρὸς ἀνάγκην δὲ ἐν πλῷ⟩—τοῦτο γάρ φησιν ὁ Πάτροκλος· ἐπιφέρει γοῦν "νηὸς ἀποθρῴσκων" (748)—οὐδὲ γὰρ ἰχθύσι χρωμένους εἰσήγαγεν ἢ ὄρνισιν, ἀλλ' ὅμως δι' ἀνάγκην καὶ τοῖς τοιούτοις ἐπεχείρουν οἱ Ὀδυσσέως ἑταῖροι (Od. 4. 368). καθόλου γὰρ τὴν τοιαύτην χρῆσιν διὰ τὸ μικροπρεπὲς παρῃτήσατο, κρέασι δὲ ὀπτοῖς χρῆσθαι αὐτούς φησιν, ἵνα καὶ ἐπ' Ἀχιλλέως εἰπεῖν δυνηθῇ "τῷ δ' ἔχεν Αὐτομέδων, τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς" (Il. 9. 209). ὅρα δὲ οἷον ἦν ἰχθὺν καθαίρειν τὸν τῆς Θέτιδος ἢ ζωμὸν ἕψειν.

τήθεα] εἶδος ὀστρείου. §. ὠνόμασται δὲ ὅτι ἀπόθετά ἐστι καὶ AB=
οὐκ ἐπινήχεται· προσπέπλασται γὰρ ταῖς πέτραις. B=

* διφῶν] διαφῶν, ψηλαφῶν.

748. εἰ καὶ δυσπέμφελος εἴη] Ζηνόδοτος "δυσπέμφελοι εἶεν" A+

4. ἀνάξια B: -ιον ‖ 8. ὠπῶν Bekker: ὤπων ‖ 9. ὀφρὺς ‖ 13. κυβιστήσας scripsi: κυβιστῶν B, κυβιστῆσαι ‖ 15. ἦθος καὶ τὸ εἶδος B, εἶδος ‖ 20. ὅπερ B: ἥπερ ‖ 22. supplevi ex B ‖ 25. ἐπιχειροῦσιν B

Digitized by Google

γράφων ἐπὶ τῶν ἀνδρῶν ἤκουεν, οἷον δυσάρεστοι, οἱ ἑταῖροι δηλονότι, ὡς καὶ Ἡσίοδος (Opp. 722) "πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι." ἢ ἀπλήρωτος· καὶ Ἡσίοδος (Opp. 618) "ναυτιλίης δυσπεμφέλου·" κέρδους γὰρ οὐ πίμπλαται.

B= ἄλλως: δυσπέμφελος εἴη] δυσχείμερος, ὁ πόντος δηλονότι ὁ μὴ B= εὐχερῶς πέμπων τὰς ναῦς. §. κολυμβητὴν δὲ ἄκρον δείκνυσι τοῦ θηρᾶν οὐκ ἀφιστάμενον, οὐδὲ χαλεπαινούσης τῆς θαλάσσης.

752. * κεραΐζων] ἀπὸ τῶν κερατηφόρων ζῴων.

B= 753. ἔβλητο πρὸς στῆθος] δαιμονίως τῇ εἰκόνι χρῆται· μέλλοντα γὰρ αὐτὸν τελευτᾶν λέοντι εἰκάζει ὑπ' ἀλκῆς καὶ προθυμίας ἔν τινι ἐφόδῳ ἀνῃρημένῳ· διὸ καὶ πρόσκειται "ἑή τε μιν ὤλεσεν ἀλκή." καὶ τὸ ἀντιπρόσωπον ὄντα κατὰ τὸ στῆθος πληγῆναι τῆς ἀρετῆς καὶ τοῦ θράσους σημεῖον.

* ἑή] αὐτοῦ.

756. λέονθ' ὥς] καὶ ἐπ' ἐκείνης τῆς παραβολῆς ἐσημειωσάμεθα "ὥς τε δύ' αἶγα λέοντε" (Il. 13. 198), ὅτι λέοντες οὐ διαμάχονται πρὸς ἀλλήλους περὶ ζῴου· λύεται δὲ διὰ τοῦ "πεινάοντε" (758).

B= 757. ὥ τ' ὄρεος κορυφῇσι] ἡ εἰκὼν ἐμφερεστάτη ἐπί τε τῶν μαχομένων καὶ περὶ οὗ ἡ μάχη· πεφονευμένον γὰρ ζῷον τῷ πεφονευμένῳ Κεβριόνῃ παραβέβληται.

B= 762. Ἕκτωρ μὲν κεφαλῆφιν] ἐναργέστατα ἔδειξε τὴν ὁλκὴν τοῦ σώματος προσθεὶς καὶ τὰ μέρη, ὧν ἐχόμενοι οὗτοι ἀνθεῖλκον.

A=B− 765. ὡς δ' εὖρός τε νότος τε] ἡ παραβολὴ πρὸς τὸ συρ⟨ρ⟩άσσειν καὶ συμπλέκεσθαι ἀλλήλοις. ἔστιν οὖν ἰδεῖν διὰ τῶν ἐπῶν δύο ἀνέμων μάχην, ἑκατέρου κρατεῖν βιαζομένου· ὅμοιον δέ ἐστι τῷ "Βορέης καὶ Ζέφυρος" (Il. 9. 5).

B= 766. βαθέην] εὖ τὸ "βαθέην" εἰπεῖν τὴν ὕλην· σφοδρὸς γὰρ οὕτως ὁ ἄνεμος ἐμπίπτει διέξοδον οὐκ ἔχων.

A+ 768. τανυήκεας] παραγωγὸν ἀντὶ τοῦ ταναούς, ἐπὶ δὲ τοῦ "τανύηκες ἄορ" (Od. 10. 439) σύνθετον, ὁμοίως καὶ ἐπὶ τοῦ "κελαινεφές·" ὁμοφωνεῖ γὰρ ἐπὶ Διὸς καὶ τοῦ αἵματος.

769. ἀγνυμενάων] ἡ ἐπὶ ⟨τῆς⟩ παρατελεύτου μακρότης παρίστησι τὸν ὑπὸ τῆς συμπτώσεως τῶν κλάδων ἐπεκτεινόμενον ἦχον.

3. ἀπλήρωτος Bekker: ἀπληστῶρος ‖ 8. add. sec. καταχρηστικῶς ‖ 15. λέοντε ὥς ‖ 18. ὥστ' ὄρ. ‖ 25. τὸ B ‖ Βορέης etiam textus ‖ 27. βαθείην lemma ‖ τὸ βαθείην ‖ 32. supplevi ex B

Digitized by Google

770. ὣς Τρῶες] τὸ συνεκτικὸν τῆς παραβολῆς τὸ "ἐπ' ἀλλήλοισι θορόντες" ἐστίν. B=

772. *"⟨Κεβριόνην⟩ ἀμφ' ὀξέα" περὶ αὐτόν, οὐκ ἐν αὐτῷ. B=

775. ὁ δὲ στροφάλιγγι κονίης] καὶ ἡδέως ἐπεφώνησε καὶ περιπαθῶς.

ἄλλως: ὁ δὲ στροφάλιγγι] "ὁ δ' ἐν στροφάλιγγι" διὰ τῆς "ἐν." A+

780. ὑπὲρ αἶσαν] ὑπὲρ βίαν, ἢ πλέον ἢ κατὰ μέτρον, ὑπὲρ τὸ καθῆκον. B=

784. τρὶς μὲν—ἐπόρουσε] τρίτον ὁρμήσας ἐννέα ἐφόνευσεν· ὑπὲρ μέτρον γὰρ τὸ φονεύειν κζ. B+

787. ἔνθ' ἄρα τοι, Πάτροκλε] ἡ ἀποστροφὴ σημαίνει τὸν συναχθόμενον. σοὶ γάρ, ὦ Πάτροκλε, τῷ οὕτως ὑπ' Ἀχιλλέως ἀγαπωμένῳ, τῷ ⟨τὸ⟩ πᾶν εἰς σωτηρίαν τῶν Ἑλλήνων πραγματευσαμένῳ, ⟨τῷ⟩ Νέστορος φιλοπόνως ἀνασχομένῳ, ⟨τῷ⟩ Εὐρύπυλον φιλοστόργως ἰασαμένῳ, ⟨τῷ⟩ ὑπὲρ τῶν Ἑλλήνων δακρύσαντι, τῷ τὸν σκληρῶς διακείμενον Ἀχιλλέα πείσαντι, ⟨τῷ⟩ κατὰ τῆς ἑαυτοῦ ψυχῆς τὴν ἔξοδον κατορθώσαντι· ταῦτα πάντα ἔνεστιν ἐπαναφέροντας ἐπὶ τὴν ἀποστροφὴν ὁρᾶν τὸ ἐν αὐτῇ περιπαθές. B=

789. δεινός] δεινῶς καὶ ἐπιφανῶς.

ὁ μὲν τὸν ἰόντα—οὐκ ἐνόησεν] ἐκ τοῦ πρὸς αὐτὸν εἰς τὸν περὶ αὐτοῦ. A+B=

792. * καταπρηνεῖ] πλατείᾳ. B+

στρεφεδίνηθεν ⟨δέ οἱ ὄσσε⟩] περιενεχθέντα ἐστράφη. ἐκ δύο δὲ ὀνομάτων ταὐτὸ δηλούντων τραχεῖαν συνθεὶς τὴν προσηγορίαν τὴν βίαν τῆς πληγῆς παρίστησιν. B=

793. κρατὸς κυνέην] ἀφοπλίζει αὐτόν, ἴσον τῇ ὁπλίσει ἀπεργαζόμενος Ἕκτορα Ἀχιλλεῖ· ἅμα δὲ καὶ διαναπαύων τὸν ἀκροατὴν ὁπλοποιίαν παρεισάγει καὶ ἐπιτερπῆ κοσμοποιίαν. οὐ θέλει δὲ μετὰ θάνατον σκυλευθῆναι Πάτροκλον· αἰσχρὸν γὰρ Ἕλλησιν. ἔλεον ⟨δὲ⟩ καὶ ἀνδρ⟨ε⟩ίαν Πατρόκλου φησίν, ὡς οὐκ ἄλλως κρατηθέντος ἢ ἐν τῇ γυμνώσει τῶν ὅπλων. ἡ δὲ Ἀθηνᾶ ἀντὶ τούτου τὸν Ἕκτορα ἀπατᾷ (Il. 22. 214), ὡς καὶ Εὐμήλου τὸν ἄξονα ⟨ἦξεν⟩ ἀντὶ τῆς μάστιγος Διομήδους (Il. 23. 390). B–

796. πάρος γε μὲν οὐ θέμις ἦεν] ἐμπαθῶς τῷ θείῳ ὅπλῳ συνάχθεται.

797. ἱππόκομον] ἵππου κόμην ἔχουσαν. διὸ καὶ προπαροξύνεται. A+B=

3. αὐτῷ Bekker: ἑαυτῷ ‖ 5. δὲ ἐν ‖ 6. βίαν B: λίαν ‖ ὑπὲρ τὸ πλέον ὑπὲρ μ. B ‖ 8. ἐπώρουσε ‖ 12, 3, 4, 5. supplevi ex B ‖ 15. τῆς σεαυτοῦ B ‖ 27. supplevi ex B ‖ 32. εἶεν

Digitized by Google

800. * ᾗ] τῇ αὐτοῦ.

B= σχεδόθεν] ἐκ τοῦ σύνεγγυς χρόνου· ἢ ὡς ⟨τὸ⟩ "σχεδόθεν δέ οἱ B— ἦλθεν Ἀθήνη" (Od. 2. 267). §. τὴν ἀγανάκτησιν δὲ τῶν ἀκουόντων ἰᾶται οὐκ ἐπὶ πολὺ φάσκων ἀπολαύ⟨σ⟩ειν τῶν ὅπλων τὸν Ἕκτορα. διὸ ἐπήγαγε τὸ "σχεδόθεν δέ οἱ."

B— 801. πᾶν δέ οἱ ἐν χείρε⟨σ⟩σιν ἄγη—ἔγχος] ὅλον ἐκ μέσου, καθὸ κατεῖχεν αὐτό. εἰ δὲ ἡ Πηλιὰς ἦν, οὐκ ἂν ἐκλάσθη.

804. λῦσε δέ ⟨οἱ⟩ θώρηκα] ὅτι οὐχ ἥνωντο ἀλλὰ ζωστῆρσι συνείχοντο οἱ θώρακες.

B+ 806. στῆ δὲ ταφών] ἀπεστραμμένος πρὸς τὸν θεὸν ὄπισθεν ὄντα, ὃς ἅμα νοήματι αὐτὸν ἀπέδυσεν· διὸ καὶ εἰς τὰ μετάφρενα τιτρώσκεται. ἐπεστραμμένος δὲ ὑφ' Ἕκτορος εἰς τὴν λαγόνα τιτρώσκεται (821).

A+ 807. σχεδόθεν βάλε] Ζηνόδοτος "σχεδὸν οὔτασε" καὶ πῶς φησιν "ὅς τοι πρῶτος ἐφῆκε βέλος" (812); δηλοῖ δὲ τὸ σχεδόν, ὡς "τὸν δὲ σχεδὸν ἄορι τύψας" (Il. 20. 462). Σέλευκος δέ φησιν οὐ δύνασθαι "σχεδό⟨θε⟩ν βάλε."

Δάρδανος ἀνήρ] καὶ πῶς Πάνθοος μετὰ τῶν Ἰλιέων δημογερόντων καταλέγεται (Il. 3. 146); τινὲς οὖν μέτοικον αὐτὸν λέγουσιν εἶναι.

A+B= 810. καὶ γὰρ δὴ ⟨τότε⟩ φῶτας ἐείκοσι] ὡς τῶν τότε τοιαύτην ἀσκούντων μελέτην, ὥστε τοὺς ἀντελαύνοντας ἀνατρέψαι τῶν ἁρμάτων.

B= §. "διδασκόμενος" (811) δὲ πεῖραν λαμβάνων· πόλεμον δὲ τὸν ἐν Ἰλίῳ φησίν· ἔστι γὰρ νέος, ὡς καὶ ἡ ⟨ἐπ'⟩ αὐτοῦ παραβολὴ δηλοῖ.

φῶτας ἐείκοσι] εἰκότως τὸ πρόσωπον συνίστησιν, ὡς δὴ μὴ δοκῇ ὑπὸ τοῦ τυχόντος ἀναιρεῖσθαι· τὸ ἐγκώμιον οὖν τοῦ Εὐφόρβου τῆς Πατρόκλου ἀρετῆς ἐστιν αὔξησις.

B= 814. οὐδ' ὑπέμεινε Πάτροκλον] φιλέλλην ὁ ποιητὴς κατακωμῳδῶν τὸν βάρβαρον καὶ τὴν τοῦ Πατρόκλου δύναμιν αὔξων.

B= 817. ἂψ ἑτάρων εἰς ἔθνος] ταῦτα τοῦ ἀληθοῦς ἔχεται. εἰ γὰρ προσέθηκεν, ὅτι καὶ γυμνὸς ὢν ἵετο ἐπὶ τὸν Ἕκτορα, ἐξέπιπτεν ⟨ἂν⟩ τοῦ πιθανοῦ.

820. ἀγχίμολον] σύνεγγυς. καὶ "τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδών"

2–5. schol. ad 807 iteratur ‖ 2. supplevi ex B ‖ 4. suppl. W ‖ 7. ἐκλάσθη W : ἐκλίθη ‖ 8. λῖπε δὲ ‖ 10. ἀπεστρεμμένος ‖ ὄπιθεν B, ἐπεὶ θεόν ‖ 15. δὲ W : οὖν ‖ τὸ σχεδὸν W : τῶν σχεδίων ‖ 20. supplevi ex A, textus ποτὲ ‖ 21. ἀνατρέψαι A : ἀναστρέφειν ut B ‖ 22. τὸν B : τῶν 23. suppl. W ‖ 24. δὴ W : ἂν ‖ δοκοίη ‖ 28. τὸν βάρβαρον W : τῶν -ων ‖ 32. ἀγχιμόλου

Digitized by Google

(Il. 24. 352). χρονικῶς δέ· "ἀγχίμολον δὲ μετ' αὐτὸν ἐδύσετο δῶμ' Ὀδυσῆος" (Od. 17. 336).

822. δούπησεν] τῷ σώματι· ὅπλα γὰρ οὐκ εἶχεν. §. ἀντὶ τοῦ ἀπέθανεν, ὡς τὸ "δεδουπότος Οἰδιπόδαο" (Il. 23. 679) ἀντὶ τοῦ 'ἀποθανόντος.' B= AB−

μέγα δ' ἤκαχε λαὸν Ἀχαιῶν] διὰ τὴν Πατρόκλου ἀρετήν, διὰ τὸ Ἀχιλλέως ἐπ' αὐτῷ πένθος, διὰ τὴν προσδοκωμένην τροπήν, διὰ τὸ μηδεμίαν φθάσαι ἀποδοῦναι χάριν ὡς εὐεργέτῃ. B=

823. σῦν ἀκάμαντα] ἰσχυρὸν ἰσχυρότερος. μέχρι μὲν οὖν ἴσοι ἦσαν, λέουσιν αὐτοὺς εἴκασε (756), νῦν δὲ ἑτερογενέσι ζῴοις καὶ ἀνίσοις. B=

825. πίδακος ἀμφ' ὀλίγης] τὸ δίψος παρέλαβεν εἰς αἰτίαν τῆς συμπλοκῆς, ἐπεὶ οὐδὲ ἂν περὶ ταύτης ἔρις ἦν αὐτοῖς. B=

ἄλλως: πίδακος ἀμφ' ὀλίγης] ἐν μὲν γὰρ κρήνῃ ἀφθόνως ῥεούσῃ οὐκ εἰκὸς περὶ ὕδατος μάχεσθαι, ἐν δὲ τῇ βραχείᾳ πίδακι ὥσπερ ἆθλον πρόκειται τῷ νικῶντι τὸ ποτόν. B=

826. ἀσθμαίνοντα] φύσει γὰρ τοιοῦτος ὁ σῦς· τῷ δ' ηὔξηται ἡ δίψα· πολλῷ δὲ μᾶλλον διὰ τὴν μάχην ἀσθμαίνει. ἔστιν οὖν ἀγωνιζόμενον. B−

830. ἦ που ἔφησθα πόλιν κεραϊζέμεν] οὐκ ἐᾷ ἐπ' ἄκρον φέρεσθαι τὰς ἐλπίδας.

833. τάων δὲ πρόσθε] ὅρα τὸ ἔμπληκτον τοῦ βαρβάρου· τὴν γὰρ ἀλαζονείαν ἐξελέγχων αὐτὸς εἰς τὰ ὅμοια ἐμπίπτει. B+

834. ὀρωρέχαται] ὁρμῶνται ἢ ἐκτέτανται, ὡς τὸ "τανύοντο δὲ μώνυχες ἵπποι" (375). B=

836. ἦμαρ ἀναγκαῖον] τὸ εἰς ἀνάγκην ἄγον, ὡς "δούλιον ἦμαρ" (Il. 6. 463). B=

839. μή μοι πρὶν ἰέναι, Πατρόκλεις] κατὰ τὸ πιθανὸν μιμεῖται, τίνας εἰκὸς εἰρηκέναι λόγους Ἀχιλλέα ἐκπέμποντα Πάτροκλον. B=

844, 5. σοὶ γὰρ ἔδωκεν νίκην Ζεύς] Ζεὺς ἡ Μοῖρα. ἢ ἐπεὶ αὐτὸς συνεχώρησεν. ὃ δὲ ᾔδει ὁ ποιητής, τοῦτο τῷ ἡρωικῷ προσώπῳ περιέθηκεν. B−

847. τοιοῦτοι δ' εἴ περ μοι ἐείκοσιν] ἀξιομίμητον τὸ ἦθος· οὐ γὰρ κατεπλάγη τὸν θάνατον, οὐ τὸ βάθος τῶν ἀλγηδόνων, οὐ τὴν ἐρημίαν AB=

1, 2. δώματ' Ὀδυσσεύς codd. Od. ‖ 9. ἰσχυρότερον B ‖ 10. ἑτεροίεσι ‖ ‖ 19. ὅπου ἔ. ‖ 30. ᾔδει ὁ B: ἴδιο

Digitized by Google

τοῦ βοηθήσοντος, ἀλλ' ἔτι φρυάγματος μεστός ἐστι καὶ ἐρεθίζει μᾶλλον ἢ ἱκετεύει, ἀντιποιούμενος τῆς νίκης καὶ τελευτῶν.

AB+ 850. σὺ δέ με τρίτος] πολλοστός, ὡς "ἀσπασίη τρίλ⟨λ⟩ιστος" (Π. 8. 488). οἱ δὲ Μοῖραν καὶ Ἀπόλλωνα ἕν—ἄμφω γὰρ θεοί—οἱ δὲ κατὰ κοινοῦ τὴν Μοῖραν παρειλῆφθαι. τινὲς δὲ τὸ ἐξεναρίζειν ἐπὶ τῶν αὐτοχείρων· καὶ οὕτω τρίτος Ἕκτωρ.

B= ἄλλως: σὺ δέ με τρίτος] αὔξει αὐτὸν ὡς ὑπὸ πολλῶν θεῶν καὶ ἀνθρώπων ἀναιρεθέντα, μειοῖ δὲ τὸν Ἕκτορα ὡς Εὐφόρβου δεύτερον.

B~ 851. ἄλλο δέ τοι ἐρέω] δόγμα ἐστὶ τοῦτο τῷ ποιητῇ, ἀπαλλασσομένας τὰς ψυχὰς ἔχειν τι μαντικώτερον· πλησίον γὰρ ἤδη τῆς θείας φύσεως γινομένη ἡ ψυχὴ προγινώσκει τι τῶν μελλόντων.

852. * βέῃ] βιώσῃ, ὡς "τί νυ βειόμαι, αἰνὰ παθοῦσα" (Π. 22. 431).

A=B− 854. χερσὶ δαμέντ' Ἀχιλῆος] πόθεν ὁ Πάτροκλος οἶδεν, ὅτι Ἀχιλλεὺς κτενεῖ τὸν Ἕκτορα; ὥσπερ Ἀχιλλεὺς ἀκούσας παρὰ Θέτιδος· ἢ ἐπεὶ κατ' Ἀρτέμωνα τὸν Μιλήσιον ἐν τῷ περὶ ὀνείρων, ὅταν ἀθροισθῇ ἡ ψυχὴ ἐξ ὅλου τοῦ σώματος πρὸς τὸ ἐκκριθῆναι, μαντικωτάτη γίνεται· καὶ Πλάτων ἐν ἀπολογίᾳ Σωκράτους (p. 39c)· "καὶ γάρ εἰμι—ἐνταῦθα, ἐν ᾧ μάλιστα ἄνθρωποι χρησμῳδοῦσιν, ὅταν μέλλωσιν ἀποθανεῖσθαι."

A+ * δαμέντ'] ἐκ πλήρους γραπτέον τὸ "δαμέντι."

B− 856. ψυχὴ δ' ἐκ ῥεθέων πταμένη] ὅτι πνεῦμα ποιὸν ἡ ψυχὴ κατὰ παντὸς οἰκοῦν τοῦ σώματος. οἱ δὲ τοῦ προσώπου· ὕστατα γὰρ τὸ πνεῦμα ἐντεῦθεν ἀναχωρεῖ.

857. ὃν πότμον γοόωσα] Πυθαγόρας φησίν, ὡς ἀναχωροῦσα ἡ ψυχὴ ἐν ἐκείνῳ γίνεται, ᾧ ἂν γεννωμένῳ σώματι ἢ φυτῷ καταντήσῃ. λυπεῖται οὖν ὡς ἀκμάζον ἐῶσα σῶμα καὶ δεδοικυῖα, μή ποτε ἀναξίῳ περιπέσῃ. πρὸς ἀρετὴν οὖν συγκαλεῖ λέγων ὡς τὰ γενναῖα τῶν σωμάτων ἡ ψυχὴ ⟨καταλιποῦσα θρηνεῖ⟩.

B+ ἀνδροτῆτα] ἀντὶ τοῦ ἀνθρωπότητα, ἀνθρώπου φύσιν· ἀνδρ⟨ε⟩ίαν γὰρ οὐ καταλείπει ἀρετὴν ἰδίαν οὖσαν.

B= 860. τίς δ' οἶδ', εἴ κ' Ἀχιλεύς] δειλοῦ ὁ λόγος· τὰ δὲ ὑπ'

2. τελευτῶν B: μετὰ τελευτήν ‖ 5. κατὰ κοινοῦ etiam B, κοινὴν D ‖ 10. ὥστε post ποιητῇ omisi ‖ 15. Ἀχιλλῆος ‖ 16. παρὰ A: ὑπὸ ‖ 22. δαμέντι etiam Eust.: δαμέντα A ‖ 27. ἐν ante ᾧ del. W ‖ 30. supplevi ex B² ‖ 33. εἴ κεν Ἀχιλλεύς

Digitized by Google

Ἀχιλλέως ἀνδρεῖα· "τέθναθι· κῆρα δ' ἐγὼ τότε δέξομαι" (Il. 22. 365).

867. ἄμβροτοι, οὓς Πηλῆι θεοὶ δόσαν] ἡ ἀναφορὰ ἐπὶ τὸν Ποσειδῶνα· φησὶ γὰρ "Ποσειδάων δὲ πόρ' αὐτοὺς πατρὶ ἐμῷ Πηλῆι, ὁ δ' αὖτ' ἐμοὶ ἐγγυάλιξεν" (Il. 23. 277)· φασὶ γὰρ ἐν τοῖς γάμοις ὑπὸ μὲν Ποσειδῶνος τοὺς ἵππους δοθῆναι Πηλεῖ, ὑπὸ δὲ Ἡφαίστου ὅπλα καὶ ξίφος.

* ἄμβροτοι] οὐ μετέχοντες θανάτου.

θεοὶ δόσαν ἀγλαὰ δῶρα] τινὲς γράφουσιν "ἤματι τῷ, ὅτε γῆμε Θέτιν λιπαροκρήδεμνον." καὶ γάρ φησι "τὰ μὲν Πηλῆι θεοὶ δόσαν— ἤματι τῷ, ὅτε σὲ βροτοῦ ἀνέρος ἔμβαλον εὐνῇ" (Il. 18. 84).

## ΕΙΣ ΤΗΝ Ρ.

1. Οὐδ' ἔλαθ' Ἀτρέος υἱόν] ἡδέως σφόδρα τούτοις ἀνταπέδωκεν "οὐδ' ἄρα Πάνθου υἱὸς ἐυμελίης ἀμέλησε Πατρόκλοιο πεσόντος ἀμύμονος" (9).

2. εὖ Πατρόκλου πεσόντος πρῶτος αἰσθάνεται Μενέλαος· φησὶ A + B = γὰρ "ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς" (92). καὶ ὅτι ὁμότροποι· ἄμφω γὰρ ἤπιοι—"νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο μνησάσθω" (670)—ὁ δὲ Μενέλαος οὐ μόνον πρὸς τοὺς ἀρχομένους πρᾶος ἦν, ἀλλ' ἤδη καὶ πρὸς τοὺς πολεμίους, ὥστε Ἄδραστον ζωγρήσας σῴζειν ἐβούλετο. (Il. 6. 37). ἢ ὅτι καὶ περὶ πάντα σπουδαῖος ὁρᾶται, αὐτόματος ᾖει πρὸς τὴν δαῖτα (Il. 2. 408), προανέστη τοῦ ἀδελφοῦ (Il. 10. 32), Ὀδυσσέως καταπονουμένου ἧκεν ἄγων Αἴαντα (Il. 11. 464), ἔμεινεν ἐν τῷ Σουνίῳ "ἐπειγόμενός περ ὁδοῖο, ὄφρ' ἕταρον θάπτοι" (Od. 3. 284)· ἢ προθυμότερον ποιῶν ἑαυτῷ σύμμαχον Ἀχιλλέα. ἄλλως τε οἱ ἄλλοι τραυματίαι εἰσὶ πλὴν Αἴαντος, ὃν νῦν οὐκ ἔδει ὑπείκειν Ἕκτορι.

Τρώεσσι δαμείς] Ἕκτορι καὶ Εὐφόρβῳ· καὶ τοὺς Δαρδανίους A + B = γὰρ Τρῶάς φησιν.

3. κεκορυθμένος] ὅθεν καὶ κορυστής· ἀντιμετείληπται τὸ $\bar{\theta}$ τοῦ $\bar{\sigma}$.

4. πρὸ αὐτοῦ ‖ 5. ἐμῷ ‖ 12. addidi: Ἰλιάδος ρ̄ Ὁμήρου ῥαψῳδίας textui inscriptum ‖ 16. scholion scriptum post schol. ad v. 7 ‖ 17. εἵνεκ' ut B ‖ 18. ἐννῆς Πατρόκλοιο ‖ 21. πάντα A: -ας ut B ‖ 27. ὃν B: ᾧ ‖ Ἕκτορι B: Ἕκτορα



Digitized by Google

B– 4. ὥς τις περὶ πόρτακι μήτηρ] τὸν Αἴαντα λέοντι εἰκάζει "ᾧ ῥά τε νήπι' ἄγοντι" (134), τὸν Ὀδυσσέα τῆς ταπεινώσεως χάριν ⟨κυνὶ⟩ "ὡς δὲ κύων—ἄνδρ' ἀγνο⟨ι⟩ήσασ' ὑλάει" (Od. 20. 14, 15), τὸν δὲ Μενέλαον συμπαθεῖ μὲν ζῴῳ, οὐ μὴν βιαίῳ· τοῦτο γὰρ τῷ ἤθει τοῦ
AB= ἀνδρὸς καὶ τῇ παρούσῃ τύχῃ οἰκεῖον. §. εὖ δὲ ἀντὶ τοῦ βοῦς τὸ "μήτηρ" ἔλαβε, τὸ φιλοστοργότατον τῆς φύσεως ὄνομα.

A+B= πόρτακι] πόρταξ ὑποκοριστικῶς. τριχῶς δὲ τὸ ὄνομα παρ' αὐτῷ λέγεται· πόρταξ, ὡς νῦν· πόρις, "ὡς δ' ὅταν ἄγραυλοι πόριες" (Od. 10. 410)· πόρτις, "πόρτιος ἠὲ βοός" (Il. 5. 162).

A+B= 5. πρωτοτόκος] πρὸς τὸ μὴ εἶναι ἀσθενῆ, ἀλλὰ καὶ φιλόστοργον. "κινυρὴ" δὲ οἰκτρόφωνος. ὑφ' ἓν δέ, ἵν' ᾖ ἐν τῷ τίκτειν θρηνοῦσα.

B– εἰδυῖα τόκοιο] ἐγνωκυῖα· "νήπιον, οὔ πω εἰδότ' ὁμοιίου πολέμοιο"
B= (Il. 9. 440). §. τὸ δὲ "κινυρὴ" πρὸς τὴν Μενελάου λύπην.

A+ 7. * οἷ] ἀντὶ τοῦ οὗ.

A+B= 8. ὅστις τοῦ γε] αὐτοῦ, τοῦ Μενελάου ἢ Πατρόκλου.

AB= 9. οὐδ' ἄρα Πάνθου υἱός] ὡς γὰρ ἐν κυνηγεσίοις πρωτόλεια τῷ πρώτως βαλόντι δίδοται, οὕτω καὶ οὗτος τῶν ὅπλων ἀντιποιεῖται· εἰ γὰρ καὶ γεγύμνωται, εἰκὸς αὐτῷ παρακεῖσθαι τὰ ὅπλα.

A+ 14. * οὐ γάρ τις πρότερος] λείπει ἐμοῦ.

B= 19. Ζεῦ πάτερ] πολυκίνητος ὁ λόγος. ἐσχετλίασε πρῶτον, εἶτ' ἐλογίσατο τὴν ὑπεροψίαν τῶν Πανθοιδῶν, καὶ οὕτως ἐπὶ τὴν ὑπόμνησιν τῶν πάλαι μετῆλθεν· εἶτα μετὰ ἤθους ἀπειλεῖ τῷ πολεμίῳ ἀναχωρεῖν αὐτῷ παραινῶν.

A+B= ὑπέρβιον εὐχετάασθαι] ὑπὲρ δύναμιν αὐχεῖν. §. καὶ τὸ μὲν σημαι-
B– νόμενον πρὸς Εὔφορβον, ἡ δ' ἀναφορὰ ἐπὶ Δία ὡς ἐκθαυμάζοντος τὸ θράσος· ὅταν γὰρ οἱ μέτριοι ἀδικῶνται παρὰ τῶν βιαίων, ἄγουσι τὴν πρὸς θεὸν παρρησίαν εἰς μέμψιν. καὶ ἑτέρωθι ὁ Μενέλαος ἀγανακτῶν πρὸς τὸ θεῖον παρατάττεται, "Ζεῦ πάτερ, οὔτις σεῖο θεῶν ὀλοώτερος ἄλλος" (Il. 3. 365).

A–B= 20. οὔτ' οὖν πορδάλιος] πρῶτον ἔθηκε τὴν πάρδαλιν· θρασὺ γὰρ ⟨τὸ⟩ ζῷον τοῦτο. δεύτερον δὲ τὸν λέοντα· μετὰ γὰρ θράσους καὶ ἀλκὴν ἔχει. τρίτον σῦν, οὐχ ὡς γενναιότερον, ἀλλ' ὡς ἀλογίστῳ ὁρμῇ φερόμενον, λεόντων καὶ παρδάλεων πολλάκις τὸ παθεῖν φυλασσομέ-

2, 3. χάριν τῆς τε κυνὶ ἀνδρὶ ‖ 5. βοῦς scripsi, cf. A: ὀνόματος B, δούς ‖ 12. εἰδότα ‖ 17. δίδονται B ‖ 22. τῶν B: τὴν ‖ 23. παραινῶν B: πρὸ δεινῶν ‖ 25. πρὸς Δ. B ‖ 30. τὸν πόρδαλιν B ‖ 31. supplevi ex B ‖ 33. πορδάλεων ut B

Digitized by Google

νων· διὰ τοῦτο ἐπήνεγκεν "οὗ τε μέγιστος θυμός" (21, 22). ἄλλως τε λέων μὲν καὶ πάρδαλις πολλάκις ἡμεροῦνται, ὁ δὲ ἀεὶ ἄγριος. §. διὰ τοῦ ᾱ τὸ "παρδάλιος." A+

21. συὸς κάπρου] μετὰ τὸ γένος τὸ εἶδος ἐπήγαγεν, ὡς τὸ "ἠΰτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων, ταῦρος" (Il. 2. 480). A+

23. * Πάνθου υἷες] Εὔφορβος, Πολυδάμας, Ὑπερήνωρ. B=

24. * οὐδὲ μὲν οὐδὲ] περισσὸν τὸ ἓν "οὐ⟨δέ⟩." B=

βίη Ὑπερήνορος] ἢ πρὸ τῆς μήνιδος ἢ νῦν κατὰ τὸ σιωπώμενον ἀνῄρηται—οὐ γὰρ ἐν τῇ Ξ (516), "Ἀτρείδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα, ποιμένα λαῶν" φεύγων γὰρ ἐκεῖνος ἀνῄρητο—Ὁμηρικὸν γὰρ ἔθος τὸ ἔνια παραλείπειν καὶ ὕστερον φράζειν. "ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρὶ φόβησεν" (Il. 20. 90)· "οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεναι" (Il. 9. 353)· "πρῶτον μὲν ἐμοί τε καὶ Ἥρῃ στεῦτ' ἀγορεύων" (Il. 5. 832). A~B—

25. ὤνατο] ὠνείδισεν· ⟨ἀπόνητο δὲ⟩ ὄνησιν ἔλαβεν· ὠνόσατο δὲ ἐμέμψατο. B=

26. ἐλέγχιστον πολεμιστήν] καὶ "μαλθακὸς αἰχμητής" (588). ἀλλ' αἱ τῶν πολεμίων ἀποφάσεις οὐκ εἰσὶν ὀχυραί.

27. οὐδέ ἑ φημί] συγγνωστὸς ἀπαγγέλλων ἰδίας ἑαυτοῦ πράξεις· προσφόρως γὰρ οὐκ ἄλλου τινὸς μέμνηται ἢ ἀδελφοῦ Εὐφόρβου, ἐκ τῶν οἰκείων δυστυχημάτων ἀνακόπτων αὐτοῦ τὸ θράσος. B=

28. κεδνούς] ὧν ⟨ἂν⟩ κήδοιτό τις καὶ φροντίζοι.

ἱστορία. φασὶ Πυθαγόραν ἐν τῷ κατὰ τὸ Ἄργος Ἡραίῳ ἀσπίδα χαλκῆν θεασάμενον εἰπεῖν, ὡς ταύτην φορῶν ἀνῄρητο ὑπὸ Μενελάου ὢν Εὔφορβος. στρέψαντας δὲ Ἀργείους τὴν ἀσπίδα ἰδεῖν ἐπίγραμμα Εὐφόρβου.

31. εἰς πληθὺν ἰέναι] τὸ ἑξῆς "ἐς πληθὺν ἰέναι, πρίν τι κακὸν ⟨παθέειν⟩." AB=

ἰέναι, μηδ' ἀντίος ἵστασο] ἡ σύνταξις ὁμοία τῇδε "ἠδ' ἐπὶ ἔργα ἰδεῖν, ἀλλὰ στοναχῇ τε γόῳ τε ἧσται" (Od. 16. 144, 5).

32. ῥεχθέν] ὅτε οὐδέν ἐστιν ὄφελος. παροιμιακὸν δὲ τοῦτο. εὐμνημόνευτον δὲ αὐτὸ ποιεῖ ἡ συντομία τῆς ἀπαγγελίας. B=

1. οὗ τε B: οὕτως ‖ 2. πόρδαλις B ‖ 9. τῇ Ξ B: τῇ Ξτῃ ‖ 10. ἀνῄρηται B ‖ 12. μάχης ‖ 13. πρφὴν codd. Il. ‖ 15. suppl. W ex B ‖ 21. αὐτοῦ τὸ θράσος B: αὐτὸν τοῦ θράσους ‖ 24. ἀνῄρηται ‖ 25. ὄντα Εὔφορβον: corr. Barnes ex codice nescio quo ‖ 27. supplevi ex B ‖ 28. ἠδ' περὶ ἕ. ‖ 31. αὐτὸ B: αὐτὸν ‖ ἐπαγγελίας B



Digitized by Google

34. *ἢ μάλα τίσεις*] ἔν τισι τῶν ὑπομνημάτων "ἢ τάχα τίσεις."
* *τίσεις*] ὡς "τίσειαν Δαναοὶ ἐμὰ δάκρυα" (Il. 1. 42).

AB+ 37. * *ἀρητόν*] ὀξυντέον· ἐπιθετικὸν γάρ ἐστιν.

38. *ἦ κεν σφιν*] ὄντως.

40. *Πάνθῳ ἐν χείρεσ⟨σ⟩ι βάλω καὶ Φρόντιδι*] πρὸς τὸ ἔθος σημειωτέον· καὶ γὰρ τῇ Ἀλκμήνῃ τὴν κεφαλὴν ἐκόμισαν Εὐρυσθέως καὶ τὴν Μελανίππου Τυδεῖ· καὶ "ἕλχ', ἵν' ἀπ' ὤμοιιν κεφαλὴν τάμοι ὀξέι χαλκῷ" (126).

A= 41. *ἔτι δηρόν*] ἔν τισι τῶν ὑπομνημάτων "ἐπὶ δηρόν," ἐπεὶ καὶ ἀλλαχοῦ φησιν "ἐπὶ δηρὸν δέ μοι αἰών" (Π. 9. 415).

A-B= *ἀπείρητος*] οὐκ ἔσται ἀπείρατος ἡμῖν ὁ πόνος ἢ τοῦ ἀμύνεσθαι ἢ τοῦ φεύγειν, ἀλλὰ δηλονότι διὰ πείρας ἐλευσόμεθα καὶ οὐ χωρὶς μάχης ἐσόμεθα, ὥστε ἢ ἀνδρίσασθαι ἢ φυγεῖν.
* *πόνος*] ἔργον μάχης.

A= 42. * *ἠδ' ἀλκῆς ἠδὲ φόβοιο*] οὕτως Ἀρίσταρχος ἄμφω διὰ τοῦ "δέ."

A+ 44. *οὐδ' ἔρρηξεν χαλκόν*] διὰ τοῦ σ̄ "χαλκός," ἵν' ᾖ ἡ ἐπιδορατίς.

B= 46. *ἐπευξάμενος Διὶ πατρί*] τοιοῦτος πανταχοῦ Μενέλαος, κἂν τῷ πρὸς Ἀλέξανδρον μονομαχίῳ (Il. 3. 275).

A+B= 47. *στομάχοιο θέμεθλα*] τοῦ βρόγχου τὴν θέσιν, τὰ ἔσχατα μέρη τοῦ λαιμοῦ.

AB= 48. *βαρείῃ χειρὶ ⟨πιθήσας⟩*] τοῦ πράγματός ἐστι τὸ ἐπίθετον· βαρεῖαν γὰρ χεῖρα τὴν μετὰ βίας ἐρείδουσαν τὸ δόρυ φησίν. συνεπιβαρύνας τὴν χεῖρα τῷ δόρατι.

B+ 49. *δι' αὐχένος ἦλθεν*] εἰκότως διῆλθεν· καὶ γὰρ ἡ τρώσασα χεὶρ βαρεῖα καὶ ὁ αὐχὴν ἁπαλός, ὥστε ἐπετήδευσε μονομάχιον ἐπιδεῖξαι δύο καλῶν. καὶ γὰρ Μενέλαος ξανθὸς εὔμηρος καλλίσφυρος.

A=B- 51. *κόμαι Χαρίτεσ⟨σ⟩ιν ὁμοῖαι*] οὐκ εἰκῇ ἡ ἐπεξεργασία τῆς κόμης· ἀλλ' ἐπεὶ ἔφθη εἰπὼν (Il. 16. 795, 7) "μιάνθησαν δὲ ἔθειραι αἵματι καὶ κονίῃσι. πάρος γε μὲν οὐ θέμις ἦεν ἱππόκομον πήληκα μιαίνεσθαι," παραμυθίαν εἰσφέρει τοῖς λυπουμένοις ὑπὲρ Πατρόκλου, ψευδεῖς ἀντιπαραθεὶς τρίχας ταῖς οὐ ψευδέσιν.

A+ *Χαρίτεσ⟨σ⟩ιν ὁμοῖαι*] ταῖς τῶν Χαρίτων. §. οἱ δὲ γράφουσι "Χα-
A+ ρίτεσ⟨σ⟩ι μέλαιναι," ὑπὸ Χαρίτων μελανθεῖσαι· αὗται γὰρ οὖλαι.

B= 52. * *πλοχμοί*] οἱ πεπλεγμένοι πλόκαμοι.

3. ἐπίθετον B ‖ 7. ἵνα ‖ 9. ἔστι δ. lemma ‖ 12. καὶ B: ἀλλ' ‖ 27. κ. δὲ X. ‖ 29. εἶεν ‖ πήλικα

Digitized by Google

ἐσφήκωντο] παρειμέναι ἄνωθεν περιεδέδεντο. καὶ "Νάστης—χρυσὸν ἔχων πόλεμόνδ' ἴεν, ἠύτε κούρη" (Il. 2. 871, 2). ἔστι δὲ βαρβαρικὸς ὁ κόσμος. τ⟨οι⟩αῦτα δέ τινες κάλυκάς φασιν. A~B-

53. ἔρνος—ἐλαίης] Λαπίθαι μὲν δρυσὶν "αἵ τ' ἄνεμον μίμνουσι καὶ ὑετόν" (Il. 12. 133) ⟨εἰκάζονται⟩, Ἕκτωρ δὲ πεπτωκὼς δρυῒ κεραυνωθείσῃ (Π. 14. 414)· τῷ γὰρ μεγέθει ἐκείνων ἥρμοσται ἡ ἀπὸ τῶν τοιούτων δένδρων εἰκών. ἐνταῦθα δὲ ὡραῖον γράφων τὸν Εὔφορβον ἐλαίαν παρέλαβε, δένδρον εὐειδὲς καὶ τῷ ἀειθαλεῖ τὸ κάλλος διαφυλάττον. σκόπει δὲ καὶ τὰς κατὰ μέρος ἐξεργασίας. τὸ μὲν πρῶτον οὐκ ἔφη φυτοκομεῖσθαι τὸ δένδρον, ἀλλ' ὡς ἐπὶ ζῴου ἐμψύχου τρέφεσθαι, δηλῶν τὸ ἥμερον καὶ εὐάγωγον τῆς φύσεως τοῦ φυτοῦ, οὐκ αὐτοματίζον, ἀλλ' ἐπιμελείᾳ γεωργῶν αὐξόμενον ἐν τόπῳ ἐρήμῳ φυτῶν, ἵνα μὴ ἐμποδίζη⟨ται⟩ τῇ ⟨ἐκ⟩φύσει τῶν πλησίον ῥιζῶν. συνεργεῖ δὲ αὐτῷ καὶ τὸ ὕδωρ πρὸς αὔξησιν· λοιπὰ δὲ ἦν τὰ τῆς ψυχῆς καὶ τὰ ἔξωθεν· διὸ παρείληφε τοὺς παντοίους ἀνέμους (56), ἵνα εὔτονον γινόμενον τὸν καρπὸν φυλάττοι. B=

54. χώρῳ ἐν οἰοπόλῳ] φυσικόν ἐστι ⟨τὸ⟩ κοτινοφόρους εἶναι τοὺς ὑψηλοὺς τόπους· ἀμέλει ἐν ἀκροπόλει Ἀττικῆς πρῶτον ἐφάνη. B–

ἄλλως: χώρῳ ἐν οἰοπόλῳ] πρὸς τὸ μὴ ἐκκόπτεσθαι ὑπὸ ὁδοιπόρων ἢ μὴ ἐμποδίζεσθαι τῇ ἐκφύσει τῶν πλησίον ῥιζῶν· ἧττον γὰρ εὔτροφα τὰ τοιαῦτα φυτά, ἀλλήλων τὴν εὐφυΐαν ἀφαιρούμενα. B–

ἀναβέβρυχεν] ⟨ἀνα⟩πηγάζει· τινὲς δὲ "⟨ἀνα⟩βέβροχεν" πιαίνεται ἐξ ὑετῶν, ὡς "⟨ὅς⟩ τὸ καταβρόξειεν" (Od. 4. 222). AB+

55. πνοιαί] ἵν' εὔτονον γένηται καὶ φυλάσσῃ τὸν καρπόν· τὰ γὰρ θαλπόμενα ἀσθενῆ εἰσι καὶ ἐπισκήπτοντος ἀνέμου τὸν καρπὸν ἀφίησιν. B–

56. βρύει] θάλλει· ὅθεν καὶ ἔμβρυον. §. "ἄνθεϊ" δὲ "λευκῷ" τῷ κυπρισμῷ τῆς ἐλαίας· οὐ γὰρ τελεσφορεῖ τὸν καρπὸν διὰ τὸ νέον. B= B=

57. ἐλθὼν—ἐξαπίνης] ἐπὶ μὲν τῆς τροφῆς αὐτῆς πνοὰς ἀνέμων φησὶν (55), ἐπὶ δὲ τῆς πτώσεως ἄνεμον καὶ λαίλαπα (57). B=

58. ἐξέστρεψε] μετέωροι γὰρ αἱ τῆς ἐλαίας ῥίζαι· διὸ καὶ B=

1. παρειμέναι οἱ B, παρειμένοι ‖ 1, 2 καινὰ τῆς χρ. ‖ 3, 5. supplevi ex B ‖ 6. ἥρμοττεν B, ἥρμοσθαι ‖ 11. τρέφεσθαι B: τροφῇ ‖ δηλῶν B: δηλοῦν ‖ 12. καὶ μὴ αὐτ. B ‖ 13. supplevi ex B ‖ 14. ἔσται τὰ B ‖ 16. φυλάττῃ B ‖ 17. supplevi ex B ‖ 22. prius supplevi ex B ‖ alterum supplevi ex A Eust. ‖ 24. ἵν' ἑδραῖον γ. B ‖ 26. ἀπόλλυσιν B

Digitized by Google

*γυρόσε ἐπισκάπτουσιν αὐτάς. ἐμφαντικῶς δὲ καὶ τὴν "ἐξ" πρόθεσιν παρείληφε, δεικνὺς τὴν ἐλαίαν σὺν ταῖς ῥίζαις ἀναβεβλημένην. λείοις δὲ χρησάμενος τοῖς ἔπεσι νῦν συνετράχυνε τῷ πάθει τὴν ἀπαγγελίαν.*

*καὶ ἐξετάνυσ⟨σ⟩' ἐπὶ γαίῃ] αἱ γὰρ ῥίζαι αὐτῆς ἐν ὑγρῷ εἰσι καὶ γυμνὸς ὁ τόπος.*

B= 61. *ὡς ⟨δ'⟩ ὅτε τίς τε λέων] πάντα παρέβαλε πᾶσι, τὸ πλῆθος τῶν* Τρώων *ἀγέλῃ βοῶν, τὸν* Εὔφορβον *ὄντα ἄριστον τῇ ἀρίστῃ βοῶν —ὅτι δὲ ἄριστος, μαρτυρεῖ ὁ ποιητής, "*Πατρόκλῳ *περιβὰς* Τρώων *τὸν ἄριστον ἔπεφνε" (80)—τὸν κτείναντα* Μενέλαον *λέοντι, τὴν ἀπραξίαν τῶν ⟨*Τρωικῶν*⟩ ἀριστέων βουκόλοις καὶ κυσὶν ἐπαμῦναι μὴ δυναμένοις.*

A+B— 65. *δηῶν] σὺν τῷ ῑ, καὶ περισπάσεις διὰ τὸ "δῄουν ἀλλήλους"* (Il. 15. 708). *τὸ γὰρ ἐντελὲς θέμα δηιόων ἐστίν.*

A= 66. * *ἰύζουσιν] οἱ νομῆες· οἱ δὲ κύνες ὑλακτοῦσιν.*

A+ 70. * *ἔνθα κε—φέροι] ἀντὶ τοῦ ⟨ἔ⟩φερεν.*

A— 73. Κικόνων *ἡγήτορι] πῶς ἐν τῷ* Καταλόγῳ *φησὶν "*Εὔφημος *δ' ἀρχὸς* Κικόνων *ἦν"* (Il. 2. 846); *νοητέον οὖν, ὅτι ἦσαν μέν τινες πρῶτοι ἄρχοντες ἐν παντὶ τάγματι, ἦσαν δὲ καὶ ὑποδεέστεροι, ὡς ὁ* Ἀχιλλεὺς *"πέντε δ' ἄρ' ἡγεμόνας ποιήσατο"* (Il. 16. 171).

A= *ἡγήτορι* Μέντῃ] *τῶν ἀμοιβαίων ἡγεῖτο ἴσως ὁ* Μέντης. §. *τινὲς γράφουσι "*Πείρῳ,*" ἵν' ᾖ ὁμώνυμος τῷ* Θρᾳκί (Il. 4. 520).

75. *ἀκίχητα] ἀκατάληπτα.* §. *προοικονομεῖ δέ, ἵνα νοῶμεν μετὰ θάνατον* Ἀχιλλέως *ἀνακεχωρηκέναι αὐτοὺς πρὸς τὸν δόντα.*

B— 76. *ἀλεγεινοί] πολλοῦ λόγου δεόμενοι, εἰ ἀνδράσιν ὑποταγήσονται· ἢ δυσχερεῖς, ὅ ἐστιν ἀδύνατοι.*

83. * *Ἕκτορα] ἀντὶ τοῦ* Ἕκτορος.

85. *τὸν μὲν ἀπαινύμενον] σχεδὸν ἔδειξε τὸ πρᾶγμα ἐν πίνακι.*

B= 86. * *κατ' οὐταμένην ὠτειλήν] κατὰ τὸ ἐξ οὐτήσεως τραῦμα.*

B= 88. *ὀξέα κεκληγώς] ἀναγκαῖον, ἵν' ἐν τοσούτῳ ὁ* Μενέλαος *ἔχῃ καιρὸν διαλογίσασθαι· ὁ μὲν γὰρ συγκαλεῖ τὸ πλῆθος, ὁ δὲ σκέπτεται.*

1. *γυρόσε ἐ. αὐτὰς* B: *γύρους ἐ. αὐταῖς* ut Eust. ‖ 3. *συνετράχυνε* Bekker: *συνεπάχυνε* ut B ‖ 5. *αἱ* Eust.: *αὗται* ‖ 7. *παρέλαβε* ut B ‖ 7, 8. *πάσῃ μὲν τῇ ἀγέλῃ* B ‖ 11. supplevi ex B ‖ 13. *περισπᾶται* B ‖ *ἀλλήλων* ‖ 22. *πειρῷ* ‖ 28. *ἀπαινύμενον* textus: *ἀναινύμενον* ‖ 32. *περὶ αὐτοῦ* add. B

Digitized by Google

91. εἰ μέν κε λίπω] μένειν μὲν ἡ τιμὴ Πατρόκλου καὶ ὁ ψόγος Ἑλλήνων προτρέπει, φεύγειν δὲ τὸ πλῆθος τῶν Τρώων. B+

⟨λίπω⟩ κάτα τεύχεα καλά] τὸ ἑξῆς καταλίπω· διὸ ἀναστρεπτέον τὴν πρόθεσιν. AB=

92. Πάτροκλόν ⟨θ'⟩, ὃς κεῖται] δαιμονίως ἑαυτὸν δυσωπεῖ παραμεῖναι τῷ δι' αὐτὸν τελευτήσαντι. B=

95. * μή—περιστείωσι] διστακτικὸν τὸ "μή." B=

* "περιστήωσι" διὰ τοῦ η. A+

96. Τρῶας δ' ἐνθάδε πάντας] προκατασκευάζει ⟨εἰς τὸ⟩ πιθανὴν γενέσθαι τὴν ἀναχώρησιν. AB=

98. ὁππότ' ἀνὴρ ἐθέλῃ] ὅταν ἀνὴρ θέλῃ παρὰ γνώμην θεοῦ μάχεσθαι φωτὶ ὃν κε θεὸς τιμᾷ. A-B+

πρὸς δαίμονα φωτὶ μάχεσθαι] παρὰ γνώμην θεοῦ· ἡ γὰρ "πρός" καὶ τὴν παρά δηλοῖ· "ἄριστα—πρὸς Τρώων" (Il. 6. 56)· "καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα" (104). A+

101. * ἐκ θεόφιν] ἐκ θεῶν· περισσὴ οὖν ἡ ἔξ. B=

102. βοὴν ἀγαθοῖο] τινὲς τὴν φωνήν· σπανίως γὰρ αὐτὸν βοὴν ἀγαθόν φησιν. B=

105. * κακῶν—φέρτατον] ἐν κακοῖς βέλτιστον. A+

109. ἐντροπαλιζόμενος] οὕτω γὰρ ἀναχωρεῖ καὶ λέων, μὴ διδοὺς τὰ νῶτα τοῖς διώκουσιν ἀλλὰ κατ' ὀλίγον ὑποβαίνων. B=

110. κύνες τε καὶ ἄνδρες] πολὺς ὁ θόρυβος κυνῶν ἀνδρῶν ὅπλων βοῆς, ὅπως ἀναχωρῇ παθὼν μὲν οὐδέν, δρᾶσαι δὲ κωλυθείς. A-B=

ἄλλως: κύνες τε καὶ ἄνδρες—ἔγχεσι καὶ φωνῇ] πρὸς τὸ δεύτερον ὑπήντησεν. B=

* δίωνται] ὡς λείπωνται· ἀπὸ δὲ τοῦ δίημι ἡ κλίσις. A=

112. παχνοῦται] πήγνυται φρίσσει ἢ λυπεῖται· τὰ ἀηδῆ γὰρ ψυχρὰ ἐκάλουν, ὥσπερ καὶ τὰ προσηνῆ θερμά. A+B=

μεσ⟨σ⟩αύλοιο] ἐπαύλεως· ἀντιπέφρασται γὰρ τῷ "σταθμοῖο" (110). A-B-

117. θαρσύνων⟨θ'⟩ ἑτάρους] ἔνδειξις καὶ τοῦτο τῆς Αἴαντος ἀρετῆς εἰς μάχην προτρεπομένου οὓς Ἀπόλλων φοβεῖ. B=

118. * θεσπέσιον] τὸν ἐκ θεοῦ πίπτοντα. B=

7. διστακτικὸν Bekker: διστακτὸν B, δραστικὸν ‖ 8. περιστήωσι A: -ήσωσι ‖ 9. supplevi ex A ‖ 11. ἐθέλησιν ‖ 12. κε B: καὶ ‖ 18. φησίν B: φασί ‖ 20. ὑποχωρεῖ B ‖ 23. ἀναχωρήσῃ B, ἀναχωροίη ‖ 26. λέγωνται A, λείπονται ‖ ἀπὸ A: ὑπὸ ‖ δίημι A: δίωμι ‖ 29. ἐπαύλεως B: ἐπαύλοιο

Digitized by Google

120. * *βραχὺς ὁ λόγος τοῦ σπεύδοντος πρὸς τὴν συμμαχίαν.*

B+ 123. *θυμὸν ὄρινε] ἐλυπήθη μέν, οὐ συγκέχυται δέ, ὡς Ἀντίλοχος τῇ ἀφωνίᾳ συνεσχέθη* (695).

B– 125. Πάτροκλον—*ἀπηύρα] Ἀττικῶς εἶπεν, οὐ* 'Πατρόκλου,' *κατεχρήσατο δέ, ὡς ἐκεῖ* "⟨*τὰ*⟩ Πατρόκλοιο *βίην ἐνάριξε κατακτάς*" (Π. 22. 323). *γυμνὸς γὰ* Πάτροκλος· *καὶ* "*τεύχεα δ' οὐ κατὰ κόσμον ἀπὸ κρατός τε καὶ ὤμων εἷλεν*" (205). *ἢ ἐπεὶ τὰς κνημῖδας ἔλυσεν· ἢ ὡς Ὀδυσσεύς φησι* "*σκοπὸν εἵλομεν*" (Π. 10. 561) *κατὰ συνεκδοχήν, οὕτω καὶ Ἀπόλλωνος ἀφῃρημένου τὸν κοινωνὸν τῶν κατορθωμάτων* (Π. 16. 793) *συναριθμεῖ.*

A~B= 126. *κεφαλὴν τάμοι] εὔλογον προκατασκευάζει τὴν εἰς τὸν* Ἕκτορα *αἰκίαν λέγων, ὅτι αὐτὸς ταύτῃ διαθεῖναι τὸν* Πάτροκλον *ἔσπευσεν.*

128. Αἴας *δ' ἐγγύθεν ἦλθε] εὐκαιρότατα ἔρχεται* Αἴας *ἤδη μέλλοντος* Πατρόκλου *σύρεσθαι.*

B= 129. Ἕκτωρ *δ' ἂψ ἐς ὅμιλον] ἀντίθες τῷ κατὰ τὸν* Μενέλαον. *ὁ μὲν ἀναχωρεῖ συμμαχίαν προσκαλεσόμενος, ὁ δὲ οὐχ ἵνα ὠφελήσῃ τι τοὺς φίλους, ἀλλ' ἵνα κοσμήσηται τοῖς ὅπλοις, ὥσπερ μειράκιον εἰς πομπὴν μέλλων προϊέναι.*

A~B= 133. *ὥς τίς τε λέων] ἐπὶ μὲν τῆς προτέρας παραβολῆς* (4) *ἀντὶ τῆς βοὸς τῷ τῆς μητρὸς ἐχρήσατο ὀνόματι· ἐπεὶ δὲ ἀπεμφαῖνον ἦν ἐνταῦθα κατὰ τοῦ λέοντος χρήσασθαί τινι τοιούτῳ, τῷ μὲν κυριωτέρῳ κέχρηται κατὰ τούτου, τοὺς δὲ σκύμνους αὐτοῦ τέκνα ὀνομάζει τῷ φιλοστόργῳ ὀνόματι. καλῶς δὲ καὶ νήπια ἐποίησε. τὰ τέκνα· μείζων γὰρ ἡ περὶ τούτων φροντίς.*

A+B– *λέων περὶ οἷσι τέκεσ⟨σ⟩ιν] οὐ σκυμναγωγεῖ* ⟨*ὁ*⟩ *λέων. ἴσως οὖν τὴν θήλειάν φησιν· οὐκ οἶδε γὰρ* Ὅμηρος *τὸ λέαινα· διὸ φθάσας εἰπεῖν* "*λέων*" "*ᾧ ῥα*" (134) *ἀρσενικῶς ἐπάγει. καὶ γάρ φησιν* "*ἐπεί σε λέοντα γυναιξὶ* Ζεὺς *θῆκεν*" (Il. 21. 483). *ὁ δὲ* Ἀντίμαχος *καὶ τὸν ἄρρενά φησι σκυμναγωγεῖν. τὸ μέγεθος δὲ* Αἴαντος *ὑποφαίνει ἡ παραβολή.*

B= 134. *νήπι' ἄγοντι] φυσικὴν οἶδε τὴν τῶν τέκνων φιλοστοργίαν. ἐπὶ ὀρνίθων* "*μάστακ', ἐπεί κε λάβῃσι*" (Il. 9. 324), ⟨*ἐπὶ*⟩ *κυνῶν* "*ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσ⟨σ⟩ι*" (Od. 20. 14), ⟨*ἐπὶ*⟩

2. *ὤρινε* ‖ 9. *τὸν κοινωνὸν* B : *τῶν κοινῶν* ‖ 12. *αἰτίαν* B ‖ *ταύτῃ δ.* scripsi : *ταύτην δ. περὶ* B, *ταύτην δ.* ‖ 15. *τῷ* B: *τὸ* ‖ 23. *ποιεῖ τὰ τ.* B, *ἐποιήσατο τ.* ‖ 24. *μείζων γ. ἡ π. τούτων φροντίς* B, *ὧν μείζων φροντίς* Eust. : *μερμερίζων γ. ἦν π. φόνου* ‖ 27. *ᾧ ῥα* W, cf. A : *ὅλα* ‖ 31, 2. supplevi ex B ‖ 32. *λέων* ut B ‖ *ἀμαλῇσι* B : *ἀμαλΐσι*

Digitized by Google

θρεμμάτων "ὥς τις περὶ πόρτακι μήτηρ" (4), ⟨ἐπὶ⟩ θηρίων ἀγρίων, ὡς νῦν.

136. ὅσσε καλύπτων] ὁ λέων. ὑπερέβαλε δὲ ὁ λόγος καὶ τὴν γραφικήν.

141. * εἰκότως διὰ Σαρπηδόνα.

142. μάχης ἄρα πολλὸν ἐδεύεο] δειλίαν αὐτῷ ὀνειδίζει, ὃ μάλιστα κινεῖν ἔμελλεν τὸν Ἕκτορα· ἐπεὶ δὲ δικαίως ἀγανακτεῖ, φέρει αὐτὸν ὁ Ἕκτωρ ὀνειδίζοντα. AB=

143. * φύξηλιν] παραγωγὸν ἀπὸ τοῦ φύξω μέλλοντος. A+

144. φράζεο νῦν] ὅρα τὴν τάξιν τοῦ λόγου καὶ τὴν τομήν. πρῶτον ἔθηκε τὸ κατὰ τὸν Ἕκτορα, ὡς ἀφέστηκε τῆς μάχης καὶ ἀμελεῖ τῶν συμμάχων· εἶτα ἐπάγει τὸ καθ' ἑαυτόν, ὡς δίκαιον ποιῶν εἰ ἀποσταίη καὶ αὐτὸς μετὰ τῶν Λυκίων, καὶ τὴν αἰτίαν ἐπεξεργάζεται, "ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν μάρνασθαι δηίοισιν" (147, 8). B=

* σαώσῃς] διὰ τῆς ει διφθόγγου τὸ "σαώσεις." A+

146. οὐ γάρ τις Λυκίων] οἱ γὰρ στρατιῶται ὁρῶντες ἀνεκδικήτους τοὺς τελευτήσαντας ἀποστήσονται τῶν κινδύνων· τοῦτο δὲ δηλοῖ διὰ τοῦ "ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν μάρνασθαι δηίοισιν" (147, 8). B−

147. ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν] οὐ γάρ ἐστι χαριστέον σοι ἐκ τοῦ μάχεσθαι· τὸ γὰρ "οὐκ ἄρα" ἀντὶ τοῦ 'οὐχ ὡς ἔοικεν' "οὐκ ἄρα μοῦνον ἔην Ἐρίδων γένος" (Hes. Opp. 11)· "οὐκ ἄρα σοί γ' ἐπὶ εἶδει" (Od. 17. 454). B−

149. πῶς κε ⟨σὺ⟩ χείρονα φῶτα] ὁ γὰρ τοῦ βασιλέως πεσόντος ἀμελήσας ποῖος φανεῖται περὶ τοὺς ἐκείνου χείρονας; B=

μεθ' ὅμιλον] ἀντὶ τοῦ ἐκ πολέμου. ⸓. Ζηνόδοτος δὲ γράφει B+
"μετὰ μῶλον" ἀντὶ τοῦ ἔξω τοῦ πολέμου. A+

151. τὸ "κάλλιπες" τὸν ἐθελόκακον δηλοῖ. πῶς δὲ δίκαιον τὸν ξένον, τὸν φίλον, τὸν σύμμαχον περιορᾶσθαι; B=

* ἕλωρ] ἀναίρεμα.

152. * πολλά] πολλαχῶς· ἢ λείπει ἡ κατά. A−B+

155. οἴκαδ' ἴμεν] Ἀρίσταρχος ἀπαρέμφατον· καὶ λείπει τὸ καλῶς ποιήσει. ὁ δὲ Σιδώνιος γράφει "ἴ⟨τ⟩ω."

* πεφήσεται] φανερωθήσεται. A+

1. supplevi ex B ‖ 3. cf. p. 218, 5 adn. ‖ 4. schol. ad v. 140 scriptum ‖ 5. ἐδεύεο etiam textus ‖ 13. ἦεν B: εἶεν ‖ 16. τοῦ κινδύνου B ‖ 20. σύγε ‖ 25. μετὰ μῶλον Barnes ex codice nescio quo: μεθ' ὁμίλου ut A ‖ 26. τὸ κ. B: τὸν κ. ‖ 30, 1. inter καλῶι et ὁ legi δολ vel ιολ: καλῶς ποιήσει corr. Ludwich ex Eust.; schol. fere evanidum ‖ 31. Σιδόνιος ‖ suppl. Spitzner

Digitized by Google

B= 156. εἰ γὰρ νῦν Τρώεσσι] ἀπειλήσας τὴν ἐπάνοδον πάλιν προτρέπει ἐπὶ τὴν βοήθειαν, ὀργιζομένου καὶ κηδομένου ἐμφαίνων διάθεσιν.

B= * λεληθότως καὶ Τρώων καθάπτεται.

159. * ἐρυσαίμεθα] διὰ μάχης ἑλκύσαιμεν.

A= 163. * ὅτι ἐπὶ ἀψύχων τὸ "ἀγοίμεθα."

B= 164. τοίου γὰρ θεράπων] τεχνικῶς μέγα δείκνυσι τὸ κατόρθωμα προτρέπων αὐτούς.

B= ἄλλως: τοίου γὰρ θεράπων] ἀξιόπιστα τὰ ἐγκώμια ὑπὸ πολεμίου λεγόμενα.

B= 167. ⟨στήμεναι ἄντα,⟩ κατ' ὄσσε ἰδών] οὐκ ἀντιμαχέσασθαι, ἀλλ' οὐδὲ ἀντιβλέψαι.

* δηίων ἐν ἀυτῇ] ἐν τῇ πρὸς τοὺς πολεμίους μάχῃ.

A–B= 170. Γλαῦκε] οὐκ εὐπορῶν ἀπολογίας πρὸς μὲν τὰ κατηγορηθέντα ⟨οὐδὲν⟩ ἀποκρίνεται, ὡς ὑβρισμένος δὲ ἀγανακτεῖ· εἶτα δὲ καὶ τὴν αἰτίαν ψεύδεται, εἰς τὸν Δία ἀναφέρων τὸ ὅλον.

A= * τίη] Ἀττικῶς διὰ τί.

* ὑπέροπλον] ἀνάρμοστον.

A+ 171. * ὢ πόποι] Ζηνόδοτος "ὢ πέπον."

* περὶ φρένας ἔμμεναι ἄλλων] ὑπερεῖναι τῶν ἄλλων.

A+ 173. * νῦν δέ σε] γράφεται "νῦν δέ σευ."

A+ 174. * "φῇς" ἐνεστῶτος.

176. * οὐκ εὐπορῶν ἀπολογίας τὸν Δία αἰτιᾶται.

A= 178. * ὁτὲ δ' αὐτός] Ἀριστοφάνης "τότε δ' αὐτός."

179. ἀλλ' ἄγε δεῦρο] ὅρα ἃ ἐπαγγέλ⟨λ⟩εται καὶ τί μέλλει ποιεῖν.

B= 181. ⟨ἀλκῆς μάλα περ⟩ μεμαῶτα ⟨σχήσω ἀμυνέμεναι⟩] μεμαῶτα ἀμύνειν σχήσω τῆς ἀλκῆς.

AB= 186. ὄφρ' ἂν ἐγὼ Ἀχιλῆος] προσεδόκησεν ἄν τις αὐτὸν δυσωπηθέντα τοῖς λόγοις, ⟨ὡς καὶ⟩ αὐτὸς ἐπηγγείλατο, κινηθῆναι ἐπὶ τῷ πράγματι· ὁ δὲ ἐπιλέλησται μὲν ὧν αὐτὸς εἶπεν, ἠμέληκε δὲ τῶν ὀνειδῶν, ἐπὶ δὲ τὴν ἑαυτοῦ ἐπιθυμίαν ἐξάγεται.

A+ 190. ὦκα μάλ' ⟨οὔπω τῆλε⟩] ποσὶ μετασπῶν ἐκίχανε τοὺς ἑταίρους οὐ τῆλε.

5. schol. p. 217 l. 3 post γρ. sine lemmate propter ἄγοντι repetitum || ἀγώμεθα schol. alt. || 14. supplevi ex B || 26, 7. μαιμαῶτα || 28. Ἀχιλλῆος || 29. τοῖς λόγοις Dindorf nescio unde: τοὺς λόγους ut A B || ⟨ὡς καὶ⟩ supplevi ex B: οἷς || 30. ἠμέληκε A: -ησε || 32. μάλα || 33. τῆδε

Digitized by Google

μετασπῶν] διώκων. §. τινὲς δὲ ἐβάρυναν, οὐκ εὖ. οὐδεμία γὰρ μετοχὴ ἀναβιβάζει τὸν τόνον ἐν τῇ συνθέσει, εἰ μὴ ἡ ἄκων. A + B =

192. στὰς δ' ἀπάνευθε μάχης] ἔπεμψε μὲν τοὺς ἑταίρους φέροντας τὰ ὅπλα, μὴ δυνηθεὶς δὲ πρὸς τὴν ἐπιθυμίαν ἀντισχεῖν μετανοεῖ καὶ σπεύδει καλλωπίσασθαι, διὰ τῶν θείων ὅπλων δόξαν καὶ φυλακὴν παρέχων ἑαυτῷ θέλων τε τοὺς Τρῶας ἐπιρρῶσαι καὶ τοὺς Ἀχαιοὺς φοβῆσαι. ἅμα δὲ καὶ ἀποδίδοσθαι θέλει τὰ ὅπλα τῷ Ἀχιλλεῖ ὁ ποιητής. A – B =

194. τεύχεα δῦνεν] οὐ γὰρ ἰσομεγέθης Ἀχιλλεῖ ὁ Ἕκτωρ· πολλοὶ δὲ κέχρηνται τούτοις τοῖς ὅπλοις, Πηλεὺς (Π. 18. 84) Ἀχιλλεὺς Πάτροκλος Ἕκτωρ, καὶ πᾶσιν ἁρμόζουσιν· φύσις γὰρ αὕτη τῶν ἡφαιστοτεύκτων, τὸ πᾶσιν ἁρμόδια γίνεσθαι.

197. γηράς] ἀποκοπὴ τοῦ γηράσας, ὡς "ὑποφθάς" (Il. 7. 144), "ἐπιπλώς" (Il. 6. 291)· καὶ Κόριννα (fr. 35 B.) "βροντάς" ἀντὶ τοῦ βροντήσας. τινὲς δὲ ἀπὸ τοῦ γήρημι γηράς, ὡς κίχρημι κιχράς· ὅθεν τὸ "γηράντεσσι τοκεῦσιν" (Hes. Opp. 188) παρατάσεως μᾶλλόν ἐστιν ἤπερ συντελείας, γηρῶσι τοῖς γονεῦσι καὶ ἐν παρατάσει οὖσι τοῦ γηρᾶν, οὐχὶ τέλος λαβοῦσι τοῦ γήρως· ὁ γὰρ τέλος λαβὼν τοῦ γήρως τέθνηκεν. καὶ ἐνθάδε τὸ "γηράς" ἀντὶ τοῦ γηρῶν, οὐχὶ γηράσας. A + B –

ἀλλ' οὐχ υἱὸς ἐν ἔντεσι πατρὸς ἐγήρα] ἡδὺ καὶ περιπαθὲς τὸ εὑρίσκεσθαι δυστυχέστερον τοῦ πατρὸς τὸν υἱόν. A =

198. ἴδεν νεφεληγερέτα Ζεύς] ἐλέγξαι βουλόμενος τὴν κενοσπουδίαν Ἕκτορος οὐκ ἐκ τοῦ ἰδίου προσώπου τὸν λόγον ἐποιήσατο—ἐφαίνετο γὰρ ἂν πρὸς ἀπέχθειαν κατηγορῶν—περιθεὶς δὲ τῷ Διὶ τοὺς λόγους ἀξιοπιστότερον τοῦ βαρβάρου κατηγόρησεν. B =

201. σχετλιάζων ἐπὶ τῷ ἐπάρματι τῆς εὐτυχίας διδάσκει μετριάζειν. B =

202. ὅς δή τοι σχεδόν ἐστι] τὴν ἀγανάκτησιν τῶν ἀκροατῶν θεραπεύσων ⟨τὸ⟩ μαντεῖον Διὶ περιέθηκεν.

* σχεδόν] ἐπὶ τοῦ χρόνου.

205. τεύχεα δ' οὐ κατὰ κόσμον] Πηλεῖ γὰρ καὶ τοῖς Πηλέως ἐπέβαλεν αὐτὰ φορεῖν οἷς ἔδωκαν οἱ θεοί.

207. οὔτι μάχης ἐκνοστήσαντι] εἰ καὶ ἔμελλέ τις τῶν ἀκουόντων AB =

2. τὸ ἄκων B ‖ 7. τοῦ post καὶ omisi ut B ‖ ἀποδοθῆναι B ‖ 12. γηράσας A B: γεραιὰς ‖ 13. καὶ κ' ὥρινα βροντᾶς: corr. Schneidewin ‖ 18. γηρᾶς ‖ 21. ἰδὲ ‖ 27. ἐστίν etiam textus ‖ 27, 8. θεραπεύσων W: ὅρα πῶς οὖν ‖ 28. μαντεῖον scripsi: προαναφώνησιν Eust., ἰδὼν τῷ ‖ 31. ἐπέβαλεν W: -ον ‖ φορεῖν Bekker cf. A: φρονεῖν

Digitized by Google

ἀγανακτήσειν ἐπὶ τῷ τὸν Ἕκτορα χρῆσθαι τοῖς Ἀχιλλέως ὅπλοις, μαθὼν ὅτι οὐκ ἐπὶ πολὺ ⟨φορήσει⟩ κἂν ἠλέησε τὸν Ἕκτορα.

B= 208. δέξεται Ἀνδρομάχη] πάθος ἐργάζεται ταῖς ἀλλοτρίαις συμφοραῖς· συναλγοῦν τὸ πρόσωπον. ἡ φιλανδρία δὲ Ἀνδρομάχης δείκνυται εἰωθυίας ὁπλίζειν τὸν Ἕκτορα.

B= 209. καὶ κυανέῃσιν ἐπ' ὀφρύσι] τραγῳδίαν ἔχει τὸ ἐπὶ κυρώσει

B= μεγάλων παθῶν νεῦμα. §. ἔνευσε νικῆσαι· τὸ γὰρ ἀποθανεῖν ἐπέπρωτο.

B= 210. δῦ δέ μιν Ἄρης] διὰ τοῦ Διὸς καὶ τῶν ὅπλων. §. "Ἄρης"

AB= δὲ πολεμικὴ ἐπιθυμία.

B+ 211. ἐνυάλιος] φονικός, παρὰ τὸ ἔνω· ὅθεν αὐθέντης συντέθειται.

213. ἰνδάλλετο] ὡμοιοῦτο. §. "Πηλείωνι" (214) οὕτως Ἀρίσταρ-

A+ χος.

A+ 214. μεγαθύμου Πηλείωνος] Ἀρίσταρχος "μεγαθύμῳ Πηλείωνι·" Ζηνόδοτος "Πηληιάδεω Ἀχιλῆος."

B= 216. Μέσθλην τε Γλαῦκόν τε] προπαρασκευή τις ὑπὸ τοῦ ποιητοῦ τῆς μάχης ἔοικε γίνεσθαι. ἅμα δὲ καὶ ἀκόλουθον τῇ κενοδοξίᾳ Ἕκτορος ⟨τὸ⟩ καθ' ἕκαστον ἐνδείκνυσθαι τὴν κτῆσιν τῶν ὅπλων καὶ καταφανῆναι ὅμοιον τῷ Ἀχιλλεῖ.

B= * Μέσθλην τε Γλαῦκόν τε Μέδοντά τε Θερσίλοχόν τε] ἡδέως πάνυ καὶ ἀρχαιοπρεπῶς τῇ ἐπαλληλίᾳ τοῦ συνδέσμου ἐχρήσατο.

A+ 218. Φόρκυν] ὡς βότρυν· οὐκ ἀναγκαῖον δὲ ἐκτείνει⟨ν⟩ τὸ ῡ. καὶ γὰρ διὰ τὸ μέτρον ἐκτέταται ἐν τῷ "Φόρκυς αὖ Φρύγας ἦγε" (Il. 2. 862).

A+ ⟨Χρομίον⟩] "Μυσῶν δ' αὖ Χρόμις ἦρχε καὶ Ἔννομος οἰωνιστής" (ib. 858).

B= 220. κέκλυτε, μυρία φῦλα] ἐπῆρται πάλιν τῇ εὐτυχίᾳ.

B= καὶ ἄλλως: ὑπὸ τοῦ Γλαύκου δεινῶς ὀνειδισθεὶς ἀνταποδίδωσι τοῖς ἐπικούροις τὴν ὕβριν. παραβάλωμεν δὲ Ἑλληνικῷ βάρβαρον ἦθος· ἄμφω προτρέπουσι τοὺς στρατοὺς ἐπὶ τὴν μάχην, Ἕκτωρ καὶ Μενέλαος· ἀλλ' ὃ μὲν οὐδὲ ῥῆμα φιλοφροσύνης εἶπεν, ὃ δὲ "ὦ φίλοι Ἀργείων ἡγήτορες" (248)· καὶ ὃ μὲν δημοσίας τιμῆς καὶ σιτήσεως ὑπομιμνήσκει (250), ὃ δὲ δώρων καὶ ἐδωδῆς (225) φορτικὴν καὶ δουλοπρεπῆ ὀνειδίζων αὐτοῖς δόσιν, καὶ ἐκτρίβειν τὴν ἀρχήν φησι

2. supplevi ex A ‖ κἂν ἠ. A : ἠ. ἂν B, καὶ ἠ. ‖ 10. ἔνω B Et. M : ἐνυὼ ‖ 14. Ἀχιλλῆος ‖ 17. supplevi ex B ‖ 20. ἐπαλληλίᾳ B : ἐπαγγελίᾳ ‖ 24. Χρόμιος ‖ δὲ Χρόμις codd. Il. ‖ linea 25 cum lemmate l. 27 iuncta et ad schol. v. 220 pro lemmate scripta ‖ 28. παραλάβωμεν B

Digitized by Google

(225) πρὸς τὸ τούτων χάρισμα, ὁμολογῶν ὡς ἄκων καὶ μισθῷ προτρέπει. ὁ δὲ νέμεσιν προβάλλε⟨τα⟩ι (254).

221. πληθὺν διζήμενος] ἐπὶ σωτηρίᾳ φησὶν ὑμᾶς ἤγειρον, οὐ μεγάλην ἐμαυτῷ σπουδάζων περιβαλέσθαι τὴν ἀρχήν.

225. δώροισι κατατρύχω ⟨—λαούς⟩] ἀναγκάζω αὐτοὺς ὑμῖν διδόναι· "ἵνα μή σε κατατρύχω καὶ ἑταίρους" (Od. 15. 309). A+

ἄλλως: δώροισι κατατρύχω] ὅρα τὸ αἰσχρόν· κατατρύχειν τοὺς ὑπηκόους φησίν, ἵνα ἐκ τούτων εὐπορῶσιν οἱ σύμμαχοι· ὁ δὲ ὁμολογῶν, ὅτι ἄκων δίδωσιν, ὁμολογεῖ καὶ ἄχθεσθαι τοῖς λαμβάνουσιν. AB−

226. * ἀέξω] ἀγάλλω, λαμπρύνω.

227. ἰθὺς τετραμμένος] ὅρα τὴν εὐήθειαν· ἀξιοῖ ἀντὶ τῶν τροφῶν ἃς παρέσχεν αὐτοὺς ἀντιδοῦναι τὰς ψυχάς. AB=

ἢ ἀπολέσθω ἠὲ σαωθήτω] ὡς χαλεπαίνων τῷ ἀδήλῳ τῆς τύχης τὴν χείρω ἐλπίδα προὔθηκεν. B=

228. * ὀαριστύς] συμβολή.

230. εἴξῃ δέ οἱ Αἴας] ἐμφαντικῶς· οὐ γὰρ εἶπε 'κρατήσει Αἴαντος,' 'εἴξει' δὲ μόνον, ἀντὶ σύμπαντος τοῦ πλήθους παραλαβὼν τοῦτον, καὶ εἰκότως· κατέπληξε γὰρ αὐτὸν ἐκ τοῦ μονομαχίου (Il. 7. 244 sqq.) καὶ τῆς τοῦ λίθου βολῆς (Il. 14. 409). B=

231. ⟨τῶν⟩] γράφεται "τῷ." A+

233. * βρίσαντες] στῖφος ποιήσαντες, συνασπίσαντες. A+B=

234. * ἔλπετο θυμός] "ἤθελε θυμός·" Ἀριστοφάνης δὲ "ἔλπετο" γράφει. A+

235. νεκρὸν—ἐρύειν] οὐκ ἀπεοικὸς μὲν τὸ ἐλπίσαι ταῦτα τοὺς Τρῶας· ὅρα δὲ πῶς ἀντέθηκε τῷ παντὶ πλήθει τῶν Τρώων τὸν Αἴαντα. B=

236. νήπιοι] ἐπεὶ ἐδεινοποίησε τὴν προθυμίαν τῶν Τρώων, διὰ τοῦτο προαναφωνεῖ τὸ ἐσόμενον εἰς εὐθυμίαν τῶν ἀκουόντων. B=

* πολέσσιν] ἀντὶ τοῦ 'πολλῶν.' A=

237. * εἶπε—Μενέλαον] λείπει ἡ πρός. A+

238. ἔλπομαι αὐτῷ περ] τὸ Περιπατητικὸν δόγμα πρῶτος Ὅμηρος B=

2. προτρέ [γρ. τῶι] πει, inclusa postea in spatio nescio cur vacuo relicto add. pr.; pertinent ad v. 231, ubi edidi ‖ supplevi ex B ‖ 3. ἤγειρον scripsi: ἤγαγον ‖ 5. ἀναγκάζω A $B^2$ D: -ων ‖ 13. ὧν παρεῖχεν B ‖ αὐτοῖς; om. B ‖ 17. εἴξῃ B: εἴξει ‖ 19. αὐτὸν pro τοῦτον B ‖ 29. τοῦτο B: τούτου ‖ 30. πολέεσσιν textus

Digitized by Google

οἶδεν, ὅτι οὐκ ἀπαθὴς ὁ ἐνάρετος. ὁμολογεῖ μὲν γὰρ δεδιέναι ὁ Αἴας, ἀλλὰ οὐ φεύγει, συμμαχίαν δὲ αἰτεῖ.

B– 240. οὔτι τόσον νέκυος περιδείδια] καὶ δὴ οἱ δημοτικοί φασιν "εἰ καὶ μοῖρα παρ' ἀνέρι τῷδε" (421). ἢ ὡς κυβερνήτης ἀγαθὸς προσκοπεῖ τὸν ἐσόμενον κλύδωνα τῆς μάχης, ἐν δὲ τοῖς πρακτέοις ἀριστεύει· ἢ τάχα τὸν ἀκροατὴν ἐγερῶν ⟨ὁ ποιητὴς⟩ καὶ αὐτὸν τὸν ἰσχυρότατον ἀγωνιῶντα παρίστησιν.

A– ⟨νέκυος⟩ περιδείδια] κατὰ Ἀρίσταρχον ἀναστρεπτέον τὴν πρόθεσιν—τὸ γὰρ ἑξῆς ἐστι 'περὶ νέκυος'—ὁ δὲ Ἀσκαλωνίτης ὑφ' ἕν.

A + B– 242. κεφαλῇ περιδείδια] ἡ "περί" ἀντὶ τῆς ὑπέρ, ἵν' ᾖ ὑπὲρ ἐμῆς κεφαλῆς. διὸ καὶ σημεῖον παράκειται.

243. πολέμοιο νέφος—Ἕκτωρ] ὁ κίνδυνος τοῦ πολέμου. §. ἄλλως:
B= ἐπεὶ ὁ Ἕκτωρ τὸ νέφος τοῦ πολέμου ἐπάγων, ὅ ἐστι τὸ πλῆθος, πάντοθεν ἡμᾶς περικαλύπτει. §. νέφος δὲ οὐκ οὐράνιον ἀλλὰ πολέμου.

A + B= 245. ἤν τις ἀκούσῃ] ἀκούσῃ καὶ μὴ καταπτήξῃ τὸν πόλεμον. ἢ διὰ τὸν κτύπον τῶν ἀσπίδων καὶ τὸν θόρυβον τῶν μαχομένων· ὃ καὶ ἄμεινον.

B= 248. ὦ φίλοι Ἀργείων] τεθεῖσα ἐκ παραλλήλου ἡ δημηγορία αὕτη τῇ τοῦ Ἕκτορος ἤλεγξε μὲν τὸ τῶν βαρβάρων ἀνόητον, ἔδειξε δὲ τὴν Ἑλληνικὴν σύνεσιν. ⟨εἰς⟩ γὰρ τὸ αὐτὸ πρᾶγμα ὁ μὲν Ἕκτωρ τροφὴν ἐγκαλέσας ὠνείδισε μᾶλλον ἢ ἐδυσώπησεν, ὁ δὲ Μενέλαος τιμῆς αὐτοὺς ὑπομνήσας ἧς ἐτύγχανον παρὰ τῷ βασιλεῖ προὐτρέψατο.

AB= 250. δήμια] τὰ ἐκ τῶν κοινῶν χρημάτων χορηγούμενα.

251. * "τιμή" καὶ γέρας βασιλέων.

254. * αὐτός] αὐτόματος.

A=B– 255. Πάτροκλον] αὐτῷ τῷ ὀνόματι ἠρκέσθη πρὸς δυσώπησιν. αἰδέσθητε, ⟨φησί⟩, Πάτροκλον ὑπὸ κυνῶν σπαραχθῆναι, οὐδὲν τῶν προσόντων αὐτῷ προσλαβών, οὐ τὸ μειλίχιον, οὐ τὸ φιλέταιρον, οὐ τὸ σωτήριον, ὡς καὶ τῆς Ἑλένης τὸ ὄνομα ἤρκεσε τῷ Εὐριπίδῃ (Or. 81) πρὸς πᾶσαν λοιδορίαν, "Ἑλένη, τί σοι λέγοιμ' ἄν."

B= 256. * Ὀιλῆος ταχὺς Αἴας] προπετὴς οὗτος καὶ ταχὺς τῇ γνώμῃ.

A= 260. τίς κεν ᾗσιν φρεσίν] ἡ ἀποσιώπησις τὸ πλῆθος ηὔξησεν.

A+ 262. * προὔτυψαν] προενέσεισαν.

1. ἐνάρετος Bekker: ἀνάρετος ut B ‖ 6. ἐγείρων ut B ‖ supplevi ex B ‖ 12. ἄλλως W: ἢ B, ἀλλὰ ‖ 14. post περικαλύπτει iteravit pr. ἀλλ' ἐπεὶ ὡς νέφος ὁ Ἕκτωρ πάντα περικαλύπτει ‖ 15. πόλεμον B: -ιον ‖ 19. supplevi ex B ‖ γὰρ τὸ B: τὸ γὰρ ‖ 21. προετρέψατο B ‖ 23. βασιλεύειν ‖ 26. supplevi ex B ‖ 29. Ἑλένη B: Ἑλένην ‖ 30. τὴν γνώμην B ‖ 31. ᾗσιν ἐνὶ φρ.

Digitized by Google

263. ὡς δ᾽, ὅτ᾽ ἐπὶ προχοῇσι] οὐ μόνον ῥεύματι ποταμῶν οὐδὲ κύματι θαλάσσης εἴκασε τὸν ἦχον, ἀλλ᾽ ἄμφω συνέπλεξεν· καὶ ἔστιν ἰδεῖν κῦμα μέγα θαλάσσης ἐπιφερόμενον ποταμῶν ῥεύματι καὶ τῷ ἀνακόπτεσθαι βρυχώμενον καὶ τὰς ἑκατέρωθεν τοῦ ποταμοῦ θαλασσίας ἠιόνας ἠχούσας, ὃ ἐμιμήσατο διὰ τῆς ἐπεκτάσεως τοῦ "βοόωσιν." αὕτη ἡ εἰκὼν Πλάτωνος ἔκαυσε τὰ ποιήματα· οὕτως ἐναργέστερον τοῦ ὁρωμένου τὸ ἀκουόμενον παρέστησεν. δεικτικὸν δὲ καὶ τὸ "ἐρευγομένης" (265). τὸ δὲ "ἔξω" τὴν ἐπὶ πλεῖστον ἔκχυσιν τῆς θαλάσσης δηλοῖ. B=

* προχοῇσι] εἰς θάλασσαν ἐκροαῖς. A+

διιπετέος] ἐξ ὄμβρου συγκινουμένου. §. μεγαλοφυῶς δὲ οὐδένα παρελάμβανε τῶν ἀενάων ποταμῶν—ἠρεμαιότεροι γὰρ οὗτοι—ἀλλὰ χειμάρρουν πρός τε τὸ αὐξῆσαι τὸ μέγεθος τῆς βοῆς καὶ πρὸς τὸ ἐπιδεῖξαι τὴν ἐναντίωσιν. συμπράττει δὲ τῇ φαντασίᾳ καὶ ἡ τῶν φωνῶν τραχύτης καὶ ἡ ἐπέκτασις τοῦ "βοόωσιν." B= B=

264. βέβρυχεν] ὠνοματοπεποίηται. §. Ἀριστοφάνης δὲ "βεβρύχῃ" γράφει. §. "⟨βέβρυχεν—⟩ ποτὶ ῥόον" δὲ ἀντὶ τοῦ ἀντιπίπτει πρὸς τὸ ῥεῦμα τοῦ ποταμοῦ. B= A= B=

265. ἠιόνες βοόωσιν] Σόλωνά φασι τὸν νομοθέτην μιμησάμενον τὴν Ὁμήρου ποίησιν ἐν ἅπασιν ἐνθάδε γενόμενον καὶ προ⟨σ⟩σχόντα τῷ στίχῳ σφόδρα κατ᾽ εὐεξίαν ἐπιτετε⟨υ⟩γμένῳ διαπορῆσαι καὶ θαυμάσαντα κατακαῦσαι τὰ ἴδια σκέμματα. τῆς γὰρ ἐπαλλήλου τῶν ὑδάτων ἐκβολῆς ἡ τοῦ "βοόωσιν" ἀναδίπλωσις ὁμοίαν ἀπετέλεσε συνῳδίαν. καὶ ἀλλαχοῦ χρῆται τῇ λέξει "οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ" (Il. 14. 394). A=B+

268. φραχθέντες σάκεσιν] ὡς τὸ "φράξαντο δὲ νῆας ἕρκεϊ χαλκείῳ" (Il. 15. 566, 7). §. Ζηνόδοτος δὲ γράφει "ἀρθέντες." A=

269. ἠέρα πολλὴν] ἐπὶ τιμῇ Πατρόκλου τοῦτο φαίνεται πράττων, ὥσπερ καὶ ἐπὶ Σαρπηδόνος (Il. 16. 459) "αἱματοέσσας δὲ ψιάδας." καίτοι δὲ ὑπεσχημένος Ἕκτορι "ἀτάρ τοι νῦν γε μέγα κράτος ἐγγυαλίξω" (206) νῦν φαίνεται κηδόμενος τοῦ Πατρόκλου· εὐσεβὴς γὰρ δι᾽ ὅλης τῆς ποιήσεως εὑρίσκεται. A—B=

1, 3. ποταμοῦ B ‖ 4. βρυχώμενον B: βρυχόμενον ‖ 6. ἐναργέστερον B: ἐνεργέστερον ‖ 10. συγκινουμένου B: συγκειμένου ‖ 11. ἀενάων ut B ‖ 12. χειμάρρουν B: χειμάρους ‖ 14. βοόωσιν B: βοῶσιν ‖ 16. suppl. Dindorf ‖ ἀντιπίπτει B: ἀντιπίπτον ‖ 20. εὐεξίαν A: εὐταξίαν ‖ supplevi ex A ‖ 23. συνῳδίαν A: συνοδίαν B, συνωδίαν ‖ 29. ὑποσχόμενος B ‖ αὐτὰρ τοίνυν γε ‖ 30. ἐγγυαλίξαι ut B

Digitized by Google

272. μίσησεν δ' ἄρα] πιθανὴ ἡ προαναφώνησις, ἵνα μαθόντες τὸ πέρας ἀνεχώμεθα τῶν κινδύνων.

A-B= ἄλλως: μίσησεν] μισητὸν ἡγήσατο. καινῶς δὲ ἔφρασεν, ὅτι καταβρωθῆναι κυσὶν αὐτὸν οὐκ ἠθέλησεν.

B= 277. ἀλλὰ νέκυν ἐρύοντο] μικροψυχίας κατηγόρημα, εἰ τῆς τῶν πολεμίων ἠμέλουν σφαγῆς, καὶ ταῦτα ἐπιθυμοῦντες διὰ τὸ ἑλκύσαι τὸν νεκρόν.

B- 281. συΐ ⟨ε⟩ἴκελος] εὖ τὸ μὴ λέοντα παραλαβεῖν ἀλλὰ κάπρον ζῷον φεῦγον· οὗτος γὰρ εἴωθεν ἐν ταῖς φυγαῖς στρέφεσθαι πυκνῶς καὶ τοὺς διώκοντας ἀναιρεῖν. καὶ ἀλλαχοῦ φησι "ταρφέα τε στρέφεται στίχας ἀνδρῶν πειρητίζων" (Il. 12. 47).

ἄλλως: οὗτος γὰρ τάχιστα μεταστρέφεται ἐν ταῖς φυγαῖς.

285. * ῥεῖα—ἐκέδασσε] ῥεῖα ἐσκέδασεν.

286. οἳ περὶ Πατρόκλῳ ⟨βέβασαν⟩] ἀντὶ τοῦ 'τῶν περὶ Πατρόκλῳ.' ἢ ὅμοιόν ἐστι τῷ "ἐκίνηθεν δὲ φάλαγγες, ἐλπόμενοι παρὰ ναῦφι" (Il. 16. 280, 1).

B= 290. δησάμενος] ἐναργὴς καὶ καινοπρεπὴς ἡ διάθεσις· ἐπεὶ γὰρ δέδιε πλησιάζων τοῖς ἀντιπάλοις, ἕλκει τὸ σῶμα κεκρυμμένως. διὸ καὶ κατὰ κεφαλῆς πλήσσεται.

παρὰ σφυρὸν ⟨ἀμφὶ τένοντας⟩] ἡ "παρά" πρὸς τὸ "δησάμενος·" ὁ δὲ Ἕκτωρ περὶ ταῦτα τέτρηται (Il. 22. 396).

292. ἱεμένῳ περ] Ἀρίσταρχος "ἱεμένων" διὰ τοῦ ν̄, πληθυντικῶς.

B- 297. παρ' αὐλόν] τινὲς τὸ ξύλον τοῦ δόρατος, ἐπεὶ καὶ τὰς αἰγανέας "δολιχαύλους" φησίν (Od. 9. 156). οἱ δὲ τὸν ἄκρον ἐξακοντισμὸν τοῦ αἵματος, ὡς ἐκείνῳ συνεκπηδήσαντος τοῦ ἐγκεφάλου. καὶ ἀλλαχοῦ "αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν" (Od. 22. 18)· παρακεκινδυνευμένον δέ τι ἐξενήνοχεν· θέλει γὰρ εἰπεῖν, ὅτι ἐκράθη ὁ ἐγκέφαλος τῷ αἵματι· διὸ καὶ ἔφη αὐτὸν αἱματόεντα (298).

B= 298. αὖθι] παρὰ τῷ Πατρόκλῳ, πρίν τι δρᾶσαι, πρὶν ἑλκύσαι.

B= 300. ἄγχι—ἐπὶ νεκρῷ] ἐναντίον τὸ "ἄγχι" τῷ "ἐπί," ἢ ἀντὶ τῆς παρά.

301. Λαρίσης] οὐ τῆς ἐν Τροίᾳ· οὐ γὰρ ἂν εἴρηκε "τῆλε·" ἀλλ'

10. ταρφέας τε ‖ 12. φυγαῖς scripsi, cf. l. 9: πληγαῖς ‖ 17. ἐναργὴς Bekker: ἐνεργὴς ut B ‖ 15. ἑλκόμενοι ‖ 18. πλησιάζων B: πλησιάζειν ‖ κεκρυμμένος B ‖ 19. πλήττεται B ‖ 22. ἱεμένων post ν̄ iteravit pr. ‖ 25. ἐκείνῳ συνεκπηδ. W, cf. Eust.: ἄνω που πηδ. B, ἐκεῖ ἄνω πηδ. ‖ 27. δὲ ἔτι ‖ γὰρ scripsi: δὲ ut B ‖ 30. τῷ ἄ. τὸ B

Digitized by Google

ἔστιν ὁμώνυμος Λάρισσα ἐν Κύμῃ, ἣ ἀπέχει χιλίους διακοσίους σταδίους τῆς Ἰλίου· ⟨ἣν⟩ φασι τὴν Φρικωνίδα Λάρισσαν.

οὐδὲ τοκεῦσιν] ᾠκτίσατο περὶ τὴν διήγησιν ἱκανῶς.

302. * θρέπτρα] σὺν τῷ ρ̄ γραπτέον καὶ παροξυτονητέον.

306, 7. ⟨Ἰφίτου υἱόν,⟩ Φωκήων ὄχ' ἄριστον] καὶ ἄλλος 'Περιμήδεος υἱὸς ἀρχὸς Φωκήων' (Il. 15. 515). §. πολλὴ δὲ ἡ ποικιλία· νῦν γὰρ προεῖπε τοῦ θανάτου τὸ γένος, ἄνω δὲ τὸ ἐναντίον (302). B=

* ἐν κλειτῷ Πανοπῆι] ἐν τῷ ἐνδόξῳ Πανοπεῖ.

310. *νείατον ὦμον] τὸ ἔσχατον μέρος τοῦ ὤμου, ὡς "νειαίρῃ δ' ἐν γαστρί" (Il. 5. 539). B=

312. * Φόρκυνα] ἀπὸ τῆς Φόρκυν.

313. * Ἱπποθόῳ περιβάντα] ὅτι πρὸς δοτικήν.

* μέσην κατὰ γαστέρα] τὸν ὀμφαλόν. B=

314. θώρηκος γύαλον] κατὰ περίφρασιν τὸν θώρακα.

διὰ δ' ἔντερα χαλκὸς ⟨ἤφυσε⟩] παράδοξον τὸ διὰ τῆς ἐπιφανείας τοῦ σώματος προχυθῆναι ἔντερα, τὸ δὲ διὰ τοῦ θώρακος πολὺ θαυμασιώτερον· ἐννόησον γὰρ οἷα ἡ θεωρία. B=

317. ἐρύσαντο δὲ νεκρούς] πῶς μὴ καὶ Πάτροκλον εἵλκυσαν; ὅτι περὶ τοῦτον οἱ Τρῶες σπουδαιότεροι ἦσαν, τῶν δὲ ἰδίων νεκρῶν ἠμέλουν. B=

321. καὶ ὑπὲρ Διὸς αἶσαν] ἀντὶ τοῦ 'γνώμην Διός·' ὀργιζομένου γὰρ Ἀχιλλέως τιμᾶν ἤθελε Τρῶας, ⟨ὡς⟩ καὶ δι' Ἴριδος ὑπέσχετο. "δύῃ τ' ἠέλιος" (455) καὶ "ἀτάρ τοι νῦν γε μέγα κράτος ἐγγυαλίξω" (206). B—

324. κήρυκι] διὰ τὸ μέτρον συσταλτέον τὴν ρ̄υ. B= §. τὸ δὲ "Ἠπυτίδῃ" τινὲς πατρωνυμικῶς· ἀλλ' ⟨ἀπὸ τοῦ⟩ Ἠπύτης Ἠπυτάδης ⟨ἂν⟩ ἦν· ἔστιν οὖν παραγωγὸν ἀπὸ τοῦ "ἠπύτα κῆρυξ" (Il. 7. 384). B=

325. * ἡ ἡλικία καὶ ἡ φιλία ἑτοίμη πρὸς πειθώ. B=

327. καὶ ὑπὲρ θεόν] ἀπέφυγε τὸ κοινὸν τῷ εἰπεῖν 'καὶ ἐναντιουμένου θεοῦ.' προτρεπτικὸς δ' ὁ λόγος καὶ ἐλεγκτικός. B=

328. ὡς δὴ ἴδον ἀνέρας] ἀξιόπιστος ὁ λόγος περικείμενος κήρυκος πρόσωπον· πλάνητες γὰρ οὗτοι καὶ πολλὰ ἱστορηκότες. ἑώρακα B=

2. suppl. Barnes nescio unde ‖ 3. οἰκτίσατο ‖ 7. γεγονός B ‖ 11. Φόρκυν ante ἀπὸ omisi ‖ 22. supplevi ex B ‖ δι' B: παρ' ‖ 23. δύητε ἡ. ‖ αὐτὰρ ‖ 26. supplevi ex B ‖ 30. τῷ B: τὸ ‖ 31. θεοῦ B: δὲ οὐ ‖ 33. πρόσωπον B: προσώπῳ



Digitized by Google

οὖν, φησί, καὶ τῷ πλήθει ἥττονας καὶ τὴν ἀπὸ τῶν θεῶν βοήθειαν ἐναντίαν ἔχοντας ἐπὶ μόνῳ κατορθοῦντας τῷ σθένει. ἐλεγκτικῶς δὲ ἡ παράθεσις γίνεται.

B= 330. πληθεῖ τε σφετέρῳ] τῷ ἰδίῳ πλήθει, οὐκ ἐπικουρικῷ. §. τὸ B= δὲ "ὑπερδέα" σφόδρα ἐνδεᾶ, ὥστε ἔξεστι καὶ ἐπὶ τῶν λειπομένων τῷ ἀριθμῷ πλῆθος ὀνομάζειν. τὸ δὲ σχῆμα ἐκ τοῦ ἐναντίου δείκνυται, ὅτι ἕτεροι καὶ ὑπὸ θεῶν οὐ βοηθούμενοι καὶ τῷ πλήθει ὀλίγοι ὄντες γενναίως μάχονται. ἐλέγχει δὲ τοὺς μὴ μαχομένους καὶ πολυπληθείᾳ προὔχοντας καὶ συμμαχίᾳ θεοῦ.

B= 332. ἄσπετον] μέγα· ᾧ οὐκ ἄν τις παρακολουθήσειε διὰ τὸ μέγεθος.

334. ἔγνω ἐσάντα ἰδών] ἔγνω τοίνυν καὶ ἡ Ἑλένη τὴν Ἀφροδίτην (Il. 3. 396). §. "ἐσάντα ἰδών" ἀντὶ τοῦ ἀντικρύς.

338. * ὁ "ἀλλά" πρὸς τὸ "⟨τῷ ῥ'⟩ ἰθὺς Δαναῶν" (340).

B+ 339. * "ὕπατον μήστωρα" μέγιστον ποιητήν.

340. * ἰθὺς Δαναῶν] ἐπ' εὐθείας ὡς αὐτούς.

348. * Ἀπισάονα] "Ἀμυθάονα·" τινὲς οὕτως.

351. * προσυνίστησι τὴν παραποτάμιον μάχην (Il. 21).

B= 358. οὔτε τινὰ προμάχεσθαι] καὶ Νέστωρ τοῦτο παραινεῖ· "μηδέ τις ἱπποσύνῃ τε καὶ ἠνορέηφι πεποιθὼς οἶος πρόσθ' ἄλλων μεμάτω Τρώεσ⟨σ⟩ι μάχεσθαι" (Il. 4. 303, 4). καὶ γὰρ οὐχ ἧττον λυπεῖ τοῦ φεύγοντος ὁ προμαχῶν, διασπῶν τὴν τάξιν.

359. * βεβάμεν] ἀπὸ τοῦ βεβάναι ἀπαρεμφάτου.

360. * ὡς Αἴας ἐπέτελλε] τῷ προνοεῖσθαι τῶν ἑταίρων.

361. * ἀγχηστῖνοι] ἐγγὺς ἀλλήλων.

363. καὶ Δαναῶν] ὡς παράδοξον εἰσήγαγε τὸ καί τινας τῶν Δαναῶν πίπτειν.

B= 364. μέμνηντο γὰρ αἰεί] στρατηγικῶς δείκνυσι πόθεν γίνεται νίκη, οὐ τὸ ἰδίᾳ λυσιτελὲς σκοποῦντος ἑκάστου, μᾶλλον δὲ τὸ τοῦ πλησίον. καὶ "ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν" (Il. 3. 9). σωτήριον ἄρα ἐν εἰρήνῃ καὶ πολέμῳ ἡ πρὸς τοὺς φίλους εὔνοια.

365. αἰπύν] προσάντη. §. "φόνον" δὲ δεῖ γράφειν, οὐ "πόνον."

5. ἐνδεῆ B ‖ ἔνεστι B ‖ 10. μεγάλως B ‖ 17. Ἀμυθάονα scripsi : ἀπίθανον ‖ 21. μαιμάτω ‖ μάχεσθαι:—καὶ disiunctum: coniunxi ut B ‖ 30. μαιμαῶτες ‖ 31. εὔνοια B: ἔννοια

Digitized by Google

366. οὐδέ κε φαίης] ὑπελάμβανες ἂν ἔκλειψιν εἶναι τῶν στοιχείων αὐτῶν.

368. ἠέρι γάρ] ὑπὲρ τοῦ δεινῶσαι τὴν μάχην εἰς τὸ τυχὸν μέρος τῶν πληγῶν φερομένων.

μάχης ἐπί θ' ὅσσον ἄριστοι] τὸ ἑξῆς 'ἐφ' ὅσον,' καὶ οὐκ ἀναστρεπτέον. ὁ δὲ "τέ" πλεονάζει· ἔστι γὰρ ὁ λόγος καὶ ὁ νοῦς οὕτως· ἐφ' ὅσον οἱ ἄριστοι ἕστασαν, ἐπὶ τοσοῦτον ἀέρι κατείχον⟨το⟩. §. Ζηνόδοτος "ἐπὶ τόσσον." Ἀριστοφάνης "μάχῃ ἔνι."

ἄλλως: μάχης ἐπί θ' ⟨ὅσσοι⟩] περισσὸς ὁ "τέ·" ἔστι δέ 'ὅσοι γὰρ ἄριστοι ἐπὶ τῇ μάχῃ περιίσταντο τὸν Μενοιτιάδην, ἠέρι κατείχοντο.' B =

372. νέφος δ' οὐ φαίνετο] οὔτε χαμόθεν ἦν νέφος ἰδεῖν οὔτε ἐπὶ ὄρους ἀναβάν. τὴν βαθεῖαν οὖν αἰθρίαν ἐδήλωσεν· καὶ γὰρ ἐν ταῖς αἰθρίαις ἔστιν ἰδεῖν ἐπὶ τῶν ὀρῶν νέφη. B =

373. * γαίης] λείπει ἡ ἀπό.

μεταπαυόμενοι] ἐκ διαδοχῆς ἀναπαυόμενοι. καὶ Ἀρίσταρχός φησιν, ὡς ἀντιποιεῖται μὲν ὁ λέγων 'ἐμόν ἐστι,' μεταποιεῖται δὲ ὁ 'καὶ ἐμόν ἐστιν.' B =

377. δύο δ' οὔπω—πεπύσθην] οὐχ ὡς τῶν ἄλλων πυθομένων—ἄτοπον γὰρ ἐπὶ παντὸς διαβῆναι τὴν φήμην—ἀλλὰ τῶν ἀρίστων. τοῦτο δὲ ποιεῖ, ἐπεὶ θάτερον αὐτῶν ἀποστέλλειν ἐθέλει φίλτατον ὄντα Ἀχιλλεῖ. B =

381. ἐπιοσσομένω] ἐπιβλέποντες, ἵνα τῶν μὲν πιπτόντων ὑπερμαχοῖεν, τοὺς δὲ φυγάδας προτρέποιντο. B =

ἄλλως: προορώμενοι καὶ προσδοκῶντες μήτε ἀποθνήσκειν τοὺς ἑταίρους μήτε φεύγειν ἐπὶ τῆς αὐτῆς τάξεως ἔμενον. B =

384. * τοῖς δὲ πανημερίοις ἔριδος μέγα νεῖκος ὀρώρει] τοῖς περὶ Πάτροκλον ἐν τῷ λειπομένῳ παντὶ μέρει τῆς ἡμέρας. B =

386. γούνατά τε] εὖ τὸ μὴ ἐπὶ κεφαλαίου τὰ μέλη φράσαι, ἀλλὰ κατὰ μέρος ὅλον ἐπελθεῖν τὸ σῶμα· τοῦτο γὰρ καὶ ἐνάργειαν προβάλλει καὶ τῆς ταλαιπωρίας τὸ μέγεθος δείκνυσιν. τὰ δὲ μέσα καὶ τὸν θώρακα ῥᾴδια πρὸς ἱδρῶτα ὄντα παρέλιπεν. ἀκατάλληλον δὲ τὸ "ὀφθαλμοὶ παλάσσετο." ἔστι δὲ ὅμοιον τῷ "ἔνθα Ποσειδάων B =

1. ἂν scripsi: οὖν ‖ 3. τὸ τυχὸν W: ὁ τύχοι ‖ 5. ἐπεί θ' pr.: corr. rec. ‖ ὅσσον scripsi, ὅσον Athous: ὅσοι ‖ 8. supplevi ex scholio altero l. 10 ‖ 9. ἐπεί θ' pr.: corr. rec. ‖ 10. τὸν Μενοιτιάδην B: τῷ -ῃ ‖ 12. ἀναβὰν W: ἀναβάντα B, ἀναβάντας ‖ 15. schol. ad v. 375 scriptum lemmate ἀφεσταότες praeposito ‖ 21. ἐπιοσσομένῳ ‖ 22, 23. cohaerent ut in B ‖ 23. ἄλλως B: ἀλλὰ nullo scholii finiti signo praescripto



Digitized by Google

κατ' ἄρ' ἕζετο καὶ θεοὶ ἄλλοι" (Il. 20. 149). πρὸς μὲν τὰ γούνατα τὸ "παλάσσετο" προσυπακούομεν, ⟨πρὸς⟩ δὲ τὰ πληθυντικὰ παλάσσοντο.

B− 389. ὡς δ' ὅτ' ἀνὴρ ταύροιο] ἐνδείξασθαι θέλων καὶ τὴν βίαν τῶν ἑλκόντων καὶ τὴν τοῦ ἑλκομένου σώματος ταλαιπωρίαν δορὰν διατεινομένην παραλαμβάνει καὶ ταύτην ἀκμαίαν, ἥτις πολλὴν ἐπίδοσιν ποιεῖται, καὶ ἐλαίῳ διάβροχον· τούτῳ γὰρ μαλαττόμενα τὰ κατεσκληκότα ἀνίεται. πολλοὺς δὲ τοὺς ἕλκοντάς φησιν· οὔπω γὰρ ἐπασσάλευον τὰς βύρσας ἴσως. ἔστι δὲ ἐξ εὐτελοῦς μὲν ἡ εἰκών, τῇ δὲ ἐναργείᾳ κεκοσμημένη.

* ταύροιο βοός] "βοῦς ἀγέληφι—ταῦρος" (Il. 2. 480, 1).

ταύροιο βοός] ἔδει προτάσσειν τὸ γενικὸν τοῦ ⟨ε⟩ἰδικοῦ, ὡς "ἠύτε βοῦς ἀγέληφι—ταῦρος" (Il. 2. 480, 1)· ἔστι δὲ Ἀττικὸν τὸ οὕτω συντάττειν.

392. κυκλόσε] Ζηνόδοτος "κύκλῳ·" Ἀρίσταρχος "κύκλος," ὡς "πληθὺς—ἀπονέοντο" (Il. 15. 305)· καὶ ἐπὶ Μενελάου ὁμοίως ἐν τῇ Δ' (212)· οἱ δὲ ἄλλοι ἐπίρρημα, καὶ παροξύνουσιν, ἀλλ' ἔδει 'κυκλόφι.'

B+ 393. τάνυται δέ τε] τὸ γὰρ πάχος λεπτυνόμενον εἰς μέγεθος ἄγεται.

395. * εἴλκεον] Ἀρίσταρχος. §. ὅτι πλεονάζει τὸ ι.

398. λαοσσόος] ὁ τοὺς λαοὺς παρορμῶν· φησὶ γὰρ "ὦρσε—τοὺς μὲν Ἄρης, τοὺς δὲ γλαυκῶπις Ἀθήνη" (Il. 4. 439).

399. ὀνόσαιτο] ψέξαι. "ἦ ο⟨ὔ⟩νεσθ', ὅτε μοι Κρονίδης" (Il. 24. 241) ἀντὶ τοῦ 'ψέγετέ με καὶ εὐτελίζετε.'

B= 401. οὐδ' ἄρα πώ τι ᾔδεε] εἴωθε συμπάθειαν ἐγείρειν διὰ τούτων, ἐπὰν οἱ τὰ μέγιστα δυστυχοῦντες ἐν ἀγνοίᾳ τῶν κακῶν ὦσι καὶ ἐπὶ φιλανθρωποτέρων φέρωνται ἐλπίδων, ὡς Ἀνδρομάχη (Il. 23. 437) καὶ Δόλων (Il. 10. 350) καὶ νῦν Ἀχιλλεύς.

404–425. τείχει ὑπὸ Τρώων] Ζηνόδοτος ἀπὸ τοῦ "τείχει ὑπὸ Τρώων" (404) ἕως τοῦ "χάλκεον οὐρανόν" (425) οὐ γράφει· Ἀρίσταρχος μόνον ἀθετεῖ "ὣς δέ τις αὖ Τρώων" (420).

τό μιν οὔ ποτε ἔλπετο θυμῷ] διὸ αὐτὸν οὐ προσεδόκα.

B= 407. ἐκπέρσειν πτολίεθρον] παιδευτικὸς ὁ λόγος, ὅτι οὐ δεῖ ταῖς ἐλπίσι πεποιθέναι.

2. τοῖς δὲ πληθυντικοῖς τὸ B ‖ ὀφθαλμοὶ ante παλάσσοντο omisi ut B ‖ 7. ἀνεῖται ‖ 9. κεκόσμηται B ‖ 11. βοὸς ταύρου ante πρ. omisi ‖ 14. Ἀ. κύκλοσον ὡς: corr. Bekker ‖ 22. supplevi ex Il. codd. ‖ 25. ὦσι scripsi: εἶεν ut B ‖ 26. φέρωνται B: φέρονται

Digitized by Google

409. Διός—νόημα] τὴν εἱμαρμένην· "ὃ γάρ τ' εὖ οἶδεν ἅπαντα ⟨μοῖράν τ' ἀμμορίην τε⟩" (Od. 20. 75, 6). τινὲς δὲ τῶν φιλοσόφων μοῖραν ἔλεγον τὸν λόγον τοῦ Διός. B−

410. δὴ τότ⟨ε γ'⟩ οὔ οἱ ἔειπε] οὐκ ἔστι περισσός, ἀλλ' ὡς τὸ "δίδαξε γὰρ Ἄρτεμις αὐτὴ—ἀλλ' οὔ οἱ τότ⟨ε γ'⟩ ἔχραισμ' Ἄρτεμις" (Il. 5. 51, 3).

413. ἐγχρίμπτοντο] τινὲς "ἐγχρίπτοντο," ὡς τὸ "ζῳὸν ἐνιχριφθέντα πύλῃσιν" (405).

415. ὦ φίλοι] πολλὴ σπουδὴ ἑκατέρῳ στρατῷ τοῦ νεκροῦ κρατῆσαι, τοῖς μὲν αἰδουμένοις δεύτερον ἁμαρτεῖν εἰς Ἀχιλλέα, τοῖς δὲ ἀμύνασθαι Ἀχιλλέα ὧν ἔπαθον πρότερον. B=

417. * ἄφαρ πολὺ κέρδιον εἴη] εὐθέως ὠφέλιμον εἴη. §. ὅτι δεῖ προτιθέναι τὴν εὔκλειαν τῆς σωτηρίας. B=

421. εἰ καὶ μοῖρα παρ' ἀνέρι] οἱ μὲν Ἕλληνες ἀποθανεῖν εὔχονται τοῦ νεκροῦ μὴ κρατήσαντες, οἱ δὲ μελλητικῶς φάσκουσιν 'εἰ καὶ μοιρίδιον ἡμῖν ἀποθανεῖν, τῆς μάχης οὐ δεῖ ἀφίστασθαι.' B=

424. * σιδήρειος] ὁ στερεός. B+

425. δι' αἰθέρος ἀτρυγέτοιο] ἀτρύτου, ἢ ἐπειδὴ οὐδὲ αὐτὸς ὁμοίως τῇ θαλάσσῃ τρυγᾶται. B=

426. ἵπποι δ' Αἰακίδαο] μετάγει τὸν λόγον ἀπὸ τῶν συνεχῶν φόνων. ἔστι δὲ τὸ ζῷον φρενῆρες καὶ οἰκειότητα φυσικὴν ἔχον πρὸς τοὺς τρέφοντας· Ἕκτωρ γοῦν τοῖς ἵπποις διαλέγεται· οὗτοι δὲ ὡς ἀθάνατοι καὶ πλείονα τὴν αἴσθησιν ἔχουσιν. B−

427. * πυθέσθην] ᾔσθοντο.

430. μάστιγι θοῇ] τῇ ταχυποιῷ. B= §. "ἐπεμαίετο" δὲ ἀντὶ τοῦ ἐφήπτετο. B+

431. * ἀρειῇ] κυρίως, τῇ ἐν πολέμῳ ἀπειλῇ.

432. * ἐπὶ πλατὺν Ἑλλήσποντον] καθὸ μέρος αὐτοῦ πλατύτερός ἐστιν. B+

434. ἀλλ' ὥστε στήλη] τοὺς μὲν Λαπίθας δρυσὶν ἐρριζωμέναις εἴκασεν (Il. 12. 132), ἐνθάδε δὲ ἔχει τι πλέον ἡ παραβολή· οὐ γὰρ τὴν στάσιν μόνον σημαίνει, ἀλλὰ καὶ τὴν ποιὰν τὴν ἐπὶ τῷ πένθει. B−

5. ἀλλά οἱ ‖ 7. τινὲς ἐνχρίπτοντο; ἐγχρίμπτοντο coni. Ludwich ‖ 7, 8. ἐνιχριμφθέντα ‖ 10. ἁμαρτεῖν B: ἐλθεῖν ‖ 11. ἀμύνεσθαι B ‖ 21. φόνων W: πόνων ut B ‖ 28. ἑαυτοῦ πλατύτατος B, αὐτοῦ πλατύτερος ‖ 32. ποιότητα τὴν B

Digitized by Google

πρὸς γὰρ τὴν κατηφῆ στάσιν ἡ παραβολή, ἅμα δὲ ὅτι καὶ ἀσεβὲς τὸ κινεῖν στήλην.

B~ 437. οὔδει ἐνισκήψαντε] ἐμπήξαντες, διὰ ὑπερβολήν.

* σφι] ἀντὶ τοῦ ‘σφῶν.’

439. θαλερὴ δὲ—χαίτη] πρῶτος συνεῖδε τοῖς καλοῖς ἵπποις ἁρμόδιον χαίτην, οὐ μόνον καλὴν ἀλλὰ καὶ βαθεῖαν.

B= 440. * ἀμφοτέρωσε] “ἀμφοτέροισι” τοῖς ἵπποις δηλονότι.

B= 442. κινήσας δὲ κάρη] τὸ ὅλον εἰς καταβολὴν τοῦ ἀνθρωπίνου γένους· εἰ γὰρ οἱ ἵπποι διὰ τὸ συνωμιληκέναι ἀνθρώποις ἐν χαλεποῖς γίνονται καὶ διὰ τοῦτο δειλοί, πόσῳ μᾶλλον αὐτοὶ οἱ ἄνθρωποι· εἶτα καὶ κατασκευάζει φήσας πάντων ζῴων εἶναι χείριστον τὸν ἄνθρωπον· πλεονεκτοῦμεν γὰρ τῶν ζῴων τῷ λογισμῷ μόνῳ, ἀλλὰ κατὰ πολλὰ ἐνδεέστεροί ἐσμεν, αὐτῷ δὲ ᾧ δοκοῦμεν πλεονεκτεῖν τὴν ἀντίληψιν τῶν κακῶν ποιούμεθα. διδάσκει δὲ μὴ μέγα φρονεῖν. ἔχει δὲ ἀξιοπιστίαν ὁ λόγος ὑπὸ θεοῦ λεγόμενος.

B= 446. ὀιζυρώτερον ἀνδρός] πᾶν μὲν οὖν ἔμψυχον ὑποπέπτωκεν ἀτυχίαις, πλέον δὲ ἄνθρωπος.

B= 447. πάντων, ὅσσα τε γαῖαν] ὑπὲρ πάντων τῶν ἄλλων· λείπει ἡ κατά.

448. * ἀλλ' οὐ μάν—] ἵνα μὴ ἀγωνιῶμεν καὶ περὶ τῶν ἵππων.

449. οὐ γὰρ ἐάσω] τινὲς “οὐδέ τις ἄλλος,” ἵνα μὴ ζητῶμεν τοὺς ἵππους· οἱ δέ φασιν, ὡς οὐ πάντα ἀναιρεῖ, οὐδὲ τὸν Διομήδους θώρακα (Il. 5. 189), οὐ τὸ σκῆπτρον Ἀγαμέμνονος (Il. 2. 107), οὐ τὰ ὅπλα τὰ δοθέντα Νεοπτολέμῳ.

451. * σφῶιν] ὑμῖν.

* γούνεσσι] ἀπὸ τῆς γοῦνος εὐθείας ἢ ἀπὸ τοῦ γοῦνας, τροπῇ.

B+ 453. ἔτι γάρ σφισι] ἀνεξόμεθα οὖν μαθόντες τὴν προθεσμίαν τῆς εὐημερίας.

454. εἰσόκε νῆας] μετήγαγε τὸν λόγον ἀπὸ τοῦ Ἕκτορος ἐπὶ τοὺς Τρῶας.

456. ⟨ἐνέπνευσεν⟩ μένος ἠΰ] οὕτως Ἀρίσταρχος· Ζηνόδοτος δὲ “μένος πολυθαρσὲς ἐνῆκεν” καὶ προστίθησιν “αὐτὸς δ' Οὔλυμπόνδε μετ' ἀθανάτοισι βεβήκει.”

458. ** ῥίμφα φέρον] γράφεται “ῥίμφ' ἔφερον.”

3. οὔδει ἐνισκίμψαντε textus, οὐδ' εἰ ἐνισκήψαντες || ἐμπλήξαντες; cf. schol. D ad Il. 16. 612 || 6. χαίτην Bekker: καὶ τὴν || 11. κατασκευάζει B: κατασκευάζειν || 13. ἐν post ἐσμέν: omisi ut B || 16. ὀιζυρότερον || 17. πλέον B: πλεῖον || 20–23. cf. schol. ad Il. 16. 149 || 25. τὸ ante γοῦνος omisi || 30. supplevi ex B

Digitized by Google

459. τοῖσι δ' ἐπ' Αὐτομέδων] κρεῖττον τῷδε ἀλέξειν τῷ ἑταίρῳ B= ᾤετο. ἄλλως τε καὶ οἱ ἵπποι ἐκεῖσε αὐτὸν ἤγαγον.

* ἀχνύμενός περ ἑταίρου] λείπει ἡ περί.

461. * τὸ "ῥέα" ἄνευ τοῦ ῑ πᾶσαι εἶχον.

463. * ἥρει] κατελάμβανεν· "ἐκ δέκα ποδῶν ἥρει λέγων τοὺς B= ῥήτορας" (Eup. fr. 94 K.). νῦν δὲ 'ἀνῄρει.'

464. ἱερῷ ἐνὶ δίφρῳ] ἱερὸν ἅρμα τὸ ἀνεπίβατον ἄλλῳ ἢ Ἀχιλλεῖ B— καὶ ὑπὸ ἀθανάτων ἵππων φερόμενον.

465. καὶ ἐπίσχειν] οἱ περὶ Ἀρίσταρχον "ἐπίσχειν" κατὰ παρατατικόν, οἱ δὲ περὶ τὸν Ἀσκαλωνίτην κατὰ ἀόριστον ὡς λαβεῖν· καὶ ὁ Ἡρωδιανὸς δὲ "ἐπισχεῖν" παροξυτόνως· εἰ μή τις λέγοι, ὅτι ἔθος ἐστὶ τῷ ἀορίστῳ συντάττεσθαι τὴν ἐπί.

477. * θεόφιν μήστωρ ἀτάλαντος] ἴσος θεοῖς ἐν τῷ κατεργάσασ- B= θαί τι.

481. βοηθόον ἅρμα] Ἀρίσταρχος ὑφ' ἓν "βοηθόον," οἱ ἀπὸ τῆς σχολῆς διῃρημένως.

ἄλλως: βοηθόον] τὸ ἐν τῇ μάχῃ ταχύ· οὐ θέλει δὲ ἀπράκτως παραγαγεῖν ἐπὶ τὰς ναῦς ⟨τὸ⟩ ὄχημα τοῦ Ἀχιλλέως.

483. Αὐτομέδων δ' ἀπόρουσε] τοῦ ἰδίου ἅρματος, οἷα Αἰνείας B— (Il. 5. 297) μεταγαγὼν ⟨ἀπὸ⟩ τῶν ὤμων τὴν ἀσπίδα, τὸ δὲ δόρυ ἁρπάσας παρακείμενον.

νόησε δὲ—Ἕκτωρ] εὐτυχήσας τῆς πανοπλίας ἐπιθυμεῖ καὶ τῶν B= ἵππων. προτρέπεται δὲ τὸν Αἰνείαν οὐ μόνον ὡς ἀριστέα, ἀλλὰ καὶ ὡς ἀσχάλλοντα ἐπὶ τῇ ἀφαιρέσει τῶν ἰδίων ἵππων (Il. 5. 323).

492. βοέῃς] συλληπτικῶς· ἣν γὰρ εἶχεν ὁ Ἕκτωρ, οὐ βοεία ἦν. B=

493. * πολὺς δέ] ὁ "δέ" ἀντὶ τοῦ γάρ.

494. Ἄρητος] Ἄρατος Ἄρητος καὶ Ἀρήτη Ἰακῶς. καὶ κοινὸν γέγονεν.

505. *φοβῆσαί τε στίχας] "φοβῆσαι δὲ στίχας" διὰ τοῦ "δέ," οὐ "τέ."

507. Αἴαντε] πιθανὸν ἀνακεχωρηκότος τοῦ Ἕκτορος καὶ τὸν B+ Αἴαντα τολμῆσαι καταλιπεῖν τὸ σῶμα τοῖς μετ' αὐτὸν ἀρίστοις.

1. τόδε B, τῶδε ‖ 2. ὡς ante ᾧ. omisi ut B ‖ ἄγουσι B ‖ 4. schol. supra v. 463 scriptum: traiecit et ῥέα ex ἥρει corr. Ludwich ‖ 10. Ἀσκάλωνα: corr. Bekker ‖ 12. ἀντάττεσθαι: corr. Bekker ‖ 13. εἰς τὸ B ‖ 19. οἷα scripsi: ὅτε ‖ Αἰνείας W: Πάνδαρος ‖ 20. τὸν νῶτον: suppl. et corr. W, cf. schol. A ad 5. 297 ‖ 29. ἐφόβησε alterum

Digitized by Google

B— 514. *θεῶν ἐν γούνασι κεῖται*] τοῖς κόλποις, ὡς "πολλάκι γούνασιν —ἐφεσ⟨σ⟩άμενος" (Od. 16. 443)—ὅ ἐστι 'πρόχειρα πάντα ἔχουσιν οἱ θεοί·' οἱ δὲ ἐν τῇ τῶν θεῶν δυνάμει, ἀπὸ μέρους.

515. * *μελήσει*] ἀντὶ εὐκτικοῦ τοῦ 'μελήσοι.'

B= 520. *ὡς δ' ὅταν ὀξὺν*] ἄμφω ηὔξησε, τὸν μὲν πέλεκυν τῇ ὀξύτητι, τὸν δὲ ἄνδρα τῷ "αἰζηός," ὡς εὐτονωτέραν τὴν καταφορὰν γενέσθαι. ὁ δὲ τόπος τῆς πληγῆς καιριώτατος· ὄπισθε γάρ φησι κεράτων εἰς τὴν ἀρχὴν τῶν νεύρων.

B= 521. *ἐξόπιθεν κεράων*] περὶ γὰρ τὰς ῥίζας τῶν κεράτων πυκνὰ κεῖται τὰ νεῦρα.

B+ 522. *ἵνα τάμῃ ⟨διὰ⟩ πᾶσαν*] ἢν γὰρ μὴ ὅλον διακοπῇ τὸ νεῦρον, οὐ πίπτει ὁ βοῦς. καὶ τὸ μὲν ἑξῆς ἐστι 'διατάμῃ,' τῇ δὲ διακοπῇ τῆς λέξεως μεμίμηται τὸ γινόμενον. οὐκ ἀναστρέφεται δὲ ἡ "διά," ἵνα μὴ συνεμπέσῃ τῇ Δία αἰτιατικῇ.

B= *ὁ δὲ προθορὼν*] βοῶν μὲν οἰκεῖον τὸ προπίπτειν, τῶν δὲ ἄλλων ζῴων τὸ ἀνακλᾶσθαι.

B= 523. *προθορὼν πέσεν ὕπτιος*] προπίπτειν μέλλοντα βίαιος οὖσα ἡ πληγὴ ἀνέτρεψεν. ἡ δὲ παραβολὴ πρὸς τὸ προθορεῖν μόνον. καὶ οὗτος προέθορε μὲν ὡς ταῦρος, οὐκ ἔπεσε δὲ ὡς ταῦρος.

B= 524. *νηδυίοισι*] τοῖς κατὰ τὴν νηδὺν σπλάγχνοις· ἅπαξ δὲ εἴρηται ἡ λέξις.

B= 529. *ἔνθα δ' ἔπειτ' ἀφίει*] τότε δὲ ἵστη τὴν ὁρμὴν ὁ σίδηρος. ὅταν γὰρ μηκέτι προϊέναι ἰσχύσῃ, τὸ τηνικαῦτα ἱστάμενος κραδαίνεται.

533. *τοὺς ὑποταρβήσαντες*] μηδέπω τινὸς δεινοῦ γεγονότος φεύγουσιν.

535. *Ἄρητον δὲ κατ' αὖθι λίπον*] ἡδέως πάνυ ἐπεφώνησε τῷ ὅλῳ ἔργῳ τῷ περὶ τὸν Ἕκτορα.

B= 537. *καὶ εὐχόμενος ἔπος ηὔδα*] ἴδιον τῷ παρ' ἐλπίδα εὐτυχήσαντι καὶ πλέον τι φθέγγεσθαι κατὰ τῶν ἐχθρῶν.

539. *κῆρ ἄχεος μεθέηκα*] ἐπανῆκα τὴν ψυχὴν τῆς ἐπὶ Πατρόκλῳ λύπης.

* *καταπέφνων*] Ἀρίσταρχος ὡς τέμνων.

541. * *ἀνὰ δ' αὐτὸς ἔβαινε*] ἀνέβαινεν ὕπερθεν.

542. *κατὰ ταῦρον ἐδηδώς*] ἡ διακοπὴ τῆς λέξεως τὸν εἰς πολλὰ

1. πολλάκις ‖ 4. τὸ μ. ‖ 9. schol. cum l. 15. cohaeret novi lemmatis signo omisso ‖ ἐξόπισθε ‖ 11. ἵνα ‖ 17. προπίπτειν B: προσπίπτειν ‖ 18. ἀνέστρεψεν coni. Villoiso ‖ 30, 31. τῆς—λύπης Athous: τῇ—λύπῃ

Digitized by Google

διεσπασμένον παρέστησε ταῦρον, οὐ τοῦ μέτρου ἀπαιτοῦντος· παρῆν γὰρ φάναι 'ταῦρον κατεδηδώς·' καὶ Ἀνακρέων "διὰ δέρην κόψε μέσην, κὰδ δὲ λῶπος ἐσχίσθη" (fr. 80 B.).

543. ἂψ δ' ἐπὶ Πατρόκλῳ] εἰκότως, τῶν περὶ τὸν Ἕκτορα ὑποστρεψάντων ἐπὶ τὸ σῶμα.

545. προῆκε γὰρ—Ζεύς] Ζηνόδοτος ἀθετεῖ· τινὲς οὐδὲ γράφουσιν· πῶς γὰρ ἐν τῇ Ἴδῃ ὢν ὁ Ζεὺς αὐτὴν πέμπει, ἡ δὲ "οὐρανόθεν" (548) κάτεισιν; ἢ ὅτι οὐρανὸν τὸν ὑπερνέφιον ὀνομάζει τόπον.

547. πορφυρέην] ἀπὸ μέρους τὴν ποικίλην, ἢ ὅτι ἔχει τινὰ πορφυρίζοντα. B

πορφυρέην Ἶριν] πιθανῶς τὴν τῆς θεοῦ κατάβασιν θειοτέρᾳ εἰκόνι ὡμοίωσεν· καὶ ἀλλαχοῦ "οἷον δ' ἀστέρα ἧκε Κρόνου παῖς" (Il. 4. 75). B

τί ἐστιν Ἶρις: ὅταν ἐξ ἐναντίας νέφος τῷ ἡλίῳ στῇ πεπιλημένον καὶ πλῆρες ὕδατος, αἱ δὲ ἀκτῖνες προσπίπτωσι τῷ νέφει καὶ καθάπερ ἀπὸ κέντρου τοῦ ἡλίου περιγράφωσι κύκλους, τότε τοῦ μὲν τῶν ἀκτίνων ἐρυθροῦ ἀνειμένου πρὸς τὸ κροκοειδές, τοῦ δὲ ἐν τῷ νέφει μέλανος ἐκλυομένου πρὸς κυάνεον ⟨ἡ⟩ κρᾶσις ἀμφοῖν Ἶρίς ἐστιν. καὶ Ἀναξαγόρας δέ φησιν· "Ἶριν δὲ καλέομεν τὸ ἐν τῇσι νεφέλῃσιν ἀντιλάμπον τῷ ἡλίῳ. χειμῶνος οὖν ἐστι σύμβολον· τὸ γὰρ περιχεόμενον ὕδωρ τῷ νέφει ἄνεμον ἐποίησεν ἢ ἐξέχεεν ὄμβρον." τοῦτο οὖν πρὸς τοὺς ἐπιστήμονας, πρὸς δὲ τοὺς ἀπείρους τὸν πόλεμον. B

548. * ἐξ] περισσὴ ἡ "ἐξ."

549. * δυσθαλπέος] κακοῦ εἰς θάλψιν.

550. μῆλα δὲ κήδει] "μῆλα" πάντα τὰ θρέμματα, "μῆλα δ', ἅ μοι μνηστῆρες ὑπερφίαλοι κατέκειραν" (Od. 23. 356)· καὶ Ἡσίοδος "βουδόρα πάντα" (Opp. 504) φησίν, 'ἀπὸ τοῦ βοὸς πάντα' δηλῶν.

551. πυκάσασα ἑ αὐτήν] οὐδέποτε ὁ ποιητὴς οἶδε σύνθεσιν ἀντωνυμίας.

553. πρῶτον δ' Ἀτρέος υἱόν] οὐκ εἰκῇ, ἀλλ' ἐπεὶ φαίνεται οὗτος μόνος ἀγωνιῶν ὑπὲρ Πατρόκλου. B

2. διὰ δὲ δέρην ἔκοψε Eust. ad Il. 15. 1 ‖ 3. κὰδ δὲ λοπὸς Eust., καδδελωπὸς ‖ 2, 3. διὰ δέρην ἔκοψε μέσσην, κὰδ δὲ λῶπος coni. Bergk ‖ 14. τί ἐστιν Ἶρις in margine iteratum ‖ 18. supplevi ex B ‖ 20. ἀντιλάμπων ‖ 25. δυσθαλπέος sec.: θυσθαλπέος pr. ‖ 27. τά μοι

Digitized by Google

B= 555. εἰσαμένη Φοίνικι δέμας καὶ ἀτειρέα φωνήν] δύο γάρ ἐστιν οἷς μάλιστα γνωρίζομεν, φωνὴ καὶ εἶδος. εἰκότως δὲ Φοίνικι εἴκασται· ἡγεῖτο γὰρ καὶ αὐτὸς φάλαγγος, καὶ μέλει αὐτῷ λίαν Πατρόκλου. ἅμα δὲ καὶ τὸ γῆρας ἱκανὸν πρὸς αἰδῶ.

B+ 556. κατηφείῃ] ἀπὸ τοῦ κάτω τὰ φάη ἔχειν.

B= 557. Ἀχιλῆος ἀγανοῦ] διατρέπει αὐτὸν τῇ μνήμῃ Ἀχιλλέως, οὗ δέονται πρὸς τὴν μάχην.

559. * "ἔχεο" τοῦ πολέμου ἢ τοῦ νεκροῦ.

B− 564. ⟨μάλα γάρ με—⟩ ἐσεμάσσατο θυμόν] ἔπληξέ μου τὴν ψυχήν· μάσ⟨σ⟩ασθαι γὰρ τὸ ἅψασθαι· "χεῖρ' ἐπιμασ⟨σ⟩άμενος" (Od. 9. 302)· "ἐπεμαίετ' ἄρ' ἵππους" (Il. 5. 748)· "τὸν δ' ἐπιμα⟨σ⟩σάμενος προσέφη κρατερὸς Πολύφημος" (Od. 9. 446). καὶ μέχρι νῦν ἐν τῇ συνηθείᾳ φαμὲν 'ἥψατό μου ὁ θάνατος τοῦδε τοῦ φίλου ἢ συγγενοῦς.'

B+ 565. * πυρός] διὰ τὸ εὐκίνητον.

B= 568. ὅττι ῥά οἱ πάμπρωτα θεῶν ἠρήσατο πάντων] "ἔνεστι γὰρ δὴ κἀν θεῶν γένει τόδε· τιμώμενοι χαίρουσιν ἀνθρώπων ὕπο" (Eur. Hipp. 7, 8).

569. ὤμοισι καὶ ⟨ἐν⟩ γούνεσσιν] ταῦτα γὰρ τῶν μελῶν ἐνεργεῖ μάλιστα.

B= 570. μυίης θάρσος] πιθανῶς οὐ μυίᾳ αὐτὸν εἴκασεν—ἦν γὰρ ⟨ἂν⟩ οὐ κατὰ ἡρωικὸν ἀξίωμα ἡ εἰκών—ἀλλὰ τὸ θάρσος αὐτῆς προσέθηκεν ἡ θεός.

B= ἄλλως: μυίης θάρσος] καὶ ἐπὶ τὰ ἐλάχιστα κατάγεται τὸ ἁρμόδιον τῷ πράγματι ζητῶν. αἱ δὲ ποιητικαὶ λέξεις ἐπικαλύπτουσι τὸ ταπεινόν. πρὸς τὸ ἰταμὸν οὖν καὶ ἐπίμονον ἡ εἰκών.

572. * λαρόν] ἀπολαυστικόν, παρὰ τὸ λῶ, ὅ ἐστι θέλω.

573. * πλῆσεν φρένας ἀμφὶ μελαίνας] ἡ "ἀμφί" πρὸς τὸ "πλῆσεν."

B= 575. ἔσκε δ' ἐνὶ Τρώε⟨σ⟩σι] ἐπισημαίνεται πάντα, πόλιν ὄνομα γένος φιλίαν, ὡς ἀνιχνεύσας τὴν ἀλήθειαν. ὁ δὲ Ἠετίων ὁμώνυμος τῷ τῆς Ἀνδρομάχης πατρί· εἰ δὲ ἦν τῶν Κιλίκων ὁ Ποδῆς, εἶπεν ἂν 'μάλιστα τῶν βασιλέων ἐτίμα αὐτὸν ὁ Ἕκτωρ',

1. ἐστιν W : ἐστι ἐν ‖ 2. 'an γνωριζόμεθα?' W ‖ 6. Ἀχιλλῆος ἀγ. ‖ ἐντρέπει B ‖ 12. Πολύφημος scripsi : Διομήδης ‖ 32. δὲ ἦν B : ἦν δὲ

Digitized by Google

οὐ "δήμου." προαπώλοντο δὲ καὶ οἱ ἀδελφοὶ Ἀνδρομάχης (Il. 6. 421). καὶ τὸ "ἀφνειός" (576) δείκνυσιν, ὡς ἕτερος ἦν· ὁ γὰρ τοῦ Ἀνδρομάχης πατρὸς οἶκος ἠρήμωτο.

577. * δήμου] τῶν δημοτῶν.

εἰλαπιναστής] σύσσιτος, ἐν τῷ εὐωχεῖσθαι φίλος· οἱ δὲ παράσιτος. τὸ δὲ ὄνομα τοῦ παρασίτου εἴρηται ἐν Ἐλπίδι παρ' Ἐπιχάρμῳ (fr. 1 p. 225 Lor.). B−

583. * Ἀσιάδῃ] Ἀσίου παιδί.

584. φίλτατος ἔσκεν] ἐπεὶ περὶ φίλου ὀνειδίζει, δεόντως φίλῳ ὡμοίωται. B+

588. * μαλθακός] οὐ πιστὸς ὁ ψόγος. A∼

593. ἕλετ' αἰγίδα] ἡτοιμάσατο πρὸς τὴν χρῆσιν, ὡς "χερσὶ τρίαιναν ἑλών" (Od. 5. 292).

αἰγίδα—μαρμαρέην] τοῖς ἀμυνομένοις "μαρμαρέην," τοῖς δὲ καταπονουμένοις "ἐρεμνὴν αἰγίδα πᾶσιν" (Il. 4. 167). B=

594. * ἐκάλυψε] τῇ αἰγίδι, ὡς Ἀρίσταρχος.

597. πρῶτος Πηνέλεως] οὐ δειλός, εἴπερ εἴκει Διί. εἰ δὲ "πρῶτος," τέτρωται γὰρ καὶ "πρόσω τετραμμένος" (598). ὅτι δὲ γενναῖος, ⟨συμ⟩φεύγουσι πάντες. εἰ δ' ἀσθενής, πῶς ὁ Ποσειδῶν "Τεῦκρον ἔπι πρῶτον καὶ Λήιτον ἦλθε κελεύων Πηνέλεών θ' ἥρωα" (Il. 13. 92); B=

599. * ἄκρον ἐπιλί[γ]δην] κατ' ἐπιδρομήν· οἱ δὲ ἐπιξεστικῶς· καὶ πῶς "ὀστέον ἄχρις;" AB+

600. Πουλυδάμαντος] οὐ προειπὼν τὸν τρώσαντα νῦν διεσάφησε, ποικίλλων τῇ χάριτι καὶ τῇ ἐξαλλαγῇ. B=

601. Λήιτον αὖθι] ἔοικεν εἰς συμμαχίαν καταγεγενῆσθαι τὸ τῶν Βοιωτῶν τάγμα· οἱ γὰρ ἡγεμόνες αὐτῶν εἰσιν οἱ τετρωμένοι.

603. ἐπεὶ οὐκέτι ἔλπετο] καὶ φυγόντας ἐγκωμιάζει τοὺς Ἕλληνας. B=

605. Ἕκτορα δ' Ἰδομενεύς] σκόπει τὸ τῆς ἀπαγγελίας τάχος· προειπὼν γὰρ τὰ περὶ τῆς βουλῆς τοῦ Ἕκτορος καὶ ἐφορμήσεως ἐπὶ τὸν Λήιτον νῦν ἐν μέσῳ τὴν Ἑλληνικὴν ἀρετὴν διηγεῖται, ⟨ὅτι⟩ καίπερ πεφοβημένοι ἀρτίως ὑπὸ Διὸς ἀγωνίζονται· εἶτα πάλιν μεταβαίνει ἐπὶ τὸν Ἕκτορα. B−

1. προαπώλλοντο B ‖ 6. ⟨πρῶτον⟩ ante εἴρ. supplet W ‖ 11. confert W Ath. V p. 188 ‖ 12. ἕλετο ‖ 16. schol. ad ἐκάλυψε v. 591 super scriptum: traieci ‖ 19. supplevi ex B ‖ 22. suppl. sec. ‖ 26. γεγενῆσθαι κατὰ τὸ: corr. W ‖ 27. αὐτῶν B: αὐτὸν ‖ 31. supplevi ex B

Digitized by Google

A= 607. * ἐν καυλῷ] κατὰ τὸν καυλόν.

A— * δόρυ] ἡ ἐπιδορατίς, ὡς πρῴρας οὔσης τοῦ στύρακος.

A + B— τοὶ δ' ἐβόησαν] ἐκπληχθέντες μή τι πάθοι, οὐκ "ἐφόβηθεν" διώκουσι γὰρ οὗτοι· οὕτως Ἀρίσταρχος.

AB— 608. Ἰδομενῆος ἀκόντισε] ὡς Ἰδομενέα βάλοι ἑστῶτα ἐν τῷ δίφρῳ· ὃς πεζὸς ἐλθὼν ἐκ τοῦ ναυστάθμου πεσὼν ἂν ὕψωσε ⟨τοὺς⟩ Τρῶας, εἰ μὴ Κοίρανος αὐτῷ παρέστησε τὸ ἅρμα, ὃς ἐκ Λύκτου Μηριόνῃ συνεστράτευσεν ἡνίοχος ὢν τοῦ Μηριόνου (611). τροπῆς γὰρ γεγονυίας μεσαιπόλιος ὢν ὁ Ἰδομενεὺς ἀπώλετο ἄν· "οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι" (Il. 13. 512)· ἔστι δὲ ἡ φράσις ὡς "τῶν αὖθ' ἡγεμόνευε Μενεπτόλεμος Πολυποίτης, υἱὸς Πειριθόοιο, τὸν ἀθάνατος τέκετο Ζεύς" (Il. 2. 740, 1) καὶ μετὰ ταῦτα "οὐκ οἶος, ἅμα τῷ γε Λεοντεύς" (ib. 745). φθάσαντος οὖν ἤδη ἀναβῆναι Ἰδομενέως ὁ παρεστὼς ἡνίοχος ἐπλήγη.

612. πεζὸς γὰρ τὰ πρῶτα] ὁ Ἰδομενεὺς δηλονότι· διὸ εἰς τὸ ἅρμα τοῦ Μηριόνου ἀνῆλθεν.

615. καὶ τῷ μὲν φάος ἦλθεν] καινὸν καὶ περιπαθὲς τὸ σύμπτωμα.

AB= 617. τὸν βάλ' ὑπὸ γναθμοῖο—ἐκ δ' ἄρ' ὀδόντας] ὑπὸ τὴν σιαγόνα διαβὰν τὸ δόρυ ἀνέσχε διὰ τῆς ἑτέρας· καὶ οὐκ ἔστιν ἀδύνατον τοῦτο, τοῦ μὲν Ἕκτορος πεζοῦ βαλόντος, τῷ δὲ ἅρματι ἐπιβεβηκότος τοῦ βληθέντος.

AB= γναθμοῖο] εἰκότως πλαγία ἡ πληγὴ γίνεται περιστρέφοντος αὐτοῦ τοὺς ἵππους. §. ἔστι δὲ τὸ ἑξῆς, αὐτὰρ Μηριόναο ὀπάονά θ' ἡνίοχόν
B— τε Κοίρανον, τὸν βάλ' ὑπὸ γναθμοῖο· τὰ δὲ ἄλλα ἐν μέσῳ. διόπερ ἐδέησε καὶ περισσοῦ τοῦ ἄρθρου.

B= 618. δόρυ πρυμνόν] ἡ ἐπιδορατίς, ὡς πρῴρας οὔσης τοῦ στύρακος.

B= 620. καὶ τά γε Μηριόνης] τὸ ἑξῆς, καὶ τά γε Μηριόνης ἐκ πεδίου ἔλαβε κύψας. ἀνελόμενος, φησί, χαμόθεν τὰ ἡνία ἐπιδίδωσι τῷ Ἰδομενεῖ αὐτὸς πεζὸς ὤν· ὅτι γὰρ οὐκ ἔστιν ἐν τῷ ἅρματι, δηλοῖ τὸ "μάστιε νῦν" (622). φιλικὸν δὲ τὸ ἦθος τοῦ Ἕλληνος· αὐτὸς μὲν γὰρ ὡς νέος καὶ ἀκμάζων ἔτι κινδυνεύειν βούλεται, τὸν δὲ μεσαιπόλιον ἀποπέμπει τὴν ἀσφάλειαν αὐτῷ πορίζόμενος.

3. πάθη ‖ 5. Ἰδομενῆα βάλῃ ‖ 7. supplevi ex B ‖ 8. ὃς B: ὡς ‖ 11. ἔσται ‖ 25. θ' post M, omisi ut B

Digitized by Google

628. τοῖσι δὲ μύθων ἦρχε] ὅτι ἐπὶ δυοῖν τὸ "τοῖσι."

632. * ἔμπης] ὅμως.

634. αὐτοί περ φραζώμεθα] ἐμφαντικὸν τὸ "αὐτοί περ," οἷον B= ἡμεῖς μόνοι οἱ καταλελειμμένοι ὑπὸ τῶν φευγόντων. ἢ τῇ ἰδίᾳ ἀρετῇ, οὐ τῇ ἀπὸ θεῶν συλλήψει. ζηλωτὰ δὲ ταῦτα· καὶ τὸν Δία ⟨γὰρ⟩ πολέμιον οἶδε καὶ οὐ καταλείπει τὸν νεκρόν.

637. οἵ που νῦν ὁρόωντες] "οἵ που δεῦρο·" τινὲς "οἵ που νῦν," A+ κακῶς.

640. εἴη δ' ὅστις ἑταῖρος] ἐπεὶ τελευταῖον βοήθημα τουτί, ⟨εἰς B= τοῦτο εἰκότως⟩ καταφεύγει.

643. * οὗ πῃ] τινὲς "οὗ που" ἀντὶ τοῦ 'ἔν τινι τόπῳ.' A~

645. ἀλλὰ σὺ ῥῦσαι] θαυμαστὸν τὸ ἦθος· οὐ γὰρ σωτηρίαν A–B= αἰτεῖ, ἀλλὰ ⟨τὸ⟩ μὴ ἐμποδίζεσθαι ἀπὸ ἔργων ἀγαθῶν. διὸ καίπερ ἐναντιούμενος ὑπακούει Ζεύς.

648. δάκρυ χέοντα] κατὰ παράλειψιν ἡ διήγησις· ἄνω γὰρ οὐδὲν B= εἰπὼν περὶ δακρύων τούτῳ ἐνέφηνεν. §. περιπαθῶς δὲ λίαν εἰσάγει τὰ A+B= πράγματα, εἴγε Αἴας δακρύει· οὐ γὰρ ἐν ἄλλοις εὑρίσκομεν αὐτὸν δεδακρυκότα.

652. αἴ κεν ἴδηαι ζωόν] ἔμφασιν ἔχει τῆς δυσπραγίας τὸ "αἴ AB= κεν," ὡς οὐκ ἐλπίζοντος ἔτι ζῆν οὐδὲ τοῦτον.

657. ὥς τις τε λέων] πολλαὶ αἱ εἰκόνες κατὰ τοῦ ἥρωος. πρῶτον A=B+ γὰρ αὐτὸν εἴκασε διὰ τὴν φιλοστοργίαν βοΐ (4), νῦν δὲ λέοντι ἀκούσιον ποιουμένῳ ἀναχώρησιν· καὶ ἑξῆς (674) διὰ τὴν ὀξυδορκίαν ἀετῷ παρέβαλεν αὐτόν.

659. * "πῖαρ" ἐκ παρεπομένου τὸ ζῆν. A+

663. καιόμεναί τε δεταί] καὶ Ἀριστοτέλης (H. A. IX c. 44 B= p. 629b) φησὶ λέοντα μάλιστα τὸ πῦρ δεδοικέναι. §. "δεταί" δὲ B= ὀξυτόνως αἱ συνδεδεμέναι ἐκ ξύλων λαμπάδες.

664. * τετιηότι θυμῷ] κακωθέντι ὑπὸ λύπης. A~

666. ἀέκων] πρὸς τοῦτο μόνον ἡ παραβολή· τὰ δὲ ἐν μέσῳ πρὸς B= οὐδὲν ἐξείργασται.

1. δυοῖν W: δύο ‖ 2. ὁμοίως A ‖ 6. supplevi ex B ‖ οὐ καταλείπει B: οὐκ ἐπιλείπει ‖ 9, 10. supplevi ex B ‖ 11. οὗ που Ludwich ex A: οὕτω ‖ 13. supplevi ex B ‖ 15. ἡ κατὰ παρ. διήγ. ‖ 16. τούτῳ W: τοῦτο ut B ‖ περιπαθῶς A: -ῆ ut B ‖ δὲ λίαν B: δειλίαν ‖ 19. δυσπραγίας B: δειλίας ‖ 21. κατὰ om. B ‖ 22, 3. λέοντι ἀκούσιον B: ἀκούσιον λέοντι ‖ 23. ἀναχώρησιν B: ἀποχώρησιν ‖ 25. ἐκ παρεπομένου A: παρεκπορευομένου ‖ 27. δεταί rec. in rasura: δαιταί pr.

Digitized by Google

A+B= 667. *ἀργαλέου πρὸ φόβοιο*] *ἀντὶ τοῦ ὑπό· "ἀεθλεύων πρὸ ἄνακτος"* (Il. 24. 734).

B= 670. *νῦν τις ἐνηείης* Πατροκλῆος] *πολλαὶ μὲν αἱ τοῦ ἥρωος ἀρεταί· νῦν δὲ παρέλαβε τὴν μάλιστα δυσωπῆσαι δυναμένην. ὅτι δὲ πρᾶος ἦν, δῆλον ἐξ ὧν τῶν βασιλέων διαφερομένων ἡσυχάζει· φιλοστόργως δὲ τὸν* Εὐρύπυλον *ἰᾶται* (Il. 11. 844), *κλαίει πρὸς* Ἀχιλλέα (Il. 16. 4).

A— 671. *πᾶσιν γὰρ ἐπίστατο*] *αὐξητικὸν τὸ "πᾶσιν," οὐκ* Ἀχιλλεῖ *μόνον, ἀλλὰ κοινῶς πᾶσιν.*

B= 674. *ὅν ῥα τέ φασιν*] *ἀξιοπίστως τὸ "φασίν" προσέθηκεν, ὡς πρὸ τοῦ ἐπιβαλέσθαι τῇ ποιήσει ἐξητακὼς ἀκριβῶς ἅπαντα.* §. *φησὶ*
AB= *δὲ καὶ* Ἀριστοτέλης (H. A. IX c. 34 p. 620ª), *ὡς ἵστησι τοὺς νεοσσοὺς πρὸς ἥλιον ἀναγκάζων βλέπειν· καὶ ὁ μὲν δυνηθεὶς ὁρᾶν τοῦ ἀετοῦ υἱός ἐστιν, ὁ δὲ μὴ ἐκβέβληται καὶ γέγονεν ἁλιαίετος.*

B= 676. *ὑψόθι*] *πάντοθεν αὔξει τὴν ὀξυωπίαν· ὑψηλὸς ὢν γὰρ πέτεται, τὸ δὲ κατασκοπούμενον λαγώς, καὶ τῇ χροιᾷ γεῶδες ὡς μὴ ῥᾳδίως διακρίνεσθαι, καὶ τῷ μεγέθει βραχύ. καὶ βοηθεῖ ὁ θάμνος, ὑφ' οὗ κέκρυπται ὁ λαγώς.*

A+B— 681. *ζώοντα ἴδοιτο*] *"ἴδοιντο" τὰ ὄσσε· οἱ δὲ ἑνικῶς "ἴδοιτο," ἵν' ᾖ τὰ 'ὄσσε ἴδοιτο' ὡς τὰ παιδία παίζει· οἱ δὲ ἀπὸ τῆς σχολῆς "ἴδοιο" γράφουσιν.*

B= 689. *ὤριστος* Ἀχαιῶν] *παρατήρει, ποσάκις εἰπὼν περὶ τῆς ἀναιρέσεως* Πατρόκλου *οὐδαμοῦ προσκορὴς ἐφάνη.*

AB— 695. *ἀφασίη*] *πανταχόθεν ἐπεσημήνατο τὸ πένθος, μάλιστα δὲ ἐκ τοῦ μηδὲ πυθέσθαι τὸν τρόπον τῆς τελευτῆς. γίνεται οὖν ἡ σιωπὴ παντὸς λόγου μείζων. ἔστι φίλος* Πατρόκλῳ, *ὥς που καὶ ἐν τῇ* Νεκυ⟨ί⟩ᾳ *φησὶ "καὶ* Πατροκλῆος *καὶ ἀμύμονος* Ἀντιλόχοιο" (Od. 11. 468). *πρὸς τῇ φιλίᾳ αὐτοῦ* Νέστωρ *αἴτιος ἐγεγόνει τοῦ θανάτου αὐτοῦ.*

B= *ἄλλως: ἀφασίη*] *ἄριστα ᾠκονόμηκεν ὁ ποιητὴς τὴν τοῦ* Πατρόκλου *ἄ⟨γ⟩νοιαν ⟨θανάτου⟩, ὡς καὶ ἐπὶ τῆς* Ἀνδρομάχης (Il. 22. 445)· *καὶ γὰρ αὕτη ἐκτὸς τῆς ὑπονοίας οὖσα τοῦ τεθνηκέναι τὸν* Ἕκτορα *ἐν χαλεπωτέρῳ γίνεται πένθει ἀκούσασα.*

4. νῦν δὲ B: τὴν δὲ νῦν || 14. ἀναίετος B || 15. ὑψόθεν || 16. δὲ B: γὰρ || 17. βοηθεῖ ὁ θ. B: βοήθεια θ. || 18. ὑφ' οὗ B, ὑφ' ᾗ || 20. ὄσσεα || 26. ὣς Bekker: ὃς || 29. τοῦ θανάτου B: τῷ θανάτῳ || 30. ᾠκονόμησεν B || 31. supplevi ex B

Digitized by Google

700. τὸν μὲν δάκρυ χέοντα πόδες φέρον] τρόπον τινὰ τὸ πένθος ἀράμενον αὐτὸν ᾤχετο· φησὶ γοῦν "πόδες φέρον." §. ἐφ' ἅρματος δὲ οὐκ ἄπεισιν ὡς ταπεινῶν ἄγγελος· ἢ τὸ πένθος ⟨αὐτὸν τοῦτο⟩ συνιδεῖν οὐκ ἐᾷ. καὶ Πηνελόπη γοῦν οὐκέτι "ἔτλη δίφρῳ ἐφέζεσθαι" (Od. 4. 716) ἀκούσασα περὶ τοῦ παιδός. τινὲς δὲ Λαοδόκῳ παραδοῦναι τὰ ὅπλα, ὅπως δοκῇ ἐκεῖνος τοῖς πολεμίοις Ἀντίλοχος εἶναι, τὸ δὲ ἅρμα καταλιπεῖν τῷ πατρί, εἰ δέοι φυγεῖν· ἀλλ' εἶχεν ὁ Νέστωρ ἴδιον ἅρμα καὶ Εὐρυμέδοντα ἡνίοχον. ἄμεινον οὖν διὰ τὸ πένθος (Π. 11. 620). A + B = A ~ B —

703. * ἔνθεν] ἀντὶ τοῦ 'ὅθεν.'

705. ἀλλ' ὅ γε τοῖσιν μέν] ἐκ τοῦ πρὸς αὐτὸν εἰς τὸν περὶ αὐτοῦ. A + B =

711. οὐ γάρ πως ἂν γυμνὸς ἐών] πολλάκις γὰρ ὑπὸ περιστάσεως πράξαντές τι ὕστερον συνορῶμεν τὸ ἀδύνατον αὐτοῦ. τὰ δὲ τοῦ Πατρόκλου οὐκ ἐνδύεται ὅπλα, ἢ ὡς ἐλάσσω τοῦ σώματος, ἢ ⟨ὅτι⟩ οὐκ εἶχεν. B —

712. ἡμεῖς δὲ—φραζώμεθα] γενναῖον πρὸς προτροπὴν τὸ ἀπὸ τῶν ἰδίων ἐνδείκνυσθαι καὶ μὴ περιμένειν τὴν ἑτέρων ἐπικουρίαν. B =

720. ἶσον θυμὸν ἔχοντες] πάντοθεν προτρέπει τὸν Λοκρόν. καὶ Ἀλέξανδρος ἐν Πέρσαις ὁρῶν τινα Ἀλέξανδρον ἀνδριζόμενον ἴσος, φησίν, ὄφθητι τῆς ὁμωνυμίας. B =

722. οἱ δ' ἄρα νεκρόν] ἐγγὺς τῶν νεῶν θέλουσι κομίσαι, ἵνα κἂν καταπονῶνται βοηθήσῃ Ἀχιλλεύς. διὰ δὲ τοῦ "ἀγκάζοντο" τὸ σπουδαῖον καὶ μοχθηρὸν ἐνέφηνεν. B =

ἀγκάζοντο] ἐμφαντικῶς ἐμήνυσε τοὺς ὥσπερ περιειληφότας τὸν νεκρόν· καίτοι ἐνῆν καὶ ἄλλως εἰπεῖν 'ἐρύοντο·' ἀλλ' οὐκ ἦν οἰκεῖον τῆς προσηνείας Πατρόκλου τὸ ἕλκεσθαι. B =

725. κύνεσ⟨σ⟩ιν ἐοικότες] πρὸς τὸ θράσος τῶν Τρώων ἡ παραβολή· καὶ τὴν αἰτίαν τοῦ θάρσους παρίστησι τὸ "βλημένῳ" (726). ἀλλὰ καὶ τὸ "ἑλίξεται" (728) συμπράττει· στρέφεται γὰρ τοῦτο μόνον τῶν ζῴων διωκόμενον, ὁ κάπρος. B =

727. εἵως μὲν γάρ] ἕως. λείπει τινός. B =

731. * οἱ μὲν ἐγγὺς "ξίφεσιν," οἱ δὲ πόρρω δόρασιν. B =

733. * τῶν δέ] περισσὸς ὁ "δέ."

737. ἠΰτε πῦρ] ὃ κατὰ μεταφορὰν ἐξήγαγεν ἑτέρωθι καυστείρην B =

3. ταπεινῶν B: ταπεινὸν ‖ supplevi ex B ‖ 20. ὄφθητι B: ὤφθη ‖ 24. περ. ὥσπερ ut B: traiecit W

Digitized by Google

τὴν μάχην λέγων (Il. 4. 342, 12. 316), νῦν ἐπεξεργασάμενος εἰς παραβολὴν ἄγει. ηὔξησε δὲ αὐτὸ διὰ τοῦ ἀνέμου καὶ τοῦ αἰφνιδίου, ἵνα λανθάνον νέμηται.

B= 742. ὡς θ' ἡμίονοι] βόες μὲν ἰσορρόπως ἕλκουσιν ἑκάτερος φέρων τὸ ἴδιον βάρος, ἡμίονοι δὲ ⟨δι⟩ωθούμενοι τὸ βάρος ἀντιμεταβάλλουσιν ἀλλήλοις. τοιοῦτον ἔπασχον καὶ οἱ τὸν νεκρὸν κομίζοντες εὐχερῆ τὴν δίοδον διὰ τὴν ἐπιφορὰν τῶν πολεμίων οὐκ B= ἔχοντες. §. κατὰ τὰς ἀποκλίσεις τοῦ φερομένου ἑκάτερος ἐβαρεῖτο, διὸ ἐπιτείνων τὸ ταλαίπωρον αὐτῶν σκολιὰν παρέλαβεν ὁδὸν καὶ μακρὸν τὸ ἑλκόμενον ξύλον διὰ τῆς ὁδοῦ.

B+ ⟨κρατερὸν μένος⟩ ἀμφιβαλόντες] ἰσοβαρήσαντες τῇ δοκῷ τὴν προθυμίαν, ὡς τὸ "ἥλικες ἰσοφόροι" (Od. 18. 373).

746. ὡς οἵ γ' ἐμμεμαῶτε] οὕτω διὰ τῶν β' μ̄· τινὲς δὲ "οἳ μὲν ἄρ' ἐμμεμαῶτε."

B= 747. πρών] προοχὴ ὄρους. §. "ἰσχάνει" δὲ τῆς εἰς θάλασσαν

B= ἐκρύσεως.

B= ὥς τε πρών] ἄκρως οὐκ ἐμψύχοις αὐτοὺς εἴκασεν, ἀλλ' ἀσαλεύτοις πρηόσιν ἀντέχουσι ποταμοῖς. ἔστι δὲ ἡ εἰκὼν ὅλη πρὸς ὅλον. Αἴαντες γὰρ ἐρριζωμένῳ ὄρει εἰσὶ παραβεβλημένοι, ὕδατι δὲ οἱ Τρῶες. ὡς δὲ ὁ πρὼν κωλύει τὸ ἐπιφερόμενον ὕδωρ εἰς τὸ χωρίον ἐλθεῖν, τὸ δὲ περιχεόμενον εἰς τὸ ὑποκείμενον πεδίον ῥεῖ, οὕτω καὶ ἐπὶ τῷ σώματι Πατρόκλου ἑδραίως ἑστῶτες ἀπέτρεπον τοῦ σώματος τοὺς Τρῶας ἐπ' ἄλλο μέρος.

B= 748. διαπρύσιον] ὡς διόλου προήκειν καὶ διατετάσθαι τοῦ πεδίου τὸν πρῶνα.

750. πᾶσι ῥόον πεδίονδε τίθησιν] ἀποστρέφει τὰ ῥεύματα πάντων.

751. * οὐδέ τε μιν] "οὐδέ τι μιν·" Ἀριστοφάνης "οὐδέ τι μήν."

B= 755. τῶν δ', ὥς τε ψαρῶν] ταπεινοῖ τοὺς Ἕλληνας τῇ παραβολῇ πρὸς σύγκρ[ι]σιν τοῦ πολεμοῦντος Διός. τὴν αὐτὴν δὲ εἰκόνα καὶ ἐπὶ τῶν βαρβάρων ἔλαβεν, ὅτε αὐτο⟨ὺ⟩ς ὁ Πάτροκλος ἐδίωκεν· "ἴρηκι ἐοικὼς ὠκέι, ὅς τ' ἐφόβησε κολοιούς τε ψῆράς τε" (Il. 16.

1. νῦν ἐπεξεργ. B: ξυνεπεξεργ. ‖ 4. ὥστ' ‖ 5. supplevi ex B ‖ 20. δὲ ὁ B: γὰρ ἡ ‖ 21. περιεχόμενον ut B: corr. W ‖ 31. suppl. rec. ‖ 32. supplevi ex B

Digitized by Google

583). ἀλλ' ἐκεῖνοι οὐκ ἐναντιουμένου θεοῦ ταῦτα πάσχουσιν ἀλλὰ διὰ τὴν ἀρετὴν τοῦ διώκοντος, τούτοις δὲ ὁ Ζεὺς αἴτιος τῆς ταπεινῆς εἰκόνος.

ψαρῶν νέφος] τὴν ἀγέλην νέφος ὠνόμασεν οὐ διὰ τὸ πλῆθος μόνον, ἀλλ' ὅτι καὶ ἐπισκιάζει τὸν ἀέρα τῇ πυκνότητι.

ἄλλως: ψαρῶν] διὰ τὴν εὐφωνίαν· ἐκεῖ δὲ "κολοιούς τε ψῆράς τε" (Il. 16. 583)· συναγελαστικὸν δὲ ὁ κολοιὸς καὶ φιλάλληλον, ὡς ἡ παροιμία· "καὶ γὰρ κολοιὸς ποτὶ κολοιὸν ἱζάνει" (cf. Zenob. II 47). μαρτυρεῖ καὶ ὁ τῆς θήρας αὐτῶν τρόπος. ἐλαίου πλήρη κρατῆρα τιθέασιν, οἱ δὲ κολοιοὶ ἐπιβάντες τῷ χείλει ⟨καὶ⟩ ἀφορῶντες εἰς τὴν σκιὰν ἑαυτῶν ἄλλους κολοιοὺς ὁρᾶν νομίζουσιν· εἶτα ἐμπεσόντες τῷ ἐλαίῳ, ὡς πρὸς τοὺς ἑταίρους δῆθεν κατιόντες, ἁλίσκονται συγκολληθέντες τὰ πτερὰ τῷ ἐλαίῳ. πολύ τε μᾶλλον ἀγεληδὸν αὐτῶν ἡ πτῆσις γίνεται ἰδόντων ἱέρακα καὶ τοῦ φόβου τὴν φωνὴν συστρέφοντος βοῶσιν ὀξὺ καὶ συνεστραμμένον· τοῦτο Ὅμηρος "οὖλον" (756) λέγει· τῶν δὲ ἡδομένων ὀρνέων χαλαρὰ καὶ ἀνειμένη ἐστὶν ἡ φωνή. ἐπὶ μὲν οὖν Τρώων ἔλαβε τοὺς κολοιοὺς διὰ τὸ ταραχῶδες καὶ ἀνόητον, ἐπὶ δὲ Ἑλλήνων διὰ τὸ φιλάλληλον. ἀεὶ γὰρ ἡ πτῆσις αὐτῶν ἀγεληδὸν γίνεται. B—

756. * οὖλον κεκλήγοντες] πρὸς τὸ σημαινόμενον ὑπήντησεν. B=

757. ὅς τις μικρῇσι] ὁ γὰρ ἀετὸς μεγάλα⟨ς⟩ φονεύει. ἐπὶ δὲ τῶν λίαν ἀσθενῶν οὐδέποτε 'τυτθῇσι' εἶπεν. B=

759. * οὖλον κεκλήγοντες] πρὸς τὸ σημαινόμενον ὑπήντησεν.

760. τεύχεα—πέσον] πεφεισμένως οὐκ εἶπεν 'ἀπέβαλον τὰ ὅπλα,' ἵνα μὴ ῥιψάσπιδας εἴπῃ, ἀλλ' 'ἔπεσον,' ὡς οὐχ ἑκοντὶ ῥιψάντων, ἀλλ' ἐκ τύχης τοῦ παθήματος γενομένου. καὶ τὸ μὲν πρᾶγμα μεμήνυται, οὐδὲν δὲ αἰσχρὸν τῶν Ἑλλήνων κατεῖπεν. B=

761. πολέμου δ' οὐ γίνετ' ἐρωή] οὐκ ἔστιν ἐναντίον τὸ λέγειν καὶ φεύγειν αὐτοὺς καὶ μὴ γίνεσθαι ἐρωὴν τοῦ πολέμου· ἔφευγε μὲν γὰρ ὁ πολὺς καὶ χυδαῖος τῶν Ἑλλήνων ⟨ὄχλος⟩, οὐχ ὑπηρώουν δὲ οἱ Αἴαντες καὶ οἱ ὑπερμαχοῦντες τοῦ νεκροῦ. B=

⟨οὐ γίνετ'⟩ ἐρωή] οὐκ ἐπίσχεσις, ἀλλὰ τοὐναντίον αὔξησις. B—

3. schol. sine lemmate post γίνεται l. 18 repetitur δὲ particula coniunctum ‖ 4. καὶ ὅτι schol. alt. ‖ 6. φιλόφωνον B ‖ 7. ἀεὶ κολ. π. Zen. ‖ ποτὶ D. Zen.: παρὰ ut B ‖ τὸ κολωὸν εἴκασται B ‖ 9. χείλει B: τείχει ‖ supplevi ex B ‖ 10. ἐμπεσόντες W, ἐμπίπτοντες Eust.: ἐπιπεσόντες ut B ‖ 11. ἑταίρους BD: ἑτέρους ‖ 13, 14. συστρέφοντος scripsi: συστραφέντος ut B ‖ 15. χαλαρὰ Eust.: χαρᾷ ‖ ἀνειμένην ἑ. ‖ post φωνή signum scholii finiti :— ‖ 25. γινομένου B ‖ 29. supplevi ex B ‖ ὑπηρώουν scripsi: ὑπερώουν ut B



Digitized by Google

## ΕΙΣ ΤΗΝ Σ.

A ~ B + 1. Ὣς οἳ μὲν μάρναντο δέμας πυρός] τινές· "δέμας" τὸ σῶμα, τὸ δὲ σῶμα εἶδος, εἶδος δὲ ὁ τρόπος, "δέμας πυρός" ὁ τρόπος τοῦ πυρός. ὠλόθρευον ἀλλήλους ὡς πῦρ.

B = δέμας πυρός] λείπει τὸ ὡσεί, 'ὡσεὶ πυρός'· ὡς πῦρ γὰρ ἐμάχοντο μετὰ πάσης ἐνεργείας· καὶ γὰρ τὴν μάχην καυστείρην
B = λέγει. §. ποικίλλει δὲ πάλιν μετάγων ἡμᾶς ἐπὶ τὰς σκηνάς.

AB = 3. προπάροιθε νεῶν] τοπικῶς, ὡς τὸ "κὰδ δ' ἔβαλε προπάροιθε νεώς" (Od. 9. 482). ἀλλὰ καὶ χρονικῶς, "οὔτις ἀνὴρ προπάροιθε μακάρτατος" (Od. 11. 483).

AB = ὀρθοκραιράων] κατὰ πρύμναν καὶ πρῷραν ἀνατεταμένων, ὀρθοκεφάλων· κραῖρα γὰρ ἡ κεφαλή.

AB = 4. τὰ φρονέοντ' ἀνὰ θυμόν] οἱ περὶ τῶν φίλων ἀγωνιῶντες ἐν τοῖς κινδύνοις δυσέλπιδές εἰσιν. ἔστι δὲ τῶν ἐν ἀτυχίᾳ προληπτικὸς ὁ νοῦς.

B = 6. ὤ μοι ἐγώ] περιπαθῶς ἄγαν ἑαυτὸν ἀπολοφύρεται ἐπὶ τῇ ὑπονοουμένῃ τοῦ φίλου συμφορᾷ. μεγαλοφυῶς δὲ ἀπὸ τῆς φυγῆς τῶν Ἀχαιῶν στοχάζεται πεπτωκέναι Πάτροκλον· οὐκ ἂν γὰρ αὐτοῦ ζῶντος ἔφυγον.

* τί τ' ἄρ' αὖτε] τί δὴ πάλιν.

B = 7. νηυσὶν ἔπι κλονέονται] ἐπὶ τὰς ναῦς. §. ἀναστρεπτέον τὴν
AB = πρόθεσιν ὁμοίως τῷ "νηυσὶν ἔπι προέηκα" (439).

B = ἀτυζόμενοι] βεβλαμμένοι, ἢ φεύγοντες· πεποίηται δὲ ἡ λέξις παρὰ τὸ ἄτη.

A + B − 10. Μυρμιδόνων τὸν ἄριστον] Ἄκτωρ Λοκρὸς μὲν ἦν τὸ γένος, ἀπὸ Ὀποῦντος πόλεως, μετὰ δὲ τὸ τεκεῖν Αἰακὸν ὑπὸ Διὸς τὴν Αἴγιναν γήμας ἔμενεν ⟨ἐν⟩ Οἰνώνῃ· καὶ γίνεται αὐτῷ Μενοίτιος ⟨ὁ⟩ τοῦ Πατρόκλου ⟨πατήρ⟩· ὅθεν Μυρμιδόνα ἀναγκαίως τὸν Πάτροκλον καλεῖ. διὸ καὶ "ἄριστον," οὐ κρείττω εἶπεν. ἐπὰν γὰρ πρὸς πολλοὺς ὁμογενεῖς συγκρίνωμεν, τῷ ὑπερθετικῷ χρώμεθα, οἷον πλουσιώτατος Ἀλεξανδρέων Πτολεμαῖος, εἰ δὲ πρὸς ἀλλογενεῖς, τῷ

1. addidi: ἀρχὴ τῆς σ̄ Ὁμήρου Ἰλιάδος textui inscriptum ‖ 9. οὗτος ἀ. ut B ‖ 11. ὀρθοκραιράων sec.: ὀρθοκρεράων pr. ‖ 12. κραῖρα B: κέρα ‖ 14. προληπτικὸς B: -ῶς ‖ 16. περιπαθῶς B: προσπαθῶς ‖ 27. Αἴγιναν γήμας scripsi, cf. ABD: αἶγα ἡμᾶς ‖ supplevi ex BD ‖ Οἰνώνῃ BD, Ὀποῦντι A: Οἰνώνη

Digitized by Google

συγκριτικῷ. τὸ γὰρ συγκριτικὸν οὔπω τὴν τελείαν εἴληχε λέξιν, ἀμέλει γέ τοι καὶ ἔτι ἐπιτείνεται· τὸ δὲ ὑπερθετικὸν τὸ τέλος εἴληχεν. τῷ δὲ ἐντελεῖ συγκρινόμενον οὐκ ἀχθεσθήσεται τὸ πλῆθος, τῷ γε μὴν ἀτελεῖ.

ἄλλως: Μυρμιδόνων τὸν ἄριστον] ἐν τῇ Ῥιανοῦ καὶ Ἀριστο- A+ φάνους οὐκ ἐφέροντο οἱ δύο (10, 11). δύναται δὲ Μυρμιδόνων λέγειν τὸν ἄριστον οἷον τῆς Μυρμιδόνων στρατιᾶς—διὸ καὶ ἄριστον, οὐ κρείττω εἶπεν—ἢ τὸν ἐν Μυρμιδόσιν ἄριστον· συνηρίθμητο γὰρ αὐτοῖς, εἰ καὶ Λοκρὸς ἦν.

ἄλλως: Μυρμιδόνων τὸν ἄριστον] πιθανὸν τὸ μὴ ὀνομαστὶ περὶ A+B− τοῦ Πατρόκλου προειρηκέναι τὴν Θέτιν· καὶ γὰρ ὁ τῶν χρησμῶν χαρακτὴρ τοιοῦτος, ἐχόμενος τοῦ ἀμφιβόλου. διὸ καὶ μετὰ τὰς ἀποβάσεις ὁρῶνται, ὡς καὶ ἐπὶ τοῦ Ἀλκινόου (Od. 13. 172).

12. ἦ μάλα δὴ τέθνηκε] ἀντὶ τοῦ λίαν κατείληφα, ὅτι τέθνηκεν, A+B= μάλα οἶδα καὶ πέπεισμαι.

13. σχέτλιος] τλήμων. §. ἀναφαίνεται δὲ ἐνταῦθα ἡ γνώμη AB+ τοῦ Ἀχιλλέως, ὅτι κατὰ πρόνοιαν τῷ φίλῳ ἀπέχεσθαι τοῦ τείχους B= συνεβούλευεν, οὐ βασκαίνων αὐτῷ (Il. 16. 87).

14. ἐπὶ νῆας ἴμεν] Ἀρίσταρχος καὶ Ἀριστοφάνης "ἐπὶ νῆας A+ ἴμεν."

Ἕκτορι] ἀπὸ μέρους τοῖς Τρωσίν. ἔφη γὰρ "Τρῶας ἐναιρό- B− μενος, προτὶ Ἴλιον" (Il. 16. 92).

17. ἀλεγεινήν] ὥσπερ συναλγῶν ἐπὶ τῇ Πατρόκλου συμφορᾷ ὁ B= ποιητὴς ἐπιφωνεῖ, ὅτι ἀλεγεινὴ ἀγγελία ⟨τὸ⟩ τὸν Πάτροκλον ἀγγεῖλαι τετελευτηκότα.

18. ὤ μοι Πηλέως υἱέ] περιπαθῶς καὶ ἀξίως τῆς φιλίας ἀνα- AB= φθέγγεται, οὐκ ἐπὶ τὸν τεθνεῶτα οὐδ' ἐπὶ τὸν ἀκούοντα, ἀλλ' ἐφ' ἑαυτὸν ἀνενεγκὼν τὴν ἀτυχίαν· διὰ γὰρ τοῦ "μοί" οἰκειοῦται τὴν συμφοράν. §. τὸ δὲ "Πηλέως" τοιούτου πατρὸς μετριάζει τὰς B= συμφοράς. §. διὰ δὲ τοῦ "λυγρῆς" ἔννοιαν αὐτῷ τοῦ δεινοῦ B= δίδωσιν.

20. κεῖται Πάτροκλος] ἱκανῶς ἐτάχυνε τὸ⟨ν⟩ κακάγγελον ἐν B= ὅλοις δύο στίχοις· καὶ ἐν βραχεῖ πάντα ἐδήλωσε, τὸν ἀποθανόντα, τοὺς

5. τῇ Ἰριανοῦ ‖ 7. στρατείας ‖ 17. τοῦ φίλου B ‖ 19. ἴεμεν ‖ 20. ἴμεν A: ἰέναι ‖ 24. ⟨τῷ⟩ B ‖ 28. ὤμοι B, οἴμοι ‖ 29. τὸ Bekker: τοῦ ut B ‖ 29, 30. τὴν συμφορὰν Eust., ταῖς συμφοραῖς ut B ‖ 32. supplevi ex B ‖ 33. τέσσαρσι στίχοις B



Digitized by Google

ὑπερμαχομένους, τὸν κτείναντα. οὐκ ἐζήλωσαν δὲ τοῦτο ⟨οἱ⟩ τραγικοί, ἀλλὰ τοῖς λυπουμένοις μακρὰς ἐπάγουσι τὰς διηγήσεις τῶν συμφορῶν.

AB= ἄλλως: κεῖται Πάτροκλος] προδοὺς ἴχνη τῆς συμφορᾶς τῷ δακρύῳ καὶ τῇ προφωνήσει οὕτως ἐπὶ τὴν διήγησιν ἔρχεται· αἰφνίδιον γὰρ προσπεσόντα τοῖς ἀκούουσι τὰ δεινὰ ἐξίστησιν.

B= ἄλλως: κεῖται Πάτροκλος] οἷον οὐκ ἀνήρπασται. §. διὰ δὲ τοῦ

B= "ἀμφὶ μάχονται" εὐμενῆ τοῖς Ἀχαιοῖς αὐτὸν καθίστησιν.

22. * ἄχεος νεφέλη] "λύπη⟨ς⟩ χειμών."

A-B- 23. κόνιν αἰθαλόεσσαν] τὴν σποδόν φησιν· "μέλαιν' ἀμφίζανε τέφρη" (25)· οἱ δὲ τεφρώδη κονιορτόν· καὶ ἐπὶ Πριάμου, "ἀμφὶ δὲ πολλὴ κόπρος ἔην κεφαλῇ τε καὶ αὐχένι" (Il. 24. 163, 4).

AB- 25. νεκταρέῳ] εὐώδει, ἢ εὐπρεπεῖ, ἢ θείῳ, παρὰ τὸ νέκταρ.

A- 26. μεγαλωστί] Ἀνακρέων "ἱρωστί (fr. 149 B.)." Φερεκράτης "ταχεωστί" (fr. 239 K.). "νεωστί." ἔδει δὲ μεγαλιστί, ὡς φρυγιστί ῥωμαϊστί.

B= 28. δμωαὶ δέ] φιλοπενθὴς γυνή, βάρβαρος, αἰχμάλωτος, καὶ διὰ τὸ πρᾶον τοῦ ἀποθανόντος καὶ ⟨τὴν⟩ τιμὴν τοῦ ζῶντος. εἰ δὲ αὗται θρηνοῦσι, πῶς οὐκ Ἀχιλλεύς; ἐκ περιουσίας δὲ τοῦτό φησιν· μὴ μνησθέντος γοῦν οὐδεὶς ⟨ἂν⟩ ἐπεζήτησεν.

31. πεπλήγοντο] ἐκπληκτικὸν τοσαῦται θεαὶ κοπτόμεναι περὶ τὴν Θέτιν θρηνοῦσαν.

* πεπλήγοντο] ἔτυπτον· ἢ πληγεῖσαι ἦσαν.

33. χεῖρας ἔχων Ἀχιλῆος] πανταχόθεν ἐκίνησεν ἀνωτέρω μὲν τοῖς ἐνεργήμασι, νῦν δὲ τῇ ἐξ ἑτέρων σπουδῇ· οἶδε γὰρ τοὺς μεγαλοψύχους ἐπὶ σφᾶς αὐτοὺς ἐν ταῖς συμφοραῖς ὁρμωμένους.

B= 34. δείδιε γάρ] τινές· ἐφοβεῖτο γὰρ Ἀχιλλεύς, μὴ καὶ ἀποδειροτομήσειεν Ἕκτωρ Πάτροκλον· ὁ δὲ Ἀντίλοχος, φασί, πρὸς τὸ μὴ ἐπιχεῖν τὴν κόνιν κατεῖχεν αὐτόν· ὡς φιλέταιρος δὲ τοῦτο ὑπονοεῖ Ἀχιλλεύς.

A= * ἀπαμήσειε] Ἀρίσταρχος "ἀπαμήσειε." Ζηνόδοτος "ἀποτμήξειε."

B= 35. ἄκουσε δέ] προκατασκευὴ τῆς μεγαλοφωνίας Ἀχιλλέως· "τρὶς

1. supplevi ex B ‖ 3. τὰ ἴχνη B ‖ 13. ἱρωστί Apollonius in Bekkeri Anecd. II p. 572, 15: ἡρωιστί ut A ‖ 14. ταχέως τινὲς ὡστί: correxi cf. Apollonium l.c. ‖ δεῖ δὲ ‖ 17. supplevi ex B ‖ 23. Ἀχιλλῆος ‖ 26, 27. ἀποδειροτομήσῃ B, ἀπεδειροτόμησεν ‖ 27. φασὶ B: φησὶ ‖ 28. ἐπιχέειν ut B ‖ 30. Ἀ. ἀπαμήσειε A: ἀποτμήσειε

Digitized by Google

μὲν ⟨ἀπὸ⟩ τάφρου μεγάλ' ἴαχε δῖος Ἀχιλλεύς, τρὶς δὲ κυκήθησαν Τρῶες" (228, 9). συνετῶς δὲ οἰμώξαντα μόνον αὐτὸν παρεισάγει· λόγον γὰρ οἰκεῖον εὑρέσθαι οὐκ ἐνῆν εὐθέως τηλικαύτῃ συμφορᾷ πεπληγότι.

37. * κώκυσεν] θρηνητικὸν ἀνεφθέγξατο. B=

38. Νηρηΐδες ἦσαν] ἐντεῦθεν πλανηθέντες οἱ περὶ Ἡσίοδον (Th. 244) Νηρέως ἀνέγραψαν θυγατέρας [καὶ Θέτιν], τοῦ ποιητοῦ παρὰ τὸ νεῖν τὴν λέξιν ποιησαμένου, ὅθεν καὶ νῆσος καὶ ναρὸν τὸ ῥευστικόν. ἦσαν δὲ Πρωτέως, φησίν (Od. 4. 365), ἢ Φόρκυνος (Od. 1. 72)· οὗτοι γὰρ γέροντες εἰνάλιοι παρὰ τῷ ποιητῇ· καὶ "ὀψόμεναί τε γέρονθ' ἅλιον" (141).

44. Δεξαμένη τε] τινὲς ὀξυτόνως διὰ τὸ Δεξαμενός. τί οὖν εἴποιεν B= ἐπὶ τοῦ Δαναός Δανάη κολωνός κολώνη;

50. * ἀργύφεον] παρὰ τὸ ἀργόν.

51. πεπλήγοντο] ἐκπληκτικὸν τοσαῦται θεαὶ κοπτόμεναι περὶ τὴν Θέτιν θρηνοῦσαν (cf. schol. v. 31).

53. * εἴδετε] διὰ μέτρον συνέστειλεν. A−

57. θρέψασα] ὅτι ⟨οὐκ⟩ ἐχωρίσθη Πηλέως, καὶ "τὸν δ' οὐχ A+ ὑποδέξομαι αὖτις" (59).

γουνῷ ἀλωῆς] γουνόν τινες τὸ γεώλοφον, ὃ καὶ τῶν καταιγίδων A-B= ἀπήλλακται καὶ ⟨ταῖς πραείαις⟩ αὔραις αὔξει τὰ φυτά.

59. τὸν δ' οὐχ ὑποδέξομαι] οὐκοῦν δεινότερα τῶν θνητῶν πέπονθεν B= ἡ Θέτις· κεκέρδηκε γὰρ ἐκ τῆς ἰδίας φύσεως τὸ πρὸ πολλοῦ λυπεῖσθαι καὶ πενθεῖν τὸν υἱόν, προειδυῖα τὴν τελευτήν.

63. * ἴδοιμι] συντύχοιμι· καὶ ἐν Ὀδυσσείᾳ (9. 229) "ὄφρ' B+ αὐτόν τε ἴδοιμι."

64. ὅττι μιν ἵκετο πένθος] ἀντὶ τοῦ ὅπερ.

ἀπὸ πτολέμοιο μένοντα] οὐκ ἀναστρεπτέον τὴν "ἀπό" τότε γὰρ A+B− οὐκ ἀναστρέφεται, ὅτε δηλοῦσα τὸ ἄπωθεν συντάσσεται γενικῇ μὴ πιπτουσῶν μεταξὺ ἄλλων λέξεων· "ἀπὸ ἧς ἀλόχοιο" (Il. 2. 292), "ἀπὸ πατρίδος, ἄνδρα κατακτάς" (Il. 13. 696), "ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ" (Il. 9. 353). μὴ πιπτουσῶν δὲ μεταξὺ ἄλλων λέξεων διὰ τὸ "ἄπο πλυνοί εἰσι πόληος" (Od. 6. 40) ⟨προσέθηκα⟩. ἐνθάδε γὰρ ἀναστρέφεται ἡ "ἀπό."

1. supplevi ex B ‖ 6. inclusa delet W ‖ 6, 7. παρατονεῖν ‖ 9. ποιητῇ W: Ποσειδῶνι ‖ 13. π. τὸν ἄργυφον, cf. Et. M. s. v. ‖ 16. schol. ad v. 52 scriptum ‖ 17. supplevi ex A ‖ 19. τὸ B: τὸν ‖ 20. supplevi ex B ‖ 32. πόληος B: πόλιος ‖ 33. supplevi ex A: πρόσκειται addit B

Digitized by Google

67. *κῦμα—ῥήγνυτο*] τὴν ἐνέργειαν ἐσήμανεν, ὡς καὶ ἐπὶ Ποσειδῶνος (Il. 13. 27). οὐκ ἀνθηρογραφεῖ δὲ διὰ τὸ κατηφές.

AB= 68. *ἐπισχερῶ*] ὀξύνεται. τοῦτο δὲ σεσημείωται, καὶ τὸ ἰώ· οὐδὲν γὰρ εἰς ω̄ λῆγον ἐπίρρημα ὀξύνεται, εἰ μὴ τὰ δύο ταῦτα.

B= * *ἐπισχερῶ*] ἐφεξῆς.

B= 71. *κωκύσασα*] πάλιν κωκύει θεασαμένη τὴν κατάστασιν τοῦ παιδὸς καὶ ὑπ' αὐτῆς τῆς ὄψεως κινηθεῖσα.

B– *κάρη λάβε*] περιπαθὲς τὸ σχῆμα· οὐ γὰρ φιλοφρονεῖται, ὡς Πηνελόπη "κύσ⟨σ⟩ε δέ μιν κεφαλήν" (Od. 16. 15).

B– 75. *εὔχεο*] κατὰ τὸ λεληθός· ἢ ἐπεί φησι "πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο" (Il. 1. 351)· καὶ αὐτὸς "ἦ μὲν δή ποτ' ἐμεῦ πάρος ἔκλυες" (Il. 16. 236).

A+ 76. *ἀλήμεναι*] ὅλος ⟨ὁ⟩ σχηματισμὸς τοῦ ἀλῆναι ψιλοῦται.

B= 77. *ἀεκήλια*] ἃ ἄκοντες πάσχομεν, ὅ ἐστι δυσχερῆ. §. Ἀρίσταρ-
A+B= χος δὲ "ἀεκήλια" τὰ ἀναγκάζοντα αὐτοὺς σιωπᾶν. ἢ παρὰ τὸ ἕκηλος 'οὐχ ἡσυχαῖα οὐδ' εἰρηναῖα.'

B= 80. *ἀλλὰ τί μοι τῶν ἦδος*] ὑπερβολὴ φιλίας, ὅτι οὐδὲν αὐτὸν ἥδει ὡς ἡ ζωὴ τοῦ φίλου.

B= 82. * *ἶσον ἐμῇ κεφαλῇ*] Πυθαγόρ⟨ε⟩ιοι "τί ἐστι φίλος; ἄλλος ἐγώ."

B= *τὸν ἀπώλεσα*] περιπαθῶς πάνυ ὡς ἐπὶ κτήματος μεγάλου τοῦ φίλου.

83. * *ἀπέδυσε*] τινὲς "ἀπέλυσε" διὰ τὸ "λῦσε δέ οἱ θώρηκα" (Il. 16. 804).

B= 84. *τὰ μὲν Πηλῆι*] δεινὸν αὐτῷ δοκεῖ λάφυρον γενέσθαι πολεμίων κτῆμα πατρὸς καὶ δῶρα θεῶν. κινεῖται δὲ καὶ τῷ τοῦ Ἕκτορος φθόνῳ· πρὸς τοῦτον γὰρ φιλότιμος Ἀχιλλεύς· ἅμα δέ, ἐπεὶ καὶ ἐν χρείᾳ αὐτῶν καθέστηκεν· διὸ πολυλογεῖ περὶ αὐτῶν.

B= 86. *ὡς ὄφελες*] φιλομήτωρ ὁ εὐχόμενος μὴ γενέσθαι, ὅπως μὴ γεγονὼς λυπήσῃ τὴν μητέρα.

B– *αὖθι—ναίειν*] "αὖθι" ἀναφορικῶς, ἐκεῖ ἐν τῷ τόπῳ τῶν Νηρῄδων, ὡς καὶ ὁ Κάλχας "πολεμίξομεν αὖθι" (Il. 2. 238) ἀντὶ τοῦ ἐκεῖ ἐν Τροίᾳ.

87. * *ἀγαγέσθαι*] ὡς τὸ "λελαβέσθαι" (Od. 4. 388).

1. ῥήγνυτο κῦμα ‖ 4. ω̄ B: ο̄ ‖ 8. περιπαθὲς B: περιπενθὲς ‖ 9. κ. δ' ἄρα κ., cf. Od. 19. 417 ‖ 11. ἦ μὲν ‖ 13. suppl. W ex A ‖ 16. ἡσύχια μηδὲ B ‖ 25, 26. πολεμίῳ B ‖ 28. αὐτῶν B: αὐτόν

Digitized by Google

88. *καὶ σοὶ πένθος*] ἠθικὸν καὶ βιωφελές· εἰώθαμεν γὰρ λέγειν ὡς αἴτιοί ⟨ἐσμεν⟩ τῶν κακῶν τοῖς φίλοις. B=

89. *παιδὸς ἀποφθιμένοιο*] συμφορὰν ἑαυτὸν τῇ τεκούσῃ γεγενῆσθαι ὁμολογῶν ἔλεον ἑαυτῷ θηρᾶται. B=

92. *πρῶτος ἐμῷ ὑπὸ δουρί*] ἔδει 'πρότερος·' δύο γάρ εἰσιν. B=

§. ἐμφαντικῶς δὲ ἄγαν πάντα μὲν ὁμοῦ συνήγαγε τὰ κεφάλαια, οὐ μετ' ἄλλους δὲ ἐπιθυμεῖν φησι τῆς Ἕκτορος ἀναιρέσεως, ἀλλὰ πρῶτον ἐκεῖνον ἀναιρεῖν. B=

* *πρῶτος*] ἀντὶ τοῦ πρότερος.

*ὑπὸ δουρί*] τὴν "ὑπό" οἱ μὲν συντάσσοντες τῷ "δουρί" ὀρθοτονοῦσιν, οἱ δὲ τῷ "ἐμῷ" ἀναστρέφουσιν. B=

* *ἀπὸ θυμὸν ὀλέσσῃ*] τὴν μὲν "ἀπό" οὐκ ἀναστρεπτέον· ἔστι γὰρ 'ἀπολέσῃ.' B=

93. * *Πατρόκλοιο δ' ἕλωρα—ἀποτίσῃ*] ὑπὲρ ὧν εἵλκυσεν, ἵνα ἑλκυσθῇ. B=

95. *ὠκύμορος δή μοι*] περιπαθῶς ἀνεβόησεν ἀποτρέπουσα τῆς ἐξόδου τὸν Ἀχιλλέα. B=

96. *αὐτίκα γάρ τοι*] περιπαθὲς καὶ τοῦτο, τὴν αὐτὴν εἶναι προθεσμίαν Ἀχιλλεῖ τῆς τε τοῦ ἐχθροῦ τιμωρίας καὶ τῆς αὐτοῦ μεταλλαγῆς. B=

98. *αὐτίκα τεθναίην*] διὰ ⟨τί⟩ τὸν Ἀχιλλέα οὕτως ἀνώμαλον πεποίηκεν, ὅς γε ὅτε ἔζη τεθνάναι ἐβούλετο, τεθνεὼς δὲ ζῆν, "βουλοίμην κ' ἐπάρουρος ἐών" (Od. 11. 488); ἢ οὔτε τὸ τεθνάναι δι' αὐτὸ αἱρεῖσθαι φαίνεται οὔτε ⟨τὸ⟩ ζῆν, ἀλλὰ μόνα τὰ καλὰ ἔργα, καὶ ὅπως πράττῃ ταῦτα. ἵνα μὲν οὖν βοηθήσῃ τῷ Πατρόκλῳ, "αὐτίκα τεθναίην" φησίν, ἵνα δὲ τῷ πατρί, ζῆν ἐθέλει. ὥστε καλῶν ἔργων προκειμένων ὁ φιλόκαλος καὶ ζῶν τεθνάναι αἱρήσεται, εἰ μέλλοι καλόν τι πράξειν ἀποθανών, καὶ τεθνεὼς ἀναβιώσασθαι, εἰ μέλλοι τῶν κατ' ἀρετήν τι πράξειν ἀναζήσας. B–

ἄλλως: *αὐτίκα τεθναίην*] καλὸν πρὸς φιλεταιρίαν, εἴγε τοσούτοις μὴ πεισθεὶς δώροις δίχα τούτων καὶ θάνατον αἱρεῖται ὑπὲρ φίλου. B=

ἄλλως: *αὐτίκα τεθναίην*] τῷ αὐτῷ ὀνόματι χρησάμενος, ᾧ καὶ ἡ Θέτις, τὸν δι' ἀρετὴν καταφρονοῦντα θανάτου ἐνέφηνεν. B=

2. supplevi ex B ‖ 13. ἀπολέσει ‖ 15. ἀνθελκυσθῇ B ‖ ‖ 21. suppl. sec. ‖ 24. supplevi ex B ‖ 28. πράξειν W: πρᾶξαι ut B ‖ καὶ W: ἢ ‖ τεθνεὼς Eust.: βεβαίως ‖ ἀναβιώσασθαι Eust., -ώσκεσθαι coni. W: -ώσεσθαι ‖ 29. πρᾶξαι B ‖ 32. ᾧ B: ὡς

Digitized by Google

B — 100. *ἐμεῖο δ' ἔδησεν*] ὡς τὸ "ἦ μάλα πολλὸν ἀποιχομένου Ὀδυσῆος δεύῃ" (Od. 1. 253). καὶ Σοφοκλῆς (Trach. 1175) "δεῖ σ' αὖ γενέσθαι τῷδέ γ' ἀνδρὶ σύμμαχον." §. ὅτι εἴωθε τῷ "ἐπεί" (101) μὴ ἐπαγαγεῖν ἀνταπόδοσιν.

B = ἄλλως: *ἔδησεν*] ἐδέησεν. §. "ἀρῆς" δὲ τῆς βλάβης, ὡς τὸ
A + B = "Μέντορ, ἄμυνον ἀρήν" (Od. 22. 208). ἐμοῦ γάρ, φησίν, ἐδέησε τῷ Πατρόκλῳ, ὥστε με βοηθὸν τῆς βλάβης γενέσθαι. §. περι-
A = σπαστέον δὲ τὸ "δῆσεν." τὸ γὰρ ē τοῦ "δέ" ἐστίν.

A + B = *ἀρῆς ἀλκτῆρα*] τινὲς "Ἄρεω" τοῦ πολέμου ἀπὸ τοῦ Ἄρεως· καὶ ἔστιν ὁ λόγος τοιοῦτος· ἐμοῦ δὲ ἐδέησε τὸ ἀλεξητῆρα γενέσθαι τοῦ Ἄρεος, καθ' ὃν ἀπώλετο ὁ Πάτροκλος.

A + B — 101. *νῦν δ', ἐπεί*] τὸ ἑξῆς· νῦν δ' ἐπεὶ οὐ νέομαί γε, εἶμι, ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχείω, ὡς καὶ "Ἕκτορ, ἐπεί με κατ' αἶσαν ἐνείκεσας—νῦν αὖτ' εἴ μ' ἐθέλεις" (Il. 3. 59, 67), τὰ δὲ ἄλλα διὰ μέσου. οἱ δὲ οὕτως· ἐπεὶ νόστου ἐστέρημαι, οὐδὲ τοῦτο ἐγένετό μοι τὸ ἐπαρκέσαι τῷ φίλῳ καὶ τοῖς ἄλλοις Ἕλλησιν ⟨τοῖς ἀναιρεθεῖσιν⟩ ὑπὸ Ἕκτορος κατὰ τὸν τῆς μήνιδος χρόνον.

A = 102. * *γενόμην φάος*] τοῦτο κατ' ἰδίαν.

B = 104. *ἄχθος ἀρούρης*] "ἄχθος" διὰ τὴν ἀπραξίαν· ⟨δηλοῖ δ' ἅμα⟩ τὸ μέγεθος τοῦ ἥρωος, εἴγε ἡ πάντα φέρουσα γῆ αὐτὸν οὐ φέρει.

A ~ B — 105. *τοῖος ἐών*] ἔθος τοῖς παλαιοῖς ἐγκωμιάζειν ἑαυτούς, ὡς πρὸς Φαίακας Ὀδυσσεὺς (Od. 8. 179) καὶ πρὸς Λυκάονα Ἀχιλλεύς (Il. 21. 108). νῦν δὲ αὔξων ἑαυτὸν ἑαυτοῦ κατηγορίαν φησίν, ὅτι καὶ τοιοῦτος ὢν οὐκ ἐπήμυνεν· τὸ δὲ τῶν λόγων ἑκὼν παρεχώρησεν· ὅτι γὰρ ῥήτωρ, μαρτυρεῖ ἡ Ι ῥαψῳδία· ἀλλὰ τῷ διελεῖν τὸν ἔπαινον ἀπελύσατο τὸν φθόνον.

B = ἄλλως: *τοῖος ἐών*] ἐπὶ τοῖς προφανέσι πλεονεκτήμασιν ἀνεμέσητον τὸ ἑαυτὸν ἐγκωμιάζειν.

A + 107. *ὡς ἔρις ἔκ τε θεῶν*] Ἡράκλειτος (fr. 43 Byw.) σύγχυσιν αὐτὸν εὔχεσθαι ἁπάντων φησίν· κατὰ γὰρ ἐναντίωσιν τὰ πάντα συνέχεσθαι. ἀλλὰ τὴν ἐπὶ τὸ χεῖρον ἄγουσαν ἔριν νῦν φησιν. ἄλλως τε δοτέον τοῦτο, φλεγμαίνοντος τοῦ πάθους.

B = 108. *πολύφρονά περ*] ἀπολογία αὕτη Ἀχιλλέως, ⟨ὅτι⟩ καὶ

1. ἦ δὴ πολλὸν codd. Od. ‖ 2. Ὀδυσσῆος δεύει ‖ 3. σ' αὖ Sophoclis codd.: σοῦ ‖ τῷ δέγε ‖ 5. ἐδέησε lemma ‖ 9. ἄρεω A Eust.: ἄρεος ‖ ἄρεως A Eust.: δάρεος ‖ 19. suppl. W, cf. Eust. ‖ 20. τοῦ μεγέθους B, cf. Eust. ‖ εἴγε ἡ B, cf. Eust.: ἥ τε ‖ 22. Ἀχιλλέως ‖ 31. συνέχεσθαι W, cf. A Eust.: -εται ‖ 33. supplevi ex B

Digitized by Google

*περὶ τοὺς ἄγαν φρονίμους τὸ πάθος συμβαίνει. §. χαλεπῆναι δὲ εἰς* B= *χαλεπότητα ἀχθῆναι.*

109. *μέλιτος καταλειβομένοιο] τοῦ ἐν τοῖς μελισ⟨σ⟩ουργείοις* B+ *καταστάζοντος, ἢ οὗ τοσοῦτο συμβέβηκεν.*

110. *ἀέξεται ἠύτε καπνός] θυμός ἐστι ζέσις τοῦ περὶ καρδίαν* AB− *αἵματος διὰ ὄρεξιν ἀντιλυπήσεως. τοῦτον δὲ τὸν ὅρον πρῶτος Ὅμηρος παρέδωκεν· καπνὸν γὰρ τὸ πῦρ φησι, "κάπνι⟨σ⟩σάν τε κατὰ κλισίας"* (Il. 2. 399) *καὶ "ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται"* (207)· *ἄτοπον γὰρ λαμπούσῃ φλογὶ καπνὸν εἰκάζειν. ζέσις δὲ οὐκ ἂν χωρὶς πυρώσεως γένοιτο. ἡδονὴ δὲ παρέπεται τοῖς ὀργιζομένοις διὰ τὸ σπεύδειν ἀμύνασθαι τὸν ἀντίπαλον.*

111. *ἐμὲ νῦν ἐχόλωσεν] ἠρέμα παραπολογεῖται ὑπὲρ ἑαυτοῦ, ὅτι* B= *ἄλλος αἴτιος τῆς ὀργῆς κατέστη.*

112. *ἀλλὰ τὰ μὲν προτετύχθαι] ἤδη τινὰ μετάνοιαν ἴσχειν* B= *φησίν. ὅρα μέντοι τὴν ὑπερβολὴν τῆς ὀργῆς· τὸ γὰρ "ἀχνύμενοί περ" τοιοῦτόν ἐστι, καίπερ ἠδικημένοι καὶ δικαίως ἂν ἐπ' αὐτοῖς ἐπὶ πλεῖον μηνίσαντες. οὐκοῦν δύο ὄντων τῶν παθῶν περὶ τὴν ψυχὴν Ἀχιλλέως, ὀργῆς καὶ λύπης, θάτερον κεκράτηκεν. καὶ τὸ ἐπιφερόμενον τοιοῦτόν τι ὑποβάλλει, ὅτι ὑπὸ μείζονος ἀνάγκης κρατηθῆναι δεῖ τὴν ὀργήν· πάντων γὰρ μεῖζον τὸ ἐπὶ τῷ Πατρόκλῳ πάθος· διὸ δεῖ τὴν μῆνιν ἀπορρίψαντα τιμωρήσασθαι τοὺς πολεμίους. §. "θυμόν"* B= (113) *δὲ τὸ θυμικὸν πάθος, τὴν ὀργήν.*

113. * *θυμὸν—δαμάσαντες] τὸ αἴτιον τοῦ πάθους διὰ τῆς μεταφορᾶς ἐδήλωσεν.*

115. *κῆρα δ' ἐγώ] γενναία ἡ ὑπομονὴ τῆς εἱμαρμένης. ἐμφαν-* B− *τικὸν δὲ καὶ τὸ "δέξομαι," οἷον προθύμως ὑποστήσομαι. ἐντεῦθεν εἴληπται τὸ "ἄγου δέ μ', ὦ Ζεῦ καὶ σύ γ', ἡ Πεπρωμένη, ὅποι ποθ' ὑμῖν εἰμι διατεταγμένος"* (Cleanth. fr. theol. 11 Wachsm.).

117. *οὐδὲ γὰρ οὐδὲ βίη] περισσὴ ἡ μία ἀπόφασις. §. καὶ ὅτι* B= *θνητὸς Ἡρακλῆς, πρὸς τὰ ἐν τῇ Νεκυίᾳ ἀθετούμενα* (Od. 11. 611). A+ *§. ἁρμόζει δὲ ⟨τὸ⟩ Ἡράκλειον παράδειγμα Ἀχιλλεῖ—παραμυθία γὰρ* A−B− *τῶν ἐν συμφοραῖς ἡ περὶ τοὺς κρείσσους ⟨ἀτυχία⟩—πρὸς τὴν μητέρα,*

3. supplevi ex B ‖ 4. *οὗ* W: *ᾧ* ‖ 10. *γίνοιτο* B ‖ *ἡ δίνη* A ‖ 17. *δύο ὄντων τῶν π.* B: *δυοῖν ὄντοιν π.* ‖ 20. *γὰρ* B: *δὲ* ‖ 27. *ἄγου δέ μ'* Cleanth.: *ἄγε δή μ'* Epict. enrh. 52, *ἄγοις δέ μ'* ‖ *σύ γ'* Cleanth. Epict.: *οὐχ* ‖ *ὅποι* Cleanth. Epict.: *ὁποία* ‖ 28. *εἰμὶ* Cleanth. Epict.: *εἰ μὴ* ‖ 31. *ἁρμόζει* scripsi, *ἥρμοσεν* coni. W : *ἠρεμεῖ* ‖ 31, 32. supplevi ex B

Digitized by Google

ὅτι οὐδὲν παράδοξον πείσεται, τὰ αὐτὰ Διὶ πάσχουσα περὶ ⟨τὸν⟩ παῖδα.

A~B= 121. κείσομ', ἐπεί κε θάνω] ἡ μὲν Θέτις ἀπεῖργε τῆς ἐξόδου διὰ τὸν θάνατον, ὁ δὲ δαιμονίως ἀντέθηκεν ὅτι τῶν τετελευτηκότων ἴδιον ἡ ἀργία καὶ τὸ ἄπρακτον καὶ τὸ κεῖσθαι. τίς οὖν χρεία καὶ ἐν τῷ ζῆν τὴν ἀπραξίαν τοῦ θανάτου μιμεῖσθαι;

B= 122. καί τινα Τρωιάδων] ἤδη ὑπ' ὄψιν λαμβάνει τὰ ἀκολουθήσοντα τοῖς πολεμίοις δεινά, ὥσπερ ἐμπιμπλάμενος τῆς ἐκ τῶν πολεμίων τιμωρίας διὰ τῆς ἐλπίδος.

A~B— 125. γνοῖεν δ', ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι] δώδεκα μὲν ⟨ἡμέρας⟩ ἡ ἐκδημία τῶν θεῶν, τρεῖς δὲ ἐν ταῖς παρατάξεσιν· τὸν δὲ ὀλίγον χρόνον πολὺν ἡγεῖται διὰ τὸ "ποθέεσκεν αὐτήν τε πόλεμόν τε" (Π. 1. 492). ἀλλὰ καὶ ὁ ποιητής φησι "δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς" (Π. 19. 46), οὐ πρὸς τὰς τρεῖς ἡμέρας, ἀλλὰ πρὸς τὴν ποικιλίαν τῶν συμφορῶν ἀφορῶν.

A= * γνοῖεν] ἵνα γνοῖεν.

B— 126. μηδέ μ' ἔρυκε] τὸν πλείω λόγον αὐτῆς περιτέμνει ὡς ἐμποδίζοντα τῇ σπουδῇ. ἔστι δὲ ὅμοιον ⟨τὸ⟩ Πινδάρου (Ol. 1. 84), "ἀλλ' ἐμοὶ μὲν ἄεθλος οὗτος ὑποκείσεται·" ὅλος δὲ ὢν πρὸς τῇ ἐκδικίᾳ τοῦ φίλου οὐδὲ ἐπιλογίζεται τὸ κατὰ τὰ ὅπλα, ὅτι ἄπορος αὐτῷ νῦν ἡ ἔξοδος.

A~B= 129. τειρομένοις ἑτάροισιν] γενναῖον καὶ τῆς Θέτιδος τὸ ἦθος, ἐν δευτέρῳ τιθεμένης τὴν ἰδίαν συμφορὰν τῆς τοῦ παιδὸς εὐκλείας καὶ ἐπαινούσης τὸν ὑπὲρ τῶν φίλων κίνδυνον, ὃς λυπεῖν ἔμελλε τὴν μητέρα.

130. ἔντεα—Τρώεσ⟨σ⟩ιν ἔχονται] ὑπὸ Τρώων.

B— 131. χάλκεα] κεχαλκευμένα· καὶ τὸν χρυσοχόον γὰρ χαλκέα καλεῖ "ἦλθε δὲ χαλκεὺς ὅπλ' ἐν χερσὶν ἔχων χαλκήια—οἷσίν τε χρυσὸν εἰργάζετο" (Od. 3. 432, 5) καὶ "ἣν ἄρα χαλκεὺς Ἥφαιστος" ⟨ἐ⟩ποίησεν (Il. 15. 309).

136. νεῦμαι] ὡς "διογενεῦς" (Il. 9. 106). "Ὀδυσεῦς δὲ λαβὼν

B= κύσε χεῖρ' ἐπὶ καρπῷ" (Od. 24. 398). ἄλλως. ἐπαγγέλλεται δὲ εἰδυῖα Ἥφαιστον ⟨ὄντα⟩ ἄριστον δημιουργὸν καὶ χάριτας εἰδότα αὐτῇ πολλάς.

10. πολ. μαχοίμην δ. || 11. supplevi ex B || 12. ποθέεσκε δ' codd. Il. || 18. ὅμοιος coni. Bekker || suppl. W || 19. οὗτος ἄεθλος Pindari codd. || 30. διογενεύς, cf. schol. AD ad Il. 9. 106 || Ὀδυσσεὺς || 31, 32. Ἡ. τὸν ἀρ. B

Digitized by Google

141. ὀψόμεναί τε γέροντα] νόμους τίθεται παισὶ συνεῖναι γονεῦσι καὶ ὑπὲρ τῆς ἀπουσίας, ὅτε χωρισθεῖεν, ἀπολογεῖσθαι· τοῦτο γὰρ δηλοῖ τὸ "καί οἱ πάντ' ἀγορεύσατε" (142). B=

143. αἴ κε θέλῃσιν] πρὸς μὲν τὸν Ἀχιλλέα διωρίσατο, ὅτι πάντως οἴσει ὅπλα παρ' Ἡφαίστου, πρὸς δὲ τὰς ἀδελφὰς ἀμφιβόλως· φορτικὸν γὰρ ἦν πρὸς ὁμοτίμους θρασύτερον διαλέγεσθαι, ὥσπερ ἐπιτάττειν μέλλουσαν τῷ Ἡφαίστῳ. A–B=

145. αἱ δ' ὑπὸ κῦμα] αἱ διαιρέσεις θαυμασταί· αἱ μὲν τάδε ἔπραττον, ἡ δὲ Θέτις ἀπῄει πρὸς τὸν Ἥφαιστον, οἱ δὲ Ἀχαιοὶ ἐν τοιούτοις ἦσαν. καὶ ἐπιφέρει πάλιν τὰ κατὰ τὴν μάχην. B–

148. αὐτὰρ Ἀχαιοὶ θεσπεσίῳ] τὸ διάκενον τῆς πορείας Θέτιδος ποικίλλει ταῖς περὶ Πάτροκλον πράξεσιν. B=

ἄλλως: αὐτὰρ Ἀχαιοί] δαιμονίως ἀναλαμβάνει, ἀφ' ὧν ἀπέλιπεν. ἦν δὲ ταῦτα τὰ ἔπη "πολλὰ—τεύχεα καλὰ πέσον περί τ' ἀμφί τε τάφρον φευγόντων" (Il. 17. 760). B–

151. οὐδέ κε Πάτροκλον] τοῖς μὲν ἀκροαταῖς ἐν ἐλπίδι ἦν ἐξειλκύσθαι Πάτροκλον, ὁ δὲ πάλιν ἐπιταράττει τὴν διάνοιαν, ἵνα ἐπὶ τὸ ἀκμαιότατον προαγαγὼν τὴν ἀγωνίαν πιθανὴν ποιήσηται καὶ τὴν Ἀχιλλέως ἔξοδον. B=

158. ἔμπεδον] ἀπὸ τῶν ἐν τῷ πέδῳ οἰκοδομῶν ἤτοι φυτῶν. B=

160. * μέγα ἰάχων] πρὸς κατάπληξιν τῶν πολεμίων. B=

161. λέοντα] παντάπασιν εἴκασται, λέοντι μὲν ὁ Ἕκτωρ, ὁ δὲ νεκρὸς σώματι ζῴου, ἄψυχον ἀψύχῳ, οἱ δὲ Αἴαντες ποιμέσιν. ἐπιτέταται δὲ τῇ πείνῃ ὁ λέων. B=

168. κρύβδα Διός] διὰ τί "κρύβδα Διός;" καὶ μήν φησι "μίσησεν δ' ἄρα μιν δηίων κυσὶ κύρμα γενέσθαι" (Il. 17. 272). ἀλλ' ἐπεὶ ὑπέσχετο Ἕκτορι ἀριστεύσειν ἕως ἑσπέρας, προανίστησιν Ἀχιλλέα λάθρα Διός· εἰκὸς δὲ μετὰ τὴν ἔξοδον ἐπιστῆσαι Δία· ὅθεν φησὶν "ἔπρηξας καὶ ἔπειτα" (357). B–

171. Πατρόκλῳ ἐπάμυνον] Ἀρίσταρχος "Πατρόκλου" κατὰ γενικήν· καὶ λείπει ἡ περί. A+

176. κεφαλὴν δέ ἑ] πάντα ὑπὲρ παροξυσμοῦ προστίθησιν· οἶδε γὰρ προεντεταλμένον αὐτὸν ὑπὸ Θέτιδος μὴ ἐξιέναι. B=

179. Τρῳῇσι κυσίν] δαιμονίως διέτεμε τὴν αἰκίαν, καὶ τὸ μὲν B=

5. οἶσαι B || 12. Πάτροκλον Bekker: Πατρόκλου ut B || 16. ἀ. ἐλπὶς B || 24. ἐπείγεται δὲ καὶ B, ἐπιτέτακται δὲ || 24. post λέων suppl. W ⟨καὶ ὁ Ἕκτωρ τῇ φιλοτιμίᾳ⟩ || 27. ἀριστεύειν B

Digitized by Google

ἐν τῇ διηγήσει ἐξήνεγκεν, ὅτι ἀνασταυρῶσαι τὴν κεφαλὴν βούλεται Ἕκτωρ, τὸ δὲ ἐν τῇ προτροπῇ κατάκειται, ὅτι ἀνόσιον ὑπὸ κυνῶν αἰκισθέντα περιιδεῖν τὸν Πάτροκλον.

B= 180. * σοὶ λώβη] ὡς φιλεταίρῳ καὶ πρακτικῷ.

B= 182. τίς γάρ σε θεῶν—ἧκεν] ἀναγκαίως γνῶναι βούλεται, εἰ τῆς κελευσάσης μένειν ἀξιοπιστότερός ἐστιν ὁ προστάσσων ἐξιέναι.

B= 185. οὐδ' οἶδε Κρονίδης] δεόντως καὶ τοῦτο, ἵνα ἐπισπεύσῃ τὴν ἔξοδον, πρὶν μαθεῖν τὸν Δία.

B= 188. πῶς γὰρ ἴω] θαυμαστοὶ οἱ διάλογοι ἐν συντόμῳ τὰς ἐρωτήσεις περιέχοντες· ἔδει γὰρ καὶ τὴν ἀπορίαν τῶν ὅπλων καὶ τὰ παρὰ τῆς μητρὸς ἀντιθεῖναι.

AB+ 191. παροισέμεν] Ἀρίσταρχος ἀναστρέφει τὴν πρόθεσιν πρὸς τὸ μὴ ἀμφιβάλλεσθαι τὸν λόγον, καίτοι τῶν συναλειφομένων μὴ ἀναστρεφομένων. ἐπείσθη δὲ καὶ ἡ παράδοσις Ἀριστάρχῳ.

AB+ 192. ἄλλου δ' οὔ τευ οἶδα—τεύχεα] φασὶν Αὐτομέδοντα φορεῖν τὰ Πατρόκλου, ὅπως δόξῃ εἶναι Πάτροκλος. καὶ μείζονα μὲν ⟨ἂν⟩ ἁρμοσθεῖεν ἥσσονι, οὐ μέντοι τὸ ἀνάπαλιν· ὥστε οὐκ ἠδύνατο τοῖς Αὐτομέδοντος ὁπλισθῆναι Ἀχιλλεύς. ἢ τῷ μεγέθει ἴσα, ἀσθενῆ δὲ τὰ τοῦ Αὐτομέδοντος. διὸ οὐχ ἥρμοττεν Ἀχιλλεῖ προπηδῶντι εἰς πάντα κίνδυνον.

B= 194. ἔλπομαι] λείπει τὸ ὅτι· ἀλλὰ ἔλπομαι, ὅτι καὶ αὐτὸς ἐν πρώτοισιν ὁμιλεῖ.

A+ 198. αὔτως] Ζηνόδοτος "αὐτός," ἀντὶ τοῦ ψιλῶς 'δίχα ὅπλων.'

204. ὤμοις ἰφθίμοισι] ἀξιοπρεπὴς ἡ τερατεία καὶ μείζων τῆς ⟨ἐπὶ⟩ Διομήδους (Il. 5. 122), εἴγε τὴν οἰκείαν αἰγίδα περιτίθησιν αὐτῷ· Ἀχιλλεὺς δὲ οὐ γινώσκει τὴν ἐνέργειαν τῆς θεοῦ.

206. * ἐκ δ' αὐτοῦ] "αὐτοῦ" τοῦ νέφους.

A+B− 207. ὡς δ' ὅτε καπνός] Ἀρίσταρχος "ὡς δ' ὅτε πῦρ ἐπὶ πόντον ἀριπρεπὲς αἰθέρ' ἵκηται·" καὶ γὰρ ἄτοπόν φησι πῦρ εἰκάζεσθαι καπνῷ· οἱ δὲ καπνὸν τὸ πῦρ φασιν ἐκ τοῦ παρεπομένου, ὡς ⟨τὸ⟩ "κάπνισ-⟨σ⟩άν τε κατὰ κλισίας" (Il. 2. 399). οἱ δὲ διὰ τὸ πλεῖον ὑψοῦσθαι τὸν καπνὸν τοῦ πυρὸς καὶ μάλιστα ἡμέρας ὁρᾶσθαι. καλῶς δὲ ἀπὸ πολέμου ἡ εἰκὼν καὶ νησιωτῶν, οἷς ἄπορος ἡ φυγή, πόρρω τε ἀπῳκισμένοι μεγάλων καὶ συνεχῶν πυρσῶν δέονται· οὐδενὸς δὲ

3. αἰκισθέντα pr. postea in margine ut B : antea ἑλκυσθέντα scripserat ‖ 9. πῶς τ' ἄρ' B ‖ 15. ἀλλ' οὐδέ τευ ‖ 16. δόξῃ Π. εἶναι B : δόξειεν εἶναι Π. ‖ 17. supplevi : ἴσως add. B ‖ 18. ἢ B : εἰ ‖ 30. supplevi ex B

Digitized by Google

ἐπιπροσθοῦντος διὰ τοῦ πελάγους φανήσονται· μετὰ δὲ δύσιν ἡλίου (210) οὐκ ἀμαυρωθήσονται ὑπὸ τοῦ δυνατωτάτου πυρός· ἀλλ' οὐδὲ νὺξ βαθεῖα ὑπόκειται, ἵνα μὴ ὑπὸ τοῦ σκότους κρύπτηται ὁ καπνός.

209. * Ἄρηι] ὑπὸ τοῦ Ἄρεος. A=

210. * ἄστεος ἐκ σφετέρου] Ζηνόδοτος "ἄστυ περὶ σφέτερον." A=

211. * πυρσοί τε φλεγέθουσιν] καὶ Πίνδαρος "αἰθόμενον πῦρ ἅτε διαπρέπει νυκτί" (Ol. 1. 1, 2).

213. * Ἄρεως] Ἀρίσταρχος "Ἄρεω" ἀπὸ τοῦ Ἄρεως. A=

215. * ἀπὸ τείχεος] ἄπωθεν τοῦ τείχους. A=

216. * μητρὸς δὲ—ὀπίζετ' ἐφετμήν] ἐτρέπετο τῷ λογισμῷ ἐπὶ τὴν ἐντολὴν τῆς μητρός. B=

217. ἤυσε] ἐπεὶ ἄπιστον ἦν ἐν τοσούτῳ θορύβῳ μὴ μόνον ἀκουσθῆναι ἀλλὰ καὶ φοβῆσαι, τὴν Ἀθηνᾶν συνεπιφθεγγομένην παρέλαβεν. AB=

219. σάλπιγξ] αὐτὸς μὲν οἶδε σάλπιγγα, οὐκ εἰσάγει δὲ ⟨τοὺς⟩ ἥρωας εἰδότας. §. Μήλας δὲ Ἡρακλέους καὶ Ὀμφάλης ἐν τῇ καθόδῳ τῶν Ἡρακλειδῶν σαλπίζων κατέπληξε τοὺς πολεμίους. §. σαλπίγγων δὲ εἴδη ἕξ. πρώτη ἡ Ἑλληνική, μακρὰ τὸ σχῆμα, ἣν Τυρρηνοῖς εὗρεν ἡ Ἀθηνᾶ· διὸ καὶ "Σάλπιγξ" παρὰ Ἀργείοις τιμᾶται. δευτέρα ἡ στρογγύλη ὑπὸ Αἰγυπτίων εὑρημένη, ἣν χνοῦν καλοῦσιν· χρῶνται δὲ αὐτῇ πρὸς θυσίαν καλοῦντες τοὺς ὄχλους δι' αὐτῆς· ἣν ευρεν Ὄσιρις. τρίτη ἡ Γαλατικὴ χωνευτή, οὐ πάνυ μεγάλη, τὸν κώδωνα θηρίου ἔχουσα, ἔσωθεν δὲ εἰρόμενον αὐλὸν μολίβ⟨δ⟩ινον, εἰς ὃν ἐμφυσῶσιν οἱ σαλπιγκταί· ἔστι δὲ ὀξύφωνος καὶ καλεῖται ὑπὸ τῶν Κελτῶν κάρνυξ. τετάρτη ἡ Παφλαγονική, ἥτις μείζων μέν ἐστι τῆς Ἑλληνικῆς, τὸν δὲ κώδωνα βοὸς προτομὴν ἔχει· ἔστι δὲ βαρύφωνος καὶ ἀναφυσητή· καλεῖται δὲ βόινος. πέμπτη Μηδική, τὸν αὐλὸν καλάμινον τὸν δὲ κώδωνα βαρύφωνον ἔχουσα, ὀγκόφωνος· ἡ δ' ἕκτη Τυρσηνικὴ ὁμοία Φρυγίῳ αὐλῷ, τὸν κώδωνα κεκλασμένον ἔχουσα· ἔστι δὲ λίαν ὀξύφωνος· καλεῖται δὲ λιγῦν. ταύτης εἰσὶν εὑρεταὶ Τυρσηνοί, οὐ τῆς παρ' Ἕλλησιν. A+B= B+

1. φανήσονται (scil. οἱ πυρσοί) etiam Eust.: -εται coni. W (scil. ὁ καπνός) ‖ 2. ὅτε ante οὐκ omisi ‖ ἀμαυρωθήσεται ‖ 3. κρύπτοιτο ut B ‖ 6. αἰθόμενον Pindari codd.: αἰσθόμενον ‖ 13. φοβῆσαι W: φονεῦσαι ‖ 14. supplevi ex A ‖ 15. Μήλας] Ἀρχώνδας schol. Soph. Ai. 17, Τυρσηνός Paus. II 21, 3, Hyg. fab. 274. ‖ 16. σαλπίζων scripsi: ἀγαγὼν ‖ 19. καλουμένη χνούη Eust. ‖ 22. θηριόμορφον ἔχ. Eust. ‖ δὲ ἔσωθεν: traieci, cf. Eust. ‖ 25. προτομὴν Eust.: πρὸς τομὴν ‖ 26. βόινος etiam Eust. ‖ 27. post ὀγκ. iteratur καλεῖται δὲ πέμπτη Μηδική ‖ 28. ἡ δ' ἕκτη scripsi, ἕκτη Eust.: ἐκλεκτὴ

Digitized by Google

A–B+ ὑπὸ θυμοραϊστέων] ἢ πλεονάζει ἡ "ὑπό," ⟨ἢ⟩ τὸ ἑξῆς, ὡς δ' ὅτ' ἀριζήλη φωνὴ ὑπὸ δηίων, καὶ ἀπὸ κοινοῦ τὸ "δηίων."

B= 220. * περιπλομένων] περικαθεζομένων.

224. ὄχεα] καινὸν εἶδος καὶ ἄξιον Ἀχιλλέως, τῇ βοῇ ἀνατρεπόμενα ἅρματα καὶ τοῖς ἰδίοις δόρασι περιπείροντα τοὺς ὀχουμένους.

* ὄσσοντο γάρ] οἱ ἵπποι ἢ οἱ ἐπιβάται.

A–B= 230. δυώδεκα] ἄδηλον, εἰ καθ' ἑκάστην κραυγὴν δώδεκα. τοσοῦτος γὰρ ἦν ὁ τάραχος τῆς φάλαγγος, ὡς περιπταίοντας τοῖς ἅρμασιν ἀπολέσθαι.

231. * σφοῖσι] ἀντὶ τοῦ ἀλλήλων.

A–B= 236. ἐν φέρτρῳ] φορείῳ. ἐπὶ ἀσπίδος δὲ ἢ τινος τοιούτου φέρουσιν.

238. νοστήσαντα] ἀφικόμενον εἰς τὸν τόπον οὗ ἐχωρίσθη.

A+B– 239. ἠέλιον δὲ—πέμψεν] ἐπεὶ ὑπέσχετο Ζεὺς "δύῃ τ' ἠέλιος" (Il. 17. 455). Ἀπόλλων δὲ ὁ ἥλιος, ὃς ἄκων δύνει· ἠπίστατο γὰρ πρὸς ἀριστείαν Τρωσὶ δεδομένην παρὰ Διὸς τὴν ἡμέραν ταύτην (Il. 8. 72). μυθικῶς δὲ τοῦτο, ὡς καὶ ἐν Ὀδυσσείᾳ (23. 243) "ἠῶ δ' αὖτε ῥύσατ' ἐπ' Ὠκεανοῦ."

244. * ἔλυσαν ὑφ' ἅρμασιν] τοὺς ὑπὸ τοῖς ἅρμασιν.

B= 245. εἰς δ' ἀγορήν] ἄκρως τὴν πτοίαν αὐτῶν δηλοῖ· πλῆθος γάρ ἐστι συντρέχον εἰς ἐκκλησίαν, οὐ στρατηγοῦ καλοῦντος ἀλλὰ τοῦ φόβου· καὶ ἑστῶτες ἐκκλησιάζουσιν, οὐδὲ τὸν ἡμερινὸν πόνον ὀλίγῳ παραμυθησάμενοι· καὶ ἰδιώτης δημηγορεῖ, τὸν στρατηγὸν παρωσάμενος.

A= πάρος δόρποιο] εἰς ἐπίτασιν, ὅτι καὶ πρὸ τῆς τροφῆς ἐκκλησίαζον· κατήπειγε γὰρ ὁ φόβος.

A~ 246. ὀρθῶν δ' ἑσταότων] ἐπεὶ δηλοῖ καὶ τὸ μετεωρισθῆναι τὸ σῶμα—"ὀρθωθεὶς ἔνδυνε" (Il. 10. 21)—προσέθηκε τὸ "ἑσταότων."

B= 248. * δηρὸν δέ] ὁ "δέ" ἀντὶ τοῦ γάρ.

A~B= 250. πρόσ⟨σ⟩ω καὶ ὀπί⟨σ⟩σω] σύστασίν τινα ἐποιήσατο τοῦ μέλλοντος ῥηθήσεσθαι λόγου· συνετοῦ γὰρ ἀνδρὸς πρὸς τὰ μέλλοντα ἁρμόζεσθαι καὶ προγνωστικώτερον τῶν ἄλλων φαίνεσθαι, ὅπερ καὶ ἐν

9. ἀπόλλυσθαι B ‖ 16. δοθεῖσαν B, διδομένην ‖ 17, 18. ἠῶς δ' αὖτ' ἐρύσατ' ‖ 22. τὸν ἡμερινὸν πόνον B: τῶν -ῶν -ων ‖ 28. δὲ post ὀρθ. add. codd. Il. ‖ 28, 29. τὸ ἐφεσταότων ‖ 30. ὁ B: τὸ ‖ 31. ἐποιήσαντο B ‖ 31, 32. ἐπ. τοῦ μ. ῥηθ. B: ἐπ. μ. δὲ ῥηθ. ‖ 33. προνουστικώτερον B

Digitized by Google

λοιδορίας μέρει παραλαμβάνει· "οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσ⟨σ⟩ω καὶ ὀπίσ⟨σ⟩ω" (Il. 1. 343).

ἄλλως: πρόσ⟨σ⟩ω καὶ ὀπίσ⟨σ⟩ω] "πρόσ⟨σ⟩ω" τὸ παρελθόν, ἐπειδὴ τὸ ἔμπροσθεν βλέπεται· καλεῖται δὲ πρόνοια. "ὀπίσ⟨σ⟩ω" δὲ τὸ μέλλον, ὅτι ἀφανές ἐστιν· καλεῖται δὲ ἀγχίνοια. B=

251. Ἕκτορι δ' ἦεν ἑταῖρος] διὸ παρρησιάζεται ἀεὶ πρὸς τὸ συμφέρον αὐτῷ· ὥστε δεῖ τοὺς ἑταίρους οὐ τὰ προσφιλῆ ἀλλὰ τὰ συμφέροντα λέγειν. B=

ἰῇ δ' ἐν νυκτὶ γένοντο] πῶς ἐν μιᾷ νυκτὶ γενόμενοι τοσοῦτον ἀλλήλων διαφέρουσι, τῆς συμπαθείας τῶν οὐρανίων ὁμοίως πρὸς ἀμφοτέρους ἐχούσης; ἔστιν οὖν ⟨διαφορὰ τοῖς γεννωμένοις οὐκ ἐν νυκτὶ μόνον, ἀλλὰ καὶ κατὰ τὴν τῆς ὥρας ἀκρίβειαν⟩. Ἡράκλειτος (cf. Bywater ad Heracl. fr. 119) ἐντεῦθεν ἀστρολόγον φησὶν Ὅμηρον καὶ ἐν οἷς φησι "μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν, οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται" (Il. 6. 488, 9). A=

νυκτὶ γένοντο] ἔννοιαν ἔχει τινὰ γενναίαν τὸ λεγόμενον, ὅτι οὐκ ἐν ταῖς ἡλικίαις ἀλλὰ παρὰ τὰς φύσεις ἡ σύνεσις τοῖς ἀνθρώποις περιγίνεται. A~B=

252. ἀλλ' ὁ μὲν—μύθοισιν] δαιμονίως τῇ διαιρέσει, ὡς καὶ ἐν ἄλλοις· "μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων" (Il. 9. 443) καὶ "οἳ περὶ μὲν βουλῇ Δαναῶν, περὶ δ' ἐστὲ μάχεσθαι" (Il. 1. 258) καὶ "υἱέας αὖ πινυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους" (Od. 4. 211).

254. ἀμφὶ μάλα φράζεσθε] εἰς ἐπίτασιν αὐτοὺς ἄγει εὐθὺς διὰ τῆς εἰσβολῆς, λέγων ὅτι πολλῆς ἐπισκέψεως τὰ παρόντα δεῖται· δεῖ γὰρ πρῶτον τὸν σύμβουλον δεῖξαι ὅτι περὶ μεγάλων ἡ σκέψις. καὶ τὸ "φίλοι" προσαγωγόν, ἵνα ἐμφήνῃ τὴν κηδεμονίαν. B=

κέλομαι γὰρ ἔγωγε ἄστυδε νῦν ἰέναι] κεφάλαια συμβουλευτικὰ τὸ καλόν, τὸ δυνατόν, τὸ ἀναγκαῖον, τὸ συμφέρον· ὧν τὸ καλὸν πρὸς δόξαν ὁρᾷ· παρῆκε δὲ διὰ τὸν καιρόν· τὸ γὰρ ἀναχωρεῖν πλῆρες ἀδοξίας· τοῖς δὲ ἄλλοις ἀγωνίζεται· καὶ γὰρ δυνατόν φησι τὸ ἀναχωρεῖν νῦν, τὸ δὲ εἰς τὴν ἐπιοῦσαν ἡμέραν ἀδύνατον καταληφθέντων ὑπὸ Ἀχιλλέως· καὶ δυνατὸν τὸ ἀπὸ τείχους πολεμεῖν, εἰ δὲ καταλάβοι Ἀχιλλεύς, οὔ. τὸ δὲ συμφέρον, ὅτι νῦν ἀβλαβεῖς ἀπελεύ- B=

11, 12. supplevi ex A ‖ 18. ἐπιγίνεται B ‖ 20. ἔμμεναι ‖ 24. ὅτι B: ὥστε ‖ 25. δεῖ scripsi: ἔδει ut B ‖ 31. καταληφθέντων W: καταλειφθέντας B, -ηφθέντας

Digitized by Google

σονται. ἀναγκαῖον δὲ ἡ φυλακὴ τῆς Ἰλίου, νυκτὸς μὲν ἀγρυπνούντων, ἡμέρας δὲ ἀπὸ τείχους πολεμούντων.

B= νῦν ἰέναι] ἔμφασιν ἔχει τὸ "νῦν." ὃ γὰρ ὑποβάλλει, τοιοῦτόν ἐστιν· νῦν πορεύεσθε, μὴ περιμένετε τὴν μεθ' ἡμέραν φυγήν· τότε γὰρ πάντως φεύξεσθε βιασθέντες ὑπὸ Ἀχιλλέως. ἄμεινον οὖν προνοῆσαι τῆς ἀσφαλείας καὶ προλαβεῖν τὸν κίνδυνον.

A= 256. * ἑκὰς δέ] ὁ "δέ" ἀντὶ τοῦ γάρ.

B= 257. οὗτος ἀνήρ] οὗτος ὃν ἔχομεν ἐν νῷ. ἠθικὸν δὲ τὸ μὴ ὀνομάσαι Ἀχιλλέα· ἐν γὰρ τῷ "οὗτος" μείζονα τὴν ἔμφασιν εἰργάσατο.

B= 258. ῥηΐτεροι ⟨πολεμίζειν⟩] ἀναγκαία ἡ ἀπαγγελία· ῥᾴδιοι εἰς τὸ πολεμεῖν, ὅ ἐστιν εὐήττητοι.

B= 259. χαίρεσκον γάρ] ἀναγκαῖον καὶ τοῦτο, ἵνα δείξῃ ὅτι οὐ κατ' ἴδιον ὄκνον ἀναχωρεῖν κελεύει ἀλλὰ διὰ τὸ ἐμπείρως ἔχειν Ἀχιλλέως.

A= * ἐπὶ νηυσὶν ἰαύων] ἐπαυλιζόμενος ταῖς ναυσίν.

A+B= 262. ὑπέρβιος] τοῦτο ἰδίᾳ ἀναγνωστέον. ἤ ἐστιν 'ὑπεράγων τῇ βίᾳ.'

A-B= 264. μένος Ἄρηος δατέονται] μερίζονται τὸν πόλεμον νικῶντες καὶ νικώμενοι· ἢ ἄλλος ἄλλο τι πράσσοντες μερίζονται τὰ τοῦ πολέμου ἔργα, ὃ μὲν τοξεύων, ὃ δὲ ἀκοντίζων, ὃ δὲ σκυλεύων.

A+ 265. ἠδὲ γυναικῶν] ἐξηγητικόν ἐστι τοῦ "ἀμυνέμεναι ὤρεσ⟨σ⟩ι" (Il. 5. 486) καὶ "ὀάρων ἕνεκα σφετεράων" (Il. 9. 327).

266. πίθεσθέ μοι] Τυραννίων παρώξυνε τὸ "πίθεσθε," ἀγνοῶν ὅτι μεταγενεστέρων Ἰώνων ἐστὶ τὰ τοιαῦτα 'πιθέσθε' 'λαβέσθε.'

B− ὧδε γὰρ ἔσται] δαιμονίως κινεῖ τὸ σχῆμα, οὐχ ὑπόνοιαν ἀλλ' ἀλήθειαν βεβαίαν προβαλλόμενος.

B= 268. εἰ δ' ἄμμε κιχήσεται] ἄκρως προτρέπει ἁρπάσαι τὸν καιρὸν καὶ πρὸ τοῦ κινδύνου τῆς ἀσφαλείας προνοῆσαι.

AB= 269. ἑρμηθεὶς σὺν τεύχεσιν] καιρίως κεῖται καὶ τὸ "σὺν τεύχεσιν·" ἄοπλος γὰρ ἦν, φησί, πρὸς τῷ καὶ νύκτα ἐπιγεγονέναι· διόπερ νῦν ἡμῶν ἀπέσχετο.

AB= 270. γνώσεται] γνώσεται πάσχων κακῶς ὑπ' αὐτοῦ. §. διὰ τί

B= δὲ μὴ ἰδίᾳ ταῦτα πρὸς Ἕκτορά φησιν; ὅτι συνέρρευσεν ἐξαίφνης τὸ πλῆθος εἰς ἐκκλησίαν.

1. ἡ φυλακὴ B: τὴν φυλακὴν ‖ 7. ὁ A: τὸ ‖ 10. ἀναγκαία ἡ B cf. l. 12: ἀττικῶς ἔχει ‖ ῥᾴδιοι B: ῥᾴδια ‖ 16. ὑπεράγων B: -ον ‖ 24. σχῆμα W: σῶμα ‖ 27. τὴν ἀσφάλειαν B ‖ 29. ἄνοπλος B

Digitized by Google

271. *πολλοὺς δὲ κύνες*] *οὐκ ἐν βλασφημίᾳ ταῦτά φησιν ἀλλὰ ἐκφοβεῖ, ἵνα δέξωνται τὴν συμβουλήν.* A + B =

272. *ἀπ' οὔατος*] *εἴθε δὴ τοῦτο οὐχ ὅπως μὴ ἴδοιμι, ἀλλὰ μηδὲ ἀκούσαιμι.* A + B =

274. *νύκτα μὲν εἰν ἀγορῇ σθένος ἕξομεν*] *διὰ νυκτὸς κρατερῶς βουλευσόμεθα· τὴν δὲ πόλιν οἱ πύργοι σώσουσιν.* A ~ B =

*σθένος ἕξομεν*] "*σθένος*" *τὴν δύναμιν, ὅ ἐστι τὴν στρατιάν. οὕτω καὶ οἱ συγγραφεῖς δύναμιν καλοῦσι τὸ στράτευμα· καὶ Σοφοκλῆς* (fr. inc. 818 N.) "*Ἐνετοῖσιν ἵπποις τοῖσιν ἐκλελεγμένοις ἥδιον εἰ χωροῖμεν ἢ παντὶ σθένει*·" *φησὶν οὖν, ὡς νυκτὸς ἐν ἐκκλησίᾳ βουλευσόμενοι συνάξουσι τὸν στρατόν. ἢ ἰσχυροποιήσομεν ἑαυτοὺς ἠθροισμένοι, τουτέστιν* '*ἐν τῷ ἠθροῖσθαι φυλαχθησόμεθα*·' *τὸ γὰρ* "*εἰν ἀγορῇ*" *νῦν οὐκ ἐν* ⟨*τῇ*⟩ *ἐκκλησίᾳ σημαίνει, ἀλλ' ἐν τῷ ἀθροίσματι.* B –

275. *ὑψηλαί τε πύλαι*] *νῦν αἱ δίοδοι· ἀλλαχοῦ δὲ ἐπὶ τῶν θυρῶν,* "*ἐν χερσὶ πύλας ἔχετε*" (Il. 21. 531)· "*ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα*" (Il. 13. 124)· "*μέγα δ' ἀμφὶ πύλαι μύκον*" (Il. 12. 460). B –

277. *πρῶι δ' ὑπηοῖ⟨οι⟩*] *τὸ* "*πρῶι*" *καὶ ἕως ἕκτης ὥρας δηλοῖ· διὸ προσέθηκε τὸ* "*ὑπηοῖοι.*" *Φιλήμων* "*μεμίσθωνταί με δείλης πρωίας*" (fr. inc. 116 M.), *ἀντὶ τοῦ ἀρχομένης δείλης.* B =

280. *ἂψ πάλιν—ἐπὶ νῆας*] *ἀναγκαίως τῷ προδεδιδαγμένῳ κινδύνῳ* ⟨*τῷ*⟩ *ἐκ τοῦ μένειν ἀντέθηκε τὴν ἐκ τῆς ἀναχωρήσεως ἀσφάλειαν, καὶ ὅτι* ⟨*ὁ*⟩ *πολέμιος μᾶλλον κινδυνεύσει ἤπερ ἡμεῖς.* B =

* *ἂψ πάλιν*] *ἐκ παραλλήλου τὸ αὐτό.*

281. *ἠλασκάζων*] *πλανῶν, παρὰ τὴν ἄλην·* "*ἐμὸν μένος ἠλασκάζει*" (Od. 9. 457). *ὑποφαίνει δὲ ἡ λέξις τὸν μετὰ ἀναστροφῆς ἐλαύνοντα τοὺς ἵππους καὶ διαπειρώμενον εἰσελάσαι εἰς τὴν πόλιν.* A ~ B =

283. *πρίν μιν κύνες—ἔδονται*] *οἷον τεθνήξεται πρότερον ἢ πέρσει, ὡς* "*οὐ λύσω· πρίν μιν καὶ γῆρας ἔπεισιν*" (Il. 1. 29). A + B =

284. * *ὑπόδρα ἰδών*] *τὸ βλέμμα δηλοῖ, ὅτι δυσαρέστως ἔχει πρὸς τοὺς λόγους.* B =

285. *Πο⟨υ⟩λυδάμα*] *τυραννικὴ ἡ εἰσβολή· οὐ γὰρ ὅτι μὴ σύμφορα εἰσηγήσατο ἀνατρέπει, ἀλλ' ὡς οὐχ ἡδέα.* B =

3. *εἴθε δὲ* B ‖ 6. *βουλευσόμεθα* B: *-σώμεθα* ‖ 9. *Ἐνετοῖσιν* Hecker: *ἐν τοῖσιν* ‖ *ἐκλελεγμένοις* Schneidewin: *ἐκλελειμμένος* ‖ *ἴδιον*: corr. Hecker ‖ 10. *χωρῶμεν*: corr. Nauck ‖ 14. *τῶν πυλῶν* B ‖ 18. *ὑπ' ἠοῖ οἱ* ‖ *Φιλήμων* B Eust.: *φίλοι ἡμῶν* ‖ *μεμίσθωνται* etiam B: *-ωται* Eust. ‖ 24, 5. *ἀλυσκάζει* B ‖ 31. *τυραννικῶς τῇ εἰσβολῇ*, cf. B

A+ ἄλλως: Πο⟨υ⟩λυδάμα] δίχα τοῦ ῡ, ὡς "Λαοδάμα, τί με ταῦτα κελεύετε" (Od. 8. 153);

A–B= 286. ἀλήμεναι] ὃ μὲν τῆς ἀσφαλείας φροντίζων σεμνοῖς ὀνόμασιν ἐχρήσατο, ὃ δὲ μετατίθησι τὰ ὀνόματα δυσωπῶν τοὺς ἀκούοντας, "ἀλήμεναι" λέγων τὸ ἀναχωρῆσαι καὶ "ἐ⟨ε⟩λμένοι ἐνδόθι πύργων"

B= (287). §. ὁ τοῦ Ἕκτορος λόγος μετὰ τοῦ καλοῦ καὶ τὸ συμφέρον ἔχει, τουτέστι, συμφέροντος μέρος ἐστὶ καὶ τὰ περὶ τῶν χρημάτων, ἅπερ πολυχρονίῳ πολέμῳ ἐξαναλῶσθαι λέγει, ὅτι μείζων ἡ βλάβη πολιορκουμένων ἢ τῇ συμβολῇ κρίσιν διδόντων.

287. ἢ οὔπω κεκόρησθε] πρὸς τὸ "κέλομαι γὰρ ἔγωγε ἄστυδε νῦν ἰέναι" (254, 5).

B= 288. μέροπες ἄνθρωποι] οἱ μερισθεῖσαν καὶ διαρθρωθεῖσαν τὴν ὄπα ἔχοντες. οἱ δὲ τὴν κτῆσιν μερισθέντες τῶν ζῴων.

A+ 291. πολλὰ δὲ—Φρυγίην] πρὸς τὴν διαίρεσιν τῆς Τροίας καὶ Φρυγίας, ὅτι δύο, καὶ Λυδία οὔπω ἐκαλεῖτο.

A~ 292. κτήματα περνάμεν⟨α⟩] κυρίως ἐπὶ τῶν διαπεπραμένων ζῴων, ἢ ἐπεὶ χρυσίου μὴ ὄντος ταῦτα ἐδέχοντο οἱ ἐπίκουροι.

B– 293. ὅτε πέρ μοι] βαρβαρικῶς τὸ πᾶν εἰς ἑαυτὸν ἀναφέρει, μηδαμοῦ ἐκεῖνον ἀντιτιθεὶς ὅτι κρείσσων ὁ ἐξιὼν ἐπ' αὐτούς.

B= 294. κῦδος ἀρέσθαι] στρατηγικῶς μὲν αὐτοὺς ὑπέμνησε τῆς εὐνοίας τοῦ θεοῦ.

B= 296. οὐ γάρ τις Τρώων ἐπιπείσεται· οὐ γὰρ ἐάσω] εἰ μέχρι τοῦ "ἐπιπείσεται" προήγαγε τὸν λόγον, ἔννοιαν ⟨ἂν⟩ ἐδίδου ὡς μὴ πειθομένων ἑκοντὶ Πουλυδάμαντι ⟨τῶν⟩ Τρώων· ὃ δὲ τυραννικῶς τὴν κρίσιν οὐ τῷ πλήθει κατέλιπεν, ἀλλ' ἐπὶ τὴν ἑαυτοῦ ἐξουσίαν περιέσπασεν, ὡς διὰ φόβον Ἕκτορος οὐ πεισομένων αὐτῶν.

A~B= 300. ὃς κτεάτε⟨σ⟩σιν] ἐμφαίνει, ὡς Πολυδάμας πλούσιος ὢν δειλιᾷ προκινδυνεύειν. φησὶν οὖν, ὅστις τῶν Τρώων λυπεῖ τὸ κοινὸν αὐτὸς ἔχων πλείστην οὐσίαν, ἐκείνην δημευέσθω· καὶ ἔστι τοῦτο προτρεπτικὸν τοῦ πλήθους. ἀλλ' ὑπονοεῖ τοὺς πλουσίους ὀκνεῖν ἐκστρατεύεσθαι δειλιῶντας κινδυνεύειν.

A~B= 301. λαοῖσι δότω] ὁ πλούσιος δότω τοῖς ἄλλοις, ὅπως αὐτοὺς συμμάχους ἔχῃ καὶ φύλακας τῶν ἰδίων.

8. μείζων ἢ B: μείζονι ‖ 9. κρίσιν B: κρίσει ‖ 13. 'corrupta ex ὡς πρὸς σύγκρισιν τῶν ζῴων cf. Et. M.' W ‖ 16. διαπεπραμένων scripsi: διαπερωμένων ‖ 18–21. haec recte in B copulari patet ex μὲν particula l. 20 ‖ 24. supplevi ex B ‖ 29. ἐκείνην B: -η ‖ ἔστι B: ὅτι ‖ 33. ἔχοι ut B

302. * τῶν τινα βέλτερόν ἐστιν] λείπει ὁ γάρ.

305. εἰ δ' ἐτεὸν] καλὸν τὸ διστάζειν καὶ τὸ τέως μὴ δοῦναι ὅτι ἀνέστη. B=

ἄλλως: εἰ δ' ἐτεὸν παρὰ ναῦφιν] οἴεται διὰ τὸ σῶμα Πατρόκλου αὐτὸν ἐξεληλυθέναι.

* παρὰ ναῦφιν] ἀπὸ τῶν νεῶν. B=

306. * ἄλγιον] ἐπίπονον. B+

* ἐθέλῃσι] λείπει τὸ μάχεσθαι. B=

307. * δυσηχέος] διὰ τοὺς ἀναιρουμένους.

ἀλλὰ μάλ' ἄντην] προτρεπτικῶς φησιν ἑαυτὸν ἐπιδώσειν τῷ κινδύνῳ· B= ἅμα δὲ θαρρεῖ τοῖς ὅπλοις καὶ ⟨τῷ⟩ ἄοπλον εἶναι τὸν Ἀχιλλέα.

307, 8. ἄντην στήσομαι] πρὸς τὸ δοκοῦν εἶναι ἀναντίρρητον, ὅτι AB= ἀμείνων Ἀχιλλεύς, δημοκοπικῶς ἀντέθηκε τὴν ἐν πολέμοις ἀδηλίαν.

309. ξυνὸς Ἐνυάλιος] ὡς τὸ "ἐπιμὶξ δέ τε μαίνεται Ἄρης" A–B= (Od. 11. 537). ταῦτα δὲ λεγόμενα πρὸς νέους καταφρονεῖν διδάσκουσιν, ὡς μὴ ἐχόντων τῶν κρεισσόνων κατὰ τῶν ἐλασσόνων ἐλπίδα.

311. ἐκ γάρ σφεων φρένας] δείκνυσιν, ὅτι τῆς ἑαυτοῦ γνώμης B= αὐτοκράτωρ ἐστὶν οὐδείς.

312. Ἕκτορι μὲν γὰρ ἐπῄνησα⟨ν⟩] πιθανὴ ἡ οἰκονομία· εἰ γὰρ ἔφυγον B– εἰς τὴν πόλιν, ταὐτὰ ⟨ἂν⟩ τοῖς ἐν ἀρχῇ ἐγένετο, τειχήρεις οἱ Τρῶες καὶ πολιορκία· καὶ οὐδ' ἂν ὁ Ἕκτωρ ἀπώλετο κωλυόμενος ὑπὸ τῶν δημογερόντων προελθεῖν, ὡς καὶ αὐτός που λέγει "οἵ με θέλοντα μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσ⟨σ⟩ιν αὐτόν τ' ἰσχανάασκον ἐρητύοντό τε λαοί" (Il. 15. 722, 3).

ἄλλως: Ἕκτορι μὲν—ἐπῄνησα⟨ν⟩] ἡ ἐλπὶς τοῦ δημοβορῆσαι οὐκ B= εἴα αὐτοὺς προνοῆσαι τὸ μέλλον καὶ ἡ τοῦ Ἕκτορος ὑπόσχεσις ἐπαγγειλαμένου ὑποστήσεσθαι τὸν Ἀχιλλέα· πρὸς ⟨δὲ⟩ τὴν ὅλην ποίησιν οἰκονομικῶς διέθετο ταῦτα ὁ ποιητής· πεισθέντων γὰρ τῷ Πολυδάμαντι τῶν Τρώων ἐξαγώνιον ἂν κατέστη τὸ λοιπὸν μέρος τῆς Ἰλιάδος.

* ἐπῄνησαν] συνέθεντο. A–

313. οὔτις] "οὔτι" γράφει Ἐπαφρόδιτος, ἵν' ᾖ ἀντὶ τοῦ οὐ· δύναται δὲ τὸ "ἐπῄνησαν" (312) κοινὸν εἶναι.

316. ἀδινοῦ—γόοιο] λεπτοῦ καὶ ἀσθενοῦς, ὡς "μῆλ' ἀδινά" B+ (Od. 1. 92, 4. 320)· τοιοῦτον γὰρ τὸ φθέγμα τῶν λυπουμένων· οἱ δὲ δαψιλοῦς, παρὰ τὸ ἄδην.

2. τὸ W: ἔτι B, αὐτὸ ‖ 10. supplevi ex B ‖ 12. δημοκοπτικῶς ‖ 18. ἐπήνεσα ‖ 21. οἵ με θέλοντα ἰέναι ἑ. ‖ 24. ἐπήνεσα ‖ 25. ἐᾷ B ‖ 26. τε supplet B ‖ 27. διέθετο B: δὲ ἔθετο ‖ 29. συγκατέθεντο A ‖ 31. ἐπήνεσαν ‖ 33. τοῦ λυπουμένου B



Digitized by Google

B+ 317. *χεῖρας ἐπ' ἀνδροφόνους*] *τὰς ἑαυτοῦ χεῖρας ἐπιθεὶς τοῖς στήθεσι τοῦ ἑταίρου.*

B= 318. *ὥς τε λὶς ἠυγένειος*] *ἀκολούθως τῷ Ἀχιλλέως ἀξιώματι τὴν εἰκόνα παρέλαβεν, οὐκ ἄλλῳ τινὶ ζῴῳ ἀλλὰ λέοντι παραβαλὼν καὶ τὴν λύπην τῇ λύπῃ ὁμοιώσας· οὐδὲν γὰρ ⟨ἂν⟩ ἐμφαντικώτερον φανείη πρὸς τὸ δεῖξαι τὴν Πατρόκλου φιλίαν τῆς πρὸς τὰ τέκνα τῶν γεγεννηκότων διαθέσεως. ὅλον δὲ πρὸς ὅλον παραβέβληται· τό τε γὰρ λυπούμενον ἅμα καὶ ὀργιζόμενον διὰ τῆς παραβολῆς ἔδειξε, καὶ ἑκατέρων ἡ λύπη παραπλησία ἀπολειφθέντων τῆς βοηθείας, καὶ ἡ τὸν ἐλαφηβόλον ζητοῦσα τῷ παρὰ τοῦ Ἕκτορος δίκην λαβεῖν ἐπειγομένῳ.*

*λὶς ἠυγένειος*] *δύο μόνα τίκτει λέων, ὡς Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων* (VI c. 30, p. $579^b$ 1).

*ἠυγένειος*] *θήλεια· ταύτης γὰρ τὸ γένειον κάλλιον, χαίτη δὲ τοῦ ἄρσενος.*

A+ 319. *σκύμνους*] ⟨*σκύμνος*⟩ *ὡς ὕμνος, ὅτε ἐστὶ κατ' ἰδιότητα· ὅτε μέντοι ἐπὶ ἀνδρός, ὀξύνεται· ἀναλογώτερον δὲ τὸ βαρυνόμενον.*

A– *ἐλαφηβόλος*] *τοῦτο ἴσως πρῶτον ἤγρευται, ἀφ' οὗ ἔμεινε τὸ ὄνομα· ἢ ὅτι τάχιστον τῶν ἄλλων* ⟨*ἔλαφος*⟩.

320. * *ὕστερος ἐλθών*] *ὕστερον τῶν ἁρπασάντων.*

321. * *ἴχνι' ἐρευνῶν*] *ἄριστα γὰρ ἰχνεύει.*

B= 322. *δριμύς*] *ἀπὸ τῶν γευομένων παρήγαγεν.*

A–B– 324. *ἦ ῥ' ἅλιον*] *περιπαθὲς τὸ προοίμιον· μάλιστα γὰρ οἱ ἐν ἀξίᾳ μὴ πληροῦντες τὰς ὑποσχέσεις ἄχθονται. διὸ "ἔκβαλον" φησίν.*

AB= 325. *θαρσύνων — Μενοίτιον*] *περιπαθὲς καὶ τοῦτο, ὅτι εὐλαβοῦς πατρὸς ἀπέσπασα τὸν Πάτροκλον, οὐκ ἂν ἐκπέμψαντος τὸν υἱὸν εἰ μὴ διὰ τὰς ἐμὰς ὑποσχέσεις.*

326. * *εἰς Ὀπόεντα—ἀπάξειν*] *ὡς προσεδόκα.*

B= *περίκλυτον υἱὸν ἀπάξειν*] "*περίκλυτον ἀπάξειν*" *ἀντὶ τοῦ ἔνδοξον γενόμενον ἐκ τῆς νίκης.*

B– 327. *Ἴλιον ἐκπέρσαντα*] *ἀνατυπωσάμενος ἑαυτῷ πλείονα ἡδέα ὁ Ἀχιλλεύς, πορθουμένην Ἴλιον καὶ ἑαυτὸν σὺν τῷ φίλῳ ἀπονο-*

5. supplevi ex B ‖ 6. *τῆς* B: *τῇ* ‖ 6, 7. *γεγεννηκότων διαθέσεως* B: *γενικωτάτων διαθέσει ὡς* ‖ 9. *ἀπολειφθέντων* B: *ἀπολειφθέντι* ‖ 14, 15. *τοῦ ἄρσενος* scripsi: *οἱ ἄρσενες* ‖ 16. *σκύμνος* ‖ supplevi ex A ‖ 18. *ἤγρευται* W: *ἠγόρευται* ‖ 31. *ἡδέα* B: *ἰδέαν* ‖ 32. *πορθούμενον* B

Digitized by Google

στοῦντα καὶ ἀποδιδόντα Μενοιτίῳ τὸν Πάτροκλον, οὐκ ἐπὶ τῷ θανάτῳ μόνον ἀποδύρεται ἀλλ' ἐπὶ πᾶσι λυπεῖται τοῖς ἀπὸ τῆς ἐλπίδος προσδοκηθεῖσιν. δῆλον δὲ ὡς οὐδὲ⟨ν⟩ ἐν Φθίᾳ περὶ τῆς Ἀχιλλέως εἱμαρμένης εἶπεν ἡ Θέτις. οὐ γὰρ ἂν πρὸ τῆς ἐξόδου ταῦτα ὑπισχνεῖτο περὶ τοῦ Πατρόκλου τῷ Μενοιτίῳ· τινὲς δέ φασιν, οἴκοι μὲν πυθέσθαι ἀπιστεῖν δέ, οἰόμενον ἐκφοβεῖν αὐτὸν τὴν μητέρα πρὸς τὸ μὴ κινδυνεύειν.

328. ἀλλ' οὐ Ζεὺς ἄνδρεσ⟨σ⟩ι] κλάει, ὅτι μή ἐστιν εἷς τῶν πορθησόντων τὴν Τροίαν.

331. ἱππηλάτα] ἱππικός, οὐ φυγάς, ὡς οἱ νεώτεροι. §. ἄκρως δὲ B– ἀντιτίθησι τῷ Μενοιτίῳ τὸν ἑαυτοῦ πατέρα, ὅτι οὐ μόνος αὐτὸς τὰ B= ὅμοια πείσεται τῷ φίλῳ, ἀλλὰ καὶ οἱ γονεῖς αὐτοῦ ὅμοια καρτερήσουσι τῷ Μενοιτίῳ.

332. * οὐδὲ Θέτις μήτηρ] ὅτι συνῴκει τῷ Πηλεῖ ἡ Θέτις. A+

333. ἐπεὶ οὖν, Πάτροκλε] περιπαθὲς καὶ ἠθικὸν τὸ πρὸς τοὺς B= τεθνεῶτας διαλέγεσθαι ὡς πρὸς ζῶντας· καὶ ἔστι ἔμψυχον τὸ τοιοῦτον εἶδος τῶν λόγων.

334. οὔ σε πρὶν κτεριῶ] πῶς φησιν 'ἄταφον ἐάσω τὸ σῶμα' τῆς B= τοῦ Ἕκτορος ἀναιρέσεως ἀδήλου οὔσης; ῥητέον δέ, ὅτι ἠκηκόει παρὰ τῆς μητρός· "οὐδέ ἕ φημὶ—ἐπαγλαϊεῖσθαι, ἐπεὶ φόνος ἐγγύθεν αὐτῷ" (133). §. ὅτι οὐδέποτε τὰς Ἑλληνίδας 'βαθυκόλπους' φησίν (339).

335. * τεύχεα] τοῦ γὰρ ἀφελομένου κτῆμα γέγονεν. B+

μεγαθύμου] αὔξει τὸν θάνατον τοῦ φίλου καὶ τὴν ἐπικουρίαν B= αὐτοῦ.

336. * ἀποδειροτομήσω] δείρη κυρίως ἡ τῶν ἀλόγων, παρ' ὅσον B+ ἐκεῖθεν ἐκδέρονται.

338. * αὔτως] ὡς ἔχεις.

339. βαθύκολποι] οὐδέποτε τὰς Ἑλληνίδας 'βαθυκόλπους' φησίν· πῶς οὖν Ζηνόδοτος γράφει "ἔσπετε νῦν μοι Μοῦσαι Ὀλυμπιάδες βαθύκολποι" (Il. 2. 484);

341. * τὰς αὐτοὶ καμόμεσθα] ἐκ τοῦ παρεπομένου· οἱ κτώμενοι B= γὰρ κακοπαθοῦσιν.

342. πιείρας] εὐγείους· "ἐπεὶ μάλα πῖαρ ὑπ' οὖδας" (Od. 9. B=

3. supplevi ex B ‖ 6. αὐτὸν ‖ 9. πορθησάντων ‖ 18. ἐάσω B: ἐῶ ‖ 25. ἑαυτοῦ B, αὐτοῦ

Digitized by Google

B= 135). §. *φιλοστόργως δὲ τὸν Πάτροκλον συνεργὸν ἀπέφηνε τῶν κατορθωμάτων, καὶ ἀπὸ τῶν ἑαυτοῦ οἰκτίζεται εἰς τὰ κατ' αὐτόν.*

344. *στῆσαι τρίποδα] ὡς συνήθους ὄντος καίειν πρῶτον, εἶτα ἐπιτιθέναι τὸν τρίποδα ὕστερον.*

345. * *βρότον] τὸ ἀπὸ τοῦ φόνου αἷμα.*

B= 346. *οἱ δὲ λοετροχόον] εἰς ταπεινῶν πραγμάτων ἀπαγγελίαν ἐμπεσὼν ἐκάλυψε τῇ συνθέσει τῶν ἐπιθέτων. τὸ δὲ τὰ μικρὰ καὶ ἄδοξα μεγαλοπρεπῶς ἐξενεγκεῖν καὶ σεμνῶς ἀπαγγεῖλαι θαυμασίας ἐστὶ δυνάμεως.*

* *λοετροχόον] εἰς ὃν τὰ λουτρὰ χεῖται.*

B= 349. *ἤνοπι χαλκῷ] "ἤνοπι" ἐν ᾧ ἔστιν ἐνοπτρίζεσθαι· ἔστιν οὖν*
B+ *ὡς τὸ "φαεινὴν ἀμφὶ σελήνην"* (Il. 8. 555).

350. * *ἤλειψαν] ὅτι ἀρχαῖον τὸ ἔθος.*

351. *ὠτειλάς] συλληπτικῶς καὶ τὴν Εὐφόρβου ὠτειλήν φησιν*
A+B= (Il. 16. 806). *καλῶς οὖν ἀπὸ τῆς Ἕκτορος καὶ τὰς ἄλλας οὕτως εἶπεν* (ib. 820).

A~B= *ἀλείφατος ἐννεώροιο] ξηραντικῷ ἐλαίῳ χρῆται, ὃ φυλάσσει τοὺς νεκρούς, ὡς τὸ κέδρινον.*

A+B– 352. *ἑανῷ] ὅτι οὐ λαμπρῷ· ἐπάγει γὰρ "καθύπερθε δὲ φάρεϊ λευκῷ." ἔστιν οὖν λεπτῷ, ὡς "ἑανοῦ κασ⟨σ⟩ιτέροιο"* (613) *τοῦ εἰς λεπτὸν ἐλαθέντος· οἱ δὲ "ἑανῷ" τῷ ἐνδυτικῷ, οἱ δὲ ἐξ ἀντιφράσεως τῷ ποικίλῳ· οἱ δέ, ὅ φασιν Ἀττικοὶ λῄδιον.*

* *λιτί] λεπτῷ, ὡς τὸ "ἑανοῦ κασ⟨σ⟩ιτέροιο"* (613) *ἀντὶ τοῦ λεπτοῦ.*

356. *Ζεὺς δ' Ἥρην] κατὰ τὸ σιωπώμενον ἐξ Ἴδης εἰς Ὄλυμπον*
A+ *γέγονεν ὁ Ζεύς.*

*ἄλλως: Ζεὺς δ' Ἥρην] Ζηνοδώρῳ τῷ συγγράψαντι περὶ τῆς Ὁμήρου*
B= *συνηθείας τὰ δέκα βιβλία συγγέγραπται καὶ περὶ τούτου τοῦ τόπου· ἐν ᾧ συγγράμματι πειρᾶται ἀποδεικνύειν διεσκευασμένον τόπον τοῦτον ἐπῶν ιγ'. πρῶτον γάρ φησι τὰς εἰσαγομένας τῶν θεῶν ὁμιλίας οὐκ ἐκτὸς τῆς ὑποθέσεως παραλαμβάνεσθαι, ἀλλὰ ἢ ὑπὲρ διδαχῆς τινὸς τῶν εἰς τὴν Ἰλιάδα συντελούντων πραγμάτων ἢ καὶ ὑπὲρ ἐπιδείξεως ἱστορίας παλαιᾶς, οἷον τὴν Διώνην πρὸς Ἀφροδίτην λέγουσαν "τέτλαθι, τέκνον ἐμόν—πολλοὶ γὰρ δὴ τλῆμεν—⟨τλῆ μὲν⟩ Ἄρης"* (Il. 5. 382 sqq.)—*ἱστορίαν γὰρ παλαιὰν ἐκτίθεται*—⟨*καὶ*⟩ *τὴν Ἀθηνᾶς*

1. *δὲ* B: *γὰρ* ‖ *ὑποφαίνει* B ‖ 2. *ἑαυτῶν* ut B ‖ 10. *ἐνοπτρίσασθαι* B ‖ 14. *καὶ τὰς ἄλλας οὕτως* scripsi cf. A, *καὶ τὰς πλείους οὕτως* ex. gr. coniecerat W: *νέας πεπληγώς* ‖ 21. *ποικίλλῳ* ‖ 27. *ἀποδεικνύναι* B ‖ 28. *ἐπῶν ιγ'* B: *εἰπὼν ιϛ'* ‖ 33. *Ἀθηνᾶς* Valckenaer: *δὲ Ἥρας*

Digitized by Google

πρὸς Δία ἐπικερτόμησιν, "Ζεῦ πάτερ, ἦ ῥά τι μοι κεχολώσεαι, ὅττι κεν εἴπω; ἦ μάλα δή τινα Κύπρις Ἀχαιιάδων ἀνιεῖσα" (ib. 421, 2), ὑπὲρ διδαχῆς ὅτι ὑπὸ Ἀφροδίτης ἠπατήθη ἡ Ἑλένη· ἀλλὰ καὶ τὰς ἄλλας ὁμιλίας τῶν θεῶν οὐκ εἰκῇ παραλαμβάνεσθαί φησιν. ταύτην δὲ οὔτε ἱστορίαν τινά φησι λέγειν οὔτε τοῖς ὑποκειμένοις πράγμασι πλέον τι προστιθέναι. ἔπειτα μέλλοντα τὸν Ὅμηρον διατίθεσθαι τὰ παρὰ Ἡφαίστου πρὸς Θέτιν οὐκ ἂν πρὸ ταύτης ἄλλην διάλεξιν θεῶν παραλαβεῖν, ποικίλλειν ὅλως σπουδάζοντα τὴν ποίησιν, καὶ ἀπὸ μὲν τῶν ἀνθρωπίνων ἐπὶ τὰ θεῖα, ἀπὸ δὲ τῶν θείων ἐπὶ τὰ ἀνθρώπινα μεταβάλλειν εἰωθότα· οὐκ ἂν οὖν ἐπαλλήλως τὰ ὅμοια διατίθεσθαι. εἶτα ⟨ἀνόητον τὸ⟩ λέγειν "ἔπρηξας καὶ ἔπειτα" (357) ὡς ἐκ πείσματος παρηκολουθηκότα τοῖς γενομένοις· οὐδὲ γὰρ ῥητῶς δεδηλωκέναι τὸν ποιητὴν ὅτι ταῦτα ὕστερον ἔμαθεν ὁ Ζεύς, ὥσπερ ἐν τῇ Α (522) "ἀλλὰ σὺ μὲν—αὖτις ἀπόστιχε, μή σε νοήσῃ Ἥρη" εἶτα "οὐδέ μιν Ἥρη ἠγνοίησεν ἰδοῦσα" (ib. 536, 7). ἔπειτα ἄλογον, τῇ μὲν Ἥρᾳ χαλεπαίνειν αὐτὸν ἐπὶ τῇ τῆς Ἴριδος ἀποστολῇ, τῇ δὲ Ἀθηνᾷ μηδὲ κατὰ βραχὺ τῇ καὶ συμπαραστάσῃ Ἀχιλλεῖ καὶ τὸ πῦρ δειξάσῃ πρὸς κατάπληξιν τῶν πολεμίων, ὁπότε γε ἔμπροσθεν (Π. 8. 407) τῇ μὲν Ἥρᾳ συγγινώσκειν φησὶ τὸν Δία, τῇ δὲ Ἀθηνᾷ χαλεπαίνειν πλέον. ἔτι τε πολλὴν ⟨τὴν⟩ ἀλογίαν φαίνεσθαι, εἰ παρὰ καιρὸν ἡλίου δύνοντος ὑπὸ Ἥρας (239) οὐδὲν περὶ τούτου ἐγκαλεῖ ὁ Ζεὺς παρεγχειρουμένης τῆς τοῦ κόσμου τάξεως. πῶς τε οὐκ ἐναντίον φάσκειν περὶ Διὸς "μίσησεν δ' ἄρα μιν δηίων κυσὶ κύρμα γενέσθαι Τρῳῇσιν· τῷ καί ⟨οἱ⟩ ἀμυνέμεν ὦρσεν ἑταίρους" (Π. 17. 272, 3), νῦν δὲ ἐπὶ τῇ σωτηρίᾳ αὐτοῦ ἀγανακτεῖν; οὐδὲν γὰρ ἄλλο πέπρακται ἐκ τῆς Ἀχιλλέως ἀναστάσεως ἢ τοῦτο μόνον τὸ μηδὲν παθεῖν τὸ σῶμα. πῶς τε τὴν ἀπὸ τῆς Ἴδης μετάβασιν τοῦ Διὸς οὐ δεδήλωκεν; ἀλλὰ τοῦτο ἐν ἄλλοις στίχοις μὴ ἀμφισβητούμενον οὐχ ἱκανὸν πρὸς κατηγορίαν· συγχωρητέον ⟨γὰρ⟩ κατὰ τὸ σιωπώμενον τοῦτο γεγενῆσθαι· ὅπου δὲ τἆλλα σαθρά ἐστι καὶ ὕποπτα, καὶ τοῦτο ὕποπτον. ἥ γε μὴν ἀπολογία τῆς Ἥρας καὶ ἀνοήτως ἔχει· δέον γὰρ προβάλλεσθαι, ὅτι κακὸν οὐδὲν

3. ὑπὲρ W : ὑπὸ ‖ ὅτι B : οὔτε ‖ ἀπὸ B ‖ 5. οὔτε ἱστορίαν τινὰ post προστιθέναι l. 6 scripta : traieci ut B ‖ 6. ἔπειτα B : ἐπὶ τὰ ‖ 7. παρὰ B : περὶ ‖ ταύτης scripsi : αὐτῆς ut B ‖ 8. λαβεῖν B ‖ 10. διαθέσθαι : corr. W ‖ 11. suppl. W ex B ‖ 12. παρηκολουθηκότος τοῦ γενομένου B ‖ 17. συμπραξάσῃ B ‖ 19. ἔτι W : ὅτι ‖ 19, 20. καὶ ὅτι πολλὴ ἡ -ία φαίνεται B ‖ 20. suppl. W ‖ 27. τοῦτο B : ταυτὸ ‖ 29. suppl. W ‖ 31. προβαλέσθαι B

Digitized by Google

εἰργάσατο τοὺς Τρῶας σώσασα τὸν Πάτροκλον, ὅπερ καὶ τῷ Διὶ ἐκεχάριστο, φησὶν "οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι" (367)· οὐδὲν γὰρ ἄλλο πράττει νῦν ἢ συκοφαντεῖ ἑαυτήν. ταῦτα ὡς ἐν κεφαλαίοις ὑπὸ τοῦ Ζηνοδώρου συγγέγραπται. ἀφαιρουμένων δὲ τῶν ιγ´ στίχων τὰ λοιπὰ ἔχει ἁρμονίαν.

B= 357. ἔπρηξας καὶ ἔπειτα] περισσὸς ὁ "καί." §. τὸ δὲ "ἔπειτα"
B= ἀντὶ τοῦ παραυτίκα. §. ἠθικῶς δὲ διαλέγεται ὡς ἐπιμεινάσης αὐτῆς
B= τῇ αὐτῇ βουλῇ. ἐμψύχως δὲ τὴν ὑπερβολὴν ἔδειξε τῆς φιλίας.

B= 362. καὶ μὲν δή που τις] οὔτε ἀρνεῖται τὸ γεγονὸς οὔτε ὡς δικαίως ἔπραξε παρρησιάζεται· θεραπεύουσα δὲ τὸν Δία ἠθικῶς φησιν, ὅτι δίκαιον ἦν ἐκτελεσθῆναι τὰ τῆς ἐπιθυμίας αὐτῇ, οὔσῃ καὶ γυναικὶ καὶ ἀδελφῇ.

B= ἄλλως: καὶ μὲν δή που τις] ὀργισθεὶς αὐτῷ ὃ ⟨ἂν⟩ προθῆται ποιήσειν αὐτὸς πράσσει.

363. * καὶ οὐ τόσα μήδεα οἶδεν] ὡς ἡ θεία φύσις.

B= 367. οὐκ ὄφελον Τρώεσσι] ἀντὶ τοῦ οὐκ ἔμελλον. §. ἐπερωτηματι-
B= κὸς δέ ἐστιν ὁ λόγος.

B= 368. πρὸς ἀλλήλους ἀγόρευον] κυρίως τὸ ἐν πλήθει λέγειν ἀγορεύειν ⟨καὶ⟩ τὸ "ἀλλήλους" ⟨ἐπὶ πλήθους. ταῦτα δὲ⟩ ἐπὶ δύο ἔταξε καταχρηστικῶς.

B+ 370. ἀστερόεντα] λαμπρόν· φησὶ γοῦν "ἀστὴρ δ' ὡς ἀπέλαμπε" (Il. 6. 295).

B= 372. ἱδρώοντα] πρὸ πολλοῦ ταῦτα ᾠκονόμηται ἐπὶ τῆς Α ῥαψῳδίας, ⟨τὸ⟩ δημιουργὸν τὸν θεὸν τοῦτον εἰσῆχθαι καὶ τοὺς θαλάμους τοῖς θεοῖς κατασκευάζοντα (Il. 1. 608) καὶ τὸ σκῆπτρον τῷ Διί (Il. 2. 102), ἵν' ἐπὶ τῆς μείζονος χρείας μὴ παράδοξον φανῇ τὸ χαλκέα τινὰ τῶν θεῶν εἰσάγεσθαι.

A + B = ἑλισσόμενον περὶ φύσας] εἱλούμενον· ἢ ὅτι ἡ πυρώδης οὐσία εἱλεῖται.

A ~ B − 373. σπεύδοντα] οὐκ ἐπὶ τοῦ κακοπαθεῖν νῦν κεῖται τὸ σπεύδειν—ἐργάζεται γὰρ οὐ δεόμενος τῶν ἀναγκαίων—ἀλλ' ὅτι ῥᾳθυμεῖν οὐ δεῖ, ὅπου καὶ θεοὶ ἐργάζονται. τὰ δὲ ἔμψυχα ἔργα πίστιν τῆς ἀσπιδοποιίας ἔχει καὶ τοῦ συμπτώματος τῶν ποδῶν ἀναπλήρωσιν τὴν τέχνην· δῆλος δέ ἐστιν εἰδὼς μηχανικήν.

2. ῥέξαι B || 5. τὸ λοιπὸν B || 7. ἐξ ἀρχῆς pro αὐτῆς B || 11, 12. αὐτῆς οὔσης κ. -ὸς κ. -ῆς B || 14. πράσσει scripsi: ποιεῖ B, πράσσειν || 16. ἐπερ. B: ὑπερ. || 19, 24. supplevi ex B || 28. ἢ A: καὶ ut B || 30. δὲ pro γὰρ ut B || 32, 33. καὶ —τέχνην om. B

Digitized by Google

ἐείκοσι πάντας] ὡς "εἴκοσι δ' ἔκβαλε πάντα" (Od. 5. 244), "οἳ δ' ἐννέα πάντες ἀνέσταν" (Il. 7. 161). §. τὸ δὲ σπεύδειν οὐκ ἐπὶ τοῦ κακοπαθεῖν.

374. μεγάροιο] τοῦ τῶν θεῶν, ὅτε ἐπὶ τὸ αὐτὸ εἶεν συνηγμένοι πάντες.

375. ὑπὸ κύκλα ⟨— θῆκεν⟩] ἡ "ὑπό" πρὸς τὸ "θῆκεν." τινὲς δὲ ὑπόκυκλα ὡς ὑποπόδια, κακῶς· τὸ μέντοι "τάλαρόν θ' ὑπόκυκλον ἔθηκεν" (Od. 4. 131) ὑφ' ἓν καὶ ἔχει οὐδετέρου παρασχηματισμόν. A=B–

376. δυσαίατ' ἀγῶνα] οὕτως· ἐν δὲ ταῖς εἰκαιοτέραις "θεῖον κατὰ δῶμα νέοιντο." A+

377. θαῦμα ἰδέσθαι] διὰ τῶν τοιούτων προσθηκῶν γίνεται πιστὸς ὁ λόγος· ὁμολογεῖ γὰρ καὶ αὐτὸς ὁ ποιητής, ὅτι θαυμαστὰ εἰσάγεται καὶ ἐκπλήττοντα. B=

378. τόσ⟨σ⟩ον μὲν ἔχον τέλος] "τόσ⟨σ⟩ον" ἀντὶ τοῦ ὅλον, ὡς "τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν" (Il. 23. 454). οὕτω γάρ φησι πρὸς τὰ παρ' ὀλίγον τετελεσμένα· οἱ δὲ γλωσσογράφοι "τόσ⟨σ⟩ον" ἀντὶ τοῦ τὸ σῶμα· οἳ δέ, ἐπὶ τοσοῦτον ἔσχον ⟨τὸ⟩ τέλος, ὥστε τῶν ὤτων προσδεῖσθαι· τινὲς δὲ "τόσ⟨σ⟩ον" τὸ λοιπόν. A+B–

379. ἤρτυε] ἡτοίμαζε. B=

κόπτε δὲ δεσμούς] ἤλαυνε τοὺς ἥλους, ὥστε καταπεῖραι τὰ ὦτα. B=

§. μείζων δὲ ἡ χάρις τοῦ καταλιπόντος ἡμιτελὲς τὸ ἔργον. AB=

κόπτε] ἤλαυνε. "δεσμούς" δὲ τὰς λαβάς· ἢ τοὺς ἥλους ἐνῆρεν. B–

382. Χάρις λιπαροκρήδεμνος] προὐπαντᾷ τῇ εὐεργετησάσῃ ⟨ἡ⟩ τοῦ Ἡφαίστου Χάρις, ὅτι δεῖ τοὺς εὐεργέτας ἑτοίμως ἀμείβεσθαι. διὰ δὲ τὸ χαρίεντα εἶναι τὰ δημιουργήματα Χάριν αὐτῷ καὶ Ἀφροδίτην συνοικίζουσιν. ἢ ὡς πλουσίῳ συνοικεῖ· τούτοις γὰρ ἕπεται τὸ χαρίζεσθαι. A–B=

λιπαροκρήδεμνος] καὶ ἀλλαχοῦ "λιπαρὰ κρήδεμνα" τὰ λαμπρά.

383. καλή] τί γὰρ χάριτος τῷ διδόντι ἡδύτερον καὶ τῷ λαμβάνοντι; B=

τὴν ὦπυιε] τινὲς Θάλειαν αὐτήν, οἳ δὲ Ἀγλαΐαν ὀνομάζεσθαι.

4. ὅτε scripsi: ὅταν ‖ 6. ἔθηκε τ. ‖ 7. ὑπὸ κύκλον ‖ 8. ὅπασσεν codd. Od. ‖ 9. δυσέατ' ut textus ‖ 10. νέονται A ‖ 12, 13. εἰσὶ κ. B ‖ 15. τοῖον ‖ 17. supplevi ex B ‖ 23. ἐνῆρεν W: ἐνήργει ‖ 24. προὐπαντᾷ B: προπαντῶν ‖ supplevi ex B ‖ 25. δεῖ τοὺς B: δεῖται καὶ ‖ 29. ἀ. λιπαροκρήδεμνα ‖ 30. χάριτος B: χάριτες ‖ καὶ B: ἢ

Digitized by Google

AB— ὤπυιε] παρὰ τὴν ὄπα, ὅθεν καὶ ὄαροι, ἢ διὰ τὰς ὁμιλίας τὰς πρὸ τῶν γάμων, ⟨ἢ⟩ ἀπὸ τοῦ ὀπάζειν, ἣν πεποίηται ἐκ μνηστείας, ἢ παρὰ τὸ ἐφορᾶν τὰ κατὰ τὴν γυναῖκα, ὡς τὸ "εἰ κεῖνος—ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι" (Od. 18. 254, 19. 127).

B— 384. ἐν τ' ἄρα οἱ] ἡ χρηστὴ προσηγορία τὸ ἦθος ἐνδείκνυται

B= Ἡφαίστου, ὡς ἀεὶ ἐκείνου μεμνημένου αὐτῆς. §. ἄγαν δὲ ὁ στίχος (385) συντετρόχασται τῇ προθυμίᾳ τῆς ἐρωτήσεως.

385. τίπτε, Θέτι] ἐπαινετὸς ὁ ἄρχων τοῦ λόγου καὶ μὴ περιμείνας τὴν αἴτησιν, καὶ τὸ σύντομον τοῦ ἐπειγομένου ἀποδοῦναι, καὶ τὸ σῶφρον τῆς ἐπαγγελίας ὡς δυνατὰ ἐπαγγελλομένου.

A= Θέτι τανύπεπλε] Ζηνόδοτος "Θέτις τανύπεπλος ἱκάνεις ἡμέτερόνδε."

AB= 386. πάρος γε μὲν οὔτι θαμίζεις] ἀντὶ τοῦ οὐδαμῶς· ἐν ἤθει δέ, ὥς φαμεν 'τί σὺ πρὸς ἡμᾶς; οὐ γὰρ πυκνῶς εἴωθας παραγίνεσθαι.'
* οὔτι] ἀντὶ τοῦ 'οὐδ' ὅλως.'

B= 387. * προτέρω] ἀντὶ τοῦ 'ἔμπροσθεν.'

B= 392. Ἥφαιστε, πρόμολ' ὧδε· Θέτις νύ τι σεῖο χατίζει] σύντομος ὁ λόγος καὶ πρέπων Χάριτι σπευδούσῃ πρὸς ἀπόδοσιν.

AB— ὧδε] οὕτως ὡς ἔχει⟨ς⟩ σχήματος· οὕτω γὰρ ἂν σπουδαῖος φαίνοιτο, ὡς καὶ Ἀχιλλεὺς "αὐτῇ σὺν φόρμιγγι" (Il. 9. 194) καὶ "γείτονες ἄζωστοι ἔκιον" (Hes. Opp. 345)· οἱ δὲ πλεονάζειν τὸ 'οὕτως'—ὡς "στῆθ' οὕτω ἀπόπροθεν" (Od. 6. 218)—ἐπεί τοι καὶ συντίθησι τὰ σκεύη καὶ ἀπονίζεται (413)· οὐδέποτε δὲ τὸ "ὧδε" τοπικῶς παρὰ τῷ ποιητῇ λαμβάνεται.

A-B= 394. ἦ ῥά νυ μοι] οὐκ ἐμέλλησεν ὁ Ἥφαιστος· οὐδὲ γὰρ προελθὼν καὶ θεασάμενος τὴν Θέτιν ἤρξατο τῶν λόγων, ἀλλ' ἐντὸς ὢν ἀναβοᾷ· ἑξῆς γοῦν ἐπιφέρει "ἦ, καὶ ἀπ' ἀκμοθέτοιο" (410).

B= §. ἄκρως δὲ παιδεύει ὁ λόγος πρὸς τὸ μεμνῆσθαι χαρίτων.

B— 395. ἥ μ' ἐσάωσε] καλῶς αὐτὸς μέμνηται τῆς εὐεργεσίας, οὐ Θέτις· ὀνειδιζούσης γὰρ ⟨ἂν⟩ ἦν· ὡς Δημοσθένης "ἐγὼ νομίζω τὸν εὖ παθόντα δεῖν ἀεὶ μεμνῆσθαι πάντα τὸν χρόνον, τὸν ποιήσαντα δὲ εὐθὺς ἐπιλελῆσθαι" (de Cor. p. 603ª S.). ὁ δὲ Ζεὺς—οὐ γὰρ ἔδει τὸν τύραννον ὁμολογεῖσθαι τὸ μέλλειν δεδέσθαι—λόγῳ μὲν οὐχ ὁμολογεῖ,

1. ὦπα A ‖ 2. supplevi ex A ‖ 8, 9. περιμεῖναι ‖ 13. οὐδαμῶς B: οὐδένα ὡς ‖ 14. τί σοὶ B ‖ 19. suppl. sec. ‖ σπουδαῖον ‖ 23. ἐποικτίζεται ‖ 30, 31. τὸν μὲν εὖ codd. Dem. ‖ 31. ἀεὶ om. codd. Dem. ‖ τὸν δὲ π. codd. Dem. ‖ 32. ἔδει γὰρ αὐτὸν B ‖ 33. τῷ μ. B

Digitized by Google

ἔργῳ δὲ ἀποδίδωσιν. χρηστὸν οὖν τὸ ἦθος ἐπικουρούσης ἀεὶ τοῖς δεομένοις, Ἡφαίστῳ Διονύσῳ (Il. 6. 136, Od. 24. 74) Διί (Il. 1. 401). καὶ τῆς ποιήσεως οἰκονομία ἡ τῆς Θέτιδος χρηστοήθεια· Διὶ μὲν ἀμύνει, ἵνα καὶ κακώσῃ Ἕλληνας, Ἡφαίστῳ δέ, ἵνα ποιήσῃ Ἀχιλλεῖ τὴν πανοπλίαν, Διονύσῳ διὰ τὸν ἀμφιφορῆα, ἵνα τῷ Ἀχιλλεῖ ἡ σορός. καὶ τάφῳ γὰρ αὐτὸν κοσμῆσαι πέρα τῶν ἄλλων βούλεται. φιλότεκνος δὲ ἡ πάσης εὐεργεσίας ἀμοιβὴν εἰς τὸν παῖδα καταθεμένη.

τῆλε πεσόντα] τινὲς 'γεννηθέντα·' "πέσῃ μετὰ πο⟨σ⟩σὶ γυναικός" (Il. 19. 110) καὶ ἀποδοθέν. §. φασὶ κρύφα μιγνυμένην Διὶ τετοκέναι· διὸ καὶ κεκρυφέναι παρ' Ὠκεανῷ· οὗ καὶ ἐτρέφετο. B–

ἄλλως: τῆλε πεσόντα] οὐ λέγει, ὅτι ἄνωθεν ἀπ' οὐρανοῦ ἔρριψεν αὐτὸν ἡ μήτηρ, ἀλλὰ τὸ "πεσόντα" τεχθέντα ἐστίν· τὸ δὲ "τῆλε" ἀντὶ τοῦ τηλόθι, παρὰ τῷ Ὠκεανῷ γεννηθέντα. B=

396. κυνώπιδος] ἐπὶ μνήμην ἐλθὼν τῶν ἀτυχημάτων λοιδορεῖται τῇ μητρί. §. γράφεται δὲ καὶ "βοώπιδος." B=

397. χωλὸν ἐόντα] ἡ μὲν τοῦ παιδὸς ⟨τὴν⟩ δόξαν προέκρινεν, ἡ δὲ Θέτις τὸν ξένον εἰ καὶ χωλὸς ἦν οὐκ ἀπεβάλετο. B=

398. Εὐρυνόμη τε] εὐχάριστος ὁ καὶ τῆς ἀπούσης εὐεργέτιδος μνημονεύων. μᾶλλον δὲ ἦθος ἐμφαίνει ἐπαναληφθὲν τὸ ὄνομα. B=

ἄλλως: Εὐρυνόμη] ἐπαναλαμβάνει, ὡς τῆς Χάριτος μητρὸς οὔσης Εὐρυνόμης· "οἳ δ' ἕνεκ' Εὐρυνόμη Τιτηνιὰς εἶπαν ἔτικτεν" (Callim. fr. 471). A–

399. ἀψορρόου] ταχυρρόου, ἐπειδὴ ⟨ταχὺς⟩ καὶ Ὠκεανός, ἢ παλιρρόου διὰ τὸ κύκλῳ περιθεῖν. B=

400. τῇσι παρ' εἰνάετες] οὐκ ἀναστρεπτέον τὴν "παρά," ἐπεὶ πᾶσα πρόθεσις συναληλιμμένη καὶ μὴ ἔχουσα ἀνάπαυσιν οὐκ ἀναστρέφεται. σεσημείωται τὸ "στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν ἔντεα" (191). A–B=

δαίδαλα] μικρὰ τορεύματα, ὡς καὶ ἐπὶ Ὀδυσσέως "πάροιθε δὲ δαίδαλον ἦεν" (Od. 19. 227). οἰκεῖα δὲ ταῦτα καὶ τῇ ἡλικίᾳ τοῦ δημιουργοῦ καὶ ταῖς ὑποδεξαμέναις αὐτὸν θεαῖς· τελειωθεὶς δὲ ἔμψυχα δημιουργεῖ. B– *

δαίδαλα πολλά] οἱ περὶ Ἀριστοφάνην "δαίδαλα πάντα." A+

401. κάλυκας] ἐμφερῆ ῥόδοις· οἳ δὲ δακτυλίους· οἳ δὲ ἐνώτια· A=B–

4. ἀμύνει B: ἀμύνειν ‖ 6. εἴη ‖ 9. καὶ ἀποδοθέν corrupta: an καὶ μὴ βληθέντα ex l. 11? ‖ 10. οὗ scripsi: οὕτω ‖ 16. suppl. W ‖ 21. οὐδ' (vel οἰδ') ἕνεκ' codd. Apollon. de coni. p. 505 B.: οἱ δέ με κ' ‖ εἶπαν W, εἶπον coni. Schneider, εἴπερ coni. Hermann: εἴπερ vel εἶπαν legi

Digitized by Google

οἱ δὲ χρυσᾶς σύριγγας τοὺς πλοκάμους περιεχούσας φασίν, "οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο" (Il. 17. 52).

B= 403. οὐδέ τις ἄλλος] δεῖγμα χρηστότητος· οὐ γὰρ μόνον ἔλαβον καὶ ἔτρεφον, ἀλλὰ καὶ ἐν ἀρρήτῳ φυλακῇ, μὴ καὶ λάθοι ἐπιβουλευθεὶς ὑπὸ τοῦ Κρόνου.

406. ἡ νῦν ἡμέτερον] πρὸς τὸ πρῶτον ὑπήντησεν.

A+B− 407. ζῳάγρια] χαριστήρια τοῦ εἰς τὸ ζῆν ἧχθαι· μετὰ δὲ τοῦ ⟨ι⟩, ἐπεὶ καὶ Σιμωνίδης φησὶ "τὸ ζώιον κάκιστον ἔκτηται βίον" (Sem. Amorg. fr. 13 B.) περὶ τοῦ κανθάρου.

B+ 409. ὅπλα τε πάντα] "ὅπλα" τὰ πρός τι εὐθετοῦντα· "ὅπλ' ἐν χερσὶν ἔχων" (Od. 3. 433).

B− 410. ἦ, καὶ ἀπ' ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέστη] καλῶς θεὸν διαγράφων θαῦμά τι αὐτὸν εἶναι μέγα φησίν· ἔστιν οὖν 'τέρας μέγα.'
A+B− τὸ γὰρ "πέλωρ" ἐπὶ μεγέθους τάσσεται. §. τὸ δὲ "αἴητον" Ἡρωδιανὸς σχηματίζει παρὰ τὸ εἰμί ἐτόν ἄητον αἴητον τὸ μέγα καὶ ἀνύπαρκτον καὶ παρὰ μηδενὶ ὄν· οἱ δὲ ὡρμημένον, παρὰ τὸ "δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸν ἄητο" (Il. 21. 386)· τινὲς δὲ 'ἀετηδὸν χωλεῦον,' ἐπεὶ τὰ γαμψώνυχα τῶν ὀρνέων χωλεύει· οἱ δὲ παρὰ τὸ αἴθω, τὸ πυρῶδες.

AB= * ἀκμοθέτοιο] τοῦ πρὸς τῷ ἀκμοθέτῳ ἔργου.

B= 411. * ἀραιαί] λεπταί· εἰ δὲ ψιλῶς, βεβλαμμέναι.

413. λάρνακα] ⟨τοῦ⟩το Ἑλληνικόν· τὸ δὲ ἀντίπηξ δωρικὸν καὶ [γαζοφυλάκιον] ἀρτάβη Περσικόν.

414. * σπόγγῳ—ἀπεμόργνυ] ἵνα εὐπρεπῶς συντύχῃ.

B= 415. αὐχένα τε στιβαρόν] ἄνωθεν γὰρ παχεῖς εἰσιν οἱ τὰ κάτω μέρη πεπηρωμένοι.

B= λαχνήεντα] ἡ γὰρ πυρώδης οὐσία καὶ ἐν ἡμῖν αἰτία τῆς τῶν τριχῶν ἐκφύσεως.

B= 416. χιτῶνα] ὡς ἐργάτης, οὐ φᾶρος.

A+ ⟨ἕλε δὲ⟩ σκῆπτρον παχύ] ὡς χωλός· ἢ ὅτι δίχα ὕλης οὐ σῴζεται πῦρ.

418. χρύσεια] καὶ τοῦτο πάλιν προπαρασκευὴ εἰς τὴν ὁπλοποιίαν, ὅτι καὶ τὰς θεραπαίνας εἶχεν ὑφ' ἑαυτοῦ δεδη-

4. ἀπορρήτῳ φ. μή τι πάθοι coni. W ‖ 7. supplevi ex Et. M. p. 413, 24 ‖ 8. ὁ pro τὸ coni. Bekker ‖ ζώιον Et. M. l. c., ζωίων coni. Bekker: ζῶον ‖ ἔκτηται Bekker: κέκτηται ‖ 10. εὔθετα B ‖ 12, 13. καὶ θεὸν διαγράφει ‖ 15. ἀνυπέρβλητον B ‖ 17. ὁ αἰετηδὸν B ‖ χωλεύων ut B ‖ 18. ante χωλεύει add. sec. ἐπὶ τῆς γῆς πησσομένων (?) τῶν ὀνύχων ‖ 21. δωρικὸν Heyne: δῶρον ‖ 22. delet W ‖ 23. ἀπομόργνυ sec. in rasura ‖ 27. τριχῶν scripsi, cf. B: φυτῶν ‖ 30. ταῦτα

Digitized by Google

μιουργημένας· ἀξιοπίστως δὲ τὸ "ἐστί" (419) καὶ "ἴσασιν" (420)· ὡς γὰρ πεπεισμένος καὶ παρηκολουθηκὼς ἐκφέρει ταῦτα.

* οἶδεν ἄρα καὶ ἀνδριαντοπλαστικήν.

420. * ἔργ' ἴσασιν] τὰ τῆς ταλασιουργίας.

421. * ὕπαιθα] ἔμπροσθεν.

ἔρρων] ἐπαχθῶς διὰ τὴν χώλωσιν βαδίζων. A~

426. αὔδα ὅτι φρονέεις] οὐκοῦν καὶ αὐτὸς τοῦτο ἐπισημαίνεται τὸ χρείαν τινὸς ἔχουσαν ἥκειν τὴν Θέτιν τῷ πρόσθεν οὐκ εἰωθυῖαν τοῦτο πράσσειν. B=

429. ἦ ἄρα δή τις ὅσαι θεαί] ἐμιμήσατο ἦθος θηλειῶν, οὐ περὶ ὧν ἠρώτηται ἀποκρινομένη ἀλλὰ περὶ ὧν ἐλυπεῖτο· καὶ οὐδὲ ταῖς εὐεργεσίαις ἐμαρτύρησε λέγουσα "ναὶ δὴ ταῦτά γε ⟨—κατὰ μοῖραν ἔειπες" Od. 20. 37 al.⟩. B-

432. ἐκ μέν ⟨μ'⟩ ἀλλάων] ἔοικεν ἀγνοεῖν τὰ περὶ Ψαμάθης ὁ ποιητής (cf. Hes. Th. 1004).

ἀνδρὶ δάμασ⟨σ⟩εν] καὶ πῶς φησιν Ἥρα "καὶ ἀνδρὶ πόρον παρακοιτιν" (Il. 24. 60); ἢ ὅτι τῶν συμβαινόντων τῷ Διὶ τὴν αἰτίαν ἀναφέρουσιν ὡς ἄρχοντι· ἢ κατὰ τὴν νέαν ἱστορίαν, ὅτι αὐτὸς αὐτῇ αἴτιος γέγονε τοῦ γάμου. B-

433. ἔτλην] οἰκεία ἡ λέξις ἐπὶ τῆς ἀκούσης. B=

434. πολλὰ μάλ⟨α⟩] ἐντεῦθεν οἱ νεώτεροι τὰς μεταμορφώσεις αὐτῆς φασιν· ἔστιν οὖν 'ἐπὶ πολὺ οὐ θέλουσα.' A-

γήραϊ—ἀρημένος] βεβλαμμένος τῇ ταπεινώσει τοῦ γήρως. B=

435. ἄλλα δέ μοι νῦν] ἀπὸ κοινοῦ τὸ "ἐκ πασέων Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν" (431). B=

437. ἔξοχον ἡρώων] κατὰ τοῦτο γὰρ ζητεῖ, ὅτι οὐ μόνον υἱοῦ ἀλλὰ καὶ ἀριστέως στερήσεται. B=

438. θρέψασα] οὐκοῦν τὸν Ἀχιλλέα ὁ ποιητὴς ὑπὸ τῆς μητρὸς τεθράφθαι φησίν. A+

442. ὄφρα δέ μοι ζώῃ] πάντα οὖν δεινὰ τὰ περὶ τὸν υἱόν, ὅτι καὶ ὠκύμορος (458) καὶ τὸν βραχὺν τοῦτον χρόνον λυπεῖται. B=

444. κούρην, ἣν ἄρα οἱ] ἀνακεφαλαίωσις αὐτή· κακῶς οὖν ἀθετεῖ Ἀρίσταρχος. πῶς γὰρ οὐκ ἄτοπον τὰ μὲν περὶ τοῦ γάμου παλαιά τε ὄντα καὶ πᾶσι δῆλα λέγειν, σιωπᾶν δὲ δι' ὃ ἦλθεν; B=

457. ἱκάνομαι] ἱκετεύω. §. ἀπὸ ἐλέου δὲ ἤρξατο καὶ εἰς ἔλεον κατέπαυσε τὸν λόγον, οὐχ ὡς ἀπαιτοῦσα χάριν ἀλλὰ δεομένη. B= A~B=

1. ἐστί scripsi: εἰσί ‖ 7. ἐκ τούτου B ‖ 8. τῷ πρ. B: τὸ ‖ 12, 13. suppl. W ‖ 26. ζητεῖ corruptum

Digitized by Google

AB= 458. υἱεῖ ἐμ' ⟨ὠκυμόρῳ⟩] ἄνευ τοῦ ι τὸ "ἐμῷ·" ἐκτέθλιπται γάρ.

B= ὠκυμόρῳ] ἔλεον ἐκίνησε πρὸς ὀλιγοχρόνιον χρῆσιν αἰτουμένη τὴν χάριν τῷ υἱῷ.

A+B= 460. καὶ θώρηχ'· ὃ γὰρ ἦν οἱ] τινὲς ἐπὶ τοῦ θώρακος τὸ "ὅ·" ἀλλὰ πάντα ἀπώλεσε, καὶ οὐκ ἂν περὶ τῆς ἀπωλείας μόνον ἐπὶ τοῦ θώρακος εἶπεν. οἳ δὲ ἐπὶ τοῦ "ἑταῖρος," καὶ λείπειν 'ταῦτα.'

B– τινὲς δέ, "ἃ γὰρ ἦν οἱ" ὅπλα. §. πῶς δὲ ξίφος οὐκ αἰτεῖ; τινὲς οὖν φασιν ξίφος Νηρέα παρ' Ἡφαίστου ἔχοντα δοῦναι Θέτιδι, τὴν δὲ Ἀχιλλεῖ. ἢ ὅτι καὶ ἄλλα εἶχε ἰσοπαλῆ τῷ ἀπολομένῳ.

B– 463. μή τοι ταῦτα] τὰ περὶ τῶν ὅπλων, περὶ ὧν νῦν διαλέγεται· ταῦτα γὰρ ὑπάρξει, ὅσα ἐστὶν ἐπὶ τῷ Ἡφαίστῳ.

B= 464. αἲ γάρ μιν] εὔχρηστον ἦθος εὐχομένου δύνασθαι πρὸς ἀπόδοσιν χάριτος οὐ μόνον τὰ αἰτηθέντα ⟨ποιεῖν⟩, ἀλλὰ περὶ ὧν ἀδύνατός ἐστιν.

B= 466. παρέσσεται] παρ' αὐτῷ ἔσται. §. ἑτοίμως δὲ ἐπαγγέλλεται,

B= οὐ τόπον, οὐ χρόνον προβαλλόμενος. καὶ ἡ μὲν ὡς δεομένη μακρηγορεῖ, ὃ δὲ οὐ λόγων αὐτῇ δευτέρων καιρὸν δίδωσι τῇ σπουδῇ, ἐπειδὴ ἄτοπον ἦν ἐν τῇ ἐξόδῳ σπεύδοντος Ἀχιλλέως διηγεῖσθαι περὶ τῶν ὅπλων, καὶ ἵνα μὴ τὸν τῆς νυκτὸς καιρὸν ἀναλώσῃ τῇ ὁπλοποιίᾳ.

A+ * παρέσσεται] οἱ περὶ Ἀριστοφάνην "παρέξομαι."

470. χοάνοισιν] ἄδηλον τὸ γένος· λέγει δὲ 'τοῖς ἀγγείοις, εἰς ἃ τήκεται ὁ χαλκός,' ἅπερ ἐστὶ παρ' ἡμῖν πήλινα.

ἐείκοσι πᾶσαι ἐφύσων] δηλονότι αὐτόμαται· εἰ δὲ ἔμψυχα αὐτοῦ τὰ ἔργα, διὰ τί χρὴ ἀπιστεῖν περὶ τῶν κατασκευαζομένων;

A+ * ἐείκοσι πᾶσαι] τὸ "πᾶσαι" συνήθως παρέλκει ὁ ποιητής.

A+ 471. εὔπρηστον] παρὰ τὸ ἔπρησεν. τινὲς δὲ "εὔπρηκτον."

B= 472. ἄλλοτε μὲν σπεύδοντι] κεκράτηκεν ἀρρήτου πράγματος, ὅτι εἰ σπεύδοι Ἥφαιστος καὶ αὗται ἠπείγοντο καὶ τεχνικῶς ἐφύσων. καὶ τὸ "παντοίην" (471) οὖν τοιοῦτόν ἐστιν, ποτὲ μὲν ἐπηρμένην ἀυτμὴν ποτὲ δὲ σύμμετρον.

σπεύδοντι] σπεύδειν ὁμοίως ἡμῖν (cf. p. 261, 29).

B– 474. ἀτειρέα] κοινὸν καὶ ἐπὶ τοῦ κασ⟨σ⟩ιτέρου τὸ "ἀτειρέα,"

1. ἐμῷ in lemmate ‖ 6. ἵνα λίπῃ τ. B ‖ 13. supplevi ex B ‖ 14. ἀδυνάτως ἔχει B ‖ post lineam 22 lemma ἐείκοσι πᾶσαι sine scholio scriptum spatio circa 36 litteris relicto ‖ 26. τὸ ἔπρεσε ‖ εὔπρηκτον A: ἔκπρηστον ‖ 27. ἀρρήτου B: ἀρίστου ‖ 28. ἔσπευδε B ‖ αὐταὶ B ‖ 31. σπεύδειν W: -δε

Digitized by Google

εἴγε ἡ κνημὶς ἐξ αὐτοῦ, καὶ βάλλεται ὑπὸ τοῦ Ἀγήνορος καὶ οὐκ εἴκει (Il. 21. 592).

ἄλλως: ἀτειρέα] τῶν γὰρ ἄλλων χωνευομένων ἐλαυνόμενος αὐτὸς πολὺν εἰς τὸ δημιουργηθῆναι ⟨τῷ τεχνίτῃ παρέχει κόπον⟩. B=

476. θῆκεν ἐν ἀκμοθέτῳ] δαιμονίως τὸν πλάστην αὐτὸς διέπλασεν, ὥσπερ ἐπὶ σκηνῆς ἐκκυκλήσας καὶ δείξας ἡμῖν ἐν φανερῷ τὸ ἐργαστήριον. μεγάλην δὲ σφῦραν ἔλαβεν· οὔπω γὰρ τοῦ λεπτουργεῖν καιρός, ἀλλὰ πρῶτον ἐξελάσαι τὴν ὕλην. εἰς δὲ τὸ τορεύειν ἄλλοις χρῆται ἐργαλείοις ⟨οἷς⟩ καὶ τὰς πόρπας ἐποίει. B–

477. ῥαιστῆρα κρατερήν] Ζηνόδοτος "κρατερόν." A=

479. πάντοσε] ἔδει 'πάντοθεν' εἰπεῖν. §. γὰρ "αὐτὰ⟨ρ⟩ ἐν αὐτῷ" (481).

480. τρίπλακα] τρίπτυχον. B=

μαρμαρέην] διὰ τὸν ἐπικεχυμένον Ὠκεανόν. §. τινές φασι τὰς μὲν βοείας εἰκότως δεῖσθαι πολλῶν πτυχῶν. B=

483. γαῖαν ἔτευξ⟨ε⟩] "γαῖαν" λείπειν φασὶ τὸ 'ὡς,' ὃ παρ' αὐτὰ τὰ στοιχεῖα ἀπέθετο.

Ἀγαλλὶς ἡ Κερκυραία φησὶ πιθανῶς, ὡς Ἥφαιστος, Ἐριχθονίου πατὴρ ὤν, τὴν ἀρχαιογονίαν τῆς Ἀττικῆς ἐγκατέγραψε τῇ ἀσπίδι. γῆν μέν, ὅτι αὐτόχθονες ⟨οἱ Ἀθηναῖοι⟩· οὐρανόν, πρὸς ὃν συνεστήσαντο τὴν πολιτείαν (Aristot. fr. 385)· θάλασσαν (483), ἐφ' ἧς οἰκοῦσι δύο πόλεις, Ἐλευσῖνα καὶ Ἀττικήν. καὶ γάμος μὲν (cf. 491 sqq.) Ἀθήνησι πρῶτον εὕρηται ὑπὸ Κέκροπος, ὅθεν καὶ διφυᾶ φησιν αὐτὸν λέγεσθαι ὁ Χάραξ, ὅτι τὸ ἐκ δύο φύεσθαι δι' αὐτὸν πρῶτον ἔγνωσαν ἄνθρωποι· διὸ τὸ ξένον αἱ γυναῖκες ἱστάμεναι ἐθαύμαζον (496). καὶ δίκη φονικὴ ἐκεῖ πρῶτον περὶ Ἁλιρροθίου (cf. 497 sqq.). περὶ Ἐλευσῖνα δὲ δύο στρατοὶ Φόρβαντος ἐξ Ἀκαρνανίας καὶ Εὐμόλπου ἐκ Θρᾴκης (cf. 509 sqq.). προεστήκασι δ' Ἄρης μὲν ἀπολυθεὶς τοῦ φόνου, Ἀθηνᾶ δὲ ὡς πολιάς. εἰ δέ φησιν "ἄλλον ζῳὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον, ἄλλον τεθνειῶτα" (536)· οὗτοι γὰρ ἀπέθανον ἀπὸ τῶν Ἐλευσινίων Ἰμμάραδος ὁ Εὐμόλπου, Κλυτίος ὁ Ἀγριόπου A+

1. εἴγε ἡ Bekker: ἥ τε ἡ ‖ 4. πολὺν B: πολλῆς ‖ supplevi ex B ‖ 9. suppl. W ‖ 10. κρατερὸν etiam textus ‖ 11. pertinere ultima ad ea quae post πτυχῶν l. 15 desunt censet W ‖ 14. post Ὠκ. add. sec. ὃς κυκλοῖ πᾶσαν χθόνα ‖ 15. cf. ad. l. 11 ‖ 16, 17. corrupta ‖ 18. in margine ἱστορία ‖ Ἀγαλλὶς ἡ -α Ath. I 14 d: Ἀγαλλίας ὁ -ος AD Eust., Δαλὶς ἡ -α ‖ 20. γῆν Bekker: τὴν ‖ αὐτόχθονες pr. ‖ 23. δὲ post εὕρ. del. W ‖ 24. ὅτι τοὺς δύο φύντας δι', cf. Eust. ‖ 26. φονικὴ Bekker: φοινικὴ ‖ 28. -σι δ' W: -σιν ‖ 29. ζωὸν ‖ 31. ἀπὸ W: ὑπὸ

Digitized by Google

τοῦ Κύκλωπος, Ἔγρεμος ⟨ὁ⟩ Εὐρυνόμου τῶν μετὰ Φόρβαντος. καὶ ἄροτρον (542) δὲ πρῶτος Ἐπιμενίδης ὁ καὶ Βουζύγης ἔζευξεν (Aristot. fr. 386). "τρίπολον" δὲ τὴν ἄρουράν φησιν, ἐπεὶ Τριπτόλεμος πρῶτος ἔσπειρε σῖτον, ὃν βασιλέα (556) φησίν. ἐν δέ τισιν ἐγράφετο μετὰ τὸν "ἧμων ὀξείας δρεπάνας" (551) "καρπὸν Ἐλευσινίης Δημήτερος ἀγλαοδώρου." καὶ βοῦν φησι θύεσθαι (559)· ἐκεῖσε γὰρ πρῶτος ἔθυσε βοῦν Θαύλων φυγαδευθεὶς ⟨δι' αὐτό⟩. οἶνόν τε Ἰκάριος εὗρεν (cf. 561). ὁ δὲ χορὸς (590) ὁ πεμφθεὶς μετὰ Θησέως ἐπὶ Κρήτην. §. συμβουλευτικὰ δέ ἐστι πάντα. ἡ γὰρ εἰρηνευομένη πόλις ὑπονοεῖν παρέχει Τρωσίν, ὅσων ἂν ἀπέλαυσαν ἀγαθῶν, εἰ εἰρήνευον, ἡ δὲ πολεμουμένη τὴν διχόνοιαν αὐτῶν· κἀκεῖ γὰρ οἱ μὲν τὰ Πάριδος, οἱ δὲ τὰ Ἀντήνορος ἐφρόνουν. καὶ οἱ μὲν περὶ Διονύσιόν φασιν αὐτοκίνητα αὐτὰ εἶναι ὡς τοὺς τρίποδας (373), οἱ δὲ περὶ Ἀριστόνικον ⟨οὐ⟩ συντίθενται, ἐπεὶ μή εἰσι παρὰ θεοῖς. τί οὖν οἱ κύνες Ἀλκινόου (Od. 7. 91); τοῦτο πλάσμα ἦν. ἀλλὰ καὶ τοῦτο πλάσμα· δίδονται γοῦν τῷ ναυαγεῖν μέλλοντι Ὀδυσσεῖ (Od. 5. 351). ⟨οὐκ⟩ ἄρα ἄτρωτα τὰ Ἡφαιστότευκτα—καὶ πῶς οὐκ ἄτοπον τοὺς μὲν θεοὺς τιτρώσκεσθαι, τὰ δὲ ἔργα αὐτῶν μή;—οὐ γὰρ ἂν ἐδέησε πεντάπτυχον ποιῆσαι τὴν ἀσπίδα.

484. ἠέλιόν τ' ἀκάμαντα] τινὲς μέγαν· "ὡς δ' ὅτε σῦν ἀκάμαντα" (Il. 16. 823).

B= σελήνην τε πλήθουσαν] τινὲς ποτε πλήθουσαν, ὡς "ἠΰκομος Νιόβη" (Il. 24. 602). οἱ δὲ φυσικοὶ ἀεί φασι τὸ ἡμισφαίριον αὐτῆς τὸ προστετραμμένον πλήθειν, εἰ καὶ μὴ φαίνεται ἡμῖν. οἱ δὲ τὴν πληρωτικὴν σωμάτων, κογχυλίων τε καὶ δένδρων καὶ ποταμῶν καὶ θαλάσσης καὶ τῶν ἄλλων.

488. ἥ τ' αὐτοῦ στρέφεται] ὅτι κυκλοτερής ἐστιν ὁ οὐρανός, δηλοῖ τὸ "στρέφεται" ὡς καὶ τὸ "ἐστεφάνωται" (485).

B= ἄλλως: ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει] ἅμα μὲν χαριέντως ὡς κυνηγόν, ἅμα δὲ ὅτι καὶ τὴν αὐτὴν κίνησιν αὐτῷ ποιεῖται, ὥς που φησὶν ὁ Ἄρατος (226) "ὅς ῥα τε καὶ μήκιστα διωκόμενος περὶ κύκλα οὐδὲν ἀφαυρότερον τροχάει Κυνοσουρίδος Ἄρκτου" (226, 7). οὐκ ὀνομάζει δὲ τὴν ἄλλην, ἐπεὶ τῶν ἐπιφανεστέρων μέμνηται. §. τινὲς δέ φασιν ἀ⟨ντὶ τοῦ⟩ 'καὶ ⟨ἥ⟩,' ἵν' ᾖ 'καὶ Κυνόσουρα'· αὕτη γὰρ "μειοτέρη—πᾶσα περιστρέφεται στροφάλιγγι" (Arat. 43).

1. τῶν W: τοῦ ‖ 2. Ἐπιμενίδης Aristot.: ἐκεῖ Μαίνιδος ‖ 4. φασίν ‖ ἐγράφετο Bekker: ἔγραφε ‖ 7. suppl. W; cf. Androt. fr. 13 ‖ 8. συμβουλευτικὰ Bekker, συμβολικὰ coni. W: συμβουλευτικὸς ‖ 12. αὐτοκίνητα W ex Eust. p. 1148: αὐτοὶ ἵν' ᾖ τὰ ‖ 13. συντιθέντες ‖ 16. suppl. W ‖ δὲ post ἄρα omisi ‖ 22. αὐτῆς B: αὐτοῖς ‖ 22, 23. ἀεὶ post πρ. omisi ut B ‖ 24. τῶν ἄλλων B: Ὠκεανοῦ ‖ 28, 29. ὥσπερ B ‖ 31. ἐπειδὴ B, ἐπὶ ‖ μέμνηται B: μεμνῆσθαι ‖ 32. ἄκαι: suppl. W

Digitized by Google

ἀλλὰ πρῶτα μὲν ἄμφω ἅμαξαι ὀνομάζονται, ὡς καὶ Ἄρατος (27) "ἀτὰρ καλέονται ἅμαξαι." ἄλλως τε ὅτε τὸ "τέ" ὑποτάσσει ὁ ποιητὴς τῷ ἄρθρῳ, οὐ σημαίνει "καί." "ὅν τε καὶ ὑψόθ' ἐόντα" (Il. 17. 676). "ὅν τε κύν' Ὠρίωνος" (Il. 22. 29). "ἥ τε κατ' αἰγίλιπος πέτρης" (Il. 9. 15). "ἥ τ' ἀνὰ νῶτα θέουσα" (Il. 13. 547). οἱ δὲ τὸ "Ἄρκτον" ἀντὶ πληθυντικοῦ, ὡς τὸ "θήγει δέ τε λευκὸν ὀδόντα" (Hes. Scut. 388).

489. οἴη δ' ἄμμορος] τὸ "οἴη" οὐκ ἔχει τὴν σύγκρισιν πρὸς A ~ B +
ἅπαντα τὰ ζῴδια, ἀλλὰ πρὸς μόνα τὰ ἐντετυπωμένα τῇ ἀσπίδι.

490. ἐν δὲ δύω ποίησε πόλεις] ἐπὶ τὰ ἐπίγεια φέρεται. διοικου- B −
μένου δὲ τοῦ βίου πολέμῳ καὶ εἰρήνῃ τὰ ἐν ἀμφοτέροις τοῖς καιροῖς συμβαίνοντα πρὸς ἐκλογὴν τοῦ ἀμείνονος παραβέβληται· ἐπειδὴ δὲ ἡ μὲν Ἰλιὰς ὄψιν εἶχε πολέμου, ἀμνημόνευτος δὲ ἦν ἡ εἰρήνη, τοῦ πολέμου πρὸς ὀλίγον ἐμνήσθη—καὶ τούτου οὐκ εἶχεν ἡ Ἰλιὰς τὸν λόγον—τὸ δὲ περὶ τῶν εἰρηνικῶν ἐμήκυνεν. ἀναγκαῖον ⟨δὲ⟩ τῷ βίῳ τὰ ἐναντία διδόναι πόλεμον καὶ εἰρήνην, ἡδονήν τε καὶ πόνους.

492. ὑπὸ λαμπομενάων] ἡ "ὑπό" ἀντὶ τῆς μετά. §. Ἀθήνησι A + B =
δὲ οὕτω τὰς νύμφας ἄγουσιν. A ~ B =

493. ὑμέναιος] ὕμνος ὁ ἐπὶ ὁμονοίᾳ ᾀδόμενος· ἢ παρὰ τὸ ὁμοῦ A + B =
ναίειν.

495. αὐλοί] εἰ Φρὺξ ὁ αὐλός, ἄρα τῆς ποτε εἰρηνευομένης Ἰλίου B =
παράδειγμα ἡ πόλις· καὶ ὅτε γὰρ νυκτηγρετοῦσι Τρῶες, αὐλοῦσι (Il. 10. 13), παρὰ δὲ Ἕλλησιν οὐδαμοῦ αὐλός.

βοὴν ἔχον] οὐχ ὡς ἀποτελο⟨υ⟩μένου ἤχου τινός, ἀλλ' ὅσον τὰ B =
εἴδωλα ὡς αὐλοῦντα καὶ κιθαρίζοντα ⟨ἦν⟩.

496. * θαύμαζον] ἐθεώρουν. A + B =

497. ἀγορῇ] ὁ τόπος ἐν ᾧ ἀγείρονται. §. ἡδονὴν δὲ διαγράψας μέτει- B =
σιν ἐπὶ τοὺς ⟨τὰ⟩ τ⟨οι⟩αῦτα τηροῦντας νόμους. ἔστι δὲ ἡ στάσις A ~ B =
καταστοχαστική, τοῦ μὲν λέγοντος δεδωκέναι τὴν ποινήν, τοῦ δὲ ἀρνουμένου εἰληφέναι, ἣν παρέχοντες ἔφευγον τὸ ἔγκλημα τοῦ φόνου.

498. * ποινῆς] προστίμου· ἃ καὶ ὑποφόνια καλοῦσιν. A + B =

2. τὸ δὴ κ. cod. Ar. ‖ 4. ἥ τε κ. ‖ 10. δύο ‖ 14. τοῦτο pr.: corr. sive pr. sive sec. ‖ 15. ἐμήκυνεν Bekker: ἐμνήσθη B, μηκύνειν ‖ supplevi ex B ‖ 16. διδόναι W, cf. B: εἶναι ‖ 19. ὕμνος scripsi, cf. Et. M. s.v.: ὁμονοίας ‖ 20. ναίειν A, εὐνάζειν B: νάζειν ‖ 21. ποτὲ W: τότε ut B ‖ εἰρηνευούσης B ‖ 22. νυκτηγρετοῦσι B: νυκτιγερτοῦσι ‖ 24. β. ἔχων ‖ ὅσον scripsi: οἷον ‖ 24, 25, 28. supplevi ex B ‖ 30. ποινὴν post εἰλ. del. W ‖ ἣν B: οἱ ‖ 31. ὃ καὶ ὑποφόνιον B



Digitized by Google

B= 499. ὁ μὲν εὔχετο πάντ' ἀποδοῦναι] ὁ μὲν διεβεβαιοῦτο λέγων δεδωκέναι τὸ ἀρκοῦν πρὸς ὅλον τὸ ἀδίκημα.

A~ 500. δήμῳ πιφαύσκων] τοῖς περιεστῶσι τοῦ δήμου διασαφῶν.

A~B= 501. ἄμφω δ' ἱέσθην] ἄμφω δὲ μάρτυρα παρεῖχον τῶν λεγομένων, καὶ ἐπὶ τούτῳ ἐτίθεντο τὸ πέρας τῆς δίκης· ἀντὶ τοῦ 'ἤθελον ἄμφω ἐπὶ τῷ μάρτυρι τὸ πέρας τῆς δίκης γίνεσθαι.'

A+B= 502. λαοὶ δ' ἀμφοτέροισιν ἐπήπυον] ἐπεφώνουν ἀμφοτέρωθεν βοηθοὶ ἀμφοτέροις.

A+ ἀμφοτέροισιν ⟨ἐπήπυον ἀμφὶς ἀρωγοί⟩] Ζηνόδοτος "ἀμφοτέρωθεν," ἡ Μασσαλιωτικὴ δὲ "⟨ἀμφοτέρωθεν⟩ ἐπήπυον ἀμφὶς ἀρωγῷ."

B= 503. οἱ δὲ γέροντες] γέροντας ἀξιοῖ δικάζειν ὡς συνέσει καὶ πολυπειρίᾳ προὔχοντας, τὸν δὲ τόπον αὐτῶν ἱερόν ⟨φησιν 504⟩· ὥστε εἰς τὸ θεῖον ⟨ἂν⟩ ἀσεβεῖν δοκοῖεν οἵ τε παρακρίνοντες καὶ οἱ ἀπειθοῦντες. §. ἐν δ' Ἀρείῳ πάγῳ γέροντες δικάζουσιν.

504. ἱερῷ ἐνὶ κύκλῳ] Θέμιδος γὰρ ἱερὰ τὰ δικαστήρια.

AB= 505. ἠεροφώνων] ὧν ἡ φωνὴ μέχρι τοῦ ἐμφανοῦς ἱκνεῖται, ὃ ἐν ἄλλῳ εἶπε "φωνὴ δέ οἱ αἰθέρ' ἵκανεν" (Π. 15. 686).

B— ἠεροφώνων] τῶν ἀέρα φωνούντων—ἀὴρ γὰρ πεπληγμένος ἐστὶν ἡ φωνή—ἢ ἔωθεν συγκαλούντων.

A~B— 506. τοῖσι δ' ἔπειτα] συμπεριέφερον τὰ σκῆπτρα τοῖς λεγομένοις, ὡς καὶ οἱ δημηγοροῦντες· ὅθεν καὶ Ὀδυσσεὺς ἔδοξεν ἀμαθὴς εἶναι, ὅτε τὸ σκῆπτρον οὐκ ἐνώμα (Π. 3. 218)· οὔπω γὰρ ἀνέδην τὰς χεῖρας ἐκίνουν.

A+B= ἀμοιβηδίς] οὐ πάντες βουλευσάμενοι μίαν ἐξέφερον γνώμην, ἐναλλὰξ δὲ ἕκαστος τὸ δοκοῦν δίκαιον ἀπεφαίνετο. §. Ἀρίσταρχος δὲ

AB— "ἀμοιβηδόν," ὡς "κλαγγηδόν" (Π. 2. 463)· ἀντὶ τοῦ κατὰ τάξιν τῆς ἡλικίας, ὡς καὶ ἡ γερουσία Λακεδαιμονίων.

A~B= 507. κεῖτο δ' ἄρ' ἐν μέσσοισι] ἐπὶ δικαιοσύνην παρακαλῶν τοὺς δικαστὰς ἆθλον δικαιοκρισίας φησὶν αὐτοῖς παρὰ τῶν δικαζομένων δίδοσθαι. ἄδηλον δὲ πότερον πρὸς ἓν ἢ πρὸς δύο ἀπέθεντο, ἵνα ὁ ἡττηθεὶς δῷ τῷ δικαστῇ, πρὸς τὸ συκοφαντεῖν πολλούς. τοῦτο δὲ καλεῖται συνηγορικὸν τέλος.

B= 509. τὴν δ' ἑτέρην πόλιν] οὕτως ἐξηγητέον· πόλιν τινὰ περικαθεσθέντες δύο πολεμίων στρατοὶ τὴν λείαν ἀφείλοντο. καὶ τὴν κτῆσιν δὲ διανείμασθαι ἠνάγκαζον ἐπὶ τῷ καταθέσθαι τὸν πόλεμον.

5. ἔθεντο B || 8. ἀμφοτέροις om. B || 10. supplevi ex A || ἐπίπνυον A || -οισιν ἐποίπνυον coni. Spitzner || 18. τῶν τὸν ἀ. B, τὸν ἀ. || 20. schol. scriptum ad v. 523 || 21. ἀμαθ?ς pr. || 30. διὰ pro πρὸς B

Digitized by Google

οἱ δὲ πολῖται οὐκ ἐπείθοντο, ἀλλὰ σκοποὺς πέμψαντες ἐλόχων, ὁπότε ἥκοντα τὰ θρέμματα αὐτῶν ἐπὶ νομὴν ἀφέλοιντο τῶν πολεμίων. καὶ δὴ τοῦτο ποιοῦσιν. οἱ δὲ τὸν θόρυβον ἀκούσαντες—ἔτυχον γὰρ περὶ τούτου σκεπτόμενοι, πότερον ἀρκεσθήσονται τῇ λείᾳ ἢ πολεμήσουσι πάλιν—ἐπιβάντες τῶν ἵππων συνῆψαν πόλεμον.

δύω στρατοί] ἢ ὁ πολιορκῶν καὶ ⟨ὁ⟩ πολιορκούμενος, ἢ δύο ἐπὶ A+B= διαφόροις ἥκοντες αἰτίαις, ὁμονοήσαντες δὲ κατὰ τῆς πόλεως.

510. δίχα δέ σφιν ἥνδανε βουλή] τοῖς πολιορκοῦσιν ἐσχισμένη B= ἡ γνώμη· ἐὰν μὲν θελήσωσι διανείμασθαι τὰ κτήματα, ἀπαλλάττεσθαι τῆς πολιορκίας, ἐὰν δὲ ἀπειθῶσι, πορθῆσαι τὴν πόλιν.

511. ἠὲ διαπραθέειν] ἐψύχωται ἡ γραφή, ὡς καὶ τὰ ἀφανῆ B= δηλοῦσθαι τοῖς ὁρῶσιν. §. τὸ δὲ "πάντα" πρὸς τὰ σημαινόμενα B= ⟨κτήματα⟩ ἀπέδωκεν.

ἢ ἄνδιχα] ἦν ἔθος, ὡς καὶ Ἕκτωρ φησὶ "μή τι κατακρύψαι, ἀλλ' ἄνδιχα" (Π. 22. 120).

513. ⟨οἳ δ'⟩ οὔ πω πείθοντο] τὸ πω παρέλκει, ὡς τὸ "οὐδέ πω B= Ἀτρείδεω ὀπὸς ἔκλυον" (Il. 16. 76). οἱ πολῖται δὲ οὐκ ἐπείθοντο.

λόχῳ δ' ὑπεθωρήσσοντο] δεῖ νοεῖν τοὺς πολεμίους ἀφῃρῆσθαι τὴν B= λείαν, ἣν λοχῶσιν οἱ πολῖται ἰδίαν οὖσαν.

514, 15. τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα ῥύατ' A+B– ἐφεσταότες] τινὲς εἰς τὸ "ῥύατ'" στίζουσιν, ἢ ὃ ἔδει ἐπάγεσθαι τοῦτο ἐν μέσῳ κεῖται· ἔδει γὰρ 'μετὰ δ' ἀνέρες ἐφεσταότες,' ⟨ὡς⟩ τὸ "εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων" (Il. 20. 138) καὶ "ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι Κώκυτός τε" (Od. 10. 513). πρὸς δὲ τὸ ἀρσενικὸν ἀπέδωκεν, ὡς ἐν τῷ "μήτε τις οὖν θήλεια θεὸς τό γε μήτε τις ἄρσην—ἀλλ' ἅμα πάντες" (Π. 8. 7, 8), "ἠίθεοι καὶ παρθένοι—ὀρχεῦντο—χεῖρας ἔχοντες" (593), "Κύπρις τε καὶ ἀργυρότοξος Ἀπόλλων—τοῦτον ἀνέντες" (Il. 5. 760, 1).

ἄλοχοί τε] ὁ Πλάτων ἐν τοῖς νόμοις (VIII c. 2 p. 829[e]) ἀξιοῖ B= γυμνάζεσθαι γυναῖκας τὰ πολεμικὰ παρ' Ὁμήρου μαθών. καὶ Σαυροματῶν αἱ γυναῖκες τὴν αὐτὴν τοῖς ἀνδράσιν ἐνδῦσαι στολὴν πολεμοῦσιν.

2. ἥκοντα W: ἥξουσι B, ἥξοντα ‖ 4. πότερον B: ὁπότερον ‖ 5. πολεμήσουσι W: πολεμήσοιεν ‖ 6. δύο in lemmate ‖ 9. ἣν ἡ B ‖ 10. εἰ δὲ ‖ 11. ἔμψυχός ἐστιν B, ἐψύχωτο ‖ 13. supplevi ex B ‖ 14. κατακρύψειν codd. Il. ‖ 18. ὑπερθωρήσσοντο ‖ 21. ἵνα B pro ἢ ‖ 22. κέηται coni. propter B Villoiso ‖ 22. suppl. W ‖ 27. ὠρχεῦντο codd. Il. ‖ 31. ἐνδυόμεναι B



Digitized by Google

B= 516. *οἳ δ' ἴσαν*] *οἱ ἀπὸ τῆς πόλεως ἐξῄεσαν εἰς τὸν λόχον.*

B= * *ὡς ἠδικημένοις συλλαμβάνουσιν οἱ θεοὶ καλοῦσιν.*

B= 518. *καλὼ καὶ μεγάλω*] *μεγάλῃ δυνάμει, οὐ μεγέθει.*

* *ὥς τε θεώ περ*] *ὡς ἄν, ὡς τὸ* "*ῥεῖα μάλ' ὥς τε θεός*" (Il. 3. 381).

B— 519. *ὑπ' ὀλίζονες*] *ἥττους τῷ μεγέθει τοῦ σώματος, ὁ δὲ Ἐπαφρόδιτος τῇ δυνάμει. περισσὴ δὲ ἡ* "*ὑπό.*" *φασὶ δὲ Ὅμηρον τὸ ὀλίγος οὐδέποτε ἐπ' ἀριθμοῦ τάσσειν, ἀλλ' ἐπὶ μεγέθους·* "*νῦν δέ μ' ἐὼν ὀλίγος τε καὶ οὐτιδανός*" (Od. 9. 515).

B= 520. * *εἶκε*] *ἀντὶ τοῦ ἐφικτὸν ἦν, ἔπρεπεν.*

B= 521. *ἐν ποταμῷ*] *ἀντὶ τοῦ παρὰ ποταμῷ.* §. "*βοτοῖσι*" *δὲ γραπ-*
B= *τέον, ὅθεν καὶ βοτῆρες* (Od. 15. 504) *καὶ βοτάνη.*

AB+ *ἀρδμός*] *καὶ ἐν Ὀδυσσείᾳ* "*ἐν δ' ἀρδμοὶ ἐπηετανοί*" (Od. 13.
A+B— 247). §. *ἐκτατέον δὲ τὴν ἄρχουσαν τοῦ* "*ἀρδμός.*" *καὶ τὸ ἄρδω γάρ·* "*τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν*" (Aristoph. Equ. 96).

B— 523. *τοῖσι δ' ἔπειτα*] *αὐτοῖς τοῖς ἐνεδρεύουσι, τοῖς ἀπὸ τῆς πολιορκουμένης πόλεως.*

B= 525. *οἳ δὲ τάχα προγένοντο*] *οἱ βοῦς καὶ τὰ μῆλα· περὶ ἀμφοτέρων γὰρ ὁ λόγος.*

A=B— 526. *δόλον δ' οὔ τι προνόησαν*] *διὰ τὸ ἀπροσδόκητον—οὐ γὰρ εἰκὸς ἦν τοὺς πολιορκουμένους τοῖς πολιορκοῦσιν ἐπελθεῖν—ἢ πρὸς τῇ μουσικῇ ὄντες.*

B= 528. * *τάμνοντο*] *ἀπήλαυνον.*

B= 530. *οἳ δ' ὡς οὖν ἐπύθοντο*] *δηλονότι οἱ πολιορκοῦντες, ὧν τὰ ποίμνια ἠλαύνετο.*

B= 531. *ἱράων προπάροιθε*] *τῶν βουλευτηρίων.*

B= 535. *ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμός*] *κατὰ τὴν τάξιν τῶν πραγμάτων καὶ τὰς ὀνομασίας εἴρηκεν.*

536. * *ἄουτον*] *ὁ Κυδοιμός.*

537. *τεθνειῶτα*] *ἡ Μοῖρα.* ⟨*ἢ*⟩ *ἡ αὐτὴ τῶν τριῶν ἐδέδρακτο. νοητέον δέ, ὅτι ἐξ ἀμφοτέρων τῶν ταγμάτων εἰσὶν οἱ πεσόντες.*

538. *δαφοινεῶν*] *λίαν πεφοινιγμένων ἀπὸ τοῦ αἵματος.*

2. an *θεοὶ πολεμοῦσιν*? ‖ 8. *ὀλίγον* ut B ‖ *ἀριθμοῦ* B: *-ῶν* ‖ 8, 9. *νῦν δέ με ὢν οὐτιδανὸς καὶ ὀλίγος* ‖ 15. sequitur schol. ad v. 506, cf. p. 274, 19 ‖ *ἄλλως* ante lemma omisi ‖ 20. lemma *οἱ μὲν τὰ προϊδόντες ἐπέδραμον* praescriptum ‖ 25. *ἠλαύνετο* B: *περιηλαύνετο* ‖ 28. *ἔθηκεν* B ‖ 30. suppl. W

Digitized by Google

ἄλλως: δαφοινεῶν] "δαφοινεόν" προπαροξυτόνως.

ἄλλως: δαφοινεῶν] κἀκ τούτων φαίνεται γραφικὴν εἰδώς. κατὰ χρώματα γὰρ ποικίλλει.

539. ὥς τε ζῳοί] οὐκ ἄρα ζῷα ἦν τὰ ἐπιγεγραμμένα, ἀλλ' ὅμοια ζῴοις. B=

541. ἐν δ' ἐτίθει νειόν] τῆς εἰρηνευομένης δηλονότι αὕτη ἡ γῆ· οἱ γὰρ πολιορκοῦντες ⟨πορθοῦσι⟩ τὴν πολεμουμένην χώραν.

ἄλλως: ἐν δ' ἐτίθει νειόν] τρίτον ἐστὶ τοῦτο· μετὰ γὰρ τὰ θεῖα καὶ τὰς πόλεις γεώργιόν τι παραλαμβάνει. δαιμονίως δὲ διὰ τῶν ἐπιθέτων ὑπέδειξεν, εἰς ὁποίαν ποτὲ γῆν δεῖ πόνον κατατίθεσθαι, εἰς μαλακὴν καὶ εὔβωλον. B=

542. εὐρεῖαν τρίπολον· πολλοὶ δ' ἀροτῆρες ἐν αὐτῇ] ἀκολούθως τῷ ἐπιθέτῳ· τὴν γὰρ εὐρεῖαν πολλοῖς ζεύγεσί φησιν ἀροῦσθαι. B=

545. τοῖσι δ' ἔπειτα] πλουσίου ὁ ἀγρός, παρ' ὃν πονοῦσι μὲν αὐλακίζοντες ἐν βάθει τὴν γῆν, ἀνακτῶνται δὲ αὐτοὺς τῷ πόματι. B=

546. ὄγμους] οὔτε τὴν ἐπίστιχον φυτείαν φησὶν Ἐπαφρόδιτος οὔτε παρὰ τὸ οἴγειν· φησὶ γοῦν "ὄγμον ἐλαύνωσιν" (Π. 11. 68)· ἔστιν οὖν, ὡς Ἡρακλέων, 'τὰς ἑλκύσεις' παρὰ τὸ ἕλκω ὄλγμος—καὶ ὄλιξ γὰρ λέγεται—ἢ 'τὴν συνέχειαν τῶν αὐλάκων.' B−

547. ἱέμενοι] ἔσπευδον περὶ τὰ ἔργα διὰ τὸ ἐπίχειρα αὐτοῖς κεῖσθαι τὴν πόσιν. B=

548. ἡ δὲ μελαίνετο] ἡ ὀπίσω τοῦ ἀρότρου γῆ ἐμελαίνετο. A+ §. ἄπιστον δὲ καὶ αὐτὸς διὰ τοῦ θαυμάζειν πιστὸν εἰργάσατο (549).

ἀρηρομένῃ] ἢ ἐνδεῖ τὸ σίγμα ἀπὸ τοῦ ἀρηροσμένη· ἢ παρὰ τὸ ἀρῶ ἀροτῶ ἠρότημαι ἠροτημένη ἠρομένη ἀρηρομένη· ἢ ἀπὸ τοῦ ἀρῶ ἄρωμι ἀρούς ἠρομένος, ἠρομένη, Ἀττικῶς ἀρηρομένη. B=

550. ἐν δ' ἐτίθει τέμενος] δαιμονίως πᾶσαν ἰδέαν γεωργίας κατέγραψε τῇ ἀσπίδι περὶ ἀρότρου, περὶ θερισμοῦ. εἶτα δὲ ἀμπελόφυτον τὸ χωρίον διετύπωσεν. B+

βαθὺ λήιον] "βασιλήιον." §. τὸν δεσπότην τοῦ κλήρου βασιλέα (556) φησίν. ἢ βασιλικὸν αὐτό φησι, τὸ καλλιστεῦον θέλων διαγράψαι. B=

551. δρεπάνας] Ἰωνικῶς· οὗτοι γὰρ τρέπουσι πάντα εἰς θηλυκά, τάφρη κύρτη ἀστραγάλη. B−

552. δράγματα] ὧν ἐπιλαβόμενοι θερίζουσι καὶ ταμόντες ἐῶσι κεῖσθαι. B+

14. πότῳ B ‖ 18. ὀλξ B, ὄλλιξ Ath. XI 494 f ‖ λέγοντα ‖ 19. περὶ scripsi: παρὰ ut B ‖ ἐπὶ χεῖρα ut B ‖ 21. γῆ scripsi: ἡ ‖ 30. β. αὐτῷ περιτίθησι κάλλος τὸ B ‖ 33. τεμόντες ut B

Digitized by Google

μετ' ὄγμον] ἐπὶ τὰς τοῦ ἀρότρου τομάς, παρὰ τὸ οἴγω· ἢ ἕλκυσις παρὰ τὸ ἄγω.

A–B= 553. ἐλ⟨λ⟩εδανοῖσι] τοῖς τῶν σταχύων δεσμοῖς, οὓς οὐλοδέτας καλοῦσιν· οὐλαὶ γὰρ αἱ κριθαί.

B= 557. εἱστήκει] καὶ τὸ ἐφεστάναι αὐτὸν πιθανὸν καὶ τὸ χαίρειν ἐπὶ τοῖς ἔργοις καὶ τὸ μὴ κατεπείγοντος αὐτοῦ τὰ ἔργα γίνεσθαι· δεῖ γὰρ μὴ φόβῳ ἀλλὰ πρᾳότητι τὸν βασιλέα ζητεῖν ⟨τὸ⟩ ὑπουργεῖσθαι.

558. κήρυκες δὲ—ὑπὸ δρυΐ] πρὸς ὑπόμνησιν τῆς ἀπὸ τῶν δρυῶν τροφῆς· καλῶς δὲ καρπιζόμενοι θύουσιν. Ἀθηναῖοι δὲ καὶ νῦν τοὺς περὶ ἱερουργίαν πονουμένους Κήρυκάς φασιν.

B= 560. ἐρίθοισιν] ἔριθοι πάντες οἱ μισθοῦ ἐργαζόμενοι, καὶ μάλιστα οἱ τὴν ἔραν.

ἄλφιτα πόλλ' ἐπάλυνον] ἔμασσον ἢ ἔφυρον.

B= 561. ἐν δ' ἐτίθει σταφυλῇσι] ὡς ἐν γραφῇ κατακλωμένας βότρυσι δεί-
B= κνυσι τὰς ἀμπέλους. §. πάντα δὲ τέλεια ἔγραψε, "σελήνην τε πλήθουσαν" (484) καὶ τὸ λήιον βαθὺ (550) καὶ τὴν ἀλωὴν ἤδη κεκαρποφορηκυῖαν, ἵνα περικαλλῆ τὴν φαντασίαν παρέχοι τῶν ἐντετυπωμένων ὁ δημιουργός.

563. κάμαξι] καλάμοις ὀξέσιν. §. πολυειδῶς δὲ τὰς ἀμπέλους
B+ φράζει· αἱ μὲν γὰρ αὐτῶν χθαμαλαὶ κατ' ὄρχους εἰσὶν ἐν οἷς φησιν "ὄρχους δέ μοι ὧδ' ὀνόμηνας" (Od. 24. 341), αἱ δὲ σκέπουσαι τὸ σπέος Καλυψοῦς (Od. 5. 68).

564. ⟨κυανέην⟩ κάπετον] τὴν ληνόν. §. Ζηνόδοτος δέ φησιν ἀπὸ
B= χαλκοῦ κεκαυμένου· ἄλλοι . . . §. πρὸς τὸ δυσεπιχείρητον τοῖς κακουργεῖν βουλομένοις ⟨εἶναι⟩ καὶ ἡ τάφρος ἔσκαπται καὶ τὸ τειχίον προβέβληται· ὅθεν ἐπιφέρει "μία δ' οἴη ἀταρπιτός" (565), ὅπως οἱ μὴ διὰ ταύτης ἰόντες κατάφωροι εἶεν ὡς κλέψαι θέλοντες.

B= 567. παρθενικαὶ δὲ] καλῶς οἱ θάλλοντες καρποὶ ὑπὸ θαλλόντων φέρονται σωμάτων.

A= 568. ⟨πλεκτοῖσιν ταλάροισι φέρον⟩ μελιηδέα καρπόν] οὕτως αἱ Ἀριστάρχου.

569. φόρμιγγι λιγείῃ] δηλονότι τέρπων καὶ ἐπικουφίζων τὸν πόνον.

3. ἀσταχύων B || ad v. 553 ἀμαλλοδετῆρες marginale scholion signo superscripto indicatum casu om. pr.: add. sec.* οἱ δραγματοδέται || 5. ἐφεστάναι αὐτὸν B: ἐφεστᾶν ἑαυτὸν || 7. supplevi ex B || ὑπουργεῖσθαι B: ὑπουργεῖν || 17. παρέχοι τῶν scripsi: παρεχόντων B, παρεχουσῶν || 18. καλάμοις ὀξέσι Hesych. s. v.: καλάμαξι || 20. ὠνόμηνας || 23. ἄλλοι et lacunam W: ἀλλὰ || 24. supplevi ex B || 26. δι' αὐτῆς B || 29. suppl. Ludwich ex A

570. λίνον] καὶ ἐπὶ τοῦ ἱματίου καὶ ἐπὶ τοῦ ᾄσματος· καὶ ἐπὶ πάντων βαρύνεται. A+

ἄλλως: λίνον δ' ὑπὸ καλόν] Ἀρίσταρχος εἶδος ᾠδῆς τὸ⟨ν⟩ λίνον, ὡς παιᾶνα ἤ τι τοιοῦτον. §. ἡ δὲ περὶ τὸν Λίνον ἱστορία καὶ παρὰ Φιλοχόρῳ ἐν τῇ ιθ' καὶ παρὰ Μελανιππίδῃ. ἥ τε καλουμένη "Σφαῖρα" ποίημά ἐστιν εἰς τὸν Λίνον, ἀναφέρεται δὲ εἰς Ὀρφέα. ὁ δὲ Φιλόχορος ὑπ' Ἀπόλλωνός φησιν αὐτὸν ἀναιρεθῆναι, ὅτι τὸ λίνον καταλύσας πρῶτος χορδαῖς ἐχρήσατο εἰς τὰ ὄργανα. φασὶ δὲ αὐτὸν ἐν Θήβαις ταφῆναι καὶ τιμᾶσθαι ὑπὸ ποιητῶν ἐν θρηνώδεσιν ἀπαρχαῖς· ἐπιγραφή ἐστιν ἐν Θήβαις· "ὦ Λίνε πᾶσι θεοῖσι τετιμένε, σοὶ γὰρ ἔδωκαν ἀθάνατοι πρώτῳ μέλος ἀνθρώποισιν ἀεῖσαι ἐν ποδὶ δεξιτερῷ· Μοῦσαι δέ σε θρήνεον αὐταὶ μυρόμεναι μολπῇσιν, ἐπεὶ λίπες ἡλίου αὐγάς." AB+ B−

ἄλλως: "κρύπτω τὸν θεὸν ἄνδρα Λίνον, Μουσῶν θεράποντα, τὸν πολυθρήνητον Λίνον Αἴλινον· ἡ δὲ πατρῴα φοιβ⟨ε⟩ίοις βέλεσιν γῆ κατέχει φθίμενον." καὶ Ἡσίοδος (fr. inc. 211) "Οὐρανίη δ' ⟨ἄρ'⟩ ἔτικτε Λίνον, πολυήρατον υἱόν· ὃν δὴ ⟨ὅ⟩σοι βροτοί εἰσιν ἀοιδοὶ καὶ κιθαρισταί, πάντες μὲν θρηνοῦσιν ἐν εἰλαπίναις τε χοροῖς τε, ἀρχόμενοι δὲ Λίνον καὶ λήγοντες καλέουσιν·" ὁ μέντοι Ἡρακλέα διδάξας μουσικὴν ἕτερος παρὰ τοῦτόν ἐστιν.

λίνον] οἱ μέν, ὅτι τὸ πρῶτον ἀντὶ χορδῶν λίνῳ ἐχρῶντο πρὸς τὴν κιθάραν ἀπομείναντος τοῦ ὀνόματος—ὡς καὶ λίθον τὴν ἄγκυραν καλοῦσιν ἕως νῦν—οἱ δέ, ὅτι ὡς ἄγροικος ὁ παῖς λίνον ἐν⟨ε⟩τετάκει τῇ κιθάρᾳ. Ἀρίσταρχος ὄνομα ὕμνου ἐπὶ Λίνῳ τῷ ἥρωι. ἔστι δὲ οὗτος ᾠδῆς εὑρετὴς Οὐρανίας υἱός, ὃν ἀνεῖλεν Ἀπόλλων, ἐπεὶ τὸ λίνον καταλύσας χορδαῖς ἔτεινεν ὄργανον. A+B−

571. ῥήσσοντες] εἰ καὶ ἑτέροις ὀνόμασιν ἐχρήσατο ὡς ἐπὶ ἀγροίκων, μὴ οὖν ὑπερέβαλε τὰ Ἡσιόδου (Theog. 3. 4) "πόσ⟨σ⟩' ἁπαλοῖσιν ὀρχεῦντα⟨ι⟩" ἐπὶ θεῶν καὶ εὐρύθμων.

572. ποσὶ σκαίροντες] τὸ σπαίρειν μετὰ τοῦ ᾱ φησὶν ὁ ποιητὴς κατὰ Ἀττικούς—"ἀσπαίροντα ⟨δ'⟩ ἔπειτα" (Od. 12. 254), "ἤ ῥα οἱ ἀσπαίρουσα" (Il. 13. 443), "ἀσπαίροντα λάων" (Od. 19. 229), B−

1. αἵματος ‖ 3. supplevi ex B Eust. ‖ 11. πρώτῳ B Eust.: πρῶτοι ‖ 13. ἡλίου Eust.: ἠελίου ‖ 15. πατρώα ‖ suppl. Bekker ‖ βέλεσιν Bekker: μελέεσιν ‖ 16, 17. supplevi ex Eust. ‖ 17. ἀοιδοὶ Eust.: αἰθίδαι ut videtur ‖ 18. εἰλαπίναις Eust.: εἰλαπίν^αι_ε s pr. ‖ εἰλ. ἠδὲ χοροῖσιν Eust. ‖ 19. δὲ Eust.: τε ‖ 28. 'an μήποτε pro μὴ οὖν?' W ‖ ὑπερέβαλε W: παρέβαλε

Digitized by Google

“ἤσπαιρ’, ὡς ὅτε βοῦς” (Il. 13. 571)—τὸ δὲ σκαίρειν οὐκέτι. τὸ μὲν οὖν σπαίρειν ἄμουσόν τινα δηλοῖ κίνησιν, ὅ τινες ἐπ’ ἰχθύσι καὶ τῷ δεδεμένῳ κατὰ τὸν ποιητὴν βοῒ ⟨λαμβάνουσι⟩ (ib.), τὸ δὲ σκαίρειν ἔμμουσον κίνησιν ὀρχηστικὴν καὶ εὔρυθμον. οἶμαι δὲ ἔγωγε καὶ τῶν ἰχθύων τὸν σπάρον καὶ τὸν σκάρον οὕτω προσηγορεῦσθαι, τῆς κινήσεως οὐχ ὁμοίως ἑκατέρῳ γινομένης, τῷ δὲ σκάρῳ πάντως ὀξυτέρας. καὶ Ὀππιανὸς ἐν τοῖς Ἁλιευτικοῖς (1. 134) “καὶ σκάρον, ὃς δὴ μοῦνος ἐν ἰχθύσι πᾶσιν ἀναύδοις φθέγγεται ἰκμαλέην λαλαγήν” ἀφείς. καὶ τὴν πολύσκαρθμον Μύριναν φησιν ὁ ποιητὴς (Il. 2. 814) μίαν τῶν Ἀμαζόνων· καὶ εὐσκάρθμους ἵππους (Il. 13. 31).

B = 573. ὀρθοκραιράων] εὔκερῳ γὰρ οἱ κάλλιστοι βόες. ὀρθοκεράτων δὲ ὡς πρὸς σύγκρισιν τῶν κριῶν.

B = 574. χρυσοῖο τετεύχατο κασσιτέρου τε] ὑπὲρ τοῦ ἐξαλλαγήν τινα φαίνεσθαι περὶ τὴν χροιὰν τὰς δύο ὕλας παρέλαβεν.

B + 575. μυκηθμῷ δ’ ἀπὸ κόπρου ⟨ἐπεσσεύοντο⟩] παραδόξως καὶ τὴν φωνὴν ἐμιμήσατο. ὅτε δὲ ἐξίασι τῶν βοοστασίων, ταχεῖς τε καὶ σκιρτῶντές εἰσιν.

A + 576. παρὰ ῥοδανόν] Ζηνόδοτος “ῥαδαλόν” τὸν εὐκράδαντον διὰ τὸ ὕψος.

B = ἄλλως: παρὰ ῥοδανόν] τὸν ῥᾳδίως ἀναφύοντα, ἢ τὸν εὐκίνητον διὰ λεπτότητα· καὶ ῥοδανίζειν γὰρ αἱ γυναῖκες τὸ συνεχῶς τινάσσειν τὴν κρόκην. οἱ δὲ “ῥοανόν” ῥευστικόν, κατὰ πλεονασμόν. οἱ δὲ ⟨“ῥαδαλοδονακῆα”⟩ τὸν ἰσχνοκαλαμώδη ἐκ τῶν δύο. §. Ζηνόδοτος

B = δὲ γράφει “ῥαδαλόν” εὐκίνητον, οἱονεὶ κραδανόν τινα ὄντα, παρὰ τὸ κραδαίνεσθαι.

A – B = ἄλλως: παρὰ ῥοδανὸν δονακῆα] παρὰ τὸν καλαμῶνα τὸν δι’ ἰσχνότητα εὐκράδαντον.

A + 579. σμερδαλέω δὲ λέοντε] Ζηνόδοτος “κυανέω δὲ λέοντε.”

B + 580. ἐρύγμηλον] ἐρυγήτορα· ἐρυγεῖν γὰρ τὸ μετὰ βίας ἀνασπᾶν τὸ πνεῦμα· καὶ “ἤρυγεν ἑλκόμενος” (Il. 20. 404) καὶ “ἐρευγομένης ἁλὸς ἔξω” (Il. 17. 265).

A + B = ἄλλως: ἐρύγμηλον] προπαροξυτόνως τὸ “ἐρύγμηλον·” ἐγένετο δὲ παρὰ τὸ ἐρύγω ἐρύγηλος καὶ πλεονασμῷ τοῦ μ ἐρύγμηλος.

2. ἐπ’ W: ἐν ut B ‖ ἰχθῦσι ‖ 3. suppl. W ex B ‖ 7. σκάρον Opp. codd.: σκάρος ut B ‖ 8. λαλαγὴν etiam Opp. codd.: λαλιὴν B ‖ 11. ὀρθοκρεράων lemma ‖ εὔκεροι B ‖ ὀρθοκραιράων B ‖ 15. παραδόξως B: παράδοξον ‖ 18. ῥαδαλόν A et infra l. 23: ῥοδανόν ‖ 22. supplevi ex Eust. ‖ 23. ῥαδαλὸν etiam A Et. M.: κραδαλὸν B ‖ 27. κυανέω δὲ λέοντε A: κυάνεοι δὲ -ες ‖ 29, 30. ἐρευγόμενος

Digitized by Google

583. λαφύσσετον] ἔδει διὰ τοῦ η· ἡ ἐνεστὼς ἐστιν ἀντὶ παρῳχηκότος. §. δηλοῖ δὲ τὸ ἐπὶ πολὺ κενοῦν. A–B= B=

584. αὔτως ἐ⟨ν⟩δίεσαν ταχέας κύνας] μάτην ἠφίεσαν ἐπὶ τοὺς λέοντας.

ἐ⟨ν⟩δίεσαν] ἐδίωκον, παρὰ τὸ δίημι· "τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον" (Il. 22. 251) ἀντὶ τοῦ ἐδιώχθην. A+B–

586. * ἱστάμενοι—ἀλέοντο] γραφικῶς ἔδειξε τὸ πᾶν.

587. ἐν δὲ νομὸν ποίησε] φασὶν Ἀθηναίους πρῶτον ⟨ἐπι⟩νοῆσαι τὴν ἐξ ἐρίων ἐσθῆτα· ὅθεν καὶ τὸν πέπλον προσφέρουσιν. §. ἐν ἔαρι δέ φασι μόνον νέμεσθαι τὰ πρόβατα (588).

588. ἐν καλῇ βήσσῃ] οἱ μὲν βόες παρὰ ποταμόν, αἱ δὲ οἶες ἐν βήσσῃ, ὅ ἐστι κοιλώματι γῆς, ὥστε βαίνεσθαι, οὐ γεωλόφῳ. B=

589. σταθμούς] τὰς κατ' ἀγροὺς στάσεις τῶν θρεμμάτων· "ἔνθα κεν ᾧ πὰρ σταθμῷ" (Od. 14. 32), "σταθμῶν ῥυτῆρα γενέσθαι" (Od. 17. 187) καὶ "παρὰ σταθμὸν μεγάροιο" (ib. 96) καὶ "ἥ τε σταθμὸν ἔχουσα" (Il. 12. 434). AB–

* κλισίας] τὰς τῶν ποιμένων οἰκίας. AB=

* σηκούς] ἔνθα κοιμῶνται τὰ θρέμματα. AB=

590. ἐν δὲ χορὸν ποίησε] τὸν πρὸς χορείαν ⟨τόπον⟩· δῆλον δὲ κἀκ τοῦ ἐπιφερομένου "ἔνθα μὲν ἠίθεοι—ὠρχεῦντο" (593, 4), δηλονότι ἐν τῷ τόπῳ. A–B=

ἐν δὲ χορὸν ποίησε] ἐν ποικιλίᾳ εἰργάζετο, οἷον κίονάς τε καὶ ἀνδριάντας τῷ τόπῳ προκοσμήσας ἐν κύκλῳ· ἢ ὅτι ἐξ ἀρσένων καὶ θηλειῶν ἦν.

591. τῷ ἴκελον, οἷόν ποτε] πολυθρύλητον ἐνθάδε τὸ ζήτημα, πῶς ὁ θεὸς τὸν ἄνθρωπον μιμεῖται. καὶ οἱ μὲν ψιλοῦσι τὸ "οἷον," συνάπτοντες αὐτὸ τῷ "ἴκελον," μιμητὴν τῶν ἔργων Ἡφαίστου ποιοῦντες τὸν Δαίδαλον, ἵν' ᾖ 'τούτῳ μόνον ὁ Δαίδαλος ἐποίησεν ὅμοιον χορόν,' ὁ δὲ Ἥφαιστος δηλονότι πολλὰ τοιαῦτα εἰργάσατο. ἄμεινον δὲ ἐκεῖνο φάσκειν· πρῴην διακεχωρισμένως χορευόντων ἀνδρῶν καὶ γυναικῶν πρῶτοι οἱ μετὰ Θησέως σωθέντες ἐκ τοῦ λαβυρίνθου ἠίθεοι καὶ παρθένοι ἀναμὶξ ἐχόρευσαν· ὅπερ μόνον ὁ θεὸς ἐμιμήσατο, οὐ τὸ κάλλος οὐδὲ τὴν τέχνην Δαιδάλου. ἴσως δὲ A+B=

8. suppl. Bekker ‖ 11. ὥς ut B ‖ 14. παρά ‖ 22. explicat lemma "ἐν δὲ χορὸν ποίκιλλε" ‖ 25. πολυθρύλητον B: -ύλλητον ‖ 30. ἐπεὶ ante πρ. omisi, cf. B

καὶ διδάσκει ὁ ποιητὴς μιμεῖσθαι τὰ χρηστά, εἰ καὶ ἐξ εὐτελῶν εἶεν.

A= · 592. * Ἀριάδνῃ] Ζηνόδοτος "Ἀριδήλῃ."

A+B= 593. ἀλφεσίβοιαι] τέλειαι, θρέμματα ἤδη δεξάμεναι παρὰ μνηστήρων.

ἄλλως: ἀλφεσίβοιαι] αἱ λαμπραὶ κατὰ τὴν ἡλικίαν.

AB= 595. λεπτὰς ὀθόνας] ἐνδυτηρίους πέπλους, παρὰ τὸ ἔσθος, ἐσθόνη τις οὖσα.

B= 596. ἦκα στίλβοντας ἐλαίῳ] οὐ καταλάμπρους, ἀλλ' ἡσυχῇ ὡς ἔλαιον στίλβοντας. ἔστι δὲ ὅμοιον τῷ "ἡνία λεύκ' ἐλέφαντι" (Π. 5. 583) ἀντὶ τοῦ λευκά, ἐμφερῆ ἐλέφαντι. λείπει οὖν τὸ ὡς, ὡς ἐλαίῳ.

597. καί ῥ' αἳ μὲν καλὰς στεφάνας] οἰκεῖος ὁ κόσμος ἐπί τε ἀρρένων καὶ γυναικῶν.

AB– 599. ἐπισταμένοισι πόδεσ⟨σ⟩ιν] ἐπιστήμοσιν, ἐπιστημονικοῖς.

B= §. τὴν δὲ ὀξύτητα τῆς ἐν κύκλῳ κινήσεως αὐτῶν τροχῷ εἴκασε καὶ τούτῳ κεραμεικῷ· ὀξύτερος γάρ ἐστιν εἰς κίνησιν θατέρου· καλῶς δὲ καὶ τὸ "ἄρμενον" (600)· εἴτε γὰρ μεῖζον εἴτε ἔλαττον γένοιτο, ἐμποδίζει τῇ χρείᾳ.

600. ῥεῖα μάλ', ὡς ὅτε τις τροχόν] τὸ παράδειγμα πρὸς τὴν ὀξύτητα τοῦ τάχους· οὐδὲν γὰρ ὀξύτερον εἰς μεταφορὰν τροχοῦ κε-

B= ραμεικοῦ. §. καὶ τὸ "πειρήσεται" (601) θαυμάσιον· οὐδέπω γὰρ ἐργαζόμενον τὸν τροχὸν παρέλαβεν· ἐν γὰρ τῷ ἐργάζεσθαι ὁ πηλὸς βαρύνων ἐμποδίζει πρὸς τὸ ὀξύ.

B= 602. ἄλλοτε δ' αὖ θρέξασκον] ποτὲ μὲν κυκλοτερῆ τὸν δρόμον ἐποιοῦντο, ποτὲ δὲ ἀντιμέτωποι ἀλλήλοις γινόμενοι κατ' ὀρθὸν δι' ἀλλήλων ἔθεον.

B= 603. πολλὸς δ' ἱμερόεντα] ἐκ τῆς διαθέσεως τῶν θεωμένων ἐξῆρε τὸ κάλλος καὶ τὴν τέχνην τῶν ὀρχουμένων.

AB= 605. κυβιστῆρες] οἱ μετὰ κυβιστήσεως ὀρχούμενοι.

607. ἐν δ' ἐτίθει ποταμοῖο μέγα σθένος Ὠκεανοῖο] πειρῶνταί τινες ἀπὸ τούτου λέγειν μὴ εἶναι καθ' Ὅμηρον σφαιροειδῆ τὸν κόσμον. τὸν γὰρ Ὠκεανὸν ἔξω τῶν ἄστρων ἔθηκεν.

3. Ἀριδήλῃ W ex Hes. s.v. Ἀριδήλα· ἡ Ἀριάδνη Κρῆτες: Ἀριήδῃ A, Ἀρπήδῃ ‖ 7. πέπλους B: τόπους ‖ 9. οὐκ ἄγαν λαμπροὺς coni. Villoiso, at cf. Stephani thesaurum s.v. ‖ 23. ἔλαβεν B ‖ 29. ὀρχουμένων Bekker: θεωμένων ‖ 30. κυβιστῆρες textus: κυβιστητῆρες lemma

Digitized by Google

610. τεῦξ' ἄρα οἱ θώρηκα] ἔφθη ἐκφράσαι τὸν Ἀγαμέμνονος B+ θώρακα (Il. 11. 19), ὃς ἦν ἡφαιστότευκτος, ὡς καὶ τὴν Πατρόκλου πυρὰν δεινολογήσας (Il. 23. 107 sqq.) τὴν Ἕκτορος παρέδραμεν.

613. κνημῖδας ⟨ἑανοῦ κασσιτέροιο⟩] τῇ μαλακῇ ὕλῃ διὰ τὸ B= εὔτυκτον χρῆται εἰς τὰς κνημῖδας.

ἑανοῦ κασσιτέροιο] μαλακοῦ, λεπτοῦ, λαμπροῦ. B=

614. ὅπλα κάμεν] ὅτι τὰ πολεμιστήρια "ὅπλα" ὁμοίως ἡμῖν B= εἶπε νῦν· διὰ δὲ τὴν ὑπερβολὴν τῶν κατασκευασμάτων τῷ "κάμεν" ἐχρήσατο ἀντὶ τοῦ ἐποίησεν.

616. ἡ δ' ἴρηξ ὥς] ὀξεῖαν αὐτῆς τὴν ἀπαλλαγὴν πεποίηκε σπευ- B= δούσης τὴν ὑπόσχεσιν πληρῶσαι τῷ παιδί.

## ΕΙΣ ΤΗΝ Τ.

1. ἀπ' Ὠκεανοῖο ῥοάων] Βοιώτιος ἡ φωνή· καὶ ἀπὸ τῶν εἰς $\overline{ες}$ B− ἀρσενικῶν· "Ἄρτεμι Κρητάων πότνια τοξοφόρων" (cf. Schneider Call. II p. 775)· "λαοὶ τοξοχίτωνες, ἀκούετε Σειρηνάων" Ἐπίχαρμος (fr. inc. 32 L.). καὶ ἀπὸ τῶν εἰς $\overline{ος}$· "καλοὶ νησάων ἀστέρες" (Schneider l. c.). καὶ ἀπὸ οὐδετέρων, "βλεφάρων τ' ἄπο κυανεάων" (Hes. Scut. 7).

ἀπ' Ὠκεανοῖο ῥοάων] καὶ ἐξ ἡρωικοῦ προσώπου φησὶν "οὐδέ σέ γ' ἠριγένεια ἀπ' Ὠκεανοῖο ῥοάων" (Od. 22. 197).

2. ὄρνυθ'] ὅθεν καὶ ὄρθρος, ὁ ὀρνὺς ἡμᾶς.

φόως] τὸ τοῦ ἡλίου ἢ τὸ ἴδιον.

4. περικείμενον] περιπεπλεγμένον· διὸ οὐκ ἀναστρεπτέον τὴν A+B= πρόθεσιν, ὥς φησιν Ἡρωδιανός. §. μόνον οὐχὶ δὲ διὰ τῆς μεταφορᾶς B= τὸν τῷ νεκρῷ προσηλωμένον ἐδήλωσεν. ἐπὶ δὲ τῆς γυναικὸς "ἀμφ' αὐτῷ χυμένη" (284) φησίν.

5. κλαίοντα] πάντας τοὺς ἥρωας ἁπλότητος χάριν εὐχερῶς ἐπὶ A=B− δάκρυα ἄγει, Ἀγαμέμνονα (Il. 9. 14) Πάτροκλον (Il. 16. 3) Ὀδυσσέα (Od. 8. 523)· ἀφ' οὗ καὶ τὴν παραβολὴν τῆς χήρας ἔλαβεν· ἀεὶ δὲ "ἀριδάκρυες ἀνέρες ἐσθλοί" (Zenob. I 14). §. "λιγέως" δὲ ὀξέως ἢ AB= ἡδέως· "μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνήρ" (Od. 15. 400).

5. εὐποίητον B ‖ 11. textui subscriptum τέλος τῆσ $\overline{σ}$ ‖ 12. addidi: ἀρχῆς τῆς $\overline{τ}$ Ἰλιάδος Ὁμήρου textui inscriptum ‖ 15. τοξοχίτωνες Bekker, χαλκοχίτωνες coni. Ahrens De Dial. dor. p. 229: τοξοχίτωνος ‖ 15, 16. pro Ἐπίχαρμος Ahrens coni. Καλλίμαχος ‖ 25, 6. ἄμφω τῷ χ. ‖ 30. ἀγαθοὶ δ' ἀριδάκρυες ἄνδρες Zenob. ‖ 31. ἥδεται B

Digitized by Google

A= 6. μύροντο] ἐχέοντο· ὅθεν καὶ μύρον τὸ πρῶτον ἐκχυθὲν δάκρυον ἀπὸ Μύρρας τῆς μιγείσης τῷ πατρί.

B= 7, 8. ἐν τ' ἄρα οἱ φῦ χειρὶ—τοῦτον μὲν ἐάσομεν] δαιμονίως ἀμφότερα· καὶ διὰ μὲν τῆς λέξεως ταύτης ἐνδείκνυται, ὅτι μάταιόν τι καὶ περιττὸν ποιεῖ νεκρῷ συμπεπλεγμένος, διὰ δὲ τοῦ "ἐάσομεν ἀχνύμενοί περ" ὡς συμπάσχουσα ὑπάγεται τὸν παῖδα.

B= 9. ἐπειδὴ πρῶτα ⟨θεῶν ἰότητι⟩] "πρῶτα" ἀντὶ τοῦ ἅπαξ. §.

B= "ἰότητι" δὲ ὁρμῇ, παρὰ τὸ ἰέναι. ἐπεὶ πάντα εἰς θεοὺς ἀναφέρεται, χρή, φησίν, εἴκειν τῷ μοιριδίῳ. §. γράφεται καὶ "θεοῦ ὑπὸ χειρί."

A= 10. τύνη] ἀεὶ ἐπὶ ἀρσενικοῦ λαμβάνει αὐτὸ ὁ ποιητής.

B= 10, 11. τεύχεα—καλά] ὁ τῶν ὅπλων ἔπαινος χρήσιμος εἰς τὸ ἐπεγείρειν τὸν φιλότιμον Ἀχιλλέα.

B= 11. οἷ' οὔ πω τις ἀνήρ] νῦν γὰρ φιλοτιμησάμενος Ἥφαιστος ἀμείνω τῶν πρῴην εἴργασται.

13. τὰ δ' ἀνέβραχε] ψόφον ποιὸν ἀπετέλεσεν.

B+ ἄλλως: ἀνέβραχε] ἀντὶ τοῦ φωνὴν ἀφῆκεν. ἐψύχωσε δὲ τὰ ὅπλα διὰ τοῦ "ἔβραχε," ὡς καὶ ἐπὶ Ἄρεος "τόσον ἔβραχ' Ἄρης, ἆτος πολέμοιο" (Il. 5. 863). τοιοῦτον "ἔκλαγξαν δ' ἄρ' ὀιστοί" (Il. 1. 46) παρὰ τὸ "Τρῶες μὲν κλαγγῇ" (Il. 3. 2)· ἐντεῦθέν τινες ἔμψυχα τὰ ὅπλα ἐνόμισαν εἶναι· διὰ τοῦτο εἰκότως καὶ οἱ Μυρμιδόνες δεδοίκασιν.

δαίδαλα] παρὰ τὸ δαῆναι· ὅθεν καὶ δαίδαλος καὶ δαίμων (Archil. fr. 3 B.).

B~ 14. οὐδέ τις ἔτλη] πρὸς τὴν αὐγὴν αὐτῶν ἀδυνατούντων ἀντοφθαλμῆσαι τί πείσονται ἄρα Τρῶες;

B= 16. ἔδυ χόλος] πολλὴ ἡ ὑπεροχὴ τῶν ἄλλων· οὐ μόνον γὰρ παραμένει, ἀλλὰ καὶ θυμοῦται ὑπὲρ τῆς ἀφαιρέσεως τῶν ἄλλων· ἠρέθισται γὰρ τῇ ὁμοιότητι. ἢ ὅτι "αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος" (Od. 16. 294).

B— 17. ὡσεὶ σέλας ἐξεφάανθεν] ὡς πῦρ ἐφάνησαν ὑπό τε θυμοῦ καὶ

B= τῆς ἀνταυγάσεως τῶν ὅπλων. §. "σέλας" δὲ τὸ νυκτερινὸν φῶς, ἀφ' οὗ καὶ σελήνη· ἢ πᾶν πῦρ, παρὰ τὸ σαλεύεσθαι.

B= 18. ἐν χείρεσσιν ἔχων] ψηλαφῶν· οὐ γὰρ εἰς χεῖρας αὐτῷ ἐνετίθετο. §. τινὲς δὲ γράφουσι "τέρπετο δ' ὀφθαλμοῖσιν ὁρῶν."

2. ὑπὸ coni. Bekker ‖ Μύρρας Eust.: Μύρης A, Μύρρης ‖ 4. λέξεως B: θίξεως ‖ 5. ἐάσωμεν B ‖ 12. διεγεῖραι B ‖ 17. Ἄρεω ‖ ἆτος ‖ 18, 19. πρὸς τὸ ‖ 23, 24. ἀδυνατοῦντες ἀντοφθαλμεῖν καὶ τί ‖ 33. ἀνετίθετο ut B

Digitized by Google

θεοῦ ⟨ἀγλαὰ⟩ δῶρα] παρὰ θεοῦ δωρηθέντα· διὸ ἀναστρεπτέον, ὡς καὶ ἐν τῷ “Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο” (10). B=

21. ὅπλα] νῦν τὰ πολεμικά. καὶ τὰ τῆς νεώς, “ὅπλα τε πάντα εἰς ἄντλον” (Od. 12. 410, 1) καὶ “ὅπλ' ἐν χερσὶν ἔχων χαλκήια” (Od. 3. 433). B+

21, 2. οἷ' ἐπιεικὲς ἔργα] ἐν ἑαυτῷ τὸ πρᾶγμα τὴν ὑπερβολὴν ἔχον ὑπεροχὴν οὐκ ἐπιδέχεται μείζονα. καὶ Ἀνακρέων “κωμάζει δ' ὡς Διόνυσος” (fr. 131 B.) αὐτὸν αὐτῷ συγκρίνας. B−

23. * θωρήξομαι] ὡπλισμένος μαχοῦμαι.

24. * μή μοι] συμπαθείας τὸ “μοί.” B=

ἄλκιμον υἱόν] τινὲς “ἀγλαὸν υἱόν,” ἵνα ἁρμόζῃ τῇ αἰκίᾳ ἡ ὑπόμνησις τοῦ κάλλους. B+

25. χαλκοτύπους] χαλκῷ τετυπωμένας· συλληπτικῶς δὲ εἶπε πάσας “ὠτειλάς·” πεσόντα γὰρ πολλοὶ ἔτρωσαν, ὡς καὶ Ἕκτορα· “οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη” (Il. 22. 371). B=

26. εὐλὰς ἐγγείνωνται] ἐντίκτουσι γὰρ αἱ μυῖαί τι ταῖς σαρξίν, ἐξ οὗ οἱ σκώληκες γεννῶνται. B=

εὐλὴ ὁ σκώληξ ἀπὸ τῆς εἰλήσεως. B+

27. ἐκ δ' αἰὼν πέφαται] ὁ βίος καὶ ἡ ζωὴ πεφόνευται καὶ παρήρηται· τοῦτο δὲ διὰ μέσου. A+

⟨κατὰ δὲ χρόα πάντα⟩ σαπήῃ] ὁ νεκρὸς κατασαπῇ τὸν χρόα. Ἀττικῶς δὲ ἔχει ἡ σύνταξις. B=

30. ἀλαλκεῖν] Ἀριστοφάνης “ἀλαλκέμεν.” §. “ἄγρια” δὲ θρασέα.

30, 1. ἄγρια φῦλα, μυίας] ἀντὶ τοῦ μυιῶν· ἢ ‘τὰς μυίας, αἵ εἰσιν ἄγρια φῦλα.’ B=

31. ἀρηιφάτους] ὑπὸ σιδήρου πεφονευμένους. ἐξῆρε δὲ τὰς μυίας ταῖς λέξεσιν. B−

32. τελεσφόρον] τὸν τελειοῦντα τὰ φυόμενα. B=

33. * ἢ καὶ ἀρείων] τοῦ νῦν.

36. δύσεο δ' ἀλκήν] τινὲς τὴν πανοπλίαν· ἔστι δὲ ὡς τὸ “ἀναιδείην ἐπιειμένε” (Il. 1. 149). B=

7. ἔχον B: ἔχειν ‖ ὑπερβολὴν coni. Schneidewin ‖ 8. δ' ὡς Διόνυσος (Δεόνυσος praefert W) scripsi, δ' ὡς δὴ (vel εἰ) Διόνυσος coni. Schneidewin, δ' ὅπως δεῖ Διόνυσον Hartung: δὲ ὡς ἂν δεῖ Διόνυσος ‖ κ. δ' ὡς ἂν δῇ coni. Bergk ‖ 17. ἐξ ὧν B ‖ γίνονται B ‖ 21. χρόα B: χρῶα

Digitized by Google

37. μένος—ἐνῆκεν] ἠσθενήκει γὰρ τῇ ἀγρυπνίᾳ καὶ τῇ λύπῃ.

38. ⟨νέκταρ⟩ ἐρυθρόν] αἵματος ποιητικόν, ἢ ὅμοιον οἴνῳ τὴν χροιάν.

39. στάξε] συλληπτικῶς ἐπὶ τῆς ἀμβροσίας· ἢ ὡς μιξάσης αὐτά.

ῥινῶν] τινὲς τῶν βυρσῶν. §. μετὰ δὲ τὸ "ἔμπεδος εἴη" γράφεται ⟨"ἣ μὲν ἄρ' ὣς ἔρξασ' ἀπέβη Θέτις ἀργυρόπεζα"⟩.

40. βῆ παρὰ θῖνα] οὐκ ἀναμένει διὰ κηρύκων συνάγειν· καὶ Ἀγαμέμνων δὲ "μετὰ πρώτοισι πονεῖτο" (Π. 9. 12).

A+ 41. * ἥρωας Ἀχαιούς] τινὲς τοὺς βασιλεῖς νῦν.

A+ 42. καί ῥ' οἵπερ τὸ πάρος περ] τοὺς γ' στίχους τούτους (42–44) τοῖς ἑξῆς συνάπτειν βέλτιον ὑποστίζοντας εἰς τὸ "νηῶν" (43) "δοτῆρες" (44) "μένεσκον" (42)· εἰς δὲ τὸ "Ἀχαιούς" (41) τελείαν στιγμὴν θετέον.

* οἵ περ] Μυρμιδόνες· ἢ οἱ τῶν ἄλλων Ἑλλήνων.

44. παρὰ νηυσὶν ἔσαν] τινὲς ἀπὸ κοινοῦ τὸ "οἵ" (43), 'καὶ οἱ ταμίαι παρὰ νηυσίν.'

σίτοιο δοτῆρες] σῖτον καὶ τὸν ἀκατέργαστον—"σῖτος ἀθέσφατος" (Od. 13. 244)—καὶ τὸν εἰργασμένον, "σίτου θ' ἅπτεσθον" (Od. 4. 60). B− πυρὸν δὲ μόνως τὸν ἀκατέργαστον. §. ἔνδειξιν δὲ τῆς ἀρετῆς Ἀχιλλέως ἔχει ἡ τοῦ τοσούτου πλήθους συνέλευσις καὶ νόμον ἀτελείας κυβερνήταις καὶ σίτου χορηγοῖς.

B= σῖτον τὸν εἰργασμένον καὶ ἀκατέργαστον, πυρὸν δὲ τὸν ἀκατέργαστον.

B= 46. ἐξεφάνη· ⟨δηρὸν δὲ—ἐπέπαυντο⟩] αἰφνίδιον ὤφθη. §. ὁ δὲ
B= "δέ" ἀντὶ τοῦ γάρ.

47. σκάζοντε] καὶ τῷ Ὀδυσσεῖ ἡ πλευρὰ ἐμποδιός ἐστι τετρωμένῳ.

B= 49. ἔγχει ἐρειδομένω] ἑκάτερος τῷ ἰδίῳ ἔγχει, ὡς "φεύγωμεν—φίλην ἐς πατρίδα γαῖαν" (Π. 2. 140).

50. πρώτῃ ἀγορῇ] καὶ ἀλλαχοῦ "ἕδρῃ τε κρέασίν τε" (Π. 8. 162).

A+ 51. δεύτατος] ὅτι δεύτερος ὑπερθετικῶς, ἢ παρὰ τὸ δεύεσθαι.

53. Κόων Ἀντηνορίδης] Φερεκύδης Κύνωνά φησιν· ἄμεινον δὲ παρὰ τὴν σύνεσιν· Ἀντήνορος γὰρ αὐτὸν λέγει.

5. versum suppl. Ludwich in aliquot codicibus textui Iliadis insertum ‖ 10. συνάπτεσθαι A ‖ 17. σίτου τ' ἅ. ‖ 20. σίτου χορηγοῖς scripsi: σιτοχορηγοῖς ‖ 23. αἰφνιδίως B

Digitized by Google

56. Ἀτρεΐδη, ἦ ἄρ τι] οὕτως Ἡρωδιανός· τὸν δὲ "ῆ" σύνδεσμον περισπαστέον· ἔστι γὰρ διστακτικὸς τῆς κλητικῆς ἀνάπαυσιν δεχομένης. A–B=

ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον] ἆρά σοι δοκεῖ τὰ τῆς ἔριδος καλῶς ἡμῖν προκεχωρηκέναι; τινὲς δὲ ἐγκλίνουσι τὸν "ῆ" καθ' ὑπερβατὸν αὐτὸν συντάσσοντες τῷ "πέρ (57)," ἵνα τὸ ὅλον τοιοῦτον ᾖ, 'ἄρ τι τοῦτο ἀμφοτέροις ἔπλετο ⟨ἄρειον⟩ ἥπερ ὅτε ἡμεῖς ἀχνύμενοι μενεήναμεν.' A–B=

ἄρειον] ἡ Χία "ὄνειαρ." ἡ Μασσαλιωτικὴ "ἄμεινον." A=

58. ἔριδι μενεήναμεν] ὡς "ἔριδι ξυνέηκε μάχεσθαι" (Π. 1. 8). B=

§. πιθανῶς δὲ ἐπ' ἄμφω τὴν αἰτίαν ἤγαγεν· καὶ κούρην, οὐ γέρας αὐτὴν καλεῖ, ταῖς διαλλαγαῖς πρεπόντως τὰς ἀληθείας ἐκτιθείς. B=

60. ἤματι τῷ] παραυτὰ ὅτε ἐπέβη ἡ λεία τῆς νεώς. δεινοποιεῖ δὲ διὰ τὴν τελευτὴν Πατρόκλου. B=

61. ὀδὰξ ἕλον] τοῦτο ὑπὸ ἀγανακτήσεως καὶ ὀδύνης πάσχουσι ⟨οἱ⟩ τελευτῶντες.

62. δυσμενέων ὑπὸ χερσίν] οὐκ ἀναγκαῖον ἀναστρέφειν τὴν "ὑπό." A+

ἀπομηνίσαντος] ὑφ' ἕν, ἡ δὲ "ἀπό" ἀντὶ τῆς ἐπί, ὡς "Πριάμῳ ἐπεμήνιε δίῳ" (Π. 13. 460)· ἢ 'παντελῶς μηνίσαντος.' Χαμαιλέων δὲ γράφει "ἐπιμηνίσαντος." A+B–

63. Ἕκτορι μέν] ὁ μὲν Νέστωρ ἔλεγεν "ἦ κεν γηθήσαι Πρίαμος" (Π. 1. 255), ὃ δὲ παρωξυμμένως ἀντὶ τοῦ Πριάμου τὸν Ἕκτορα. B=

Τρωσὶ τὸ κέρδιον] ἀντωνυμία ἐστὶ τὸ "τό·" οὐ μὴν διασταλτέον κατ' αὐτό, ὡς ἔδοξέ τισιν. A=

64. δηρὸν—μνήσεσθαι] τῶν γὰρ κακῶν μόγις ἐπιλανθανόμεθα. διὸ καὶ 'ἄλαστά' φησιν αὐτά. B=

67. * νῦν] ἀρτίως.

68. * ἀσκελέως] ἄγαν σκληρῶς.

69. ὄτρυνον] τὴν ἐξουσίαν τῆς ἐξόδου ἐπὶ τὸν βασιλέα ἀναφέρει ὁμονοητικῶς. B=

71. ἰαύειν] παραυλίζεσθαι. σαρκαστικὸς δὲ ὁ λόγος. A+B=

72. ἀσπασίως] ἡδέως ἢ ἀπροσδοκήτως. B=

γόνυ κάμψειν] διὰ τὴν σύντονον φυγήν. B=

2. διστακτικὸς A: ἀρκτικὸς || 7. supplevi ex B || 13. ἐνέβη || 16. suppl. W || 22. παρωξυμμένος B || 25. αὐτὸ A: -ά

Digitized by Google

75. *μῆνιν ἀποειπόντος*] ἀντέφρασεν αὐτὸ τῷ "παύω χόλον" (67).

B= 76. *τοῖσι δέ*] τούτοις οἷς Ἀχιλλεὺς ἐδημηγόρησεν.

A+ ἄλλως: *τοῖσι δὲ καὶ μετέειπε* ⟨ἄναξ ἀνδρῶν Ἀγαμέμνων⟩] οὕτω καὶ παρὰ Ἀριστοφάνει· ἐν δὲ τῇ Μασσαλιωτικῇ "τοῖσι δ᾽ ἀνιστάμενος μετέφη κρείων Ἀγαμέμνων μῆνιν ἀναστενάχων καὶ ὑφ᾽ ἕλκεος ἄλγεα πάσχων αὐτόθεν ἐξ ἕδρης."

B+ 77. *αὐτόθεν ἐξ ἕδρης*] φησὶν Ἐπαφρόδιτος, ὅτι καθεζόμενος ἐδημηγόρει, ὅπως μὴ ἔκπυστοι οἱ μῦθοι γένωνται ταπεινοὶ ὄντες.

B= ἄλλως: *αὐτόθεν*] μὴ ἀναστάς—φησὶ γοῦν ἑξῆς "ἂν δ᾽ Ἀγαμέμνων ἵστατο" (249, 250)—ἢ οὐ προελθὼν εἰς μέσην τὴν ἐκκλησίαν, ἵν᾽ ᾖ, ἀναστὰς ἐδημηγόρει οὐκ ἐν μέσοις, ἀλλ᾽ ἐκ τῆς ἕδρας τῶν ἀριστέων.

A+B= 79. *ἑσταότος μέν*] τινὲς "ἑσταότως" ἀντὶ τοῦ εὐσταθῶς ἀπὸ μετοχῆς, ⟨ὡς⟩ ἀρκούντως ἐθελόντως. οἱ δέ φασι τοὺς φιλαχιλλεῖς κραυγάζειν καὶ ὑποκρούειν, ὡς τὸ "τὸν δ᾽ ἄρ᾽ ὑποβλήδην ἠμείβετο" (Il. 1. 292). καλὸν οὖν σιωπῇ τοῦ ἑσταότος ἀκούειν καὶ μὴ ὑποκρούειν θορύβῳ τὸν λέγοντα.

A+B= 80. *ὑββάλλειν*] ὑποκρούεσθαι θορύβῳ τὸν λέγοντα.

B= 82. *βλάβεται δέ*] βλάπτω βλάβω ὡς κρύπτω κρύβω.

B+ *λιγύς περ ἐών*] κἂν λίαν ὑπάρχῃ σαφής.

B= 83. *ἐνδείξομαι*] εὐμενίσασθαι γὰρ αὐτὸν ταπεινοῖς βούλεται λόγοις.

A~B= ἄλλως: *ἐνδείξομαι*] ἀπερείσω τὸν λόγον· καὶ "ἀριδείκετος," πρὸς ὃν ἀπερείδει τις τὸν λόγον δι᾽ ἀξίωμα.

B= 84. * *σύνθεσθε*] κατὰ νοῦν λάβετε.

B= 85. *τοῦτον—μῦθον ἔειπον*] "τοῦτον" τὸν "ἢ ἄρ τι τόδ᾽ ἀμφοτέροισιν ἄρειον" (56). εὔνοιαν δὲ αὐτοῖς παρ᾽ Ἀχιλλέως πορίζεται ὡς ἀγανακτήσασιν ἐπὶ τῇ ὕβρει αὐτοῦ· ἐλελύπητο γὰρ καὶ εἰς Ἕλληνας ὡς μὴ ἐπαμύναντας τῷ δι᾽ αὐτοὺς ὑβρισθέντι.

B− *Ἀχαιοί—ἔειπον*] Νέστωρ "σὺ δὲ σῷ μεγαλήτορι θυμῷ εἴξας —ὃν ἀθάνατοί περ ἔτισαν, ἠτίμησας" (Il. 9. 109, 111), Θερσίτης "ὃς καὶ νῦν Ἀχιλῆα, ἕο μέγ᾽ ἀμείνονα φῶτα, ἠτίμησεν" (Il. 2. 239, 240), καὶ "οἱ κείνῳ ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλουσιν" (Il. 13. 109).

1. *ἀπειπόντος* textus ‖ 3. supplevi ex textu cod. ‖ 9. *ἢ* ante *μὴ* omisi ut B ‖ 12. *βασιλέων* B ‖ 15. *ὑποκρούεσθαι τὸν λόγον ὡς τὸ* B ‖ 20. *ὑπάρχοι* ‖ *σαφής* scripsi: *σοφός* ut B

Digitized by Google

86. ἐγὼ δ' οὐκ αἴτιός εἰμι] πιθανῶς οὐκ ἐπὶ ὁπότερον αὐτῶν ἄγει τὴν αἰτίαν. καὶ νῦν ⟨γὰρ⟩ οἱ ἀδυνατοῦντες ἀπ' αὐτῆς τῆς ἀληθείας ἀπολογεῖσθαι τῇ εἱμαρμένῃ τὸ ὅλον αἴτιον ἀναφέρουσιν. B=

87. ἠεροφοῖτις] τινὲς τὸ η̄ ἄρθρον ἐδέξαντο, ἵν' ᾖ "ἡ ἐροφοῖτις" παρὰ τὴν ἔραν, ἡ ἐν τῇ γῇ φοιτῶσα· ἢ οἷον ἐρεβοφοῖτις. ἔνιοι δὲ "ἰροπῶτις" παρὰ τὸ Αἰσχύλειον (fr. 447 N.) . . . παρὰ τὸ εἰς ἔριν νεύειν· οἱ δὲ "εἰαροπῶτις," ἐγκειμένου τοῦ εἶαρ, ὅπερ ἐστὶ κατὰ Σαλαμινίους αἷμα· ἄμεινον δὲ γράφειν "ἠεροφοῖτις," ὅ ἐστιν ἡ ἐξ ἀφανοῦς φοιτῶσα. οὕτως Ἡρωδιανός. A~B−

89. ὅτ' Ἀχιλλῆος] ἐκ τοῦ πρὸς αὐτὸν εἰς τὸν περὶ αὐτοῦ. B=

90. ἀλλὰ τί κεν ῥέξαιμι; ⟨θεὸς διὰ πάντα τελευτᾷ⟩] στικτέον ἐπὶ τὸ "ῥέξαιμι" καὶ εἰς τὸ τέλος τοῦ στίχου, ἵν' οὗτος μὲν καθολικὸς ⟨ὁ λόγος⟩ ᾖ 'θεὸς τὸ πάντων ἔχει τέλος,' τὸ δὲ ἑξῆς ἀπ' ἄλλης ἀρχῆς, ἵνα λείπῃ τὸ ἐστίν. A+B= §. τινὲς γράφουσι "θεοὺς διὰ πάντα τέτυκται." A+

θεὸς διὰ πάντα] οὐδεμία λέξις ἁπλῆ κατὰ τὴν Ἰάδα καὶ τὴν Ἀτθίδα κατ' ἐπιπλοκὴν ἔχει τὸ σδ̄. A~

. ἄλλως: θεὸς διὰ πάντα τελευτᾷ] Λεσβοκλῆς διαιρεῖ εἰς τὸν 'δή' σύνδεσμον καὶ τὸ 'ἴα' ὄνομα, ἵν' ᾖ 'μία δὴ θεὸς ἡ Ἄτη τὸ πάντων ἔχει τέλος.' B=

ἄλλως: θεὸς διὰ πάντα] ὁ μὲν Ἀσκαλωνίτης περισσὴν ἡγεῖται τὴν "διά," ὁ δὲ Δίδυμος σημαίνειν τὸ δι' ὅλου, ὡς διαλείτης ὁ διόλου ἁμαρτάνων· ἢ δι' ἑαυτῆς πάντα τελεῖ· Ἑλλάνικος δὲ "θεόσδια" τὰ θεόσδοτα. γράφεται καὶ "θεούς," ἵνα λείπῃ ἡ διά. AB−

91. πρέσβα] κατ' εὐφημισμόν, ὡς Εὐμενίδας τὰς Ἐρινῦς, ἐπεὶ πῶς αὐτὴν οὐλομένη⟨ν καλεῖ⟩ (92); B+

ἄλλως: πρέσβα] ἀπὸ τοῦ πρέσβει⟨ρ⟩α συγκέκοπται. ἢ παράκειται τῷ πρέσβυς. B−

Διὸς θυγάτηρ Ἄτη] ἐπειδὴ πάντων αἴτιος ὁ Ζεύς· συγγνώμην δὲ ἑαυτῷ πορίζόμενος ὡς θεοβλαβεῖ αὔξει τὴν δαίμονα ὡς ὑπὸ μεγίστης θεοῦ βλαπτόμενος, καὶ ἵνα τοὺς ἁμαρτάνοντας μὴ μέμφοιτό τις. B−

ἀᾶται] τινὲς τὸ "ἀᾶται" διῃρῆσθαί φασιν· καὶ προπαροξύνουσιν.

2. γὰρ οἱ B: εἰ ‖ 6. lacunam indicavi ‖ 7. Et. M. ὁ αἱματοπότης 'ἠεροπότης' et ἔαρ ‖ 10. αὐτὸν B: αὐτοὺς ‖ 12. οὗτος B: οὕτως ‖ καθολικὸς AB: καθολικῶς ‖ 13. supplevi ex AB ‖ ᾖ B: ἡ ‖ 14. θεοὺς A: θεὸς ‖ 21. τὸ B cf. A: ὡς ‖ διηλίτης A ‖ 23. γράφεται Ludwich: γράφει ‖ corrupta: ἵνα μὴ παρέλκῃ ἡ διά coni. Ludwich ex A ‖ 25. supplevi ex B ‖ 26. supplevi ex Eust. ‖ 29. ἑαυτῷ B: αὐτῷ ‖ θεοβλαβεῖ B: -ῆ ‖ 31. ἀ post φ.: del W



Digitized by Google

A+ 92. τῇ μέν θ'] Ἀριστοφάνης "τῇ μὲν ⟨θ'⟩·" ἡ κατὰ ἀντίπτωσιν.

B= οὐ γὰρ ἐπ' οὔδει] ἐπὶ οὔδει· οὐδεμία γὰρ βλάβη πίπτει χαμαί, ἀλλ' εἰς κεφαλήν τινος ἀποσκήπτει τὴν ἀτυχίαν.

B= ἁπαλοὶ πόδες] λανθάνει γὰρ ἐπιφοιτῶσα· ἢ ὅτι αἱ πρῶται τῆς Ἄτης ἀρχαὶ ἁπαλαί. ὅταν δὲ εἴπῃ "ἡ δ' Ἄτη σθεναρή τε καὶ ἀρτίπος" (Il. 9. 505), τὴν τοὺς ὑβρίσαντας ἱκέτην μετερχομένην δηλοῖ.

B= 93. κατ' ἀνδρῶν κράατα βαίνει] ἢ ὅτι τὸν νοῦν βλαπτόμεθα, ὅ⟨ς⟩ ἐστιν ἐν τῇ κεφαλῇ· ἢ ὅτι ταπεινοῦσα τῇ μετανοίᾳ.

B= "κατά" ἀντὶ τῆς ἐπί, ἵν' ᾖ ἐπὶ ἀνδρῶν κράατα.

B= 94. κατὰ δ' οὖν ἕτερόν γε πέδησεν] "ἕτερον" τὸν ἕνα τῶν ἐριζόντων. ἢ οὐκ ἐμὲ μόνον ἀλλὰ καὶ ἕτερον.

B= 95. καὶ γὰρ δή—ποτε Ζῆν' ἄσατο] ἐν οἷς ἐλεεινολογεῖται ὑψοῖ ἑαυτόν, εἰκάζων τῷ μεγίστῳ θεῷ· μακρολογεῖ δὲ θεραπεύων Ἀχιλλέα, ὡς οὐκ αὐτὸς αὐτῷ τῆς ἀπωλείας αἴτιος Πατρόκλου· καλῶς δὲ ἐκ Πελοποννήσου τὸ παράδειγμα ἔλαβεν.

A+ Ζῆν' ἄσατο] ἐν ἁπάσαις "Ζεὺς ἄσατο·" ἐν δὲ ταῖς εἰκαιοτέραις "Ζῆν' ἄσατο." §. ἀντὶ τοῦ ἔβλαψεν.

B= 96. φάσ' ἔμμεναι] φασίν· ἄδηλα γὰρ τὰ περὶ θεῶν. ἢ φασιν ὅτ. καὶ τὸν Ζῆνα ἀάσατο, ὅ ἐστιν ἔβλαψεν.

B+ 97. * θῆλυς] ἀσθενεστέρα.

99. ἐυστεφάνῳ ἐνὶ Θήβῃ] παρὰ γὰρ ταῖς Ἠλέκτραις πύλαις ἐτέχθη Ἡρακλῆς.

B= 101. κέκλυτέ μευ] δεόντως εἰς τοῦτο ἦλθε τὸ διήγημα· ὡς γὰρ ἠνιᾶτο Ζεὺς ὁρῶν τὸν Ἡρακλέα ὑποτασσόμενον, οὕτω κἀγώ. πῶς δὲ τὰ παρὰ θεοῖς οἶδε γινόμενα; ῥητέον δὲ ὅτι κοινὸν ὄντα τὸν μῦθον παρείληφεν.

B= 103. μογοστόκος] ἡ παραιρουμένη τὸν μόγον τῶν τοκετῶν.

B+ 104. ἐκφανεῖ] ἐξάξει· φησὶ γὰρ "ἐκ δ' ἄγαγε πρὸ φόωσδε" (118).

B= 105. οἵ θ' αἵματος] μεγάλη παραίνεσις πρὸς τὸ μὴ ἐπιορκεῖν, εἴγε καὶ ἀμφιβόλου ὄντος ⟨τοῦ⟩ 'ἐξ ἐμεῦ αἵματος'—δηλοῖ γὰρ καὶ υἱοὺς καὶ ἀπογόνους—οὐ παρέβη ὁ Ζεὺς τὸ ἐπάγγελμα.

1. suppl. W ex A ‖ 6. ἀρτίπους ut B ‖ ἱκέτην B : -ιν ‖ 9. supplevi ex B ‖ 11, 12. ἐριζόντων Eust. : παροργισάντων B, ὀριζόντων ‖ 13. ἀάσατο ‖ 22. Ἠλεκτραίαις : corr. W ‖ 24. μοι in lemmate ‖ 32. supplevi ex B ‖ γὰρ B: δὲ ‖ 33. δὲ ante ὁ omisi ut B

Digitized by Google

αἵματος ἐξ ἐμεῦ] μεταφορικῶς ἀντὶ τοῦ 'γένους'—φησὶ γοῦν "τοὔνεκ' ἀναίμονές εἰσιν" (Il. 5. 342)—ἢ 'οἵτινες αἷμά μου εἰσίν.' B+

107. ψευστήσεις] ὑφ' ἓν Ἀρίσταρχος ἀντικειμένως τῷ ἀληθεύσεις· ἄτοπον γὰρ τὸ διαιρεῖν "ψεύστης εἶς."

ἄλλως: ψευστήσεις] ψεύσεις· ἄτοπον γὰρ λέγειν Διὶ 'ψεύστης εἶ⟨ς⟩.'

ἄλλως: ψευστήσεις] εἰκότως ψεῦδεσθαι αὐτόν φησιν ἐρεθίζουσα ἐπὶ τὸν ὅρκον. B=

108. εἰ δ' ἄγε νῦν μοι ὄμο⟨σ⟩σον] διὰ τί μὴ νεῦσαι αὐτὸν κελεύει; "οὐδ' ἀτελεύτητον ⟨ὅτι κεν κεφαλῇ κατανεύσω" (Il. 1.527)⟩· ἤ, ὡς φοβουμένη μὴ μεταθῇ, ἐπὶ τὸ ἰσχυρότερον ἔρχεται. A+B−

110. μετὰ ποσ⟨σ⟩ὶ γυναικός] μεταξὺ τῶν ποδῶν. εὐσχημόνως δὲ καὶ σοφῶς ἀνήνεγκε τὴν λοχείαν. B=

115. Ἀχαιικόν] τὸ ἐν Πελοποννήσῳ, ὃ καὶ "Ἴασον" (Od. 18.246) καὶ "ἱππόβοτον" καλεῖ. A−

116. ἄλοχον Σθενέλου] οἱ μὲν Ἀμφιβίαν τὴν Πέλοπος, οἱ δὲ Ἀντιβίαν τὴν Ἀμφιδάμαντος, Ἡσίοδος δὲ (fr. 111 M.) Νικίππην φησὶ τὴν Πέλοπος. A+

Σθενέλου Περσηιάδαο] πέντε παῖδες γεγόνασι Περσέως καὶ Ἀνδρομέδας· Ἀλκαῖος, οὗ καὶ Λαονόμης ἢ Ἀστυδαμείας τῆς Πέλοπος Ἀμφιτρύων· Ἠλεκτρύων, οὗ καὶ Λυσιδίκης τῆς Πέλοπος Ἀλκμήνη· Ἕλος, ἀφ' οὗ πόλις τῆς Λακωνικῆς Ἕλος· Μήστωρ, οὗ Ἱπποθόη ἡ Πτερελάῳ γαμηθεῖσα· Σθένελος, οὗ καὶ Μενίππης Εὐρυσθεύς. B−

117. μείς] Ἰωνικόν ἐστιν· κλίνεται δὲ ὡς τὸ μήν. A+B=

118. ἐκ δ' ἄγαγε πρὸ φόωσδε] ἡ "πρό" δηλοῖ τὸ 'πρὸ τοῦ δέοντος.'

ἠλιτόμηνον] τῶν δεόντων ἡμαρτηκότα μηνῶν. A+

119. σχέθε δ' Εἰλειθυίας] ὠδῖνας, κατὰ μετωνυμίαν, ὡς Ἄρης ὁ σίδηρος Ἥφαιστος τὸ πῦρ. §. Ἴστρος δέ φησιν, ὠδινούσης Ἀλκμήνης τὰς χεῖρας συνσχεῖν τὰς Μοίρας, γαλῆς δὲ παρελθούσης ἀναλῦσαι· καὶ τεχθέντος αὐτοῦ νομισθῆναι Γαλῆν εἶναι αὐτῷ τροφόν. A+B=

120. ἀγγελέουσα] μέλλουσα ἀπαγγέλλειν τὰ γεγονότα. B=

5. ψ. ἧς ‖ 10. τί B: γὰρ ‖ 11. suppl. W ex A ‖ 12. μετατεθῇ ut B: corr. W ‖ 14. ἀνήνεγκε B: μετήνεγκε ‖ 23. Ἕλος prius scripsi, ἕλειος B: ἕλλας Apollod. II 4, 5, αἴλιος ‖ Ἕλος scripsi: ἧλος ‖ 28. iteratur Εἰλειθυίας] ὠδῖνας, μετωνυμικῶς ‖ 30. συνέχειν: corr. W ‖ ἀπολῦσαι ‖ 31. Galanthis Ovid. Met. IX 307, Γαλινθιάς Nicander apud Ant. Lib. 29



Digitized by Google

123. *Σθενέλοιο πάις*] δῆλον ἐκ τούτου, ὡς περὶ ἰδιώτου τοῦ Σθενέλου διηγεῖται, ἐπεὶ τί παράδοξον ἦν πατρῴαν ἀρχὴν λαβεῖν τὸν Εὐρυσθέα; ταὐτὸν δὲ καὶ ἐπὶ Ἡρακλέους παρακολουθεῖ· οὐ γὰρ βασιλέως παῖς ἦν, ἀλλὰ διὰ τὸν Δία ἐβασίλευσεν ἄν.

A + B = Περσηϊάδαο] *βέλτιον στίζειν εἰς τὸ* "Περσηϊάδαο" *καὶ καθ' ἑαυτὸ τὸ* "*σὸν γένος*" *ἐᾶν, ἵνα λείπῃ τὸ ἐστίν.*

B = 126. *κεφαλῆς λιπαροπλοκάμοιο*] οἱ μὲν 'ἀπὸ τῆς ἑαυτοῦ κεφαλῆς τῆς λιπαροπλοκάμου εἷλε τὴν Ἄτην' φησὶ γοῦν (93) "κράατα βαίνει." ἀλλ' οὐδέποτε πλοκάμους ἐπὶ ἀνδρὸς εἶπεν· τί οὖν ἐστι τὸ "πλοχμοί θ', οἳ χρυσῷ τε" (Il. 17. 52); οἱ δὲ τὸ "κεφαλῆς λιπαροπλοκάμοιο" ἐπὶ τῆς Ἄτης ἤκουσαν· ἀλλ' οὐδέποτε ἐκ κεφαλῆς ῥιπτοῦνται παρ' Ὁμήρῳ, ἀλλ' ἢ ποδὸς ὡς Ἥφαιστος (Il. 1. 591), ἢ χειρὸς ὡς Ἀστυάναξ (Il. 24. 735), "ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου." ἐροῦμεν δὲ ὅτι ἐκεῖνοι ἄρσενες ἦσαν· ἄτοπον δὲ γυναικὶ ῥίπτεσθαι ποδός. λιπαροπλόκαμος δὲ ἡ Ἄτη, ὅτι ξηρασίας αἰτία τοῖς βλαπτομένοις, ὡς καὶ ὁ Ὕπνος γρηγορῶν τοὺς ἄλλους ὑπνοῦν ποιεῖ.

B = 131. *τάχα δ' ἵκετο ἔργ' ἀνθρώπων*] τὴν γῆν· ταύτην γὰρ ἐργά-
B = ζονται οἱ ἄνθρωποι. §. εἰς Ἴλιον δὲ ἠνέχθαι φασίν, ἀφ' οὗ καὶ Ἄτης λόφος.

B = 132. *τὴν αἰεὶ στενάχεσκε*] δι' ἥν. ἐπαινετέον δὲ τὸ ἀψευδὲς Διὸς καὶ ἀμετάβλητον· οὐ γὰρ εἶπεν ὡς Εὐριπίδης (Hipp. 612) "ἡ γλῶσσ' ὀμώμοκε."

133. * *ἔργον ἀεικές*] πρᾶξιν ὑβριστικήν.

*ἀέθλων*] καμάτων· εἰσὶ δὲ καθ' Ὅμηρον Κέρβερος (Il. 8. 368, Od. 11. 623) καὶ οἱ Λαομέδοντος ἵπποι (Il. 5. 640).

B = 139. *καὶ ἄλλους ὄρνυθι* ⟨—λαούς⟩] ἢ σύμπαντας—ἀποδίδωσι γὰρ αὐτῷ πάλιν τὴν στρατηγίαν—ἢ τοὺς Μυρμιδόνας πάντας.

B = 140. *παρασχεῖν*] ἀντὶ τοῦ παράσχω· ἢ λείπει τὸ 'ἕτοιμός
B = εἰμι.' §. μεγαλοφρόνως δὲ καίτοι αὐτοματίζοντι Ἀχιλλεῖ δίδωσι
B = δῶρα.

141. *χθιζὸς ἐνὶ κλισίῃσιν*] τῇ νυκτὶ τῆς χθὲς ἡμέρας· οὐ γὰρ ἄλλως τὸ χθὲς συμφωνήσει. φαίνεται οὖν εἰδὼς προϋποστᾶσαν τὴν νύκτα τῆς ἡμέρας.

3. παρηκολούθει ‖ 13. ἔχων ut B ‖ 14. ἄρρενες B ‖ 29. παράσχω B : παρέχω

Digitized by Google

142. ἐπειγόμενός περ Ἄρηος] ἀπὸ τοῦ πολέμου, ἢ εἰς Ἄρηα B= ἐπειγόμενος.

143. θεράποντες] οὐδαμοῦ τῆς Ἰλιάδος θεράποντας καλεῖ τοὺς B= δούλους, ἀλλὰ τοὺς ὑποδεεστέρους καὶ ὑπηρετικοὺς τῶν φίλων.

144. οἴσουσι] συλληπτικῶς· τὰ γὰρ ἔμψυχα οὐ φέρονται, B= ἀλλὰ ἄγονται.

* ὅ τοι μενοεικέα δώσω] ὅτι ἀρεστὰ δώσω.

147. δῶρα μέν] ὑποστικτέον εἰς τὸ "ἐθέλῃσθα," τοῦ "παρα- B= σχέμεν" ἀντὶ τοῦ παράσχε κειμένου καὶ τοῦ "ἐχέμεν" (148) ἀντὶ τοῦ ἔχε. §. ἡ δὲ "πάρα" (148) παροξυνομένη σημαίνει τὸ πάρεστιν. B= §. ὑποστικτέον μετὰ τὸ "ἐπιεικές" καὶ μετὰ τὸ "ἐχέμεν·" τε- B– λειώσεις δὲ εἰς τὸ "πάρα σοι" ἀντὶ τοῦ 'πάρεστί σοι.'

παρασχέμεν] ἀντὶ προστακτικοῦ τοῦ 'παράσχες·' τινὲς δὲ "πάρα σοι" ἀντὶ ⟨τοῦ⟩ πάρεστί σοι. §. καλῶς δέ φησι καὶ δέχεσθαι B= τὰ δῶρα, ἵνα μὴ εὐτελίζειν αὐτὰ δοκῇ, καὶ συγχωρεῖν, ὅπως μὴ ἐπὶ μισθῷ πολεμεῖν, ἐπὶ δὲ ἐκδικήσει τοῦ φίλου.

149. κλοτοπεύειν] τινὲς καλολογεῖν, οἱονεὶ κλυτοπεύειν. ἢ κλέπ- B= τειν τὴν μάχην.

150. ἔτι γὰρ μέγα ἔργον ἄρεκτον] τὸ ἀναιρεθῆναι τὸν Ἕκτορα B= καὶ δίκην λαβεῖν ὑπὲρ Πατρόκλου.

151. ὥς κε τις αὖτ' Ἀχιλῆα] ὅπως ἂν ἐμέ, ὡς τὸ "Ζῆν', ὕπατον B– μήστωρα" (Il. 8. 22)· ἠθικῶς δὲ ἑαυτὸν ὀνομάζει· ἐμέ, φησίν, Ἀχιλλέα, ὃν οὐ προσεδόκων οἱ Τρῶες φανήσεσθαι.

152. ὀλέκοντα φάλαγγας] ὑποστικτέον εἰς τὸ "φάλαγγας." B= §. ὁ δὲ λόγος, ὡς ἂν θεάσηται Ἀχιλλέα μαχόμενον, οὕτω καὶ αὐτὸς μαχέσθω.

153. ὧδέ τις ὑμείων] οὕτω δέ τις ὑμῶν μαχέσθω, ὡς ἂν B= ἐμὲ ἴδοι Τρώων ὀλέκοντα φάλαγγας, μεμνημένος τοῦ μιμεῖσθαί με.

154. προσέφη πολύμητις Ὀδυσσεύς] Νέστωρ σιωπᾷ· ὕποπτος B= γάρ ἐστι τῷ Ἀχιλλεῖ διὰ τὸν θάνατον Πατρόκλου.

156. νήστιας ὄτρυνε] οὐ δι' ἑαυτόν· συμπάρεστι γοῦν αὐτῷ B= ἀσιτῶν. ἐπαίρει δὲ Ἀχιλλέα προτάσσων τὸν ἔπαινον (155). καὶ ὃ μὲν

10. εἰ δὲ B ‖ 13. πάρασχε ut B ‖ 16. πολεμεῖν B: πολεμοίη ‖ 17. κλυτεπεύειν posterius B ‖ 21. καί τις αὖτ' Ἀχιλλῆα ‖ 25. ὃς ἂν ‖ 26. μαχέσθω Athous: θεάσθω ‖ 27. ὧδε δέ τις ‖ 28. οὖν post μεμν. del. W ut B ‖ 32. ὤτρυνεν

Digitized by Google

ὡς ὀργιζόμενος οὐ συνορᾷ, ὁ δὲ καθεστηκὼς σκοπεῖ τὸ εὖ ἔχον. ἔστι δὲ παρρησιαστικὸς καὶ φίλος αὐτῷ.

B= 157. ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔσται φύλοπις] ἐπαγωγῶς συμβουλεύει τῇ προθυμίᾳ τοῦ σπεύδοντος, καὶ ὃν νῦν δοκεῖ καταργεῖν χρόνον ὕστερον ἀπολήψεσθαι φάσκει αὐτὸν ἐν τῇ παρατάσει τῆς μάχης.

161. μένος ἐστὶ καὶ ἀλκή] "μένος" ὑπομονή, "ἀλκή" ἀλέξησις.

B= 163. ἄκμηνος ⟨σίτοιο⟩] ἄγευστος, παρὰ τὴν ἀκμήν· οὕτω δὲ τὴν ἀσιτίαν Αἰολεῖς λέγουσιν. τινὲς δὲ 'μὴ καμὼν ἐν παρασκευῇ ἀρίστου.' οἱ δὲ 'ἀκμάζων ἐν ἀσιτίᾳ.' ἢ ὁ χωρὶς ἰκμάδος, ὁ ξηρός.

B– 165. λάθρῃ γυῖα βαρύνεται] ἀντὶ τοῦ 'κατ' ὀλίγον ἐπέρχεται ὁ κάματος.'

γυῖα βαρύνεται] ἔνια τῶν ὀνομάτων ἀναμίλλητά ἐστι τῷ ποιητῇ καὶ τὴν σημασίαν ἐναργεστάτην ἔχοντα, ὡς κἀνθάδε βαρύνεσθαί φησι τὰ γυῖα.

B= 166. * δίψα] Ἴωνες· Ἀττικοὶ δίψος λέγουσιν.

B= 167. οἴνοιο κορεσσάμενος] καὶ ὁ Πλάτων ἐν τοῖς Νόμοις (I c. 15 p. 649$^{b}$) φησὶ πιόντα τὸν ἄνθρωπον ἱλεώτερον ἢ πρότερον γίνεσθαι ἀγαθῶν τε ἐλπίδων καὶ δυνάμεως πληροῦσθαι παρρησίας τε μεστοῦσθαι καὶ ἐλευθερίας, πάσης δὲ ἀφοβίας, ὡς πρᾶξαι ἀόκνως. καὶ Λακεδαιμόνιοι δὲ τὸν ἄκρατον πίνοντες ὁπλίζονται.

B= 170. πρὶν πάντας ἐρωῆσαι] πρὶν παύσασθαι τῆς μάχης
B= ἅπαντας. §. οἱ δὲ παροξύνουσι τὸ "ἐρωῆσαι" ἀντὶ τοῦ ἐρωήσειεν.

B= 171. λαὸν—σκέδασον] πάλιν ἠθικῶς ἐπ' ἐκείνῳ τὴν ἐξουσίαν καταλείπει τοῦ κελεῦσαι, ὡς ἂν μὴ δοκῇ ἐξ ἐπιτάγματος τούτου συγχωρεῖν, ἀλλ' ἑκουσίως πεισθεὶς ὁ Ἀχιλλεύς.

B= ἄνωχθι] καὶ τοῦτο εὐπρεπῶς· οὐ γὰρ ἀντιλέγει καθάπαξ ἀλλὰ τὰ τοῦ συμβούλου πράττει, τὴν μὲν ἐξουσίαν τοῦ παντὸς ἀπονέμων Ἀχιλλεῖ, παρακαλῶν δὲ ⟨δείπνου⟩ ἐπιμεληθῆναι τοῖς στρατιώταις ἐπιτρέψαι.

B= 172. ὅπλεσθαι] ἐκ τοῦ ὁπλέεσθαι συγκέκοπται· φησὶ γὰρ "ὅπλεον" (Od. 6. 73) ἀντὶ τοῦ ἡτοίμαζον.

B= τὰ δὲ δῶρα—οἰσέτω] εἰκότως περὶ τῶν δώρων ὑφηγεῖται, τὸ κεκρυμμένον ὑπ' ἀμφοτέρων σαφηνίσαι βουλόμενος· αὐτὸς γὰρ πρεσβευ-

5. φάσκει B: -ειν ‖ 8. καμὼν ἐν παρασκευῇ Eust.: παραβαλὼν ἐν ἀκμῇ ut B ‖ 15. καὶ ante 'A. del. W ut B ‖ 18, 19. μεστοῦται ‖ 19. δὲ Platonis codd.: καὶ B, τε ‖ ὥστε Platonis codd. ‖ 24. δοκοίη B ‖ τούτου B: τοῦ ‖ 26. τοῦτο εὐπρεπῶς B: οὕτως ἀπρεπῶς ‖ 30. ὤπλεον B

Digitized by Google

σάμενος σπεύδει δι' ἑαυτοῦ ἀποδοθῆναι αὐτά. ἢ καὶ εἰδὼς αὐτὸν φιλοῦντα Βρισηίδα διὰ προφάσεως αὐτὴν ⟨ἀν⟩άγει.

174. σὺ δὲ φρεσὶ σῇσιν ἰανθῇς] γενναίως ⟨χρῆται⟩ τῷ διανοή- B= ματι· οὐ γὰρ ἔφη, ὡς ἂν πλουσιώτερος γένῃ, ἀλλὰ τὸ τῆς τιμῆς προβάλλεται. §. τὸ δὲ "ἰανθῇς" διὰ τὴν τιμήν. τούτῳ τῷ διανοή- B+ ματι ἁρμόττει καὶ τὸ "ἵνα πάντες Ἀχαιοὶ ὀφθαλμοῖσιν ἴδωσιν." ἡδὺ γὰρ τὸ ἐπὶ πολλῶν φαίνεσθαι τιμώμενον.

175. ὀμνυέτω δέ τοι ὅρκον] καὶ τὸ τὸν Ἀγαμέμνονα ἀρχόμενον B= τοῦ λόγου τοῦτο προσθεῖναι μειρακιῶδες ἂν ἐφάνη, καὶ ⟨τὸ⟩ τὸν Ἀχιλλέα τοῦτο ἀπαιτεῖν ἀναίσχυντον καὶ τῷ καιρῷ οὐχ ἁρμόττον κειμένου Πατρόκλου περὶ τῆς παλλακίδος ἀκριβολογεῖσθαι. ἄκρως οὖν ὁ διαλλακτὴς τὸ παρ' ἀμφοτέρων σιωπηθὲν ἐξελέγχει, καὶ διὰ τῶν ὅρκων πεῖσαι τὸν Ἀχιλλέα σπουδάζων· μέμνηται γὰρ ὧν πρὸς τὴν πρεσβείαν ἔλεγεν Ἀχιλλεὺς "τῇ παριαύων τερπέσθω" (Il. 9. 336, 7). ὅτι δὲ καὶ Ἀγαμέμνων ἑτοίμως εἶχεν ὀμόσαι, δῆλον ἐξ ὧν ὑπισχνεῖται τοὺς πρέσβεις ἐκπέμπων "μετὰ δ' ἔσσεται ἣν ποτ' ἀπηύρων κούρην Βρισῆος, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι μήποτε τῆς εὐνῆς ἐπιβήμεναι" (ib. 131, 2). καλῶς οὖν συνιστὰς αὐτοῦ τὴν σωφροσύνην ἐπὶ τοῦ στρατοῦ φησιν "ὀμνυέτω δέ τοι ὅρκον." ὅθεν καὶ ὁ βασιλεύς φησι "χαίρω σεῦ, Λαερτιάδη, τὸν μῦθον ἀκούσας" (185).

179. δαιτὶ—πιείρῃ] πρὸς τὸ μὴ ἄσιτον αὐτὸν ἐξελθεῖν. σεμνοποιεῖ B= δὲ τὴν τροφήν, βασιλικὴν ἑστίασιν αὐτὴν καλῶν.

180. ἵνα μή τι δίκης] τοῦ δικαίου· ἵνα μηδὲν ἐνδέῃ σοι τῶν B= δικαίων. τὰ δῶρα (172) διὰ τὴν ἄμυναν, ὅρκον (175) διὰ τὴν ἐρωμένην, ἑστίασιν (179) διὰ τὴν ὕβριν.

183. * "ὅτε τις" ἀπὸ κοινοῦ βασιλεύς.

χαλεπήνῃ] χαλεπότητος καὶ ἀδικίας ἄρξῃ· θαρρούντως ταῦτά B= φησιν Ὀδυσσεύς, ὅτι πολλάκις ἀκήκοεν Ἀγαμέμνονος "ἐγὼ δ' ἦρχον χαλεπαίνων" (Il. 2. 378).

188. πρὸς δαίμονος] κατά· ὡς ὁρκίζοντές φαμεν 'πρὸς Διός.'

190. ὄφρα κε] ἀνταπέδωκε τῷ "τέως" (189) τὸ "ὄφρα."

193. * κούρητας] νέους ἔτι κομῶντας.

1. ἑαυτοῦ B: αὐτοῦ ‖ 2. suppl. W ‖ 3. supplevi ex B ‖ 9. τοῦ λόγου B: τῶν λόγων ‖ supplevi ex B ‖ 10. τῷ B: οἷῳ ‖ 13. ὅρκων W: ὅπλων ‖ 23, 24. τοῦ δικαίου B ‖ 26. ὅτε τις scripsi: ὅτι πᾶς ‖ 27. ἄρξῃ B: ἄρξει

Digitized by Google

194. ἐνεικέμεν] "ἐνεικέμεν" τὰ οἰστέα. "ἀγέμεν" (195) δὲ ⟨τὰς⟩ γυναῖκας.

ἄλλως: ἐνεικέμεν] ὡς λαβέμεν· παρὰ τὴν ἐνείκων μετοχὴν καὶ ῥῆμα τὸ ἐνείκω.

B= 197. κάπρον] περὶ ἀφροδισίων ὀμνὺς κάπρον θύει, ἢ ὡς μὴ ἐγνωσμένου τοῖς Ἕλλησι τοῦ περὶ Ἀδώνιδος μύθου, ἢ ὅτι περὶ τοῦ μὴ συγγεγονέναι ὄμνυσι, θύει τὸ ἐναντίον. πρὸς δὲ τὰ ὅρκια τρισὶν ἐχρῶντο Ἀττικοί, κάπρῳ κριῷ ταύρῳ.

B= ταμέειν] λείπει τὸ ὥστε. τῶν δὲ ὁρκίων ἐτέμνοντο τοὺς λαιμούς· ὅθεν καὶ ὁρκιοτομεῖν ἔλεγον.

B= 201. * "μετά" μετὰ ταῦτα.

B= 202. * μένος—ἧσιν] ὀργὴ κατὰ τῶν πολεμίων ὑπάρχῃ.

B= 203. οἳ μὲν κέαται] ἵνα μὴ δοκῇ διὰ Πάτροκλον μόνον πολεμεῖν, κοινοποιεῖ τὸν λόγον.

B= 205. * ὀτρύνετον] πρὸς Ὀδυσσέα καὶ Ἀγαμέμνονα.

B= 207. νήστιας ἀκμήνους] νῆστις μὲν ὁ οὐ πάντως λιμώσσων, ἄκμηνος δὲ ὁ εἰς ἀκμὴν ἥκων τοῦ πεινῆν.

B+ 208. μετὰ δόρπον] "μέγα" τὸ μετὰ εὐφροσύνης. οἳ δὲ γράφουσι "μετά" ἀντὶ τοῦ 'μετὰ τὸ νικῆσαι.'

B+ * τισαίμεθα] ἐκπράξαιμεν.

B= 209. οὔ πως ἂν ἔμοι γε] εἰ καὶ ὑμῖν, ἀλλ' οὐκ ἐμοί.

κατὰ λαιμὸν ἰείη] ψιλῶς· καὶ παράκειται τὸ ἰέναι ἀπαρέμφατον.

212. κεῖται ἀνὰ πρόθυρον] τὸ μέγεθος ἐνέφηνε τοῦ Πατρόκλου, ὡς "κεῖτ' ἔντοσθ' ἄντροιο" (Od. 9. 298).

B= ἀνὰ πρόθυρον τετραμμένος] πρὸς τὴν θύραν ὁρῶν, ὡς ἔθους ὄντος τούτου. προὐτίθεσαν δὲ αὐτούς, εἶτα ἔθαπτον, εἶτα ἐτυμβοχόουν, εἶτα ἐκτέριζον.

B= 216. ὦ Ἀχιλεῦ] ἤρξατο μέν, ὡς ἄν τις μάλιστα θεραπεύσειε νέον φιλότιμον, προεπαινέσας δὲ ἀνεπιφθόνως ἑαυτῷ ἀποδίδωσι τὰ τῆς φρονήσεως, διὰ γῆρας τοῦτο φάσκων ἔχειν, ᾧ εἴξειεν ⟨ἂν⟩ νεώτερος ἐλπίδι τοῦ ἔσεσθαι συνετώτερος γεγηρακώς.

B− 218. νοήματί γε προβαλοίμην] διαβόητος ἡ διαστολὴ καὶ ἀναφέρεται εἰς Ἀριστοκλέα· ἀπρεπὲς γὰρ δοκεῖ ⟨αὐτῷ⟩ τὸ "πολλόν"

2. suppl. W ‖ 7. θύων B, θύειν ‖ 12. ὑπάρχῃ B D: -ει ‖ 17. πεινῆν sec. ut B: πίνειν pr. ‖ 18. μέγα τὸ scripsi: μετὰ τὸ ut B ‖ 30. ᾧ εἴξειεν ⟨ἂν⟩ scripsi: ὃ ἕξει γε ‖ 30, 31. ᾧ εἶξε γενναιότερος B ‖ 33. supplevi ex B

Digitized by Google

(219) συνάπτειν τοῖς ἡγουμένοις. ἐμοὶ μέντοι οὐδεμίαν ἀπρέπειαν ἐμφαίνειν δοκεῖ· τὴν γὰρ ἐναντίαν ἀρετὴν ἀπένειμεν Ὀδυσσεὺς Ἀχιλλεῖ. ὡς γὰρ τῷ “κρείσσων εἷς ἐμέθεν καὶ φέρτερος” (217) πρόσκειται τὸ “οὐκ ὀλίγον περ,” οὕτω κἀνθάδε τὸ “πολλόν.” βέλτιον οὖν τοῖς ἄλλοις συνάπτειν αὐτό, ἵν’ ᾖ ὅμοιον τῷ “ἀλλ’ ὃ μὲν ἂρ μύθοισιν, ὃ δ’ ἔγχεϊ πολλὸν ἐνίκα” (Il. 18. 252)· ἀπὸ κοινοῦ γὰρ τὸ “πολλόν.” ἄλλοι τινες “πολλὸν ἐπεὶ πρότερος ⟨γενόμην⟩,” ἀντὶ τοῦ ‘ἐπειδὴ πολὺ πρότερος ἐγενόμην,’ ἵνα μὴ παροξύνηται Ἀχιλλεύς. ἀλλ’ ἀεὶ ἄρχει ⟨τὸ⟩ “ἐπεὶ” παρ’ Ὁμήρῳ καὶ τὸ “πολλόν” ὑποτάσσεται αὐτῷ· “ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν” (Il. 5. 636)· “ἐπειὴ μάλα πολλὰ μεταξύ” (Il. 1. 156).

219. πλείονα οἶδα] καὶ αὐτός φησιν “ἀγορῇ δέ τ’ ἀμείνονές εἰσι καὶ ἄλλοι” (Il. 18. 106).

220. μύθοισιν ἐμοῖσιν] τοῖς ἀπὸ τῶν λόγων προστασσομένοις B= ἔργοις.

221. αἶψά τε φυλόπιδος] ὁ τρόπος μικτὴ ἀλληγορία· εἰ γὰρ B= εἶπε ‘ταμίης καρποῖο τέτυκται’ (224), τελεία ⟨ἂν⟩ ἦν ἀλληγορία. ἄμητος δέ ἐστιν ὁ καιρὸς τοῦ ἀμᾶν, βαρυτόνως, ὡς καὶ παρ’ Ἡσιόδῳ “ἄρχεσθ’ ἀμήτοιο” (Opp. 382)· ὀξύνεται δὲ αὐτὸς ὁ καρπός. ὁ δὲ νοῦς, τροπῆς γενομένης ὀλίγον χρόνον διώξαντες πολλὰ καταβαλοῦμεν τῶν πολεμίων σώματα.

222. * καλάμην] τοὺς νεκρούς. B=

223. ἐπὴν κλίνῃσι τάλαντα] ὅταν κλῖμα γένηται τῆς μάχης, B− ἐν ὀλίγῳ χρόνῳ πολλοὶ πεσοῦνται.

226. ἐπήτριμοι] ἀπὸ τῶν ἐν τοῖς ὕφεσιν ἐπαλλήλων στημόνων, B= ἃ ἤτρια καλεῖται καὶ ἕτερα ἐφ’ ἑτέροις ἐστίν.

228. κατθάπτειν] ἀντὶ τοῦ καίειν. καὶ ἡ Πατρόκλου ψυχὴ ὅτε B− φησὶ “θάπτε με ὅτ⟨τ⟩ι τάχιστα” (Il. 23. 71), ἀντὶ τοῦ καῖέ με· καὶ “φιτροὺς δ’ αἶψα ταμόντες—θάπτομεν ἀχνύμενοι” (Od. 12. 11). οὐ πάντα δὲ λέγει νεκρόν, ἀλλὰ τοὺς ἐν πολέμῳ.

229. ἤματι] τῇ ἡμέρᾳ τῆς ταφῆς. ταῦτα δὲ πρὸς παραμυθίαν B=

3. εἷς B: ἧς ‖ 4. περ B: γε ‖ 7. ἀλλά τινες B ‖ 9. supplevi ex B ‖ ἐπεὶ παρ’ Ὁ. B: παρ’ Ὁ. ἐπεὶ ‖ 10. ἐκείνων B ‖ 19. καρπὸς etiam B Athous: θερισμὸς Hesych. s. v. ‖ 25. ἐπήτριμμοι ‖ 27. ψυχὴ B: φησὶν ‖ 28. supplevi ex B ‖ 30. iteratur * ‖ δὲ om. schol. alt. ‖ νεκρὸν λέγει schol. alt. ‖ τὸν ἐν schol. alt.

Digitized by Google

B= τὴν ἐπὶ Πατρόκλῳ φησίν. §. βραχὺ δὲ διασταλτέον ἐπὶ τὸ "ἔχοντας."

B= 231. μεμνῆσθαι πόσιος] τοσοῦτον εἰς ἀρετὴν ὁ ποιητὴς ὁρᾷ, ὅτι καὶ τὴν ἀναγκαίαν τροφὴν ταύτης ἕνεκα δεῖν προσφέρεσθαί φησιν.

B= 233, 4. μηδέ τις ἄλλην λαῶν ὀτρυντύν] μή τις τῶν λαῶν τὴν ἐξ ἑτέρου ὀτρυντὺν ἐκδεχέσθω, ἀλλ' αὐτοκέλευστος ἐξίτω. ἔστι δὲ ἡ λέξις Ἀντιμάχειος· καὶ Ἐρατοσθένης χαίρει ταῖς τοιαύταις ἐκφοραῖς· "πολλὴ ἀντιμαχητύς" (fr. 36 H.)

B– 235. κακὸν ἔσσεται] "κακόν" ἐκείνῳ τῷ περιμένοντι. ποῖον κακόν; "οὔ οἱ ἔπειτα ἄρκιον ἐσ⟨σ⟩εῖται φυγέειν κύνας" (Il. 2. 392, 3).

B= 238. ὀπάσσατο] διὰ φωνῆς ἐπέκρινε, παρὰ τὴν ὄπα· ἢ ὀπαδοὺς ἔλαβεν. ἢ δι' ὀφθαλμῶν ἐπελέξατο, παρὰ τοὺς ὦπας.

240. Λυκομήδεα] Κρὴς ὁ Λυκομήδης, ὥς φησιν Ἡσίοδος (fr. 109 M.) καταλέγων τοὺς μνηστῆρας Ἑλένης.

B= 245. ἀμύμονα] κρεῖσσον τῶν ἔργων ἐστὶ τὸ ἐπίθετον.

246. ἑπτ'⟨, ἀτὰρ ὀγδοάτην⟩] Ζηνόδοτος "ἕξ, ἀτὰρ ἑβδομάτην," τοῦ ποιητοῦ λέγοντος "δώσω δ' ἑπτὰ γυναῖκας—Λεσβίδας" (Il. 9. 128)· ἡ δὲ Βρισηὶς Λυρνησὶς ἦν.

250. θεῷ ἐναλίγκιος] ἢ τῷ Ἑρμῇ—οὗτος γὰρ θεὸς κηρύκων—ἢ ἀκαταπόνητος τὴν φωνήν.

B= 252. χείρεσσι μάχαιραν] τῇ μὲν γὰρ λαιᾷ ἀντελάβετο τοῦ κουλεοῦ, τῇ δὲ δεξιᾷ τῆς λαβῆς.

B= μάχαιραν] τὴν παραξιφίδα φησὶν ἣν νῦν ζωνομάχαιραν καλοῦμεν.

253. ἄωρτο] ἄωρτο, ἑώργει, εἰώθα. πλεονάζει τὸ ω̄.

B= 254. ἀπὸ τρίχας] ἀπήρχοντο τῶν τριχῶν θεοῖς, ὅτι κοσμοῦσιν ἡμᾶς αἱ τρίχες, ἢ ὅτι ἐσθῆτος εὑρημένης οὐκέτι τετριχωμένοις ἐχρῶντο δέρμασιν.

255. ἐπ' αὐτόφιν εἵατο] τὸ ἑξῆς ἐφείατο αὐτοῦ· ἢ ἐπ' αὐτοῖς, τῷ τε Ἀγαμέμνονι καὶ Ταλθυβίῳ.

B= 257. εὐξάμενος] "εὐχόμενος·" οὐ γὰρ εὔξατο ἤδη.

1. Πατρόκλῳ B: -ου ‖ εἰς τὸ B ‖ 5. τιν' ἄλλων in lemmate ‖ 8. ἀντιμαχιστύς B, -ηστύς coni. Bernhardy ‖ 12. ἐπεσπάσατο π. B ‖ 13. ἐπελέξατο W: προσελάβετο B, ἐπεδείξατο ‖ 17. αὐτὰρ ‖ 23. κουλεοῦ B: κωλεοῦ ‖ 24. παραξιφίδα Cobet: περιξιφίδα ut B ‖ ζωνομάχαιραν B: ζώνην ‖ 26. ἔωρτο alt. ‖ 30. ἐπ' αὐτοῖς scripsi: ἀπ' αὐτοῦ

Digitized by Google

258. ἴστω] μαρτυρείτω, ὅθεν καὶ ἵστωρ ὁ μάρτυς. "ἵστορα δ' B— Ἀτρείδην" (Il. 23. 486).

ἄλλως: ἴστω νῦν] φοβεραὶ αἱ ἀραὶ ζῶντι μὲν κινδύνους ἐπάγουσαι B= ἐκ Διὸς καὶ Ἡλίου, τεθνεῶτι δὲ κολασμὸν ἐξ Ἐρινύων. §. δείκνυσι B= δὲ ὅτι δεινὸν στρατηγῷ ἀκολασίας ψόγος.

259. αἵ θ' ὑπὸ γαῖαν] τινὲς "οἵ τε," ἐπὶ Πλούτωνος καὶ Περσεφόνης.

261. μὴ μὲν ἐγώ] ὡς τὸ "μὴ δι' ἐμὴν ἰότητα" (Il. 15. 41)· "μὴ μὲν τοῖς ἵπποισιν ἀνήρ" (Il. 10. 330).

262. οὔτ' εὐνῆς πρόφασιν] οὔτε κοίτης χάριν, τουτέστι τοῦ B= στρῶσαι, ὑπερβολικῶς· οὐ γὰρ περὶ μίξεως ⟨λέγει⟩.

263. ἀπροτίμαστος] ἀνέπαφος· μάσασθαι γὰρ τὸ ἐφάψασθαι· B— "μάλιστ' ἐσεμάσ⟨σ⟩ατο θυμόν" (Il. 20. 425)· καὶ Εὐφορίων "Μοῦσαι ἐποιήσαντο καὶ ἀπροτίμαστος Ὅμηρος" (fr. 62 M.). οὐ δυσχερὲς ἐφικέσθαι τῆς δυνάμεως.

265. ὅτι σφ' ἀλίτηται ὀμόσ⟨σ⟩ας] ὃς ὀμόσας ⟨εἰς⟩ αὐτοὺς B= ἁμάρτῃ. §. τὸ δὲ "σφέ" ἔσθ' ὅτε καὶ ἐπὶ ἑνικοῦ· "καὶ γάρ σφε πάρος" (Il. 11. 111).

267. πολιῆς ἁλός] λευκῆς ἢ τιμίας ἢ πολλῆς· ὡς γὰρ παρὰ τὸ B— ἔσχατος ἐσχάτη ἐσχατιά—"ἀγροῦ ἐπ' ἐσχατιῆς" Od. 5. 489)—σκοπή σκοπιά—"ἔστην δ' ἐς σκοπιήν" (Od. 10. 97)—οὕτω καὶ παρὰ τὸ πολλός πολλή τὸ διὰ πολλοῦ χρόνου ἐρχόμενον πολιά. μή⟨ποτε⟩ ἀπὸ τοῦ συμβεβηκότος ἐπὶ λευκῆς ἐστιν· ἀλλὰ εἴρηται μέν, ἐπ⟨ε⟩ὶ πολλῷ χρόνῳ ἥκει· ἀπὸ δὲ τούτου τὸ λευκή· οὕτως Ἡρωδιανὸς ἐν ἐπιμερισμῷ τῷ "οὐ ⟨φυτὸν⟩—οὐκ ὄγχνη, οὐ πρασιή τοι" (Od. 24. 246, 7).

* πολιῆς] λευκῆς ἢ πλοΐμης. B=

λαῖτμα] λάταμα τὸ ἔκταμα, ὅ ἐστι 'μέγα κῦμα.' B+

268. βόσιν] ὡς ποτὸν πόσις δοτὸν δόσις, οὕτω βοτὸν βόσις. B=

ἄλλως: βόσιν ἰχθύσιν] παρὰ τὴν ἠιόνα ἄρα ἡ ἐκκλησία. B=

5. στρατηγοῖς B ‖ 11. supplevi ex B ‖ 13. ἐσσεμάσατο ‖ 14. ποιήσαντο coni. Bekker ‖ 15. schol. iteratur ἄλλως: ἀνεπιτίμαστος (corr. ἀπροτ.)] ἀνέπαφος· καὶ "ἀπροτίμαστος Ὅμηρος" ‖ 16. ὅτις σφ' B ‖ 21. δὲ σκοπιήν codd. Od. ‖ 23. suppl. W ex B ‖ 24. supplevi ex B ‖ ἥκει B: ἥκειν ‖ οὕτως W: ὁ ‖ 25. ἐπ. τῶου οὐκ ‖ 28. τί post ἐστὶ omisi ut B ‖ iteratur * λάταμα τὸ στόμα (ἔκταμα corr. W) ‖ 30. τῇ ἠιόνι; cf. B

Digitized by Google

B= 270. Ζεῦ πάτερ] διὰ τὸν ὅρκον πιστεύσας τῇ σωφροσύνῃ τοῦ βασιλέως ἐπὶ θεὸν ἄγει τὴν αἰτίαν τῆς μήνιδος.

B− δίδοισθα] οἱ μὲν βαρύνουσιν ὡς Αἰολικόν—ἀπὸ τοῦ δίδοιμι δίδοις δίδοισθα ὡς τίθησθα—οἱ δὲ περισπῶσιν, ἐπέκτασιν οἰόμενοι· φησὶ γοῦν "πολλὰ διδοῖ" (Il. 9. 519).

B+ 273. ἀμήχανος] τὸ "ἀμήχανος" τῷ ἑξῆς συναπτέον, ἵνα ἐπὶ τοῦ Διὸς ᾖ, πρὸς ὃν οὐδείς τι μηχανήσασθαι δύναται. οἱ δὲ "ἀμήχανον—θάνατον."

B= 276. * λῦσεν δ' ἀγορήν] αὐτὸς γὰρ καὶ ἤγειρεν αὐτήν.

B= αἰψηρήν] ταχέως· λαιψηρὸν δὲ τὸ ἐν χρόνῳ συντόμως γινόμενον.

B~ * αἰψηρήν] ἐπιρρημα⟨τικῶς⟩.

278. δῶρα δὲ Μυρμιδόνες] δεξιῶς πάντα μεμέρισται καὶ ἐπεξεργασίας τετύχηκεν.

B− 279. Ἀχιλλῆος θείοιο] ἢ πρὸς σύστασιν Πατρόκλου θεῖον αὐτὸν λέγοντος (Il. 16. 798)· ἢ πειραθεῖσα διαθέσεως αὐτοῦ ἡ γυνὴ θεῖον αὐτὸν καλεῖ (297), ὡς τὸν Μύνητα (296).

B= 281. ἵππους δ' εἰς ἀγέλην] "ἀγέλην" ἵππων φησὶ τὸ συναχθὲν πλῆθος· οὐ γὰρ ἀζεύκτων ἵππων ἀγέλην ἐπήγετο ὁ Ἀχιλλεύς.

B= ἀγέλην] οὐ φορβάδων ἵππων ἀλλὰ πολεμιστηρίων, ὧν τοὺς ἡνιόχους ἀνεῖλεν. οὐ γὰρ δεδαμασμένους ἤδη μετὰ φορβάδων ἔβαλλον.

B+ 282. Βρισηῒς δ' ἄρ' ἔπειτα] ἐνθάδε μόνον αὐτὴν παρέλαβεν, ὡς καὶ Φοίνικα ἐν τῇ Ι· ἔστι δὲ φίλανδρος, ὡς ἀπὸ τῶν ῥηθησομένων καὶ τοῦ "ἡ δ' ἀέκουσ' ἅμα τοῖσι γυνὴ κίεν" (Il. 1. 348). καὶ οἱ μὲν δημογέροντες περὶ Ἑλένης φασὶν "αἰνῶς ἀθανάτῃσι" (Il. 3. 158), ὁ δὲ ποιητὴς τῇ καλλιστευούσῃ τῶν θεῶν αὐτὴν εἰκάζει. ἐπεὶ γὰρ ἐπ' ἀλλοδαπῆς τέθνηκε Πάτροκλος, ἔνθα μὴ πάρεισι συγγενεῖς γυναῖκες, αἳ λίαν χεῖν δάκρυα φιλοῦσι, χορὸν αἰχμαλωτίδων πεποίηκε θρηνοῦντα ἐξάρχοντος ἐνδόξου προσώπου. ὁ δὲ τόπος μέσου χαρακτῆρος ὑπάρχων τῷ μὲν διηγηματικῷ σεμνῶς πέφρασται καὶ λίαν ἐστὶ γραφικός, τῷ δὲ μιμητικῷ συμπαθὴς καὶ γοερός· τὸ γὰρ τοιοῦτον πρόσωπον τὸ θεαῖς ἐοικός (286), ὑπὲρ οὗ Ἀχιλλεὺς πλείστοις κακοῖς ἐνέβαλε τοὺς ὁμοφύλους, οὗ χάριν ἀρνεῖται γάμον βασιλίδος (Il. 9.

1. τοῦ ὅρκου; cf. B ‖ 14. cf. B ad v. 297 ‖ Ἀχιλλέως ante Π. del. W ‖ 17. ἵππων scripsi: ἵππους ‖ 24. τοῦ B: τούτου ‖ 26. ταύτην B ‖ 28. μάλιστα κινεῖν B ‖ 32. ὑπὲρ scripsi: περὶ ut B

Digitized by Google

388), ποῖον οὐκ ἂν οἶκτον κινήσειεν ἐλεεινὰς προϊέμενον φωνὰς καὶ πηγὰς δακρύων τά τε κάλλιστα τοῦ σώματος αἰκιζόμενον μέλη;

χρυσῇ Ἀφροδίτῃ] ἀπὸ τῆς παρ' ἡμῖν τιμίας ὕλης τὴν ἔντιμόν φησιν. B=

283. * δεδαϊγμένον] λελωβημένον. B=

ὀξέι χαλκῷ] παλαιὰ ἡ χρῆσις τοῦ χαλκὸν ὀνομάζειν τὸν σίδηρον. ἀμέλει καὶ χαλκέας λέγομεν τοὺς τὸν σίδηρον ἐργαζομένους. B=

284. ἀμφ' αὐτῷ χυμένη] ἡ συντομία τῆς φράσεως τὸ περιπαθὲς καὶ σπουδαῖον ἐμφαίνει τῆς γυναικός. B=

χυμένη] πρὸς τὸ ἁπαλὸν τοῦ γυναικείου σώματος. ἐπὶ δὲ Ἀχιλλέως "Πατρόκλῳ περικείμενον" (4) φησίν. B—

λίγ' ἐκώκυε] εἰς ἡδονὴν προαγομένη τοὺς ἀκούοντας, ὡς "Θέτις γόου ἵμερον ὦρσεν" (Il. 23. 14)· "μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνήρ" (Od. 15. 400). B—

* ἄμυσσεν] παρατατικῶς· τὸ γὰρ 'ἄμυξε' τὴν τάχιστα συντέλειαν ⟨ἂν⟩ ἐδήλου.

285. ἁπαλὴν δειρήν] ἐπέτεινε τὸν οἶκτον ἡ ἁπαλὴ δειρὴ καὶ τὸ καλὸν πρόσωπον. δοκεῖ δὲ καὶ αὐτὸς συνάχθεσθαι αἰκιζομένῃ αὐτῇ, ὡς ἀνοίκειον τὰ οὕτω καλὰ μέλη ἀμύσσεσθαι. B=

287. Πάτροκλέ μοι δειλῇ] ἀξιοπίστως ἔχει τὰ τοῦ θρήνου· οὐ γὰρ τὰ ἐπ' αὐτῷ ἀπολοφύρεται, ἀλλὰ διὰ τὸν ἐκείνου θάνατον τὰ αὐτῇ ἐπακολουθήσοντα. B=

288. ζωὸν μέν σε ἔλ⟨ε⟩ιπον] τὸ μεταξὺ τῆς ζωῆς καὶ τοῦ θανάτου βράχιστον ὂν καὶ τὸ διάφορον αὐτῶν ἐξίστησι τὴν Βρισηίδα. B=

ζωὸν μέν σε ἔλ⟨ε⟩ιπον] παρατατικαῖς ἐχρήσατο φωναῖς ὡς μόγις ἄκουσα πεπορευμένη καὶ πάλιν βραδέως ὑποστρέψασα διὰ τὸ μὴ ἡδέως θεάσασθαι τὸ πτῶμα Πατρόκλου· διὸ καὶ ἐπήγαγε "κακὸν ἐκ κακοῦ" (290)· τῆς γὰρ παρ' ⟨Ἀγαμέμνονι διατριβῆς, φησί, τοῦτό μοι χεῖρον⟩. B=

291. ἄνδρα μὲν ᾧ ἔδοσάν με] σωφροσύνης δεῖγμα ὁ παρὰ γονέων B=

1. προϊέμενον B: προκειμένων ‖ 2. αἰκιζόμενον B: -η ‖ 9. συντομία B: ἀντωνυμία ‖ 11. ἁπαλὸν B: παλαιὸν ‖ 13. προκαλουμένη B ‖ 14. μέγα B ‖ 16. γὰρ ἀμύσσαι ‖ 22. ἀπολοφύρεται B: ἐπολ. ‖ 23. ἐπ' ante αὐτῇ del. W ut B ‖ ἐπακολουθήσαντα B ‖ 27. πάλιν B: τὰ μὲν ‖ 29, 30. supplevi ex B quae imperita ligatoris manus in infimo margine resecuit

Digitized by Google

νυμφίος. φιλάνδρου δὲ γυναικὸς προθεῖναι τῆς τῶν ἀδελφῶν τὴν τοῦ ἀνδρὸς ἀπώλειαν· τοιαύτη δὲ καὶ Ἀνδρομάχη (Il. 6. 429). §. κατὰ δὲ Μνασέαν Βρισέως υἱὸς ἦν Ἠετίων. §. οἰκεῖον δὲ τοῖς πενθοῦσι B= καταφέρεσθαι ἐπὶ τὴν μνήμην τῶν οἰκείων κακῶν.

B= ᾧ ἔδοσάν με] τινὲς 'ᾧ με ἠγγύησαν καὶ ἐμνήστευσαν'· παρθένος γάρ· διὸ καὶ κόρη λέγεται.

B– πατὴρ καὶ πότνια μήτηρ] ὡς τὸ πρῶτον αἴτιον ἔχοντος τοῦ πατρὸς αὐτὸν προτίθησιν. καὶ ἐπὶ τῶν ἡμιθέων "σὲ μὲν Πηλῆος— μητρὸς δ' ἐκ Θέτιδος" (Il. 20. 206) "υἱὸς μεγαλήτορος Ἀγχίσαο —μήτηρ δέ οἱ ἐστ' Ἀφροδίτη" (Il. 5. 247, 8).

B+ 292. εἶδον πρὸ π⟨τ⟩όλιος] ἐπιτείνεται τῇ ὄψει τὰ παθήματα. καὶ ὁ Σοφοκλῆς (Oed. R. 1238) "ἡ γὰρ ὄψις οὐ πάρα."

293. μία γείνατο μήτηρ] καὶ τοὐναντίον "ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορος" (Il. 21. 95).

B= 294. κηδείους] προσφιλεῖς, πεφροντισμένους μοι· ἢ ἀνίαν μοι B= παρασχόντας. §. ἀπαραμύθητον δὲ τὸ ἅμα πάντας ἀποθανεῖν· εἰ γὰρ καθεῖς ἦν, τῇ ἐλπίδι τῶν περιλ⟨ε⟩ιπομένων ἐκουφίζετ' ⟨ἂν⟩ τὸ B= πένθος. §. τὸ δὲ "ἐπέσπον" τὸ πρόθυμον τῶν ὑπερμαχούντων δηλοῖ τῆς πατρίδος· οὐ γάρ φησιν, ὅτι ἐπῆλθεν αὐτοῖς θάνατος, ἀλλ' αὐτοὶ πρὸς τὸν θάνατον ηὐτομόλησαν.

B= 295. ἄνδρ' ἐμόν] ἔμφασιν φιλανδρίας ἔχει τὸ δεύτερον μνησθῆναι τοῦ ἀνδρός.

B= 296. θείοιο Μύνητος] ποικίλως ἐμνήσθη τοῦ ἀνδρὸς κοινῇ τε καὶ ⟨ε⟩ἰδικῇ προσηγορίᾳ, καὶ μετὰ ταῦτα θεῖον αὐτὸν καλεῖ.

B– 298. κουριδίην] λείπει τὸ ὡς, ὡς "Τηλεμάχῳ ἑτάρω ⟨τε⟩ κασιγνήτω ⟨τε ἔσεσθον⟩" (Od. 21. 216).

B= ἄξειν τ' ἐν⟨ὶ⟩ νηυσίν] ἐπίτασιν ἔχει ταῦτα· οὐ γὰρ μόνον ἄχρι τῆς ἐν Ἰλίῳ διατριβῆς ⟨ἔλεγεν ἔχειν αὐτὴν ὅμευνον⟩, ἀλλὰ καὶ ναυτικῷ στόλῳ πολυτελῶς ἀγαγὼν εἰς Φθίαν ἐκεῖ τὸν γάμον ἐπιτελέσειν· ὡς πρᾷος δὲ πολλὴν ὑπέφαινεν αὐτῇ ἐλπίδα.

B= 300. μείλιχον αἰεί] ἐπεὶ ἐδόκει τοῖς θρήνοις ὑπερεκπίπτειν ἀλλότριον τῷ γένει ἄνθρωπον οὕτως ὀλοφυρομένη, δαιμονίως ἄμφω ὁ

1. τὸ προθ. B ‖ τῆς B: τῇ ‖ 2. δὲ scripsi: γὰρ ‖ 5. με ἠγγύησαν B: ἐνεγγύησαν ‖ 8. ὅτι ante καὶ del. W ‖ Πηλέως ‖ 17. prius supplevi ex B ‖ ἐκουφίζετο ‖ 18. ἐπέσπον B: -ων ‖ 24. supplevi ex B ‖ 25. κουρίδιον ‖ 25, 26. ἑταίρῳ κασιγνήτῳ ‖ 28. supplevi ex B ‖ 29. ἐπιτελέσαι B ‖ 32. ἄνθρωπον B: -ώπων

Digitized by Google

ποιητὴς τετήρηκε, καὶ πάθος ἐπαγόμενος διὰ τοῦ προσώπου τῆς Βρισηΐδος καὶ ὑπὲρ τοῦ πιθανὸν τὸν λόγον καταστῆναι αἰτίαν θεὶς τῆς τοιαύτης εὐνοίας τὴν ἀπὸ τοῦ Πατρόκλου κηδεμονίαν πρὸς τὴν γυναῖκα.

ἄλλως: μείλιχον αἰεί] διδάσκει ἀντιποιεῖσθαι πρᾳότητος, εἴγε καὶ μετὰ θάνατον εὔνοιαν πορίζεται τοῖς ἔχουσιν. B=

302. Πάτροκλον πρόφασιν] οὐ γὰρ ἦσαν πειραθεῖσαι αὐτοῦ.

306. κελεύετε] παρακαλεῖτε· καὶ "ἐπῄνεον ὡς ἐκέλευον" (Il. 4. 380) ἀντὶ τοῦ παρεκάλουν.

ποτῆτος] ποτῆς· ἐκ τοῦ 'ποτότης' συγκέκοπται.

308. δύντα δ' ἐς ἠέλιον] ἕως δύνει ὁ ἥλιος.

310. δοιὼ δ' Ἀτρεΐδα μενέτην καὶ δῖος Ὀδυσσεύς] εἰκότως ὡς ἂν βασιλεῖς ⟨καὶ⟩ Ὀδυσσεύς—διαλλακτὴς γὰρ γέγονεν—ἀλλὰ καὶ ὁ Νέστωρ διὰ τὴν ἡλικίαν καὶ ὁ Ἰδομενεὺς ὁμοίως. Φοῖνιξ δὲ οὐ μόνον διὰ τὴν ἡλικίαν, ἀλλὰ καὶ ⟨ὡς⟩ διδάσκαλος Ἀχιλλέως. πῶς δὲ Αἴας συγγενὴς ὢν οὐ συμπάρεστιν; ὀργίζεται διὰ τὴν πρεσβείαν· βαρύμηνις γάρ. καὶ πῶς τὸν ἐπιτάφιον ἀγωνίζεται (Il. 23. 838); ἀρετῆς χάριν καὶ φιλίας Πατρόκλου. B=

καὶ δῖος Ὀδυσσεύς] συνεκδεκτέον τὸ 'ἔμενεν.'

312. τέρποντες] πειρώμενοι τέρπειν, ἢ ἀποτρέποντες τῆς λύπης. οἶδε δὲ καὶ τὸ παραμυθητικὸν μέρος τῆς φιλοσοφίας ὁ ποιητής. B=

313. πολέμου στόμα] τὸ τομώτατον καὶ ἀναλωτικώτατον. B=

314. ἀνενείκατο] ἀνήνεγκεν ἐκ στέρνων τὴν φωνὴν ἀθρόαν. B=

316. * λαρόν] ἡδὺ καὶ ἀπολαυστικόν. B–

παρὰ δεῖπνον] ἀπὸ τῶν γινομένων ὁ θρῆνος· ἐπεὶ γὰρ ᾔτουν αὐτὸν φαγεῖν, ὑπομιμνήσκεται τραπέζης ἣν ὁ φίλος αὐτῷ παρετίθει πολλάκις. ἠθικὸν δὲ τὸ ὡς ζῶντι διαλέγεσθαι τῷ νεκρῷ. καὶ "λαρὸν δεῖπνον" φησὶ τὸ ὑπὸ τῶν τοῦ φιλουμένου χειρῶν παρατιθέμενον. B=

317. ὀτραλέως] ἀντὶ τοῦ 'καὶ τοὺς ἄλλους παροξύνων.' §. σημειωτέον δὲ ὅτι καὶ πρὸ τῆς μήνιδος παρατάξεις ἐγίνοντο. B+ B=

322. τοῦ πατρός] ἡ προσθήκη τοῦ ἄρθρου τὴν ἐξοχὴν παρίστησιν. τοῦτο δέ, ὅτι ὁ μὲν ηὔχετο πρὸ τοῦ παιδὸς ἀποθανεῖν, τῷ δὲ ὠφείλετο B=

1. ἐπαγόμενος B: ἐπεὶ (vel ἐτεὶ) ὁ ἀγόμενος ‖ 5. μειλίχιον ‖ 11. εἰς ἡ. ‖ 13, 15. supplevi ex B ‖ 28. φίλου B ‖ 28, 29. παρατιθέμενον B: παρατεθειμένον ‖ 30. παροτρύνων B

τὸ ζῆν, καὶ ὅτι πρόσφατον πάθος τοῦ μέλλοντος ἐπικρατεῖ. καὶ ἄλλως δὲ ἐπὶ νεότητος οὐκ ἔστι νεμεσητὸν τὸ λεγόμενον.

322, 6. οὐδ' εἴ κεν τοῦ πατρὸς—ἠὲ τόν] σχῆμα ἀπὸ γενικῆς ἐπὶ αἰτιατικὴν τὴν μετάβασιν ἔχον.

B+ 323. τέρεν] καὶ "θαλερόν·" τὰ γὰρ θάλλοντα ἁπαλὰ φύλ⟨λ⟩α ἔχει.

324. *ἀλλοδαπῷ] παραγωγή, οὐ σύνθεσις, ὥς φησιν Ἐπαφρόδιτος.

B+ 325. ῥιγεδανῆς] στυγητῆς· τὰ γὰρ λυπηρὰ ψύχει παραβάλλει· καὶ περὶ αὐτῆς φησιν Ἑλένη "⟨δᾶερ⟩ ἐμεῖο, κυνὸς κακομηχάνου, ὀκρυοέσσης" (Il. 6. 344).

B− 326. ὃς Σκύρῳ—ἐνὶ τρέφεται] τινὲς μὲν ἐκεῖ ἐκτεθῆναι αὐτὸν ὑπὸ Θέτιδος, ὁ δὲ τὴν μικρὰν Ἰλιάδα ἀναζευγνύντα αὐτὸν ἀπὸ Τηλέφου προσορμισθῆναι ἐκεῖ· "Πηλείδην δ' Ἀχιλῆα φέρε Σκῦρόνδε θύελλα· ἔνθα γ' ἐς ἀργαλέον λιμέν' ἵκετο νυκτὸς ἐκείνης" (fr. 4 K.). ἔστι δὲ νῆσος ἐπὶ τῇ Εὐβοίᾳ λιμένας ἔχουσα Ἀχίλλειον καὶ Κρήσιον. ᾤκησαν δὲ αὐτοῦ καὶ Δόλοπες, μοῖρα Θεσσαλῶν. Νεοπτόλεμος δὲ ἀπὸ τοῦ πατρὸς ὠνόμασται, ὅτι νέος ὢν ἐπολέμησεν. ἔστι δέ, ὥς τινες, ἐξ Ἰφιγενείας· φησὶ γὰρ Δοῦρις, ὅτι κλαπεῖσα εἰς Σκῦρον ἐξετέθη. οὐκ ἦσαν δὲ ἀπὸ τῆς ἁρπαγῆς Ἑλένης ἕως τῆς ἁλώσεως κ' ἔτη· οὐκέτι γὰρ ἂν καιρὸν εἶχε γαμηθῆναι Πηνελόπη· καὶ Τηλέμαχος ἦν ἂν λ' ἐτῶν "παῖς—νήπιος, οὔτε πόνων εὖ εἰδὼς οὔτ' ἀγοράων" (Od. 4. 817, 8), καὶ "καὶ οὔ πω χερσὶ πέποιθα ἄνδρ' ἀπαλέξασθαι" (Od. 16. 71).

327. Νεοπτόλεμος] τὴν ἰδίαν ἀτυχίαν ὀδύρεται ὡς ἴσως αὐτὸν καὶ υἱοῦ στερήσουσαν.

335. τυτθὸν ἔτι ζώοντα] δαιμονίως ἐνέφηνε τὸν ὀλίγως ζῶντα διὰ τὴν ἀσθένειαν.

A+ ἀκάχησθαι] τινὲς περισπῶσιν ὡς Ἀττικὸν παρατατικόν.

339. μνησάμενοι τὰ ἕκαστος] ὅμοιόν ἐστι τῷ "Πάτροκλον πρόφασιν" (302).

ἄλλως: μνησάμενοι τὰ ἕκαστος] ὅμοιόν ἐστι τῷ "οἳ δὲ ἕκαστος—σπείσαντες" (Il. 9. 656, 7).

1. τοῦ B: δήπου ‖ 2. λέγειν B ‖ 5. τέρεν καὶ θαλερὸν pro lemmate scriptum: discrevi ‖ 8. περιβάλλει ut B ‖ 9. αὐτῆς φ. εἵνεκ' ἐμεῖο ‖ 13. φέρε Σκῦρονδε B Eust.: φέρεν οὔρωνδε ‖ 14. ἔνθ' ὅ γ' Eust. ‖ εἰς ‖ ἵκετο Eust.: ἄκετο ‖ 15. ἐπὶ W: πρὸς Eust., ἐν ut B ‖ 16. αὐτοῦ W: ἐν αὐτῇ Eust., αὐτὸ ‖ 20. οὐκέτι W: οὐκ ἂν ‖ 22. καὶ ἐπεὶ οὕτω

342. δὴ πάμπαν] ἔθος ἔχει ἀπὸ τοῦ "δή" ἄρχεσθαι· ἔδει γὰρ 'πάμπαν δή.'

ἀποίχεαι] κεχώρισαι. §. "ἑῆος" δὲ ἀγαθοῦ, παρὰ τὸ ἑῶ. B= ὅθεν καὶ "ἠοίη" (Hes. Scut. 1). B+

343. μέμβλεται] συγκοπῇ καὶ πλεονασμῷ τοῦ β̄.

ἄλλως: μέμβλεται] διδάσκει μὴ ἀμνηστεῖν τῶν φίλων.

344. * προπάροιθε] χρονικὸν καὶ τοπικόν.

347. ⟨ἀμβροσίην⟩ ἐρατεινήν] εὐωχίας αἰτίαν· αὕτη γὰρ ἐρατεινή· "δαιτὸς ἐπηράτου" (Il. 9. 228). §. ἄσιτον μὲν αὐτὸν ποιεῖ διὰ τὸ πάθος τοῦ φίλου, διὰ δὲ τὸ ⟨ἄ⟩πιστον εἰς θεοὺς ἀνάγει τὴν αἰτίαν.

350. ἅρπῃ] τῷ ἰκτίνῳ. οἱ δέ, ζῷον θαλάσσιον πολεμοῦν λάρῳ καὶ A-B- βρένθῳ (Aristot. H. A. p. 609ª 24). φιλεῖ δὲ τὴν τροφὴν ἣν ἂν συνάγῃ φυλάσσειν ἐπὶ τοῖς κάρφεσι, καὶ ταύτην ἐπιχορηγεῖν τοῖς νεοσσοῖς· οἰκείως οὖν εἴκασε τὴν Ἀθηνᾶν. οἱ δέ, ὅτι ἐφ' ὕψους ἱπτάμενον εὐχερῶς ὅπου θέλει καταράσσει.

357. ταρφειαί] κυρίως ἐπὶ τῆς εὐτραφοῦς ὕλης ἡ λέξις.

* Διός] τοῦ ἀέρος.

358. αἰθρηγενέος] τοῦ γεννῶντος αἰθρίαν, τουτέστι τὸ ψῦχος. B- ἐνίοτε δὲ καὶ τὸν αἰθρίας αἴτιον· ἔστι δὲ μαχόμενον τῷ 'ψυχραὶ νιφάδες' (357). §. . . . αὕτη γὰρ προτέρᾳ ἐκδόσει συμφωνεῖ.

361. κραταιγύαλοι] περιφραστικῶς ἀντὶ τοῦ κραταιοί. A-

362. γέλασ⟨σ⟩ε δὲ πᾶσα περὶ χθών] περιήστραψεν· ἀπὸ γὰρ B= τῶν τοιούτων περιστίλψεων διάχυσις γίνεται τοῦ περὶ γῆν ἀέρος. τινὲς δὲ τὸ "περί" ἀντὶ τοῦ περισσῶς.

365. ὀδόντων—καναχή] ἔπριε τοὺς ὀδόντας, οὐχ ὡς Δόλων (Il. 10. 375).

366. ἐν δέ οἱ ἦτορ δῦν' ἄχος] μετὰ τὰς τοῦ σώματος ἐκφράσεις εἶτα καὶ τῆς ψυχῆς τὴν διάθεσιν δηλοῖ.

368. * κάμε τεύχων] ὁ τρόπος ἀντίφρασις.

374. ἀπάνευθε σέλας γένετο] πόρρω διέβη ἡ ἔκλαμψις.

ἠύτε μήνης] καλῶς οὐχ ἡλίῳ εἴκασται διὰ τὴν τῶν ὑλῶν μελανό- B= τητα· ἐπιθέουσι γάρ τινες καὶ τῇ σελήνῃ μέλαιναι φαντασίαι ἐν τῷ περιλάμπειν.

1. πάμπαν sec.: πάντα pr. ‖ 3. τὸν ‖ ἑῶ Et. M. s. v. ἑῆος: ἠῶ ut B ‖ 4. ἠοίη B: ἡ οἴη ‖ 10. suppl. W ‖ 12. βρένθῳ Aristot. codd.: βρένυῳ ut A ‖ 12, 13. ἂν συνάγῃ A B: ἀνάγει ‖ 13. κάρφεσιν Eust.: γάμφεσι B, τάρφεσιν ut A ‖ ἐπιχορηγεῖν B: -εῖ ut A ‖ 15. καταράσσει Eust.: καταρράσσει ut A B ‖ 20. lacunam indicavi; dicere Didymus de v. 365–8 etiam in posteriore Aristarchi editione secundum schol. A ad v. 365 servatis videtur ‖ 25. ἐπρία ‖ 30. ὑλῶν sec. ut Eust.: ἄλλων pr. ut B

* μήνης] ἔνθεν τὸ σκοτεινῶς σημαίνειν μηνύειν φαμέν.

B− 377. τοὺς δὲ—ἄελλαι] οὐκ ἐῶνται, φησίν, ὑπὸ τῶν πνοῶν πλησιάσαι τῇ γῇ, ὡς καὶ ἐπ' Ὀδυσσέως (Od. 5. 435).

B= 381. ἡ δ' ἀστὴρ ὣς ἀπέλαμπεν] πιθανὴ ἡ ὁμοιότης· ἀσπίδα μὲν σελήνῃ (374), κράνος δὲ ἀστέρι, Ἀχιλλέα δὲ ἡλίῳ παραβάλλει (398).

B= 382. ἵππουρις] καταχρηστικῶς. §. "ἔθειραι" δὲ αἱ τημελη-
B− θεῖσαι τρίχες. κακῶς οὖν Καλλίμαχος "ἐπὶ κτενὸς ἔσκον ἔθειραι" (fr. 308 Schn.).

B= 384. πειρήθη] ἀλλόμενος, ὅπως εἰδῇ πότερον ἔσφιγκται ἢ σαλεύεται περὶ τῷ σώματι.

385. εἴ οἱ ἐφαρμόσ⟨σ⟩ειε] ἡ συμμετρία γὰρ αὐτὰ ποιεῖ κοῦφα, ὡς εἰ μείζονα ἦν βαρέα ⟨ἂν⟩ ὑπῆρχεν· καὶ τὰ πτερὰ δὲ πολλὴν ἁρμονίαν ἔχουσιν.

B= ἐντρέχοι] εἰ συνάλλεσθαι τοῖς ὅπλοις δύναιτο.

A= 386. εὖτε] συστολὴ ἀπὸ τοῦ 'ἠύτε.' §. γράφεται "αὖτε," ἵνα
A+ λείπῃ τὸ ὡς.

B+ ἄειρε δὲ ποιμένα λαῶν] τινὲς 'ἐμετεώριζεν ὁ κόσμος.'

A+B= 387, 8. ἐκ δ' ἄρα σύριγγος—ἐσπάσατ' ἔγχος—τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν] ⟨καὶ⟩ ἐπὶ Πατρόκλου κεῖνται (Il. 16. 141), ἵνα
B= γνῶμεν διὰ τί παρέλιπεν αὐτὸ Πάτροκλος. §. "βριθύ" δὲ ἐπώδυνον· τὸ γὰρ βάρος ἐπὶ δοράτων ἄχρηστον.

389. ἐπίστατο] εἰώθει· ποιεῖ γὰρ Ἀχιλλέα παρὰ Χείρωνι διδασκόμενον πάλλειν τὴν μελίαν.

A+ 392. *Ἄλκιμος] ὁ Ἀλκιμέδων (Il. 16. 197).

393. ἀμφὶ δὲ καλὰ λέπαδν' ἔσαν] 'θέσαν' ἀντὶ τοῦ "ἔσαν" κατὰ παράληψιν τοῦ θ̄.

B= λέπαδνα] τοὺς καθιεμένους κατὰ τῶν ἱππείων τραχήλων ⟨περι⟩στηθίους ἱμάντας.

B= 396. ⟨χειρὶ λαβὼν⟩ ἀραρυῖαν] χειρὶ ἀραρυῖαν, οὐκ ἐξολισθαίνουσαν τῆς χειρός.

B= 398. ὥς τ' ἠλέκτωρ] περὶ τοῦ θώρακος ἔφη "φαεινότερον πυρὸς αὐγῆς" (Il. 18. 610)· περὶ δὲ τοῦ σάκους "σέλας γένετ' ἠύτε μήνης" (374)· περὶ δὲ τῆς κόρυθος "ἡ δ' ἀστὴρ ὣς ἀπέλαμπεν" (381)· εἰκότως οὖν αὐτὸν τὸν ὡπλισμένον ἡλίῳ ἀπεικάζει.

AB+ ἠλέκτωρ] ὁ εἰς λέκτρον μὴ ἐρχόμενος· ἢ παρὰ τὸ μὴ κοιμᾶσθαι

4. ὁμοίωσις B ‖ ἀσπίδα B : -ος ‖ 5. κράνος B : -ους ‖ 7. ἐπὶ Suidas s. v. κτείς : ἐπεὶ ‖ 15. αὖτε A : αὖται ‖ 19. suppl. W ex B ‖ 27. supplevi ex B

Digitized by Google

*εἱλούμενον· διὸ ἵππους αὐτῷ οὐχ ὑποζεύγνυσι, τὸν δὲ οὐρανὸν ὄχημα αὐτοῦ φησιν. ἢ μᾶλλον ὁ μὴ κοιμίζων· τὰ γὰρ εἰς τωρ κατ' ἐνεργείας τάσσει, σημάντωρ κοσμήτωρ. λέγω δὲ τὸ κοιμίζω· "λέξον δή με τάχιστα"* (Il. 24. 635).

*Ὑπερίων] καὶ ὅτε γὰρ δοκοῦμεν αὐτὸν κάτω φέρεσθαι, κυκλοῖ τὴν γῆν καὶ ὑπεράνω ἡμῶν ἐστιν.* B=

401. *ἄλλως δὴ φράζεσθε] ἄλλως φράζεσθε ἢ ὡς ἐπὶ Πατρόκλῳ. ἔστι δὲ ὁ μὲν Αὐτομέδων θνητός, οἱ δὲ ἵπποι ἀθάνατοι· διὸ μᾶλλον ἐγκαλεῖ τοῖς σῴζειν δυναμένοις. ἢ ὅτι διὰ τῶν ἵππων καὶ τῷ ἡνιόχῳ ἐγκαλεῖ, ἢ ὅτι "τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο"* (Il. 11. 654). B−

402. * *ἑῶμεν] κορεσθῶμεν.* A+

403. *μηδ' ὡς Πάτροκλον] ἠθικὰ ταῦτα· εἰώθαμεν γὰρ καὶ τοῖς παρατυχοῦσιν ἐγκαλεῖν.*

405. *ἤμυσε] παρέκλινε τὴν κεφαλήν, ἐπιστρέφων ἑαυτὸν ὥστε ἀντίος τῷ Ἀχιλλεῖ γενέσθαι, καὶ πρὸς αὐτὸν φθέγγεται.* AB=

406. *ζεύγλης] ζεύγλη τὸ ὑπὸ τὸν ζυγὸν μέρος, εἰς ὃ ὁ τράχηλος ἐντίθεται.* B=

407. *αὐδήεντα] λογικοῦ ζῴου φωνὴν ἔχοντα. οὐκ εὐπρεπὲς δέ, φασί, τὴν Ἥραν παραιτίαν λύπης γενέσθαι τῷ Ἀχιλλεῖ. ῥητέον δὲ ὅτι εἰς πρᾶγμα τολμηρὸν καταβαίνων ὁ ποιητὴς τὸ φωνῆς μετέχοντας ἵππους εἰσάγειν θεῷ περιάπτει τὴν αἰτίαν, καὶ Ἥρᾳ, ἐπεὶ φωνή ἐστιν ἀὴρ πεπληγμένος. τί δὲ ἄτοπον, ὅπου γε καὶ Θέτις προεῖπεν* (Il. 18. 96) *"αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος;"* B=

*ἄλλως: αὐδήεντα] εἰ θείας μετέχουσι φύσεως, τί ἄτοπον καὶ φωνεῖν; πρῶτος δὲ Ὅμηρος τοῦτο ἐποίησεν, Ἡσίοδος ἐπὶ τοῦ ἱέρακος* (Opp. 203), *Ἀρχίλοχος ἐπὶ τοῦ ἀετοῦ* (fr. 86 B.) *καὶ Αἴσωπος ὕστερον κατεχρήσα⟨ν⟩το.*

411. *νωχελία παρὰ τὸ μὴ δύνασθαι κέλλειν· ὅθεν καὶ χελώνη λέγεται.* B=

413. * *ἀλλὰ θεῶν ὤριστος] ἥλιος γὰρ μείζων τῶν ἀστέρων.* B=

415. *ἅμα πνοιῇ Ζεφύροιο] τοῦτο γὰρ παρὰ τοῦ πατρὸς Ζεφύρου ἔχουσιν· ἢ ὑπερβολικῶς.*

416. *⟨ἥν περ ἐλαφροτάτην φάσ' ἔμμεναι·⟩ ἀλλά σοι αὐτῷ] τὴν εὐλογίαν τοῦ πατρὸς ἄλλοθεν, οὐκ οἴκοθεν κομίζει· δῆλον δέ, ὡς ἀθάνατοι ὄντες τῶν ἀνθρωπίνων ἐπύθοντο λόγων.*

2. ἡμᾶς pro μὴ B ‖ 13. παρακαλοῦσιν: corr. W ‖ 19. φασὶ B: φησὶ ‖ 27. suppl. W ‖ 28. νωχελία pro lemmate scriptum ‖ 29. ὁ post γὰρ ut B: del. W ‖ 33. εὐλογίαν tentavi: ἁμαρτίαν ‖ 34. ἐπύθοντο scripsi: πύθονται



Digitized by Google

* *μήνης*] ἔνθεν τὸ σκοτεινῶς σημαίνειν μηνύειν φαμέν.

B– 377. τοὺς δὲ—ἄελλαι] οὐκ ἐῶνται, φησίν, ὑπὸ τῶν πνοῶν πλησιάσαι τῇ γῇ, ὡς καὶ ἐπ' Ὀδυσσέως (Od. 5. 435).

B= 381. ἡ δ' ἀστὴρ ὣς ἀπέλαμπεν] πιθανὴ ἡ ὁμοιότης· ἀσπίδα μὲν σελήνῃ (374), κράνος δὲ ἀστέρι, Ἀχιλλέα δὲ ἡλίῳ παραβάλλει (398).

B= 382. ἵππουρις] καταχρηστικῶς. §. "ἔθειραι" δὲ αἱ τημελη-
B– θεῖσαι τρίχες. κακῶς οὖν Καλλίμαχος "ἐπὶ κτενὸς ἔσκον ἔθειραι" (fr. 308 Schn.).

B= 384. πειρήθη] ἀλλόμενος, ὅπως εἰδῇ πότερον ἔσφιγκται ἢ σαλεύεται περὶ τῷ σώματι.

385. εἴ οἱ ἐφαρμόσ⟨σ⟩ειε] ἡ συμμετρία γὰρ αὐτὰ ποιεῖ κοῦφα, ὡς εἰ μείζονα ἦν βαρέα ⟨ἂν⟩ ὑπῆρχεν· καὶ τὰ πτερὰ δὲ πολλὴν ἁρμονίαν ἔχουσιν.

B= ἐντρέχοι] εἰ συνάλλεσθαι τοῖς ὅπλοις δύναιτο.

A= 386. εὖτε] συστολὴ ἀπὸ τοῦ 'ἠύτε.' §. γράφεται "αὖτε," ἵνα
A+ λείπῃ τὸ ὡς.

B+ ἄειρε δὲ ποιμένα λαῶν] τινὲς 'ἐμετεώριζεν ὁ κόσμος.'

A+B= 387, 8. ἐκ δ' ἄρα σύριγγος—ἐσπάσατ' ἔγχος—τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν] ⟨καὶ⟩ ἐπὶ Πατρόκλου κεῖνται (Il. 16. 141), ἵνα
B= γνῶμεν διὰ τί παρέλιπεν αὐτὸ Πάτροκλος. §. "βριθύ" δὲ ἐπώδυνον· τὸ γὰρ βάρος ἐπὶ δοράτων ἄχρηστον.

389. ἐπίστατο] εἰώθει· ποιεῖ γὰρ Ἀχιλλέα παρὰ Χείρωνι διδασκόμενον πάλλειν τὴν μελίαν.

A+ 392. *Ἄλκιμος] ὁ Ἀλκιμέδων (Il. 16. 197).

393. ἀμφὶ δὲ καλὰ λέπαδν' ἔσαν] 'θέσαν' ἀντὶ τοῦ "ἔσαν" κατὰ παράληψιν τοῦ θ.

B= λέπαδνα] τοὺς καθιεμένους κατὰ τῶν ἱππείων τραχήλων ⟨περι⟩στηθίους ἱμάντας.

B= 396. ⟨χειρὶ λαβὼν⟩ ἀραρυῖαν] χειρὶ ἀραρυῖαν, οὐκ ἐξολισθαίνουσαν τῆς χειρός.

B= 398. ὥς τ' ἠλέκτωρ] περὶ τοῦ θώρακος ἔφη "φαεινότερον πυρὸς αὐγῆς" (Il. 18. 610)· περὶ δὲ τοῦ σάκους "σέλας γένετ' ἠύτε μήνης" (374)· περὶ δὲ τῆς κόρυθος "ἡ δ' ἀστὴρ ὣς ἀπέλαμπεν" (381)· εἰκότως οὖν αὐτὸν τὸν ὡπλισμένον ἡλίῳ ἀπεικάζει.

AB+ ἠλέκτωρ] ὁ εἰς λέκτρον μὴ ἐρχόμενος· ἢ παρὰ τὸ μὴ κοιμᾶσθαι

4. ὁμοίωσις B ‖ ἀσπίδα B: -ος ‖ 5. κράνος B: -ους ‖ 7. ἐπὶ Suidas s. v. κτείς: ἐπεὶ ‖ 15. αὖτε A: αὖται ‖ 19. suppl. W ex B ‖ 27. supplevi ex B

Digitized by Google

εἰλούμενον· διὸ ἵππους αὐτῷ οὐχ ὑποζεύγνυσι, τὸν δὲ οὐρανὸν ὄχημα αὐτοῦ φησιν. ἢ μᾶλλον ὁ μὴ κοιμίζων· τὰ γὰρ εἰς τωρ κατ' ἐνεργείας τάσσει, σημάντωρ κοσμήτωρ. λέγω δὲ τὸ κοιμίζω· "λέξον δή με τάχιστα" (Il. 24. 635).

Ὑπερίων] καὶ ὅτε γὰρ δοκοῦμεν αὐτὸν κάτω φέρεσθαι, κυκλοῖ B= τὴν γῆν καὶ ὑπεράνω ἡμῶν ἐστιν.

401. ἄλλως δὴ φράζεσθε] ἄλλως φράζεσθε ἢ ὡς ἐπὶ Πατρόκλῳ. B− ἔστι δὲ ὁ μὲν Αὐτομέδων θνητός, οἱ δὲ ἵπποι ἀθάνατοι· διὸ μᾶλλον ἐγκαλεῖ τοῖς σῴζειν δυναμένοις. ἢ ὅτι διὰ τῶν ἵππων καὶ τῷ ἡνιόχῳ ἐγκαλεῖ, ἢ ὅτι "τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο" (Il. 11. 654).

402. * ἐῶμεν] κορεσθῶμεν. A+

403. μηδ' ὡς Πάτροκλον] ἠθικὰ ταῦτα· εἰώθαμεν γὰρ καὶ τοῖς παρατυχοῦσιν ἐγκαλεῖν.

405. ἤμυσε] παρέκλινε τὴν κεφαλήν, ἐπιστρέφων ἑαυτὸν ὥστε AB= ἀντίος τῷ Ἀχιλλεῖ γενέσθαι, καὶ πρὸς αὐτὸν φθέγγεται.

406. ζεύγλης] ζεύγλη τὸ ὑπὸ τὸν ζυγὸν μέρος, εἰς ὃ ὁ τράχηλος B= ἐντίθεται.

407. αὐδήεντα] λογικοῦ ζῴου φωνὴν ἔχοντα. οὐκ εὐπρεπὲς δέ, B= φασί, τὴν Ἥραν παραιτίαν λύπης γενέσθαι τῷ Ἀχιλλεῖ. ῥητέον δὲ ὅτι εἰς πρᾶγμα τολμηρὸν καταβαίνων ὁ ποιητὴς τὸ φωνῆς μετέχοντας ἵππους εἰσάγειν θεῷ περιάπτει τὴν αἰτίαν, καὶ Ἥρᾳ, ἐπεὶ φωνή ἐστιν ἀὴρ πεπληγμένος. τί δὲ ἄτοπον, ὅπου γε καὶ Θέτις προεῖπεν (Il. 18. 96) "αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος;"

ἄλλως: αὐδήεντα] εἰ θείας μετέχουσι φύσεως, τί ἄτοπον καὶ φωνεῖν; πρῶτος δὲ Ὅμηρος τοῦτο ἐποίησεν, Ἡσίοδος ἐπὶ τοῦ ἱέρακος (Opp. 203), Ἀρχίλοχος ἐπὶ τοῦ ἀετοῦ (fr. 86 B.) καὶ Αἴσωπος ὕστερον κατεχρήσα⟨ν⟩το.

411. νωχελία παρὰ τὸ μὴ δύνασθαι κέλλειν· ὅθεν καὶ χελώνη λέγεται. B=

413. * ἀλλὰ θεῶν ὤριστος] ἥλιος γὰρ μείζων τῶν ἀστέρων. B=

415. ἅμα πνοιῇ Ζεφύροιο] τοῦτο γὰρ παρὰ τοῦ πατρὸς Ζεφύρου ἔχουσιν· ἢ ὑπερβολικῶς.

416. ⟨ἥν περ ἐλαφροτάτην φάσ' ἔμμεναι·⟩ ἀλλά σοι αὐτῷ] τὴν εὐλογίαν τοῦ πατρὸς ἄλλοθεν, οὐκ οἴκοθεν κομίζει· δῆλον δέ, ὡς ἀθάνατοι ὄντες τῶν ἀνθρωπίνων ἐπύθοντο λόγων.

2. ἡμᾶς pro μὴ B || 13. παρακαλοῦσιν: corr. W || 19. φασὶ B: φησὶ || 27. suppl. W || 28. νωχελία pro lemmate scriptum || 29. ὁ post γὰρ ut B: del. W || 33. εὐλογίαν tentavi: ἁμαρτίαν || 34. ἐπύθοντο scripsi: πύθονται



Digitized by Google

B+ 417. *θεῷ τε καὶ ἀνέρι*] *φασὶν ὡς ἐν σχήματι* Πάριδος Ἀπόλλων *ἐτόξευσεν αὐτόν.*

A-B= 418. Ἐρινύες *ἔσχεθον αὐδήν*] *ἐπίσκοποι γάρ εἰσι τῶν παρὰ φύσιν. ἢ τὸν περὶ θανάτου λόγον ἀνεγράψαντο.*

B− 423. *ἄδην ἐλάσαι κακότητος*] *ἀθρόως κορέσαι ἢ συγκλεῖσαι.*
B= §. *μεγαλοφυῶς δὲ οὐδὲ πλησίον τοῦ κινδύνου γενόμενος ἀποτρέπεται τῆς ὁρμῆς ὥσπερ πρὸ τοῦ θανάτου ἀνδρίσασθαι μέλλων.*

424. * *ἐν πρώτοις*] *ἀντὶ τοῦ εἰς ἥρωας τοὺς τῶν* Ἀχαιῶν.

## ΕΙΣ ΤΗΝ Υ.

B− 2. *ἀμφὶ σέ,* Πηλέως *υἱέ*] *ὅτι τῆς ὑπαιθρίου στρατιᾶς ἡγεμὼν*
B= *ἦν.* §. *προσφωνεῖ δὲ ὁ ποιητὴς ἡρωικοῖς μὲν προσώποις πέντε,* Ἀχιλλεῖ Μενελάῳ (Π. 4. 127) Μελανίππῳ (Π. 15. 582) Πατρόκλῳ (Π. 16. 20) Εὐμαίῳ (Od. 14. 55), *θεῶν δὲ* Ἀπόλλωνι· "*ἀμφὶ σέ, ἤιε* Φοῖβε" (152).

A=B− *μάχης ἀκόρητος*] *ἐὰν πληθυντικῶς γράφωμεν, ἐπὶ τέλους ἡ στιγμὴ τίθεται· ἐὰν δὲ ἑνικῶς "ἀκόρητον," ἐπὶ* Ἀχιλλέως *κειμένου τοῦ ὀνόματος, ἐπὶ τὸ "ἀκόρητον" ⟨βραχὺ διαστέλλεται⟩.*

B− 4. Θέμιστι *κέλευσεν*] *πρὸς μὲν τὰς ψιλὰς ἀγγελίας* Ἴριδι *χρῆται· ὅταν δὲ μεῖζόν τι δέῃ διοικῆσαι, τὸν* Ἑρμῆν *ἀποστέλλει· νῦν δέ, ὡς νομιμωτάτης ἐσομένης τῆς ἀγορᾶς καὶ τέλος ἐπιθεῖναι μελλούσης τοῖς πράγμασι, πρὸς τὴν σύγκλητον τῇ* Θέμιδι *χρῆται, οὐχ ὡς κήρυκι ἀλλ' ὅτι καὶ τὰς τῶν "ἀνδρῶν ἀγορὰς ἡμὲν λύει ἠδὲ καθίζει"* (Od. 2. 69) *διὰ τὸ κατὰ νόμους ἐγχειρεῖν τοῖς πρακτέοις ἢ μή· καὶ* Ὧραι *δὲ αὐτῆς παῖδες, ἐπεὶ τῇ δικαιοπραγίᾳ τὰ φυόμενα σῴζεται.*

B= Ζεὺς *δὲ* Θέμιστι *κέλευσε*] *μεγαλοφυὴς ἡ* Ἀχιλλέως *ἔξοδος, ὅπου γε ἐκκλησία θεῶν δι' αὐτὸν γίνεται καὶ θεομαχία.*

A+ *κρατὸς ἀπ'* Οὐλύμποιο *πολυπτύχου*] *βέλτιον τοῖς ἄνω προσνέμειν.*

B+ *ἄλλως: κρατὸς ἀπ'* Οὐλύμποιο] *ἐκεῖσε γὰρ ὁ οἶκος τοῦ* Διός.
B− §. "*πολυπτύχου*" *δὲ πολλὰς ἀνακλίσεις ἔχοντος· ἢ ἰσχυροῦ, ἀπὸ*

4. *ἀνεγρ.* corruptum ‖ 5. *ἐλ. πολέμοιο* codd. Π. ‖ 7. *ὁρμήσεως* B ‖ 9. addidi ‖ 10. Πηλέος B ‖ *ὑπαιθρίου* scripsi : *ὑπαιτίου* ‖ *στρατιᾶς* B : *-είας* ‖ 15. *εἴπωμεν* B, *γρ.* ‖ 16. post *ἀκ.* omisi *ἐπὶ* Ἀχιλλέως *κειμένων* et supplevi, cf. A B ‖ 21. *σύγκλησιν* ‖ 24, 25. *σῳζόμενα φύεται* : corr. W ‖ 31. *ἀνακλίσεις* etiam B Eust. : *ἀποκλίσεις* D

τῶν πολυπτύχων ἀσπίδων· ἢ ὅτι η΄ σφαίρας ἔχει ὁ οὐρανός, μίαν τῶν ἀπλανῶν, ἑπτὰ τῶν πλανήτων.

7. οὔτε τις οὖν ποταμῶν—νόσφ' Ὠκεανοῖο] πρόγονος γὰρ θεῶν A~ (Il. 14. 201, 302), ἵνα μὴ τοῖς ἀπογόνοις ἑαυτοῦ παρῇ πολεμοῦσιν.

ἄλλως: οὔτε τις οὖν ποταμῶν] προοικονομεῖ Ἀχιλλεῖ ἀντίπαλον προαγαγεῖν Σκάμανδρον τὸν ποταμόν (Il. 21. 233).

νόσφ' Ὠκεανοῖο] τὴν Γῆν παρῆκε μὴ διορισάμενος εἴτε παραγέγονεν B+ εἴτε οὔ. ἀλλὰ καὶ βέλτιον περὶ αὐτῆς ὑπονοεῖν ὡς ἀπολειπομένης τοῦ συλλόγου. ἢ τάχα ὡς ὡμολογημένον αὐτὸ παρῆκεν ὁ ποιητής· ἀνάγκη γὰρ μένοντος τοῦ Ὠκεανοῦ καὶ τὴν Γῆν μένειν· περὶ γὰρ ταύτην τὸ ὕδωρ.

8. οὔτ' ἄρα νυμφάων] τὴν γὰρ Λητὼ μίαν τῶν νυμφῶν οἴεται, ὅθεν καὶ παίζουσι μετὰ τῆς Ἀρτέμιδος αἱ νύμφαι· "γέγηθε δέ τε φρένα Λητώ" (Od. 6. 106).

9. καὶ πίσεα] πίω πίσω πῖσος, ὡς μύω μύσω μύσος· τοῖς γὰρ E+ μιαιφόνοις οὐκ ἐξῆν προσφωνεῖν τινα.

11. αἰθούσῃσιν] αἱ αἴθουσαι ἐξέδραι στυλωταί εἰσιν ἢ τόποι A+B− ὑφ' ἡλίου καταλαμπόμενοι. §. τινὲς δὲ γράφουσιν "ἐνίδρανον," A+ καθέδρας οἰηθέντες εἶναι τὰς αἰθούσας.

12. *Ἥφαιστος—ἰδυίῃσιν πραπίδεσσιν] παντοδαπὸς τεχνίτης.

13. Διὸς ἔνδον] ἐν Διός, ὡς "εἴσω ἁλὸς εὐρέα κόλπον" (Il. A+ 21. 125) ἀντὶ τοῦ εἰς ἁλὸς κόλπον.

13, 14. οὐδ' ἐνοσίχθων νηκούστησε] ἐπεὶ πρότερον ἐξελαθῆναί A~B= φησιν αὐτὸν τῆς μάχης ὑπὸ τοῦ Διός (Il. 15. 218), ὥσπερ τι παράδοξον εἰσάγει, ὅτι οὐκ ἐμνησικάκησε τῆς ὕβρεως ἀλλὰ πειθαρχῶν φαίνεται, καὶ οὐ μόνον συνῆλθεν ἀλλὰ καὶ τοῦ λόγου κατάρχει (16).

16. τίπτ' αὖτ', ἀργικέραυνε] ἀξίωμα ἐμφαίνει αὐτοῦ ὡς προλαμ- B= βάνοντος τοὺς λόγους τοῦ Διός. §. τὸ δὲ "αὖτε" παραπληροῖ, ἢ B= σημαίνει τὸ πάλιν, ἵνα φαίνηται ἀπομνημονεύων ἠθικῶς τῶν πρόσθεν, ὅτε αὐτοῖς ἀπηγόρευε μάχεσθαι (Il. 8. 7).

21. *ὧν] λείπει ἀνδρῶν. B=

μέλουσί μοι ὀλλύμενοί περ] "πατὴρ" γὰρ "ἀνδρῶν τε θεῶν B= τε·" παρέλκει δὲ ὁ "πέρ."

4. παρείη Eust. || 5. ποταμῷ || 9. ὡμολογημένον αὐτὸ B: -ων -ῷ || 15. πεῖσος B || 16. προσβλέπειν τινί B || 17. στυλωταὶ A: στύλων τε || 23. ἐξελαθῆναι B: ἐξελασθῆναι || 27. παραλ. B || 32. μέλλουσι ut textus

Digitized by Google

AB= 23. ἥμενος] τὸ "ἥμενος" βέλτιον τοῖς ἄνω συνάπτειν, ἵνα μὴ δύο μετοχαὶ ἀσυνδέτως κέωνται.

B= τέρψομαι] διὰ τὸ σῴζεσθαι τὸ μοιρίδιον, ἢ ἁλισκομένης τῆς Ἰλίου. ἐπάγει γοῦν τὴν αἰτίαν, "εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μαχεῖται, οὐδὲ μίνυνθ' ἕξουσι" (26, 7).

B= 25. ἀμφοτέροισι δ' ἀρήγεθ'] τοῖς μὲν Ἀχαιοῖς, μὴ ὑπὸ τοῦ Ἀπόλλωνος νῦν Ἀχιλλεὺς τοξευθῇ, τοῖς δὲ Τρωσί, μὴ ὑπὸ Ἀχιλλέως πάντες ἀπόλωνται. ἐκτραγῳδῶν δὲ τὰς ποιήσεις θεῶν παρατάξεις συμμίσγει αὐταῖς.

B= 26. εἰ γὰρ Ἀχιλλεὺς οἶος] δόξειεν ἂν τοὐναντίον ἢ ὁ Ζεὺς βούλεται γίνεσθαι τῶν θεῶν ἐκπεμπομένων ἐπὶ τὴν μάχην. ὃ μὲν γάρ φησιν, εἰ μὴ παραγένοιντο, οὐδὲ πρὸς ὀλίγον ἀνθέξουσιν οἱ Τρῶες μαχόμενοι τῷ Ἀχιλλεῖ, ἐκ δὲ τοῦ ἀφικνεῖσθαι αὐτοὺς μᾶλλον ἰσχυρότερος γίνεται τῷ εἶναι τοὺς Ἑλληνικοὺς θεοὺς ἰσχυροτέρους τῶν Τρωικῶν· εἰ δὲ καὶ ἴσοι ἦσαν, περιττὴ ⟨ἂν⟩ ἦν ἡ ἐπικουρία τῶν θεῶν. ἐὰν γὰρ δύο ἀνίσοις ἴσα προστεθῇ, τὰ ὅλα ἐστὶν ἄνισα· ἡ γὰρ αὐτὴ ὑπεροχὴ τῶν ἐξ ἀρχῆς ὑπερεχόντων μένει. ἐροῦμεν δέ, ὡς οὐ διὰ τὴν μάχην τῶν θεῶν ἡ κάθοδος γέγονεν, ἀλλ' ἵνα πρόφασις ἀπάτης Ἀχιλλεῖ γένηται ⟨δι'⟩ Ἀπόλλωνος (Il. 21. 599), δυνηθῇ δὲ καὶ Σκάμανδρος παρεμποδίσαι Ἀχιλλεῖ.

28. καὶ δέ τε μιν καὶ πρόσθεν] ἔτι καὶ πρόσθεν αὐτὸν ὁρῶντες ἔτρεμον.
*καὶ δέ τε μιν] διὰ τοῦ ῑ "καὶ δέ τι μιν."

A+ 29. *αἰνῶς] δύναται τὸ "αἰνῶς" ἑκατέροις συντάσσεσθαι.

30. δείδω μὴ καὶ τεῖχος] τινὲς γράφουσιν ἀντὶ τοῦ "δείδω, μὴ καὶ τεῖχος" "οὐ μέντοι μοῖρ' ἐστὶν ἔτι ζῳοῦ Ἀχιλῆος Ἰλίου ἐκπέρσαι εὐναιόμενον πτολίεθρον· πέρσει δουράτεός ⟨θ'⟩ ἵππος καὶ μῆτις Ἐπειοῦ." πῶς γὰρ ὁ εἰδὼς "μοῖράν τ' ἀμμορίην τε" (Od. 20. 76) νῦν διστάζει;

A+B– ὑπὲρ μόρον] Ἀριστοφάνης καὶ οἱ πλείους ὑφ' ἓν προηνέγκαντο τὸ "ὑπέρμορον," ὡς ὑπέρβιον· ἀντὶ ἐπιρ⟨ρ⟩ήματος δὲ τοῦ ὑπερμόρως κεῖται, ὡς καὶ τὸ πληθυντικόν, "ἔνθα κεν Ἀργείοισιν ὑπέρμορα" (Il. 2. 155). δύναται μέντοι καὶ ἐνθάδε καὶ ἐν τῇ Ὀδυσσείᾳ (1. 35) "ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον" κατὰ διάλυσιν ἀναγινώσκεσθαι.

1. ἄνω A: ἄλλοις ut B || 11. ὁ B: οἱ || 19. suppl. W || 22. τοῦ ῑ A: τοῦτο || 25. Ἀχιλλῆος || 26. πέρσει δουράτεός θ' Spitzner, πέρσε δὲ δουράτεος coni. Heyne, δουράτεος δ' ἵππος πέρσει Nauck, πέρσει δουράτεος Ludwich: ἔπερσε δουράτεος

Digitized by Google

33. Ἥρη μέν] Ἥρα εἰς νόμιμον γάμον ἀδικηθέντι Μενελάῳ βοηθεῖ, Ἀθηνᾶ δὲ τοῖς δικαίως καὶ φρονίμως μαχομένοις. A= B=

34. ἠδὲ Ποσειδάων] νησιῶται γὰρ οἱ πλείους Ἑλλήνων· καὶ "εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσιν" (Il. 8. 203)· ἢ διὰ Λαομέδοντα.

ἐριούνης] ὁ ἐρευνητικός—λόγος γάρ ἐστιν—ἢ ὁ μέγιστα ὠφελῶν πλεονάζοντος τοῦ υ, οἱ δὲ τραγικοὶ τὸν καταχθόνιον· ἐπεὶ οὖν μετὰ λόγου ποιοῦνται τὴν μάχην οἱ Ἕλληνες, βοηθεῖ αὐτοῖς· ἅμα δὲ καὶ διὰ Κυ⟨λ⟩λήνην. B−

36. Ἥφαιστος δ' ἅμα] πολέμιος Ἄρει, φίλος Ἀθηνᾷ. "Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη" (Od. 6. 233), καὶ "μητρὶ φίλῃ ἐπίηρα φέρων" (Il. 1. 572). καὶ ὅτι τεχνικὸν τὸ Ἑλληνικόν. B−

βλεμεαίνων] οἷον βλεμεαίνων ὡς ὑδρηλὸς διὰ τὸ πῦρ (Il. 18. 398)· ἢ ἐπεὶ τὰ ἄνω δεινός ἐστι καὶ "πέλωρ αἴητον" (ib. 410).

37. ῥώοντο] ἐρρωμένως ἐπειρῶντο βαδίζειν. B=

38. Τρῶας Ἄρης] ἁρπαγῆς καὶ βίας ὁ Ἄρης δεσπόζει· φησὶ δὲ "ἐπιδήμιοι ἁρπακτῆρες" (Il. 24. 262). B−

39. ἀκερσεκόμης] ἐπεὶ κουροτρόφος· ἐπὶ δὲ τοῖς πένθεσιν ἐκείροντο. ⟨τούτῳ⟩ οὖν εὐχόμεθα [ἀπενθ]εῖς ἡμᾶς διατηρεῖν. B=

40. Ξάνθος τε] ὅτι οὐ προσυστήσας τὴν διωνυμίαν τοῦ Ξάνθου κατεχρήσατο (cf. 74). A+

φιλομειδής—Ἀφροδίτη] χορῶν γὰρ δεσπόζει σὺν Ἀρτέμιδι· οἱ δὲ Τρῶες "χοροιτυπίῃσιν ἄριστοι" (ib. 261)· τοξόται τέ εἰσιν οὗτοι οἱ θεοί, τοξόται δὲ καὶ οἱ Τρῶες. B+

φιλομειδής] γράφεται "Διὸς θυγάτηρ·" ἄτοπον γὰρ τὸ "φιλομειδής" ἐπὶ τῆς πολεμούσης. §. Ἀίδης οὐ βοηθεῖ—ἀπωλείαις γὰρ ἥδεται—οὐδὲ Ἥλιος· ἢ γὰρ ἂν πάντας ὁμοίως ἔβλαψεν σκοτοποιῶν· Δημήτηρ δὲ καὶ Διόνυσος καρποφόροι ὄντες ἄχθονται τῷ πολέμῳ δηοῦντι τοὺς καρπούς. B=

44. Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον] ἀντὶ τοῦ Τρώων, ὡς "Τρῶας δὲ στίχας—Ἄρης ὤτρυνε" (Il. 5. 461). A−

11. δαίδαε || 14. οἷον βλεεμένων || καὶ ante διὰ omisi || 19. ἁρπακτῆρες codd. Il.: ἁρπαστῆρες || 21. supplevi prius ex B || 29. οὐδὲ scripsi: οὔτε || πάντας post ὁμ. iteratum: omisi || 31. διὰ B, δηοῦντι || 32. schol. cum l. 23 cohaeret omisso ad verba Τρῶας—ἕκαστον lemmatis signo

Digitized by Google

B– 48. ὦρτο δ' Ἔρις—λαοσσόος] πῶς λαοσσόον τὴν Ἔριν προσηγόρευσεν; οὐ γὰρ σῴζουσα βλέ[πεται] ἀλλὰ φθείρουσα μᾶλλον τὰ πλήθη. ῥητέον δὲ ὅτι ἔριν οὔ φησιν αὐτὴν τὴν θεὸν—οὐ γὰρ προεῖπεν αὐτὴν ἐν τῷ λόγῳ—ἀλλὰ τὴν τῶν θεῶν τῶν Τρωικῶν τε καὶ Ἑλληνικῶν φιλονεικίαν· ἡ γὰρ τούτων πρὸς ἀλλήλους ἔρις σωστικὴ ἐγίνετο τῶν ἀνδρῶν. ἔστιν οὖν ὅμοιον τῷ "ὦρσε δὲ τοὺς μὲν Ἄρης" (Il. 4. 439).

B= Ἔρις—λαοσσόος] ἡ τοὺς λαοὺς σεύουσα καὶ παρορμῶσα.

ἄλλως: ὦρτο δ' Ἔρις—αὖε δ' Ἀθήνη] πανταχόθεν τὴν ἐνέργειαν [κιν]εῖ· [καὶ] οἷ[δε] μὲν σάλπιγγας ὁ ποιητής, τοὺς δὲ ἥρωας οὐ ποιεῖ χρωμένους τεραστιωτέρας οἰόμενος τὰς τῶν [ἀνδρῶν καὶ] θεῶν μεγαλοφωνίας.

B– 52. κατ' ἀκροτάτης πόλιος] ἰδίως διαλύσας τὴν λέξιν ὑπερτέθεικε τὸ ἄκρον αὐτῆς, ἀντὶ τοῦ ἄκρης "ἀκροτάτης" εἰπών.

A+ 53. θεῶν ἐπὶ Καλλικολώνῃ] οὕτως Ἀρίσταρχος, ὡς Ἀχαιῶν

B– λιμένα (cf. Strabo p. 595). §. τὴν δὲ πρόθεσιν ἡ συνήθεια οὐκ ἀναστρέφει, καίτοι δυναμένην ἀναστρέφεσθαι.

B– ἐπὶ Καλλικολώνῃ] Δημήτριος ὁ Σκήψιος Καλλικόλωνον καλεῖσθαί φησι λόφον σταδίων πέντε τὴν περίμετρον, κεῖσθαι δὲ μεταξὺ Ἰλιέων κώμης καὶ Σιμοῦντος· ἀπέχει δὲ Σιμοῦντος μὲν στάδια πέντε, Ἰλιέων δὲ κώμης δέκα. θεοῖς δὲ ἀνατίθησιν αὐτὴν ὡς πλήθουσαν λιβάσι καὶ λειμῶσιν.

56. δεινὸν δὲ βρόντησε] φαντασίαν ποιεῖ, ὡς περὶ τῶν ὅλων κίνδυνον εἶναι δοκεῖ⟨ν⟩.

A= 58. γαῖαν ἀπειρεσίην] ὅτι διέστειλε τῆς γῆς τὰ ὄρη, ὡς ἐκεῖ "γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος" (Il. 15. 193).

B+ 59. ⟨πολυ⟩πίδακος] πίδαξ παρὰ τὸ ἰδίω τὸ ἱδρῶ· ἱδρῶτα γὰρ γῆς τὰς πηγὰς οἱ φυσικοὶ λέγουσιν.

B= 61. ἔδδεισεν δ' ὑπένερθε] εἰ ὁ τοῦ θανάτου δεσπότης δέδιε, τίνα χρὴ νομίζειν περὶ τοὺς ἀνθρώπους συμβῆναι διάθεσιν; οὐ παρατάσσει δὲ Ἅιδην· ἀπωλείαις γὰρ ἥδεται. ἢ καὶ σεμνότερον αὐτὸν νομίσας· Δία γοῦν καταχθόνιον αὐτὸν καλεῖ (Il. 9. 457).

62. ἐκ θρόνου ὦρτο] ἐκπληκτικὸν τοῦτο, μὴ μόνον δεῖσαι ἀλλὰ καὶ ἀναθορεῖν τοῦ θρόνου· εἶτα καὶ τὸ "ἴαχε" κινητικὸν τῆς διανοίας τοῦ δείσαντος.

4. τῶν scripsi: πῶς || 6. ἐγένετο B || 18. αὐτὸν ante καλ.: omisi ut B || 20, 21 κωμῶν || 23. τὸν ὅλον: corr. W || 26. δέ τοι || 27. ἰδῶ τὸ ut B

Digitized by Google

65. *εὐρώεντα] ὅτι πάντα χωρεῖ.

68. ἵστατ' Ἀπόλλων Φοῖβος] λοιμῶν αἴτιος ὁ Ἀπόλλων τοῦ περιγείου μέρους σὺν Ἀρτέμιδι δεσπότης ὤν, ὑγείας δὲ Ποσειδῶν διὰ τῶν πνοῶν, εἴγε φησὶν "Ὠκεανὸς ἀνίησιν" (Od. 4. 568) "ἰκμενόν" τε "οὖρον" καὶ ἀποκαθαίροντα. εἰσὶν ἀλλήλοις ἀντιπαθεῖς φύσει. χολᾷ δὲ Ἀπόλλωνι ὡς ἐπικουροῦντι παρὰ τὸ δέον Τρωσίν. B− §. σέβε δὲ θεούς, εἰδὼς ὅτι εἰς τὸ κεχαρισμένον τῶν φίλων καὶ ἀλλήλοις μάχονται. ὅσον δὲ κακὸν ἡ στάσις, ὅτε καὶ πρεσβυτέροις νέους ἀντιτάσσει. B−

69. ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη] ἡ φρόνησις· διὸ καὶ φυλάττει τὰς ἀκροπόλεις· ὁ δὲ Ἄρης ταραχώδης ⟨καὶ⟩ ἀλλοπρόσαλλος. παρθένος ἡ Ἀθηνᾶ, ὁ δὲ Ἄρης μοιχός· καὶ ὁ Τρωικὸς δὲ πόλεμος ἐκ μοιχείας τὴν ἀρχὴν εἴληφεν. B=

Ἐνυαλίοιο] Ἐννάλιος παρὰ τὸ αὔειν, ὅ ἐστι βοᾶν—φησὶ γοῦν "ὅσ⟨σ⟩ον τ' ἐννεάχιλοι" (Il. 5. 860)—ἢ παρὰ τὸ ἕνω, ὅθεν αὐτοέντης. B−

70. Ἥρῃ δ' ἀντέστη] ὁ μὲν συνάπτων τῷ αἰθέρι ὑγρὸς ἀὴρ σωτήριός ἐστι—διὸ καὶ τελεία καὶ Εἰλειθυιῶν μήτηρ ἡ Ἥρα—ὁ δὲ περίγειος ἀὴρ ὑπὸ Ἀρτέμιδος· ὅθεν φησὶν "ἐπεί σε λέοντα γυναιξὶν ⟨Ζεὺς θῆκεν⟩" (Il. 21. 483). οἳ δέ, ὅτι ἡ μὲν σελήνη ἡ δὲ Ἥρα ἀήρ, δι' ἣν ἔκλειψις γίνεται. B+

⟨Λητοῖ δ'⟩ ἀντέστη] τινὲς "ἄντα ἔστη·" οὐδέποτε δὲ τὸ "ἄντα" ἄλλῃ συντάσσεται πτώσει ἢ γενικῇ. B+

72. Λητὼ ἡ λήθη, ὅτι λήθην ἁμαρτημάτων δι' αὐτῆς αἰτοῦνται λαβεῖν παρὰ τῶν παίδων.

σῶκος] ὡς παρὰ τὸ θάσσω θᾶκος σάω σάκος, οὕτω σῴζω σῶκος. B+

73. ἄντα δ' ἄρ' Ἡφαίστοιο] τὸ ὕδωρ τῷ πυρί· Ξάνθος δὲ καλεῖται, ἐπεὶ τὰ σώματα τῶν λουομένων ἢ τοὺς καρποὺς ξανθίζει, οἳ δέ, ὅτι πρὸ τῆς κρίσεως Ἀφροδίτη λουσαμένη αὐτοῦ ξανθὴ γέγονεν. §. ἐνταῦθα δὲ μόνον τὴν διωνυμίαν ἐπεσημήνατο (74). B−

74. ὃν Ξάνθον καλέουσι θεοί] παρὰ Μουσῶν ταῦτα οἶδεν· τινὲς δὲ τὰ εὐφραδέστερά φασιν αὐτὸν ἀνατιθέναι ⟨τοῖς θεοῖς⟩. B=

75, 6. Ἀχιλλεὺς Ἕκτορος ἄντα] ἐφαμίλλους θεοῖς δείκνυσι τοὺς ἥρωας, παράλληλον θεὶς τὴν μνήμην αὐτῶν. B=

5. εἰς ἀλώσεις ἀντιποθεῖ φύσιν: corr. W ‖ 8. ὅτε B: ὅτι ‖ 10. supplevi ex B ‖ 16. συναπτόμενος B ‖ 18. Ἀρτέμιδι ἀνάκειται B ‖ 19. οἳ W: εἰ ‖ 20. γίνεται scripsi: γρ. ‖ 23. Λητὼ pro lemmate scriptum ‖ 31. ἀνατ. W: παρατ.

Digitized by Google

B= 76. Ἕκτορος ἄντα μάλιστα λιλαίετο δῦναι ὅμιλον] εἰς τὴν Ἕκτορος ἐναντίαν μάχην.

A+B= 77. μάλιστά γε] "μάλιστά ἑ" μάλιστα αὐτόν, οὕτως.

B= 78. ταλαύρινον] ἐν τῷ πολεμεῖν ὑπομονητικόν.

A= 79. Αἰνείαν δ' ἰθύς] ὅτι ἐπ' εὐθείας καὶ κατ' ἐναντίον.

B= ἄλλως: Αἰνείαν δ' ἰθύς] ἀμβλύνων αὐτοῦ τὴν καθ' Ἕκτορος ὁρμήν. §. παράδοξον δὲ τὸ μονομάχιον, καὶ τοὺς ἐκ β' θεαινῶν πολεμεῖν ἐναγώνιον.

B– 83. ποῦ τοι ἀπειλαί] παιδευτικὰ καὶ ταῦτα, τῆς παρὰ τοῖς συμποσίοις προπετείας ἀπαλλάσσοντα, δι' ὧν φησι τὸν Αἰνείαν διὰ τὰς παρ' οἴνῳ ὑποσχέσεις ὀλίγου δεῖν κινδυνεῦσαι. τοιαῦτα δὲ καὶ τὰ παρ' Ἕλλησίν ἐστιν ἀκοῦσαι· "πῇ ἔβαν εὐχωλαί, ὅτε δὴ φάμεν εἶναι ἄριστοι, ἅς, ⟨ὁ⟩πότ' ἐν Λήμνῳ κενεαυχέες ἠγοράασθε— πίνοντες κρητῆρας ἐπιστεφέας οἴνοιο, Τρώων ἄνθ' ἑκατόν γε διηκοσίων τε" (Il. 8. 229–233)· οἱ δὲ παρὰ τοῖς βαρβάροις ὡς παράδοξόν τι, Ἀχιλλεῖ συστῆναι.

A–B– 84. ὑπίσχεο οἰνοποτάζων] πίνων ἔφη, οὐχὶ ἐσθίων. κἀκεῖ ἄρα δεόντως ἀθετεῖται οὗτος ὁ στίχος "ἔσθοντες κρέα πολλὰ βοῶν ὀρθοκραιράων"

A=B– (Il. 8. 231). §. βασιλεῖς δὲ καὶ τοὺς κατὰ μέρος ἄρχοντας ἔλεγον· "δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες" (Od. 8. 390).

A=B– 89. οὐ μὲν γὰρ νῦν πρῶτα] διόλου παρατηρητέον, ὅτι κατὰ μέρος τὰ ἔργα τοῦ Ἀχιλλέως δεόντως δεδήλωκεν· "δώδεκα δὴ σὺν νηυσὶ πόλεις—πεζὸς δ' ἕνδεκά φημι" (Il. 9. 328, 9). νῦν δὲ καὶ ἀξιοπιστότερον τὸ παρὰ τοῦ πολεμίου ἐγκώμιον.

B= 90. δουρὶ φόβησεν] φιλαλήθης ὃς τὴν ἧτταν οὐκ ἀποκρύπτει.

B= 94. Ἀχιλλῆος καὶ Ἀθήνης] εὐπρεπῶς ἐπεκάλυψε τὴν ἧτταν, φάμενος Ἀθηνᾶν αὐτῷ συλλαμβάνεσθαι.

B– 95. τίθει φάος] σωτηρίαν, ὡς "φόως δ' ἑτάροισιν ἔθηκεν" (Il. 6. 6), "ἤν πού τι φόως Δαναοῖσι γένωμαι" (Il. 16. 39).

B= 98. πάρα εἷς γε θεῶν] εὐπρεπῶς καὶ τοῦτο, ἵνα διὰ τὴν τῶν θεῶν βοήθειαν καὶ μὴ διὰ τὴν ἰδίαν δειλίαν ὀκνεῖν δοκῇ.

100, 1. ⟨εἰ δὲ θεός περ⟩ ἶσον τείνειεν πολέμου τέλος] ἐξ ἴσου ὑπὸ θεῶν βοηθουμένων ἡμῶν.

3. μάλιστά γε etiam textus ‖ 5. καταναντίον ‖ 9. τῆς B: τοῖς ‖ 18. ὀρθοκρεράων

Digitized by Google

101. τείνειεν] τροπικῶς τῷ ῥήματι ἀπὸ τῶν ζυγῶν κέχρηται. B=

104, 5. καὶ σὺ θεοῖς—εὔχεο] ἀναιρεῖ τὴν πρόφασιν ἐπ' εὐχαῖς θεοῦ ἀναπέμπων τὸν Αἰνείαν.

105. καὶ δὲ σέ φασι] ὀρθοτονητέον τὴν ἀντωνυμίαν καὶ τὸν A+ "δέ" ἀντὶ τοῦ γάρ ἀκουστέον.

107. ἣ μὲν γὰρ Διός ἐστι] σεσημείωται πρὸς τοὺς ἑξῆς ἄκαιρον A= γενεαλογίαν ἔχοντας, καὶ ὅτι ἐκ Διὸς ἡ Ἀφροδίτη καθ' Ὅμηρον.

108. ἀλλ' ἰθὺς φέρε χαλκόν] ἀναγκαῖον καὶ τοῦτο· καταπλήξει B= γὰρ αὐτὸν ὁ Ἀχιλλεύς, ὅπερ ἔδει προλαβεῖν τὸν θεόν, πρὸ τῆς συμβολῆς.

109. λευγαλέοις] εὐτελέσι καὶ ἀχρείοις· πρὸς τοὺς ἐκδεχομένους A+B= τὸν "λευγαλέον θάνατον" (Il. 21. 281) ἀντὶ τοῦ λυγρόν.

113. οὐλαμόν] τὸ πύκνωμα, ἀπὸ τῆς οὐλότητος, ἢ τὴν εἴλησιν. AB=

114. ἣ δ' ἄμυδις] Ἀρίσταρχος ἄρθρον ἐκδέχεται τὸ "$\bar{η}$" AB+ ὑποτακτικόν, τὸν δὲ "δέ" παραπληρωματικὸν σύνδεσμον· "οὐδ' ἔλαθε λευκώλενον Ἥρην—ἣ δ' ἄμυδις καλέσασα θεούς·" Ζηνόδοτος δὲ περισπᾷ τὸν "$\bar{η}$" καὶ ψιλοῖ ῥῆμα ἐκδεχόμενος, ⟨ὡς⟩ τὸ "ἦ καὶ κυανέῃσιν·" (Il. 1. 528), καὶ ὅλον τὸν στίχον μεταποιεῖ, "ἦ δ' ἄμυδις καλέσασα θεοὺς ῥεῖα ζώοντας" ἔφη δὲ εἰς ἓν συναγαγοῦσα τοὺς θεούς· οὐ χρῆται δὲ Ὅμηρος τῷ "ἦ" ῥήματι ἐν ἀρχῇ ἀλλ' εἰρημένοις αὐτὸ ἐπάγει, τὸ δὲ 'ἔφη' καὶ λεχθησομένων προτίθησιν, ὡς ἐν τῷ "τὸν δὲ βαρὺ στενάχων προσέφη" (Il. 4. 153), καὶ εἰρημένοις ἐπάγει, "ὣς ἄρ' ἔφη καὶ ἀναΐξας" (Il. 1. 584).

ἄμυδις] ψιλοῦται καίτοι παρὰ τὸ ἅμα παρηγμένον· καὶ τάχα AB— ἁμάδις αὐτὸ ἔδει εἶναι ὡς "χαμάδις," τροπῆς δὲ ἅπαξ γενομένης Αἰολικῆς τοῦ $\bar{α}$ εἰς $\bar{υ}$ ἐψιλώθη Αἰολικῶς καὶ τὸ πνεῦμα. προπαροξύνεται δὲ ὁμοίως τῷ "ἄλλυδις·" καὶ ἔστι δύο ταῦτα προπαροξυνόμενα τῶν εἰς $\overline{δις}$ ἐπιρρημάτων τῷ υ παραληγόμενα. ὅτι δὲ ψιλοῦται, δηλοῖ καὶ ἡ συναλ⟨ο⟩ιφή· "οἵ τ' ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὁμίχλην" (Il. 13. 336).

καλέσασα] Ζηνόδοτος οὕτως, Ἀρίσταρχος "στήσασα." A+

115. Ποσειδάων καὶ Ἀθήνη] δι' ὑπεροχὴν τούτους προσεφώνησεν.

2. schol. p. 314, l. 33 adhaeret ‖ σὺν θ. ‖ 7. ἡ Ἀφροδίτη A : ἥρα ‖ 15. δὲ δὴ ‖ 18. κυανέῃσιν A : κίνησιν ‖ 21. αὐτὸς πᾶσι : corr. Ludwich ex l. 22 ‖ λεχθησόμενον ‖ προστίθησι : corr. Ludwich ‖ 24. ὁμοῦ ὃν pro ἅμα παρηγμένον B ‖ 25. ἀμάδις B : ἀμύδις ‖ 29. supplevi ex B ‖ 32. Ἀθήνα

Digitized by Google

A + B = 125–8. ἠθέτηνται στίχοι δ' ὡς ἐναντιούμενοι τοῖς ὑπὸ Διὸς εἰρημένοις, "δείδω μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ" (30). ἢ αὔξει τὴν πρὸς ἐκεῖνον φιλοστοργίαν τῷ δεδοικέναι.

B + 127. ἅσσα οἱ αἶσα] τὸν τοῦ παντὸς λόγον Ζῆνα καλεῖ, ἐπεὶ τοῦ ζῆν αἴτιος, Δία δέ, ἐπεὶ διὰ τοῦτον τὰ πάντα, αἶσαν δὲ παρὰ τὸ δαίω τὸ μερίζω καὶ μοῖραν· εἱμαρμένην παρὰ τὸ μείρω· πεπρωμένην, ὅτι πάντας εἰς πέρας ἄγει· Λάχεσιν δὲ παρὰ τὸ ἕκαστον λαγχάνειν "ἥ περ λάχε γεινόμενόν περ" (Il. 23. 79)· πρόνοιαν δὲ δι' ὧν εὐρύοπα καλεῖ αὐτόν. τῆς δὲ ἀνάγκης ἀπαραβάτου αἰτίας οὔσης φησὶν "ἀναγκαίη γὰρ ἐπείγει" (Od. 19. 73). τύχην γὰρ οὐκ οἶδεν, ἀλλὰ τὸ ἀπ' αὐτῆς· "οὕνεκά μοι τύχε πολλά" (Il. 11. 684).

B = 133. μὴ χαλέπαινε παρὲκ νόον] παρὰ τὸν καθήκοντα νοῦν.

B = §. πρεσβυτικῶς δὲ πάνυ οὐ βούλεται μάχης ἄρχειν.

134. ἔριδι ξυνελά⟨σ⟩σαι] λείπει τὸ μάχεσθαι, ἵν' ᾖ ὡς τὸ "τίς τ' ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε" (Il. 1. 8).

137. ἐκ πάτου] πόρρω, ἔξω. §. "ἑέ" (171) πλεονασμῷ τοῦ

A = κατ' ἀρχὴν ε, ὥσπερ καὶ ἐπὶ τοῦ οὗ οἷ ἑοί· ἅμα δὲ τῷ πλεονασμῷ ἀνέδραμε τὸ πνεῦμα, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων πλαγίων.

A + 138. εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης] τὸ σχῆμα Ἀλκμανικὸν καλεῖται· κατακορέστερον γὰρ αὐτῷ χρῆται ὁ Ἀλκμάν. ἔστι δὲ προεπίζευξις ὅμοιον τῷ "ἦ μὲν δὴ θάρσος—Ἄρης τ' ἔδοσαν καὶ Ἀθήνη" (Od. 14. 216).

A = B − ἄλλως: εἰ δέ κ' Ἄρης ἄρχωσι] Ἀρίσταρχος προκρίνει τὴν διὰ τοῦ ω γραφήν· λέγει δὲ καὶ διὰ τοῦ ⟨η⟩ γράφεσθαι "ἄρχησιν."

ἢ Φοῖβος Ἀπόλλων] οὕτως Ἀρίσταρχος. καὶ ὁ "η" ἀντὶ τοῦ καί. §. ἔμφασιν δὲ ἔχει τὸ ὀκνεῖν μὲν ἄρχεσθαι, θαρρεῖν δέ, ὡς καὶ προλαβόντες ἡττηθήσονται. §. γράφεται "εἰ δέ κεν ὣς ἄρχωσιν Ἄρης καὶ Φοῖβος Ἀπόλλων."

B = 140. παρ' αὐτόφι] παρ' αὐτοῖς, οὐ παρ' αὐτά· προεῖπε γὰρ "αὐτίκα."

145. τεῖχος ἐς ἀμφίχυτον] εὐκαίρως Τρωικὴν ἱστορίαν παρέλαβε Τληπόλεμος αἴρων τὴν ἀρετὴν τοῦ πατρός (Il. 5. 638).

1. lemma ἵνα μή τι μετὰ Τρώεσσι πάθῃσιν (126) omisi ut B ‖ 8. ἥπερ ‖ 17. iteratur* πόρρω, ἔξω ‖ 18. οὗ οἱ ἕοι: corr. W ‖ τῷ A: πως ‖ 22. τ' Ἄρης ‖ 22, 23. καὶ Παλλὰς Ἀθήνη ‖ 28. εἰδικῶς ὡς ἀρχ.

Digitized by Google

ϑ. "ἀμφίχυτον" δὲ τὸ περικεχωσμένον—φησὶ γὰρ "χεύαντες δὲ τὸ σῆμα πάλιν κίον" (Il. 23. 257)—ὅτι οὐκ ἐκ λίθων, ἀλλ' ἐξ ἀναχώματος ἦν, ὑπὲρ τοῦ ῥᾳδίως ἀνατρέχειν τὸν Ἡρακλέα ἐπ' αὐτὸ τὴν τοῦ κήτους ὑποφεύγοντα ἔφοδον. B=

147. ὄφρα τὸ κῆτος] οὔτε ποῖον κῆτος οὔτε τίνος ἕνεκα, ὡς διαβεβοημένης τῆς ἱστορίας.

τὸ κῆτος] ὡς διαδεδομένης τῆς ἱστορίας τῷ ἄρθρῳ κέχρηται. A+

149. καὶ θεοὶ ἄλλοι] οὐ πάντες, ἀλλ' οἱ Ἑλληνικοί· καραδοκοῦσι γὰρ τὴν ἐκείνων καταρχήν. B=

152. ἤιε Φοῖβε] παρὰ τὸ ἰέναι τὰ βέλη, καὶ δασύνεται· οἱ δὲ παρὰ τὴν ἴασιν, καὶ ψιλοῦται. B=

154. δυσηλεγέος] κακοκοιμήτου—οὐκ ἔστι γὰρ αὐτὸν κοιμηθῆναι δίχα πολλῶν θανόντων—ἢ κακὰς φροντίδας ἔχοντος. εἰ δὲ θεοὶ ὀκνοῦσι πολεμεῖν, πολλῷ μᾶλλον ἡμεῖς. B=

155. * κέλευε] βοηθεῖν οἷς βούλονται.

157. κάρκαιρε δὲ γαῖα] τινὲς εἰς τὸ "γαῖα" διαστέλλουσιν.

ἄλλως: κάρκαιρε] ἐκραδαίνετο, ἐσείετο. B+

161. Αἰνείας δὲ πρῶτος] ἔδει εἰπεῖν 'πρότερος.'

* πρῶτος] πρότερος.

162. νευστάζων κόρυθι] ἐζωγράφησεν ἅπαντα.

βριαρῇ] καταπληκτικῇ, ὡς "βριθύ, μέγα, στιβαρόν" (Il. 5. 746)· οὐ γὰρ ἐγκώμιον δόρατος τὸ βαρύ. B=

164. λέων ὥς] λέοντι εἴκασται οὐ πεινάοντι (Il. 3. 25) ἢ τὸ πῖαρ ἑλεῖν θέλοντι (Il. 17. 659) ἢ σκυμναγωγοῦντι (Il. 18. 319) ἢ σταθμοὺς πορθοῦντι (Il. 16. 752), ἀλλὰ ὅλην χώραν λυμαινομένῳ, ἣν γεωργεῖν μὴ δυνάμενοι συνίασι κατ' αὐτοῦ. ὁ δὲ πρῶτα μὲν φλαυρίζει ὡς ὅτε θελήσειε κρατεῖν αὐτῶν δυνάμενος· ἐπὰν δὲ βληθῇ, ἐρεθίζεται καὶ συστρέφει ἑαυτὸν ἑτοιμάζων πρὸς τὸ πηδῆσαι. B=

166. πρῶτον μὲν ἀτίζων] καὶ Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων (IX p. 629 b 10) ἱστορεῖ, ὅτι οὐδέποτε δεδοικὸς τὸ ζῷον οὐδὲ ὑποπτεύει ἔφοδον· ἣν δὲ ὑπὸ περιστάσεως ἀναγκασθῇ φυγεῖν, ὑπὸ σκέλος χωρεῖ.

168. δουρὶ βάλῃ] καὶ μὴ τετρωμένον τρωθέντι λέοντι εἰκάζει· B=

1. περικεχυμένον B || 10. Φοίβῳ || 13. θανόντων scripsi: θανάτων ut B || 23. τὸ B: τοι || 27. φαύλως κινεῖται B || 31, 32. κατὰ σκέλος Aristot. codd. || 33. βάλλει

τότε γὰρ ἰσχυρότερος ἑαυτοῦ γίνεται· ἢ ὅτι, ὅσον τὸ καθ' ἑαυτόν, ἔτρωσεν αὐτὸν ἀκοντίσας ὁ Αἰνείας (262)· τότε γοῦν ὡς τρωθεὶς ὥρμησεν· τὰ γὰρ πρῶτα καὶ ἀπέτρεπεν αὐτὸν καθ' Ἕκτορος ὡρμημένος.

B= 168. * ἑάλη] συνεστράφη πρὸς τὸ πηδῆσαι.

B— 169. ἐν δέ τε οἱ κραδίῃ] εἰ μέν ἐστιν εὐθείας τὸ "κραδίη," τοιοῦτόν ἐστιν 'στένει ἡ καρδία' ἥτις ἐστὶν ἦτορ, εἰ δὲ δοτικῆς, ἀγγεῖον τῆς ψυχῆς ὑπονοητέον τὴν καρδίαν. τὸ δὲ πρότερον ὁμηρικώτερον· φησὶ γὰρ "τέτλαθι—κραδίη" (Od. 20. 18) καὶ ἐπάγει "καθαπτόμενος φίλον ἦτορ" (ib. 22). θερμὸς δὲ φύσει ὢν ἐπὶ πλέον θερμαίνεται· διὸ στένει.

B+ 170, 1. ⟨οὐρῇ—⟩ μαστίεται] ἔχει γὰρ ὑπ' αὐτῇ κέντρον μέλαν ὡς κεράτιον.

B= 172. γλαυκιόων] ἔμπυρον ὁρῶν, παρὰ τὸ γλαύ⟨σ⟩σω, ἀφ' οὗ καὶ γλαύξ, ὃ μόνον τῶν γαμψωνύχων καὶ σαρκοφάγων οὐ τίκτει τυφλὰ διὰ τὸ πολὺ πυρῶδες, ὃ περ⟨ὶ⟩ τοὺς ὀφθαλμοὺς ἔχει, ὃ τμητικὸν ὂν διεγείρει τὴν θέαν· διὸ καὶ ἐν ταῖς σκοτομήναις τῶν νυκτῶν ὁρᾷ.

A–B= 180. ἀθετοῦνται στίχοι ἑπτὰ ὡς καὶ τὴν διάνοιαν ἀπρεπεῖς καὶ τὴν σύνθεσιν εὐτελεῖς. πῶς γὰρ ὁ τοσοῦτον σπεύδων κατὰ τῶν ἐχθρῶν ἠμβλύ⟨ν⟩ται τοσοῦτον; ἢ τάχα ἔντεχνοι οἱ λόγοι· μέγιστον γὰρ εἰς κατάπληξιν τῶν ὁμοφύλων φεύγων ὁ πρῶτος ὀφθείς, καὶ στρατηγικὸν τὸ ἀκινδύνως φοβεῖν τοὺς πολεμίους. καὶ καθ' Ἕκτορος ἔχει τὴν πᾶσαν ὁρμήν· φησὶ γὰρ "Ἕκτορος ἄντα μάλιστα" (76). εἰκότως οὖν πρῶτα μὲν ὁρμῇ λέοντος αὐτὸν ἐκδειματοῖ, ὡς δὲ μένει, λόγοις, σπεύδων ἐπὶ Ἕκτορα. ἄλλως τε κερτομεῖ τὸν Αἰνείαν ὡς ἐνεδρεύοντα τῇ Πριάμου ἀρχῇ.

B= ἐλπόμενον—ἀνάξειν] ἐντέχνως τὸ κατόρθωμα ἄξιον βασιλείας ἀποφαίνει.

B= 181. τιμῆς τῆς Πριάμου] λείπει τὸ ἀντί. ἢ ἐν Τρωσὶν ἀνάξειν τῆς τιμῆς Πριάμου.

B+ 183. ἀεσίφρων] κοῦφος τὴν φρένα.

B= 188. ἦ οὐ μέμνῃ] ἔθος ἀρχαῖον τὸ ἐξονειδίζειν δειλίαν καὶ ἀχαρι-

6. ⟨ἐπ'⟩ ante εὐθ. suppl. W || 7. δοτικῆς B: -ῶς || 15. supra γλαὺξ add. sec. κουκού[φας] || 16. supplevi ex B || 17. διεγείρει B: διαιρεῖ || 18. omisi lemma Αἰνεία τί σοι τόσον (178) ut B || 20. supplevi ex B || ἔντεχνοι B: -εῖς || 25. τε W: καὶ || a praecedenti seiunctum et ἄλλως pro lemmate scriptum: corr. W || 29. τὸ ἀντί B: παντί

Digitized by Google

στίαν· καὶ ἀλλαχοῦ "ὅτε δεῦρο πατὴρ τεὸς ἵκετο φεύγων" (Od. 16. 424). καὶ τὸ μὲν ἀμεταστρεπτὶ φεύγειν ὀνειδισμός ἐστιν ἐσχάτης δειλίας, αὐτὸς δέ φησιν ἑλεῖν καὶ τὴν ὑποδεξαμένην αὐτὸν πόλιν.

βοῶν ἄπο, μοῦνον ἐόντα] ἀναστρεπτέον τὴν ἀπό· τινὲς δὲ τῷ A+B= "σεῦα" (189) συντάσσουσιν αὐτήν. §. Ἀριστοφάνης δὲ γράφει A+ "βοῶν ἔπι."

194. Ζεὺς ἐρ⟨ρ⟩ύσατο] σώσασθαι αὐτόν φησι τὸν θεόν, ἐπειδὴ ἐν Λυρνη⟨σ⟩σῷ οὐκ ἔτυχεν ὤν, ὅτε ἐπόρθει αὐτὴν ὁ Ἀχιλλεύς.

195. ἀλλ' οὐ νῦν σε ῥύεσθαι] ἕως τοῦ "πρίν τι κακὸν παθέειν" A+B− (198) μετηνέχθησαν ἀπὸ τῆς Εὐφόρβου πρὸς Μενέλαον ⟨συ⟩στάσεως (Il. 17. 30–32).

196. ἀλλά σ' ἔγω γε] ὁρῶν αὐτοῦ τὴν προθυμίαν σημειοῦται τὸν B= ἐσόμενον αὐτῷ ὄλεθρον.

200. μὴ δή μ' ἐπέεσσι] ἀποσιωπᾷ τὰ περὶ τῆς ἥττης· ἀπρεπὲς B= γὰρ τὸ συνομολογεῖν πρὸς τὸν πολέμιον. ἐν δὲ τῷ πρὸς τὸν Ἀπόλλωνα λόγῳ εὐπρεπέστερον αὐτὰ ἀνωμολόγησεν (90).

202. ἠμὲν κερτομίας] "κερτομίας" τοὺς σαρκασμούς, οὓς εἶπεν B= ὡς περὶ τῆς ἀρχῆς αὐτοῦ μαχομένου. πιθανῶς δὲ τοῖς λόγοις Ἀπόλλωνος (106) καταχρῆται ὑπομιμνήσκων αὐτόν, ὅτι ἀμείνονος γενέσεως τυγχάνει.

αἴσυλα] τὰς παρὰ τὸ καθῆκον λεγομένας ἀπειλάς. B=

204. * πρόκλυτ' ἀκούοντες] προκλυόμενα καὶ προηκουσμένα.

205–9. ἀθετοῦνται στίχοι ε', ἀκαίρως περὶ τοῦ γένους παλιλλογούμενοι. A+

210. ἕτεροι—φίλον παῖδα κλαύσονται] διὰ τὸ πρὸς δύο εἶναι B= τοὺς γονέας ἑκατέρου. δῆλον δὲ διὰ τούτου, ὅτι ἔτι ζῇ Ἀγχίσης.

211. σήμερον] ἑκατέροις δύναται προσδίδοσθαι τὸ "σήμερον·" A~B= πρὸς διάφορον στιγμήν.

213. εἰ δὲ θέλεις καὶ ταῦτα δαήμεναι] ἔοικε λέγειν ὡς τὸ κατὰ μητέρα μὲν γένος τοιοῦτον, εἰ δὲ καὶ τὸ κατὰ πατέρα θέλεις, πολλοῖς ὂν γνώριμον, ἄκουε.

ἄλλως: εἰ δ' ἐθέλεις καὶ ταῦτα] παρῆκται ἡ ὁμιλία κατ' αἴτησιν B+ ποιητικὴν πρὸς ὠφέλειαν τῶν ἀκροατῶν, ἵνα τὴν Τρωικὴν γενεαλογίαν

7. σώσασθαι scripsi: σπάσασθαι ‖ 9. ἕως τοῦ νῦν πρ. ‖ 10. supplevi ex A ‖ 16. ἀνωμολ. ‖ 19. μείονος B pro ἀμείνονος ‖ 23. lemma σὲ μὲν Πηλῆος omisi, cf. A ‖ 23, 24. παλλιλογούμενοι ‖ 25. πρὸς ante δύο om. B ‖ 32. κατὰ συνήθειαν B: κατ' αἴτησιν

Digitized by Google

μάθωμεν. ἢ ὅτι τοῖς πολεμίοις ἐξεταζόμενα ⟨τὰ⟩ γένη λαμπρότητα φέρει μεγίστην· τοὺς γὰρ εὐγενεῖς καὶ εὐψύχους νομίζουσιν. ἀεὶ δὲ σπεύδει ὁ ποιητὴς παραπλέκειν τὰ ἀρχαῖα γένη, ὥσπερ ἐν τῇ Γλαύκου καὶ Διομήδους συστάσει ὅλον τὸ Αἰόλου γένος εἶπεν (Il. 6. 154), ἀλλὰ καὶ ⟨τὸ⟩ τῶν Μελαμποδιδῶν ἐπὶ τοῦ Θεοκλυμένου (Od. 15. 225) καὶ ἐν τῇ Νεκυίᾳ μυρία ὅσα, καίτοι οὐχ ὑποσχόμενος γενεαλογίας γράφειν.

A+ * δαήμεναι] ἀντὶ τοῦ δάηθι.

215. Δάρδανον αὖ πρῶτον] οὐ ψιλὸν παντάπασι ποιεῖται τὸν κατάλογον, προστίθησι δέ τι δόξης χάριν.

A= 216. Δαρδανίη⟨ν⟩] ἐν τῇ Ἴδῃ· ἑτέρα δὲ τῆς Ἰλίου Δαρδανία, ὥσπερ καὶ ἡ Φρυγία· οἱ δὲ νεώτεροι συγχέουσιν. §. διὰ γὰρ τὰς A= νομὰς καὶ τοὺς ὑετοὺς ἐν τοῖς ὄρεσι πρώην ᾤκουν· ὅθεν καὶ πόλεις τὰς ἀκροπόλεις καλοῦσιν.

A= 219. Δάρδανος] υἱὸς Ἠλέκτρας τῆς Ἀτλαντίδος καὶ Διός· οὗτος ᾤκει ἐν Σαμοθρᾴκῃ· τοῦ δὲ κατακλυσμοῦ συμβάντος ἀσκὸν κατασκευάσας καὶ ὑποδὺς εἰς αὐτὸν ἐφέρετο τοῖς ὕδασιν· προσοκείλας δὲ τῇ Ἴδῃ τὴν Δαρδανίαν ἔκτισεν.

B+ 221. ἵπποι—βουκολέοντο] καὶ Εὐριπίδης (Phoen. 28) "ἱπποA= βουκόλοι." §. ἀναστρεπτέον δὲ τὴν κατά· ἔστι γὰρ 'κατὰ ἕλος.'

B− ἕλος κάτα βουκολέοντο] ἥδονται τοῖς ἕλεσιν καὶ τοῖς θολεροῖς τῶν ὑδάτων αἱ ἵπποι, καί ἐστι φιλόλουτρον τὸ ζῷον· διὸ καὶ τοῦ ποταμίου ἵππου ἡ φύσις οὕτω συνέστηκεν (Aristot. H. A. VIII p. 605$^{a}$ 13).

B= 223. τάων καὶ Βορέης] ἄδηλον μὴ τῶν πώλων ἠράσθη. φησὶ δὲ Ἀριστοτέλης (H. A. VI p. 572$^{a}$ 8) ὁρμητικωτάτην εἶναι τὴν ἵππον πρὸς συνδυασμὸν καὶ ἐξανεμουμένην πρὸς ἄρκτον ἢ πρὸς νότον τίκτειν.

AB= ἄλλως: τάων καὶ Βορέης] λείπει τὸ τινῶν 'τούτων τινῶν'· οὐ γὰρ πασῶν ἠράσθη.

A= 224. παρελέξατο κυανοχαίτης] καταχρηστικῶς, ἀντὶ τοῦ ἐπεβήσατο· καὶ πρὸς τὴν φύσιν τοῦ θεοῦ ὑπήντησεν.

A= ἄλλως: παρελέξατο] γράφεται "ἵππῳ δ' εἰσάμενος ἐμίγη φιλότητι καὶ εὐνῇ."

AB+ 227. ἀνθερίκων] ὑπερβολικῶς εἶπεν· ἔστι δὲ ἀνθέρικος τοῦ ἀσφοδέλου καυλός. οἱ δὲ τοὺς ἀθέρας τοῦ σίτου φασίν, ὡς καὶ Ἡσίοδος

1. supplevi ex B ‖ 2. νομίζουσιν B: -εσθαι ‖ 9. ὀνόμασι ‖ 15. τῆς ante Ἠ. del. W ut A ‖ 23. συνέστηκεν Aristot. codd.: συνήχθη ‖ 33. τοῦ B: τῆς

Digitized by Google

(fr. 137 M.) ἐκλαβὼν ἐπὶ Ἰφίκλου φησὶν "ὅς ῥ' ἐπὶ πυραμίνων ἀθέρων φοίτασκε πόδεσσιν." καὶ ἔστι παρὰ τὸ ἀθέρικος πλεονασμῷ τοῦ ν̄· διὸ καὶ "ἐπὶ ζείδωρον ἄρουραν" (226) φησίν· ταῦτα γὰρ φέρει ἡ ζείδωρος, οὐκ ἀσφοδέλους.

228. ἀλλ' ὅτε δὴ σκιρτῷεν] αἱ Ἀριστάρχου "ἀλλ' ὅτε δέ·" αἱ κοιναὶ "ἀλλ' ὅτε δή." A-B+

229. ῥηγμῖνος] τῆς ἐπιφανείας· "ὑμεῖς μὲν κώπῃσιν ἁλὸς ῥηγμῖνα βαθεῖαν" (Od. 12. 214). A-B=

231. τρεῖς παῖδες] Τρωὸς καὶ Καλλιρόης τῆς Σκαμάνδρου, ὡς Ἑλ⟨λ⟩άνικος.

233. ὃς δὴ κάλλιστος] ἔσχατον αὐτὸν ὀνομάσας πάλιν ἀνέλαβεν, ἐπείπερ αὐτῷ γένος οὐχ ὑπελείπετο. B=

234. τὸν καὶ ἀνηρείψαντο] ὑφ' ἓν τὸ "ἀνηρείψαντο." τινὲς δὲ τὸν "ἄν" σύνδεσμον ἀνεδέξαντο, ἵν' ᾖ ὁ λόγος οὕτω 'τοῦτον δὲ ὅσον ἕνεκα τοῦ κάλλους καὶ ἀνηρείψαντο ἂν οἱ θεοί,' δηλονότι εἰ μὴ ἐτεθνήκει. καὶ γὰρ οὐδέποτε, φασί, παρὰ τῷ ποιητῇ εἰσάγεται οἰνοχοεύων ὁ Γανυμήδης. ἀλλὰ πρὸς τοῦτο λεκτέον, πρῶτον μὲν ὡς οὐδέποτε χωρὶς τοῦ ᾱν̄ ὁ ποιητὴς λέγει τὸ "ἠρείψαντο·" ἔπειτα μὲν ἑτέροις λέγει "δῶχ' υἷος ποινὴν Γανυμήδεος" (Il. 5. 266). τὸ δὲ πάντων μεῖζον, ὁ "καί" συμπλεκτικὸς ἐπιζητεῖ πράγματα ἃ συμπλέκει, ὁ δὲ "ἄν" ἀναιρετικός ἐστι τῶν προϋπαρχόντων· πῶς οὖν δύναται συνταχθῆναι ὁ "ἄν" τῷ "καί"; εἰ δέ φασιν, ὡς οὐ φαίνεται διακονούμενος τοῖς θεοῖς, ἴστωσαν ὅτι δύο συμπόσια παρεισάγονται τῶν θεῶν τῷ ποιητῇ καὶ ἐν μὲν τῷ πρώτῳ γέλωτος ἕνεκεν Ἥφαιστος (Il. 1. 598) οἰνοχοεῖ, ἐν δὲ τῷ ἑτέρῳ Ἥβη (Il. 4. 2)· παρεῖναι γὰρ αὐτὸν οὐκ εἰκὸς εἰς καταστροφὴν Ἰλίου βουλευομένοις θεοῖς. A+B=

ἀνηρείψαντο θεοί] Μνασέας μέν φησιν ὑπὸ Ταντάλου ἡρπάσθαι καὶ ἐν κυνηγεσίῳ πεσόντα ταφῆναι ἐν τῷ Μυσίῳ Ὀλύμπῳ κατὰ τὸ ἱερὸν τοῦ Ὀλυμπίου Διός, Δωσιάδης δὲ ἡρπάσθαι ὑπὸ Μίνω· καὶ ὁ λιμὴν ὅθεν ἡρπάσθη Ἁρπάγια καλεῖται· οἱ δὲ Μίνωος ἀξιοῦντος μιγῆναι κατακρημνίσαι ἑαυτόν, τὸν δὲ θάψαι καὶ πλάσασθαι τῷ πατρὶ ὡς θύελλα καὶ νέφος ἥρπασεν αὐτὸν εἰς οὐρανόν· οἱ δὲ μετὰ κυνηγεσίαν ἀφυπνώσαντα διασπαραχθῆναι ὑπὸ θηρῶν, οἱ δὲ κεραυνωθῆναι· ἤρξατο A~B—

1. ἀλλ' ἐπὶ π. Eust. ad Il. 2. 695 ‖ 1, 2. πυραμίνων ἀθέρων Eust.: πυρίνης ἀθέρας schol. Laur. Ap. Rhod. 1. 45, πυραμίνους ἀθέρας ut B ‖ 2. δρομάασκε Eust. ‖ ἀνθέρικος ‖ 7. ἡμεῖς ‖ post ἐπιφ. sec. addit τῆς θαλάσσης ‖ 21. προϋπαρχόντων B: -χθέντων ‖ 30. Ἁρπάγια Steph. Byz.: Ἁρπαγίας ut B



Digitized by Google

δὲ ἀπὸ Λακώνων παιδεραστεία τῶν γυμνασίας ἐπινοησάντων· τῇ γὰρ εὐεξίᾳ τῶν σωμάτων ἐκινήθησαν κατ᾽ ἀλλήλων. ῥητῶς δέ φησιν, ὅτι οὐ Ζεὺς ἥρπασεν ἀλλ᾽ οἱ θεοὶ καὶ ἵνα οἰνοχοῇ· ἔθος γὰρ ἦν, ὡς καὶ Σαπφώ φησι (fr. 139 B.), νέους εὐγενεῖς εὐπρεπεῖς οἰνοχοεῖν· "κοῦροι μὲν κρητῆρας" (Il. 1. 470), "ᾠνοχόει δ᾽ υἱὸς Μενελάου" (Od. 15. 141)· ἴσως οὖν νέου ἀποθανόντος αὐτοῦ ἐπλάσαντο· καὶ ὁ ποιητὴς δὲ τὸ ἀλαζονικὸν τῶν βαρβάρων εἰδὼς οὐχ ἀφ᾽ ἑαυτοῦ τὸν μῦθον εἶπεν, ἀλλ᾽ Ἥβην φησὶν οἰνοχοεῖν (Il. 4. 2).

A = 235. κάλλεος εἵνεκα οἷο] ἀνηρείψαντο κάλλεος εἵνεκα οἷο· ⟨ἢ⟩ ἵν᾽ ἀθανάτοισι μετείη κάλλεος εἵνεκα οἷο.

236. Ἶλος δ᾽ αὖ τέκεθ᾽ υἱόν] ἐξ Εὐρυδίκης τῆς Ἀδράστου.

τέκεθ᾽ υἱόν] ἐκ Βατ⟨ε⟩ίας τῆς Τεύκρου, ὡς Ἑ⟨λ⟩λάνικος.

237. Τιθωνὸν τέκετο] ἐκ Στρυμοῦς τῆς Σκαμάνδρου.

239. * Ἀγχίσην] ἐξ Ἐρυθ⟨ε⟩ίας τῆς Ἴλου.

B = 240. Πρίαμος δ᾽ ἔτεχ᾽ Ἕκτορα] ἀπὸ τοῦ ἀρίστου τῶν Πριαμιδῶν ἠρκέσθη τὸ σύμπαν δηλῶσαι γένος.

B = 242. Ζεὺς δ᾽ ἀρετήν] "ἀρετήν" τὴν ἀνδρ⟨ε⟩ίαν—τοῦτο δὲ διὰ τὸν ὀνειδισμὸν τῆς φυγῆς, ὡς Ἕκτωρ "ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ" (Il. 17. 177)—ἢ τὴν βασιλικὴν δόξαν. φησὶν οὖν, ὅτι νῦν μὲν οὗτοι ἔχουσιν, ἴσως δὲ καὶ ἡμεῖς σχήσομεν.

246. ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι] τεχνικῶς οὐκ ἀπολογεῖται μὲν περὶ τῆς φυγῆς, διασύρει δὲ τὸ ὀνειδίζειν.

247. ἑκατόζυγος] ἤδη οὖν καὶ ἐπὶ τῶν Τρωικῶν τηλικαῦται νῆες· ἢ τὴν πολύκωπόν φησιν.

248. στρεπτὴ δὲ γλῶσσα] ταχεῖα ἡ ἀντιστροφή.

A-B- 249. πολὺς νομός] "νομός," ὥστε πολλὰ νεμεθῆναι καὶ ἐπιδραμεῖν καὶ ψέξαι καὶ ἐπαινέσαι· πρῶτος γὰρ τῶν Ἀκαδημαϊκῶν οἶδε τὸν εἰς ἑκάτερα λόγον.

B- ἄλλως: πολὺς νομός] τινὲς "νόμος·" κάλλιον δὲ ὀξύνειν, πανταχόθεν τοῦ λόγου ἰόντος καὶ νεμομένου.

B- 250. ὁπ⟨π⟩οῖόν κ᾽ εἴπῃσθα ἔπος] καθολικὸς ὁ λόγος ἀμοιβὴν δεικνὺς φαύλων τε καὶ χρηστῶν λόγων· ὃν Ἡσίοδος ἐμέρισεν, "εἰ δὲ κακὸν εἴποις" (Opp. 721).

A+B= 251. τίη ἔριδας] ὁ "η̄" τῷ μὲν "τί" ὑποτασσόμενος ὀξύνεται, τῷ δ᾽ 'ἐπεί' περισπᾶται.

9. supplevi ex A ‖ 13. Στρυμοῦς scripsi cf. schol. A ad Γ 250, Τρυμοῦς Bekker: πουμοῦς ‖ 24. πολυκωπον W: πολύκαρπον ‖ 34. ἐγκλίνεται A

Digitized by Google

252. ὥς τε γυναῖκας] φησὶ γὰρ Ἀριστοτέλης (H. A. 608b 10) B= ‘γυνὴ ἀνδρὸς ἐπιφθονώτερον, μεμψιμοιρότερον, φιλολοίδορον ⟨μᾶλλον⟩, φιλοπληκτικώτερον, μᾶλλον ἀρίδακρυ.’

253. αἵ τε χολωσάμεναι ἔριδος πέρι] περὶ ἔριδος εἰς χόλον B= ἀχθεῖσαι. τοῦτο ἐπὶ βαρβάρων γυναικῶν.

255. πόλλ’ ἐτεά τε καὶ οὐκί] “πολλά τ’ ἐόντα καὶ οὐκί” οὕτως A=B− αἱ Ἀριστάρχου, ἀντὶ τοῦ ‘τά τε ταῖς ἀληθεία⟨ι⟩ς ὄντα καὶ οὔ.’ τὰ δὲ εἰκαιότερα τῶν ἀντιγράφων “πόλλ’ ἐτεά τε.”

259. ἐν δινῷ σάκει] τῷ δινωτῷ· “δινωτὴν φορέεσκε, δύω κανόνεσσ’ A+ ἀραρυῖαν” (Il. 13. 407)· καὶ ἔστι τὸ μὲν “δινῷ” διὰ τοῦ ῑ, τὸ δὲ “σάκεϊ” κατὰ διαίρεσιν τρισυλλάβως, τὸ δὲ “ἔλασε” διά τοῦ ε̄.

* δεινῷ] “δινῷ” τῷ δινωτῷ.

265. ῥηίδια] δυνατά. “ἔνθ’ οὔ κεν ῥέα ἵππος” (Il. 12. 58)· B− εἰσὶ δὲ τρωτὰ τὰ Ἡφαιστότευκτα, ὡς δῆλον ἐξ ὧν Ἕκτωρ φέρων τὰ Ἀχιλλέως ὑπὸ Ἰδομενέως βάλλεται—“ἐν καυλῷ δ’ ἐάγη δόλιχον δόρυ” (Il. 17. 607)—καὶ αὐτὸς ὑπὸ Ἀστεροπαίου, “οὐδὲ διαπρό” δυνήσατο (Il. 21. 164) Ἄρης τε τιτρώσκεται “νείατον ἐς κενεῶνα” (Il. 5. 857) καὶ Ἀρηίθοος, “ἅ οἱ πόρε χάλκεος Ἄρης” (Il. 7. 146). καὶ Διομήδης (Il. 5. 99 conl. 8. 195)· καὶ νῦν δύο γε πτύχες. φησὶν οὖν, ὅτι τρωτὰ μέν, “οὐ ῥηίδια” δέ. ἡ δὲ κνημίς (Il. 21. 594), ὡς περιφερὴς καὶ εὐόλισθος, οὐ βέβληται· οἱ δὲ τὸ “ἔλασ⟨σ⟩ε” (269) συνέκρουσεν, ὡς μὴ τὰς πτύχας πάσας δυνηθέντος συγκροῦσαι τοῦ πολεμίου.

266. οὐδ’ ὑποείκειν] οὐχ ὅσον τρωθῆναι, ἀλλ’ οὐδ’ ἐνδοῦναι πρὸς A= τὰ ἑξῆς ἀθετούμενα (269–72).

267. οὐδὲ τότ’ Αἰνείαο] οὐκ ἀρκεῖ τὸ ‘ἄτρωτα ἦν,’ ἀλλ’ ‘οὐδ’ Αἰνείας ἔτρωσεν αὐτά’ φησιν.

269–72. ἀλλὰ δύω μὲν ἔλασ⟨σ⟩ε—] οὗτοι καὶ προηθετοῦντο A+ παρ’ ἐνίοις τῶν σοφιστῶν, ἐν ἐνίοις δὲ ἐφέροντο.

ἔλασ⟨σ⟩ε διὰ πτύχας] ἔπληξε· “πολέες γάρ ἐπ’ αὐτῷ χαλκὸν ἔλασ⟨σ⟩αν” (Il. 24. 421).

270. ἐπεὶ πέντε πτύχας] φησὶν ὁ Αὐτόχθων πρώτην εἶναι τὴν B=

1. Ἀριστοφάνης B, ὁ κωμικὸς Eust. ‖ 2. φθονερώτερον Ar. codd. ‖ supplevi ex Aristot. ‖ φιλοπληκτικώτερον etiam Eust.: πληκτικώτερον Ar. codd. ‖ 4. χόλον B: -ήν ‖ 6. τε ὄντα: corr. Lehrs; π. τά τε κ. A ‖ 7. ταῖς A: τῆς ‖ supplevi ex A ‖ 9. δεινῷ in lemmate ‖ φορέουσα A ‖ 11. δὲ τὸ ‖ ε̄ scripsi: σ̄ ‖ 15. ἐν καυλῷ post Ἰδ. del. W ‖ 19. δύο γε W: διὰ τὸ ‖ 20. πρῶτα: corr. Bekker ‖ 22. μηδὲ πτ. coni. Bekker ‖ 28. δύο ‖ 30. πολλέες



Digitized by Google

χρυσῆν ὡς τιμίαν, δευτέραν δὲ τὴν χαλκῆν ὡς ἰσχυράν, μέσας τὰς δύο κασσιτερίνας συνάπτειν δυναμένας τὰς πτύχας καὶ πάλιν τὴν χαλκῆν.

B= 271. τὰς δύο χαλκείας] μέσην νομιστέον τὴν χρυσῆν· ἁπαλώτερος γὰρ ὢν ὁ χρυσὸς ἐκλελυμένον τὸ δόρυ μετὰ τὴν τῶν χαλκῶν βίαν εὐχερῶς ὑποδέξεται. ὅτι ⟨γὰρ⟩ οὐκ ἦν ἐν τῇ ἐπιφανείᾳ τῆς ἀσπίδος ὁ χρυσός, δηλοῖ δι' ὧν φησι τεχνώμενον Ἥφαιστον τὴν ἀσπίδα τὸ μὲν τορεύειν ἐκ χαλκοῦ τὸ δὲ ἐκ κασσιτέρου, μηδέποτε δὲ ἐκ χαλκοῦ, ⟨τοιούτου⟩ τοῦ ἐδάφους ὑπόντος· τινὲς δέ φασι πρώτην εἶναι τὴν χαλκῆν, δευτέραν δὲ τὴν κασσιτερίνην, τρίτην τὴν χρυσῆν, τετάρτην κασσιτερίνην, πέμπτην χαλκῆν.

B= 272. τὴν δὲ μίαν χρυσῆν] ὅτι μὲν ἐν τῇ ἐπιφανείᾳ ἡ χρυσῆ, δῆλον ἐξ ὧν φησι "χρυσείη περ ἐοῦσα" (Il. 18. 549) καὶ οὐκ ἂν τὴν καλλιστεύουσαν ἀπέκρυψεν· τὸ δὲ "ἔσχετο" τῆς ὁρμῆς ἐπαύσατο· οὐχ ὅτι οὐκ ἔτρωσεν, ἀλλ' ὅτι τὸ πλατὺ τῆς ἐπιδορατίδος οὐ διῆλθεν ἀλλ' ἐνεσχέθη κατὰ τὸ μέρος τοῦτο ἐν τῷ χρυσῷ. τοῦ ⟨γὰρ⟩ δόρατος ἡ μὲν ἀκμὴ τιτρώσκει, τὸ δὲ πλάτος τέμνει. τὴν μὲν οὖν ἐκ τῆς ἀκμῆς νύξιν ἐδέξατο ὁ χρυσὸς καὶ διὰ τοῦτο καὶ ⟨ὁ⟩ ὑποκείμενος χαλκός, τὴν δὲ ἐκ τοῦ πλάτους τομὴν οὐκέτι παρεδέξατο ὁ χρυσός· οὐκοῦν ἡ πρὸς τὸ πλάτος τοῦ σιδήρου ἀντίβασις τῆς χρυσῆς ἐπέσχε τὴν δι' ὅλου διακοπὴν τῆς ἀσπίδος.

A+ 273. δεύτερος αὖτ' Ἀχιλεύς] Ζηνόδοτος "δεύτερον αὖτ' Ἀχιλεὺς μελίην ἰθυπτίωνα ἀσπίδα νύξ' εὔχαλκον ἀμύμονος Αἰνείαο," ὥστε ἐκ χειρὸς τετρῶσθαι ἀλλὰ μὴ βεβλῆσθαι.

B= 275. ἄντυγ' ὑπὸ πρώτην] τὴν ἄκραν, ὡς τὸ "ἐν πρώτῳ ῥυμῷ"
B= (Il. 6. 40). §. πρὸς τὸ εὐκατάκλειστον δὲ λεπτύνεται ὁ χαλκός.

B= 277. λάκε] διεκόπη, ὡς καὶ ἐν τοῖς ἱματίοις λακίδας λέγουσι τὰς διακοπάς.

A+ 279. * σαφῶς παρίστησιν, ὅτι βέβληται.

A+ 283. * ἄγχι πάγη] τὸ "ἄγχι" παγῆναι οὐκ ἄλλως ἐστὶν ἢ ἐκ προέσεως.

284. ἐπόρουσε] καὶ τοῦτο σημεῖόν ἐστι τοῦ ἠκοντικέναι τὸ δόρυ.

A= 288. ἔνθα κεν Αἰνείας] πάντα ἤρτηται ἕως τοῦ "εἰ μὴ ἄρ' ὀξὺ

5, 15. supplevi ex B ‖ 8. suppl. W ‖ 15. χρυσέῳ ‖ 17. δι' αὐτοῦ ὑ. B ‖ supplevi ex B ‖ 21. Ἀχιλλεύς prius ‖ 22. ἰθυπτίωνα A: -ονα; μελίῃ ἰθυπτίωνι coni. Heyne ‖ ἀσπίδα A: ἔπειτα ‖ νύξ' εὔχαλκον A, νύξ' ἐς χαλκὸν coni. Villoiso: νύξε χαλκὸν ‖ 24. τὸ ἐν B: ἐν τῷ ‖ 26. λέγει cf. B D ‖ 30. προέσεως A: προαιρέσεως ‖ 31. ἠκοντηκέναι

Digitized by Google

νόησε" (291)· διορθωτέον οὖν αὐτὰ ὡς τὰ ἐν τῇ Βῆτα (261) "εἰ μὴ ἐγώ σε λαβὼν" καὶ τὰ ἑξῆς.

289. ἢ κόρυθ' ἠὲ σάκος, ⟨τό οἱ ἤρκεσε⟩] ἢ τὸ σάκος, ἢ αὐτὸ τὸ πρᾶγμα τὸ βληθῆναι τὴν κόρυθα ἢ τὸ σάκος, ἅπερ οὐκ ἤμελλε βληθέντα ὄλεθρον ἐπάξειν τῷ Ἀχιλλεῖ· ἰσχυρὰ γὰρ ἦσαν. AB=

290. σχεδὸν ἄορι] ἀντὶ τοῦ ἐγγύς, καὶ οὐχ ὡς ἡμεῖς. §. πρὸς τὸ σχῆμα, 'τὸν δὲ—τὴν ψυχὴν ἀφείλετο.' A=

291. Ποσειδάων] πῶς ἡ Ἀφροδίτη τὸν υἱὸν οὐ σῴζει; δέδιεν Ἀθηνᾶν. B+

292. αὐτίκ⟨α δ'⟩ ἀθανάτοισι] ἅμα τῷ διανοήματι δεῖ νοῆσαι καὶ τὸν λόγον τῶν θεῶν, εἴγε καὶ τὸ ἔργον αὐτῶν τοιοῦτόν ἐστιν. "ὡς δ' ὅταν ἀΐξῃ νόος ἀνέρος" (Π. 15. 80) καὶ "τρὶς μὲν ὀρέξατ' ἰών" (Il. 13. 20). B−

293. ἦ μοι ἄχος—Αἰνείαο] λείπει ἡ περί, 'περὶ Αἰνείου.' A+B=

299. δῶρα θεοῖσι] καὶ ἐν Ὀδυσσείᾳ (1. 66, 7) "ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖσιν ἀθανάτοισιν ἔδωκε·" καὶ οὐδὲ ἐκεῖσε εἶπεν 'ἡμῖν.' A+

304. Δαρδάνου] προϊστόρησεν ἤδη (215), τίς ὁ Δάρδανος, ἵνα μὴ νῦν ζητῶμεν.

306. ἤχθηρε Κρονίων] διὰ τὴν παράβασιν τῶν ὅρκων. B=

307. Αἰνείαο βίη] οἱ μὲν διὰ Ῥωμαίους φασίν, ἅπερ εἰδέναι τὸν ποιητὴν ἐκ τῶν Σιβύλλης χρησμῶν, οἱ δὲ ὅτι Αἰολεῖς ἐξέβαλον τοὺς ἀπογόνους Αἰνείου· πταίουσι δὲ ὅσοι φασὶ τοῦτο εἰδυῖαν Ἀφροδίτην μηχανήσασθαι τὸν Τρωικὸν πόλεμον.

ἄλλως: Αἰνείαο βίη] τινὲς "Αἰνείω γενεή." A+

311. * δὶς περισσεύει ὁ "κέν." A+

313. πολεῖς ὠμόσ⟨σ⟩αμεν ὅρκους] καὶ γάρ φησιν "ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς—καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ—σή θ' ἱερὴ κεφαλὴ καὶ νωίτερον λέχος" (Il. 15. 36–9).

323. ἀσπίδος ἐξέρυσεν] ἀθετοῦσί τινες τοὺς στίχους (322–4) ὡς ἐναντίους τοῖς προκειμένοις. οὐ γάρ ἐστιν ἐν τῇ ἀσπίδι τὸ δόρυ· φησὶ γὰρ "ἡ δὲ διὰ πρὸ Πηλιάς ἦιξε⟨ν⟩ μελίη" (276) καὶ "ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ ἔστη" (Il. 21. 69). ἔοικε δὲ τοιοῦτόν τι A+B−

6. σχεδὸν ante ἐγγὺς om. Bekker ‖ 6, 7. πρὸς τὸ σχῆμα τὸν δὲ A: καὶ σχημάτων δὲ ‖ 10. κινῆσαι B ‖ 16. ἱερὰ ‖ 21. scil. Alexander Polyhistor, cf. Hermae Berolinensis t. XVIII 329 ‖ 25. Αἰνείω A: -οο ‖ 22. scil. Demetrius Scepsius ‖ 27. πολλεῖς ‖ 31. ἔστη coni. Bekker ‖ 32. ἡ δὲ codd. Il.: ὡς

Digitized by Google

*σχῆμα περὶ τὴν πληγὴν γεγενῆσθαι· κατὰ μὲν γὰρ τὴν αἰχμὴν ἐ⟨μ⟩πεπήγει τῇ γῇ, κατὰ δὲ τὸν στύρακα τῇ ἀσπίδι· ὅθεν τῆς ἀσπίδος προσερειδομένης τῷ σώματι τὸ ξίφος ἐπισπάσασθαι μὴ δυνάμενος ὥρμησεν ἐπὶ τὸν λίθον.*

325. *Αἰνείαν δ' ἐσ⟨σ⟩ευεν*] *πολλή τις ἔμφασις* Ποσειδῶνος *τὸν ἥρωα τοσοῦτον διάστημα μετεωρίσαντος.*

A+B= 327. *ἀπὸ χειρὸς ὀρούσας*] *ἄμεινον μὴ ἀναστρέφειν τὴν* "*ἀπό,*" *ἵν' ᾖ* '*ἀπορούσας.*'

A+B– 329. Καύκωνες] *περὶ* Παφλαγονίαν *φασὶν οἰκεῖν τοὺς* Καύκωνας. *καὶ πῶς οὐ συγκατέλεξεν αὐτοὺς ἐν τῷ* Καταλόγῳ (cf. Il. 2. 855); *ἢ οὖν ἐπήλυδές εἰσιν ἢ ἐν τοῖς* Λέλεξι *περιέχονται. τινὲς δὲ καὶ φέρουσι τὸ* "Καύκωνας ⟨*δ'*⟩ *αὖτ' ἦγε* Πολυκλέος *υἱὸς* Ἄμειβος, *οἳ περὶ* Παρθένιον *ποταμὸν κλυτὰ δώματα ναῖον.*"

A= 331. *καί μιν φωνήσας*] Ζηνόδοτος "*καί μιν νεικ⟨ε⟩ίων.*" Ῥιανὸς "*τὸν καὶ νεικ⟨ε⟩ίων προσέφη.*"

A+B= 332. *ἀτέοντα*] *ἀφροντιστοῦντα·* Καλλίμαχος "Μουσέων *κε⟨ι⟩νὸς ἀνὴρ ἀτέει*" (fr. 537 Schn.).

A+B= *ἄλλως: ἀτέοντα*] *ἀφροντιστοῦντα,* "*ὁ δὲ πρῶτον μὲν ἀτίζων*" (166)· *ἢ φρενοβλαβοῦντα.*

AB= *ἄλλως: ἀτέοντα*] *ὡς νοέοντα· ἔστι γὰρ τῆς πρώτης συζυγίας τῶν περισπωμένων.*

A=B– 334. *ὅς σεῦ ἅμα*] *ὀρθοτονητέον διὰ τὴν ἀντιδιαστολήν, ὡς ἐν τῷ* "*ὅς σεῦ ἄνευθεν ἐών*" (Il. 2. 27).

B= * *φίλτερος*] *πολλάκις γὰρ καὶ τοῦ ἰσχυροῦ περιγίνεται ὁ θεοφιλής.*

B= 335. *ἀλλ' ἀναχωρῆσαι*] *οὐ μόνον διασῴζει, ἀλλὰ καὶ εἰς τὸ μέλλον ὑποθήκας τῆς σωτηρίας δίδωσιν.*

B– *συμβλήσεαι*] *ἀπροοράτως συμβάλῃς· πρὸς κατάπληξιν τοῦτο· φησὶ γὰρ* "Μοῖραν *δ' οὔ τινά φημι πεφυγμένον*" (Il. 6. 488).

342. * *μέγα*] *ἀντὶ τοῦ ἀθρόως.*

346. *ἐφέηκα*] *οὐκ εἶπεν* '*ἔνυξα*' *ἢ* '*οὔτασα*'· *μάχεται οὖν ἡ*
A+ Ζηνοδότειος *γραφή* (cf. ad v. 273).

2. supplevi ex B ‖ 3. *δόρατι* B ‖ 11. *λέξεσι* B ‖ 12. supplevi ex Strab. XII 542 ‖ Ἄμειβος *ἢ ἀμύμων* Eust., *ἀμύμων* Strabo ‖ 13. *δώματ' ἔναιον* Strabo Eust. ‖ 14. *νεικείων* pr. primitus ut A : *νεικίων* pr. postea ‖ 14, 15. Ῥιανὸς *τὸν* Cramer ex A : *ῥεῖα νόστον* ‖ 15. supplevi ex A ‖ 16. *μουσαῖον* A ‖ *κεῖνος* A ‖ 17. *ἀτέει* A : *ἀτελεῖ*

Digitized by Google

357. τοσ⟨σ⟩ούσ⟨δ'⟩ ἀνθρώπους] οἱ περὶ Ἀρίσταρχον ἐν παρολκῇ λαμβάνουσι τὸν "δε·" οὕτω καὶ ἡ παράδοσις. ὁ δὲ Ἀσκαλωνίτης περισπᾷ τὸ "το⟨σ⟩σοῦς." A+

362. στιχὸς εἶμι διαμπερές] ἕως τοῦ πέρατος τῆς φάλαγγος. B+

367. καί κεν ἐγὼν ἐπέεσσι] εἰς τὰ ἔργα κελεύει ἀφορᾶν, οὐκ εἰς τὰς ἐπαγγελίας. B+

370. κολούει] ἀτελὲς ποιεῖ, ὡς τὸ "ἐνικλᾶν, ὅτ⟨τ⟩ι νοήσω" (Il. 8. 408). B+

372. εἰ πυρὶ χεῖρας ἔοικε] ποικίλον τὸ διανόημα, καὶ πολὺν ἐν βραχεῖ νοῦν ἔχον καὶ διὰ τῆς ἀναλήψεως ἐμφαῖνον ὑπερβολὴν τῆς ἀμφοῖν δυνάμεως, πυρὸς μὲν ὀξύτητα, σιδήρου δὲ καρτερίαν παραλαβόν. AB=

376. μηκέτι πάμπαν—προμάχιζε] μὴ προμάχει, ἀλλὰ σὺν τοῖς ἄλλοις αὐτὸν δέχου. B=

ἄλλως: μηκέτι πάμπαν] ταμιεύεται ὁ ποιητὴς τὸ πρόσωπον Ἕκτορος εἰς τὰ τελευταῖα. B=

378. ⟨ἠὲ βάλῃ⟩ ἠὲ σχεδὸν ἄορι τύψῃ] ἀντὶ τοῦ "σχέδην·" ἀντέθηκε δὲ αὐτῷ τὸ "βάλῃ." A+

383. ἐσθλὸν Ὀτρυντεΐδην] ἔθος μὲν αὐτῷ ποικίλλειν ἐν ταῖς ἐπιδιηγήσεσι τὸν λόγον, νυνὶ δὲ καιριώτατα χρῆται τῷ τοιούτῳ εἴδει· μετὰ γὰρ τοσαύτας μάχας καὶ ἀναιρέσεις ἔδει καλλωπίσμασι χρήσασθαι ἔξωθεν διὰ τὸ προσκορές, ἅμα δὲ καὶ περὶ τοῦ συστῆσαι τὸν πρῶτον ὑπ' Ἀχιλλέως ἀνῃρημένον, ὅτι οὐκ ἦν τῶν τυχόντων. B=

384. *ὃν νύμφη τέκε] ἔν τισι τῶν φαύλων ἀντιγράφων μετὰ τοῦ τ̄ "τὸν νύμφη τέκε." A=

385. Ὕλης ἐν πίονι δήμῳ] Ὕδη διὰ τοῦ δ̄ ἡ τῆς Λυδίας πόλις, Ὕλη δὲ τῆς Βοιωτίας διὰ τοῦ λ̄· "Ὕλῃ ἔνι οἰκία ναίων" (Il. 7. 221). A–B=

386. τὸν δ' ἰθὺς μεμαῶτα] σημειοῦνται τινές, ὅτι 'εἰς εὐθὺ ὁρμῶντα.' A=B–

387. πᾶσα κεάσθη] "πᾶσα" ἀντὶ τοῦ ὅλη· "πάντα νέκυν καταείνυον" (Il. 23. 135). AB–

388. δούπησεν] ἐκ τοῦ παρακολουθοῦντος, ἀντὶ τοῦ ἀπέθανεν. A+B=

390. ἐνθάδε] δεικτικῶς, ὡς "ἐνθάδε κ' αὖθι μένων" (Od. 5. 208). AB+

4. lemmati supra add. sec. διὰ τῆς τάξεως ἔλθω ‖ 7. νοήσω etiam in textu ‖ 9. ποικίλον B: ἀγκύλον ‖ 10. ἐπαναλήψεως B ‖ 16. Ἕκτορος delet W ‖ 17. ἀέρι τύψει ‖ 23. πρώτως B ‖ 33. κ' αὖθι μ. A: καθημ.

Digitized by Google

§. σημειωτέον δέ, ὡς διὰ ἀκριβείας ἴσασιν ἀλλήλους, ὡς καὶ Δόλωνα ⟨οἱ⟩ περὶ Διομήδην (Π. 10. 447).

391. ὅθι τοι τέμενος πατρῴιον] κώμη ἐστὶ Λυδίας Ἄλαδα, ἔνθα φησὶν Ἡρόδοτος (? I 93). . . . βωμὸν Ἰφιτίωνος καὶ ἄγαλμα λίθινον Κολοσσικὸν ἠκρωτηριασμένον ἀρχαίῳ τύπῳ εἰργασμένον· καὶ τοὺς περὶ τὴν λίμνην καλάμους συνδονεῖσθαι εἰλειδίοις, ὥς φησιν "ὅθι τοι τέμενος πατρῴιόν ἐστιν."

392. Ὕλλῳ ἐπ' ἰχθυόεντι] Ὕλλος νῦν Φρύγιος καλεῖται· ἐκβάλλει δὲ μεταξὺ Θυατείρων καὶ Σάρδεων.

B= ἄλλως: Ὕλλῳ ἐπ' ἰχθυόεντι καὶ Ἕρμῳ δινήεντι] τὸ σχῆμα

B= ὁμοιόπτωτον. §. ἐν βραχεῖ δὲ τό τε πλῆθος ἔδειξε τῶν ἰχθύων τοῦ τε Ἕρμου τὸ ταχὺ τῶν ῥευμάτων· καὶ γὰρ δύσπλωτός ἐστιν.

B= 394. ἐπὶ σώτροις δατέοντο] ἐναργῶς ἔδειξεν αἰκισμὸν σώματος ὑπὸ τῶν παραθεόντων τροχῶν διαιρουμένου.

B= 395. Δημολέοντα] ἐν ὀλίγοις ὅλα δεδήλωκε, τὸ ὄνομα, τὸν τρόπον, τὸν πατέρα, τὸν τόπον ἐφ' ὃν ἡ πληγή, ὅτι ἐπὶ τὴν κεφαλὴν καὶ ὅτι διὰ τῆς κυνέης, καὶ κατὰ ποῖον μέρος τῆς κεφαλῆς, καὶ μέχρι ποῦ διῆλθεν, ὅτι "ῥῆξ' ὀστέον" (399).

A= *Δημολεόντα] Ἀρίσταρχος· ⟨τινὲς δὲ⟩ "Δηιλέοντα."

AB+ 396. ἐσθλὸν ἀλεξητῆρα μάχης] ἓν ἐκ τῶν τριῶν λέξεων σημαίνεται, ἐν πολέμῳ ἀγαθόν· δυνατὸν δὲ καὶ ἐν τῷ "ἐσθλόν" στίζειν.

B= 397. κατὰ κρόταφον] καὶ ἡ περὶ τὰς πληγὰς ποικιλία θαυμασία. ἄμφω γὰρ κατὰ τῆς κεφαλῆς τέτρωνται· ἀλλ' ὃ μὲν πρόσω ἱέμενος κατὰ μέσην τὴν κεφαλὴν πλήσσεται, ὃ δὲ ἤδη παρατρέχων, ὡς ἔοικε, καὶ εἰς φυγὴν ὁρμώμενος διὰ τοῦ κροτάφου, ὁ δὲ τρίτος κατὰ τὸ μετάφρενον ἀπεστραμμένος τιτρώσκεται.

403. * θυμὸν ἄισθε] ἀπέπνεεν.

A+B− 404. ἤρυγεν ἑλκόμενος] Νηλεύς, φασίν, ἐ‹ν› Μιλήτῳ ἱερὸν Ποσειδῶνος Ἑλικωνίου ἱδρύσατο κατὰ μίμησιν τοῦ ἐν Ἑλίκῃ τῆς Ἀχαΐας. σύνηθες δὲ τοῖς αὐτόσε καθ' ἕκαστον ἔτος ἐπιτελεῖν τὰς

2. suppl. Bekker ‖ 3. Τάλα Isigonus Paradox. ed. West. p. 191 ‖ 4. lacunam indicavi ‖ Ἰφιτίονος ‖ 6. cf. Strabo XIII 626 φασὶ δ' ἐνταῦθα χορεύειν τοὺς καλάθους (corr. καλάμους) κατὰ τὰς ἑορτάς cf. Gaede, de Dem. Scepsio p. 40 ‖ εἰλειδίοις corruptum ‖ 7. ἧεν ‖ 8. Φρύγιος Strabo: Ὀρρύγιος ‖ 13. ἐν σώτροις ‖ αἰκισμὸν B: ἀλισμὸν ‖ 14. διαιρουμένου B: -ον ‖ 19. supplevi ex A ‖ 25. διὰ B: κατὰ ‖ 28. ἤραγεν ‖ Νηλεὺς A D Eust.: Ἀπλεὺς ‖ 30. τοῖς ἐκεῖ B ‖ ἐπιτελεῖν W, ἐκτελεῖν ego conieceram: ἐγκυκλεῖν ut B

Digitized by Google

θυσίας τῷ θεῷ σημεῖα λαμβάνουσιν ἀπὸ τῆς τῶν ταύρων ἐρυγῆς· βοώντων γὰρ τῶν ταύρων δοκοῦσιν εὐμενῆ τε εἶναι τὸν θεὸν καὶ τὴν θυσίαν ἀσπάζεσθαι.

ἄλλως: ἤρυγεν] εἰκότως ἀνερυγγάνων τὸ αἷμα καὶ ὀξέως ἀποθνήσκει· τὴν γὰρ τραχεῖαν ἀρτηρίαν διεκόπη ⟨καὶ⟩ τὸν στόμαχον διῄρηται, ὅ ἐστι τὸν οἰσοφάγον, καὶ μέχρι τοῦ θυμοῦ φθάνει τὸ δόρυ. θυμὸς δέ ἐστιν ὑμὴν μεταξὺ τῶν κλειδῶν κείμενος πρὸς τὸ μὴ πλήττεσθαι ὑπὸ τοῦ ὀστοῦ τὴν τραχεῖαν ἀρτηρίαν. B–

Ἑλικώνιον] Αἰολεῖς παρὰ τὰς γενικὰς τῶν πρωτοτύπων ποιοῦσι κτητικοὺς τύπους, ἑτέρων ἑτερώνιος, ἄλ⟨λ⟩ων ἀλ⟨λ⟩ώνιος, ἐτυμώνιος, ἀνεμώνιος καὶ διὰ τὴν εὐφωνίαν ἀνεμώλιος, Ἑλικῶν Ἑλικώνιος· φησὶν οὖν τὸν ἐν Ἑλίκῃ τῆς Ἀχαΐας τιμώμενον. τὰ δὲ διὰ τοῦ ῑος, εἰ μὲν τὸ πρωτότυπον εἰς ōς, διὰ τοῦ ησιος, Ἰθακήσιος ἀπὸ τοῦ Ἴθακος, Ὀχήσιος, βροτήσιος, ἐτήσιος, μεθοδήσιος, εἰ δὲ τρέποιτο τὸ η̄ τοῦ πρωτοτύπου εἰς ᾱ παρὰ Δωριεῦσι, διὰ τοῦ ᾱ, Πρυμνάσιον, Κορυφάσιον. οὕτως ἔχει καὶ τὸ κοράσιον, ὃ μᾶλλόν ἐστι Μακεδονικόν. B–

406. ὣς ἄρα—ἐρυγόντα] πρὸς τὴν ἐπανάληψιν τοῦ "ἤρυγεν" (404) τὸ σημεῖον.

ἐρυγόντα] παροξυντονητέον τὴν μετοχήν· β′ γάρ ἐστιν ἀόριστος, ὡς ἐδήλωσε τὸ "ἤρυγεν ἑλκόμενος" (404). A+

410. πόδεσ⟨σ⟩ι δὲ πάντας ἐνίκα] τοὺς νόθους· ὁ γὰρ Πολίτης "σκοπὸς ἷζε ποδωκ⟨ε⟩ίῃσι πεποιθώς" (Il. 2. 792). ἐπινοεῖ δὲ ἑκάστῳ τὸ πρὸς διήγησιν ἡδύ. B=

411. ποδῶν ἀρετὴν ἀναφαίνων] τὸ πλεονέκτημά φησιν ἀνέπεισεν αὐτὸν ἀντιστῆναι Ἀχιλλεῖ ἐλπίσαντα ταχέως ἀναφεύξεσθαι. B=

414. νῶτα παραΐσσοντος] παρακλίνοντος τὰ νῶτα. B=

⟨παρ⟩αΐσσοντα] σύντομος ὁ λόγος τοῦ πρὸς τιμωρίαν σπεύδοντος, καίτοι πρὸς Αἰνείαν πλείους ἀποτέταται λόγους.

ὅθι ζωστῆρος ὀχῆες] ἢ δι' ὅλου κρίκοις συνέχεσθαι τὸν ζωστῆρα πρὸς τὸν θώρακα νοητέον, ἢ καθ' ὑπερβατὸν ἐκδεκτέον, 'ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλόν, ὅθι ζωστῆρος ὀχῆες χρύσειοι σύνεχον.' B=

415. καὶ διπλόος ἤντετο θώρηξ] ὅτι διπλοῖ οἱ θώρακες κατὰ τὸν τῆς ζώσεως τόπον. AB=

1. τῷ θεῷ B: τῶν θεῶν ‖ 4. ἀνερυγγάνων sec. ut B: -ον ‖ 5. suppl. sec. ‖ 7. ὑμὴν B: ἀδὴν ‖ 10. ἑτέρων Eust., ἑτερῶν B: ἑταίρων ‖ ἑτερώνιος B Eust.: ἑταιρώνιος ‖ supplevi ex Eust. ‖ 10, 11. ἐτυμώνιος Eust.: ἑτοιμώνιος ut B ‖ 11. καὶ Eust.: ὁ ‖ ἀνεμώλιος Eust.: ἀνεμόνος ‖ 13. ἀνεμώνιος ante Ἰ. omisi ‖ 22. supplevi ex B ‖ 25. φεύξεσθαι B

Digitized by Google

B= 418. προτὶ οἷ δ' ἔλαβ' ἔντερα χερσὶ λιασθείς] προσέλαβεν ἑαυτοῦ τὰ ἔντερα ἀποκυλισθείς.

A=B– ἄλλως: προτὶ οἷ] περισπαστέον τὴν "οἷ·" ἔστι γὰρ πρὸς ἑαυτόν.

B= 422. ἀλλ' ἀντίος ἦλθε] ὁ γὰρ ἔλεος ἀμελεῖν αὐτὸν τῆς ψυχῆς τε καὶ τῆς ἐντολῆς Ἀπόλλωνος ποιεῖ.

B= 424. ἀνέπαλτο] ἐδήλωσεν ὑπὸ τῆς ἡδονῆς ἑαυτοῦ μείζω γενόμενον.

B= 425. ἐσεμάσ⟨σ⟩ατο θυμόν] ἥψατο τῆς ψυχῆς, ἢ ἐκηλίδωσεν.

B= 427. *ἀνὰ πτολέμοιο γεφύρας] ἐν τοῖς μεταξὺ τῶν στάσεων διαστήμασιν.

B= 434. σὺ μὲν ἐσθλός] εἰρωνεία· προείρηται "τὸν δ' οὐ ταρβήσας" (430).

B+ 435. θεῶν ἐν γούνασι κεῖται] ἱκεσίαις ἢ λιταῖς ἢ κόλποις.

A= 436. χειρότερος] χέρ⟨ε⟩ιος χερ⟨ε⟩ιότερος, συγκοπῇ καὶ πλεονασμῷ χειρότερος.

437. καὶ ἐμὸν βέλος ὀξὺ πάροιθεν] "πάροιθεν" ὅτε τὸν Πάτροκλον ἀνῄρηκεν (Il. 16. 820).

A= ὀξὺ πάροιθεν] συναπτέον τὸ "ὀξὺ πάροιθεν·" δηλοῖ γὰρ τὸ 'ὠξυμμένον κατὰ τὸ ἔμπροσθεν.'

AB= 439. πνοιῇ] ἐπὶ τὸ "πνοιῇ" βραχὺ διασταλτέον πρὸς τὸ σαφέστερον.

ἄλλως: πνοιῇ Ἀχιλλῆος πάλιν ἔτραπεν] καταγέλαστα ταῦτα, ὥς φησιν Ἡρακλέων.

B= 440. ψύξασα] τῇ κινήσει τῆς χειρὸς ⟨ἠρέμα ἐξανεμίσασα⟩ "ψύχεος ἱμείρων κατελέξατο" (Od. 10. 155).

A+ ἄλλως: ψύξασα] πνεύσασα, φυσήσασα.

A+B= 451. ᾧ μέλλεις εὔχεσθαι, ἰὼν ἐς δοῦπον ἀκόντων] ᾧ ἔοικας εὔχεσθαι παραγενόμενος εἰς τὰς μάχας.

B= 452. ἦ θήν σ' ἐξανύω] καὶ τῆς νῦν ἀποτυχίας εἰς θεοὺς ἀνήγαγε τὴν αἰτίαν καὶ τῆς αὖθις ἐπιτυχίας.

A+ ἄλλως: ἦ θὴν] περισπαστέον τὸν "ῆ·" ἔστι γὰρ βεβαιωτικός.

AB– ἐξανύω] βαρυντέον τὸ "ἀνύω·" ἐνεστῶτος γάρ ἐστιν ἀντὶ μέλλοντος, ὡς τὸ ἐρύω (Il. 22. 67).

2. ἀποκλιθεὶς B ‖ 15. χέριος χεριώτερος: supplevi et correxi ex A ‖ 25. suppl. W ex B ‖ 26. παρελέξατο B ‖ 31. αὖθις B: αὐτῆς ‖ 33. ἐνεστὼς B

Digitized by Google

454. νῦν δ' ἄλλους] ὡς πρόσθεν ἀποτυχὼν τοῦ Αἰνείου εἰς τὸ πλῆθος τρέπεται (194), οὕτω καὶ νῦν. B=

* ἐπιείσομαι] ἐπιπορεύσομαι. B=

456. ὃ δὲ τὸν μὲν ἔασε] ἐπιτρέχει τὸν τῶν βαρβάρων θάνατον, ἐπὶ τῇ εὐχερείᾳ καὶ ὀξύτητι τοῦ Ἀχιλλέως ταχύνας τὸν λόγον. B=

460. Λαόγονον καὶ Δάρδανον] παρέλιπε τούτων τὰς πληγάς, ὅπως μὴ προσκορεῖς ὑπάρχοιεν. B=

462. τὸν μὲν δουρὶ βαλών] εἰκότως τὸν πρῶτον διὰ βολῆς ἀναιρεῖ, πλησίον δὲ γενόμενος τὸν ἕτερον τῷ ξίφει. B=

τὸ⟨ν⟩ δὲ σχεδὸν—τύψας] σχέδην παίσας· ἀντέθηκε δὲ τὸ "βάλε." A–

463–9. ὁ μὲν ἀντίος ἤλυθε] παραλλάσσων τὸ ὁμοειδὲς ἐποίησέ τινα ἱκετεύοντα. τὸ ἑξῆς, Τρῶα δ' Ἀλαστορίδην φασγάνῳ οὖτα καθ' ἧπαρ, καὶ τὰ λοιπὰ διὰ μέσου. ἢ κοινὸν τὸ 'ἔτυψεν' ἐκδεκτέον ἀπὸ τοῦ "σχεδὸν ἄορι τύψας" (462). A+B=

464. εἴ πως εὐ πεφίδοιτο] ἡ μὲν "εὖ" ἐγκλίνεται, τὸ δὲ "πῶς" οὐ πάντως ὀξυνθήσεται· καὶ ἐμελέτησε πολλάκις ἐγκλιτικῶν ἐπιφερομένων μὴ ὀξύνεσθαι, "οὔ πως ἔστ', Ἀγέλαε" (Od. 22. 136)· "μή πως με προϊδών" (Od. 4. 396)· "οὔ πω μίν φασιν φαγέμεν" (Od. 16. 143). οὕτως οὖν καὶ τὸ "εἴ πως εὐ" οὐκ ἀναγκαστικὴν ἕξει τὴν ἐπὶ τοῦ πως ὀξεῖαν· ὁ μέντοι Ἀρίσταρχος γενόμενος κατ' αὐτὴν τὴν προσῳδίαν τοῦτο μόνον ἀπεφήνατο· ἐγκλίνειν δεῖ τῷ τόνῳ καὶ δασύνειν τὴν τρίτην συλλαβήν· δηλοῖ γὰρ 'εἴ πως αὑτοῦ.' A+B–

467. οὐ γάρ τοι γλυκύθυμος] οὐκ ἀνειμένος τῷ θυμῷ καὶ ἠπιόφρων, ἀλλ' ἐκ τοῦ ἐναντίου σκληρὸς καὶ χαλεπός. A+B=

οὐ γάρ τοι γλυκύθυμος ἀνὴρ—οὐδ' ἀγανόφρων] ὁ μὲν γὰρ ὡς ἀκμάζοντος τοῦ πένθους περίλυπός ἐστιν—ὅτε γὰρ θάπτομεν τοὺς φίλους, τότε μάλιστα στερίσκεσθαι αὐτῶν ἐλπίζοντες αὔξομεν τὴν ὀδύνην—ὁ δὲ ποιητὴς οὐκ ἐπαινῶν τὸ θυμικὸν οὐκ ἀγανόφρονα αὐτὸν καλεῖ, ὡς τὸ "ἀεικέα μήδετο ἔργα" (Il. 22. 395). B–

γλυκύθυμος] γλυκὺ τὸ ἀνειμένον· "σπεῦδε μὴ γλυκὺς γένῃ."

470. ἧπαρ ὄλισθεν] ὀλισθηρὰ γὰρ ἡ φύσις τοῦ ἥπατος· αἱμορραγία δὲ πολλὴ γέγονε δύο μεγίστων ἀγγείων διῃρημένων τοῦ AB–

9. ἀναιρεῖ post ξ. delevi ut B ‖ 11. βάλ' ‖ 16. εὖ bis ut infra ‖ ἡ A: εἰ ‖ 19. οὔπω μί κε φασι ‖ 26. ὁ μὲν γὰρ B: ἀκμὴν ‖ 31. γλυκὺς W: γλύκιος ‖ frg. ignotum videtur ‖ 32. ἣ παρώλισθεν

Digitized by Google

ἥπατος, καὶ τῆς κοίλης, ἣ κατὰ κυρτὰ ἔγκειται, ⟨καὶ⟩ τῆς πύλης, ἥτις ἐστὶ κατὰ τὰ σιμά.

B– μέλαν αἷμα κατ' αὐτοῦ] τὸ μέλαν αἷμα κατὰ τοῦ ἥπατος ἐκκρουνίζον τὸν τοῦ χιτῶνος κόλπον ἐνεφύσησεν· διὰ οὖν τοῦ ρ̄ τὸ "ἐνέπρησε" (471) γραπτέον.

473. δουρὶ κατ' οὖ⟨α⟩ς] ὅρα, ὅσαι πληγαὶ κατὰ τῆς κεφαλῆς ἠνέχθησαν· ἣ μὲν "μέ⟨σ⟩σην κακ κεφαλήν" (387, 475), ἣ δὲ "κατὰ κρόταφον" (397)· οὗτος δὲ διὰ τοῦ ὠτός.

ἄλλως: δουρί] σπεύδων οὐκ εἶπεν οὐδὲ ὅπως τὸ ξίφος ἀπέθετο.

B= 476. ὑπεθερμάνθη ξίφος] δαιμονίως τὸ βάθος τῆς πληγῆς ⟨παρέδειξεν⟩.

A~ 478. ξυνέχουσι τένοντες] "τένοντες" τὰ συντείνοντα τὰς συναφὰς τῶν νεύρων.

B= * τένοντες] "τένοντες" εἰσὶν αἱ ἀπονευρώσεις τῶν μυῶν, δι' ὧν γίνονται ἐκτάσεις καὶ κάμψεις.

481. πρόσθ' ὀρόων] Ζηνόδοτος χωρὶς τοῦ θ "πρόσ' ὀρόων."

B+ 483. σφονδυλίων] τινὲς εὐθεῖαν λαμβάνουσι τὸ "σφονδυλίων."

A+B– 484. Πείρεω υἱόν] ὡς Μενέλεω· ἡ γὰρ εὐθεῖά ἐστι Πείρεως, ὅπερ ἐν ἄλλοις Πείροος (Il. 2. 844) λέγεται καὶ Πείρως (Il. 4. 520). ὁ δὲ Ζηνόδοτος "Πειρέως" γράφει ἀπὸ τῆς Πειρεὺς εὐθείας.

485. 'Ρίγμον'] ἀπὸ τοῦ ῥηγμός Αἰολικῶς αὐτό⟨ν⟩ φασιν εἰρῆσθαι "'Ρῆγμον·" καὶ γὰρ τὸ⟨ν⟩ ῥηγνύμενόν φασιν· ἔνιοι δὲ "'Ρίγμονα" λέγουσιν εἶναι τὸ τέλειον.

ἄλλως: 'Ρίγμονα] τινὲς ἀπ' εὐθείας τῆς 'Ρίγμων.

486. μέσ⟨σ⟩ον ἄκοντι] "ἄκοντι" καταχρηστικῶς τῇ μελίᾳ, εἰ μὴ καὶ ἄλλο ἔτυχεν ἔχων δόρυ.

490. ὡς δ' ἀναμαιμάει] οὗτός ἐστι περὶ οὗ φησιν "εἰ—χεῖρας ἔοικε" (372). §. πολλάκις δὲ χρησάμενος τῇ ἀπὸ τοῦ πυρὸς παρα- B= βολῇ ἐμψύχῳ νῦν τῇ ὀνοματοποιίᾳ χρῆται μαιμᾶν λέγων τὸ πῦρ ὡς πᾶσαν ἐπειγόμενον τὴν ὕλην ἀναλῶσαι. πάντα δὲ πᾶσι παραβέβληται. ἥ τε γὰρ προθυμία τοῦ Ἀχιλλέως ὁμοία τῇ τοῦ πυρὸς ὁρμῇ καὶ τὸ πλῆθος τῶν ἀναιρουμένων ὅμοιον τῷ τῆς ὕλης βάθει

1. κοιλης W ex Poll. II 225: κοιλίας ‖ τῆς τε π. B ‖ 2. σιμὰ W ex Galen. II 575 ‖ 8. οὗτος W: ὅπως ‖ 10, 11. supplevi ex B ‖ 16. χ. τὸ θ̄ "πρόσ θ' ὀρόων" vel προσορόων coni. Ludwich ‖ 17. σφονδυλίῳ lemma ‖ τὸ B: τὴν ‖ 20. Πειρέως A: -εος ‖ 21. ῥηγμός scripsi: ῥίγμον ‖ φησὶν: corr. W ‖ 21, 22. suppl. W ex Eust. ‖ 22. 'Ρῆγμον ex Eust.: ῥίγμον ‖ 25. ἄκοντι W: ἄπαντα

Digitized by Google

καὶ τὸ εὐμεταχείριστον τῶν Τρώων τῷ τῆς ὕλης καταξήρῳ ἀπείκασται, ἔν τε τῷ "εἰλυφάζει" τὴν ἐπὶ πλεῖον εἴλησιν τοῦ πυρὸς ἔδειξεν.

ἀναμαιμάει] μετ' ἐνθουσιασμοῦ ἀναβάλλει τὴν κίνησιν.

491. * ἀζαλέοιο] ξηρὰν ἔχοντος ὕλην.

494. ῥέε δ' αἵματι γαῖα] ἡ γῆ ὑπὸ τοῦ αἵματος ἐρρεῖτο.

495. ὡς δ' ὅτε τις ζεύξῃ] ὅλον ὅλῳ παραβέβληται.

497. βοῶν ὑπὸ ποσ⟨σ⟩ί] οὐκ ἀναστρεπτέον τὴν "ὑπό·" ἔστι γὰρ ὑπὸ ποσίν, ὡς κἀκεῖ "ὡς ἄρα τῶν ὑπὸ ποσ⟨σ⟩ὶ κονίσαλος" (Il. 3. 13). AB=

502. κῦδος ἀρέσθαι] "κῦδος" ἤτοι τὸ ἐκ τῆς ἀναιρέσεως Ἕκτορος, ⟨ἢ⟩ καὶ τὸ ἐκ τοῦ συνειλῆσαι τοὺς πολεμίους εἰς τὸ ἄστυ. B=

## ΕΙΣ ΤΗΝ Φ.

1. πόρον ἷξον] τὸν πορευτὸν αὐτοῦ τόπον, οἱ δὲ τὸν ῥοῦν, οἱ δὲ πόρον Ξάνθου κατὰ περίφρασιν τὸν Ξάνθον. A+B= §. Ἀριστοφάνης γράφει "ῥόον." A=

ἐυρρεῖος] ἀπὸ τοῦ εὐρύς, καὶ κατ' ἐπένθεσιν τοῦ ῑ· ἢ ἀπὸ τοῦ εὐρέης εὐρέ⟨ε⟩ος, καὶ κράσει.

2. Ξάνθου δινήεντος] "Ξάνθος" ὅτι ξανθὰς ποιεῖ τὰς τρίχας, "δινήεντος" δὲ τοῦ περιφερῆ ῥεύματα ἔχοντος. B=

ὃν ἀθάνατος τέκετο Ζεύς] πῶς ὕστερον μέν φησιν ἐπὶ τοῦ Ὠκεανοῦ "ἐξ οὗ περ πάντες ποταμοί" (196), νῦν δὲ Διὸς τὸν Ξάνθον γενεαλογεῖ; ῥητέον δὲ ὅτι τοῦ μὲν θεοῦ πατὴρ ὁ Ζεύς, τοῦ δὲ ῥεύματος χορηγὸς ὁ Ὠκεανός· "ἐξ οὗ περ πάντες ποταμοί" (196)· "πατὴρ ἀνδρῶν τε θεῶν τε." διὰ δὲ τὸ πλέον χειμάρρουν εἶναι τὸν Ξάνθον Διὸς αὐτόν φησιν· φησὶ γοῦν "ὀρόθυνον ἐναύλους" (312)· "ὅν ῥα τ' ἔναυλος ἀποέρσῃ χειμῶνι περῶντα" (283). B=

ἄλλως: ὃν ἀθάνατος τέκετο Ζεύς] ὡς "υἱὸς Πειριθόοιο, τὸν ἀθάνατος τέκετο Ζεύς" (Il. 2. 741), καὶ "ἀθανάτοισι θεοῖσι Διὸς δόμῳ" (Il. 15. 85). A+

3. ἔνθα διατμήξας] θαυμαστήν τινα τὴν φαντασίαν ὑποτίθεται, ὑφ' ἑνὸς τοσαύτας μυριάδας ἀνδρῶν διαιρεθῆναι, καὶ μεταξὺ τῶν δυεῖν αὐτὸν τάξεων εἶναι ἀπονειμάμενον αὐτῶν τὴν ἑτέραν μοῖραν. B+

2. εἰλυφάζει B: -ειν ‖ 6. ζεύξει ‖ 10. supplevi ex B ‖ 11. inscriptionem addidi ‖ 14. τοῦ εὐρεὺς ‖ 15. suppl. Bekker ‖ 16. Ξάνθου alterum B ‖ 21. post ποταμοὶ add. sec. ὡς δὲ θεοῦ ὁ Ζεύς ‖ 24. ἀποέρσει ‖ 27. δόμῳ W: δὲ ὅμως ‖ 29. δυοῖν B

Digitized by Google

B= 5. ἤματι τῷ προτέρῳ, ὅτ' ἐμαίνετο] τὸ τῆς νεμέσεως ἔδειξεν, ὅτι, δι' ἧς ἐδίωκον Τρῶες, ταύτῃ διώκονται· καὶ ὅ φησιν "ὁμοιίου πτολέμοιο," τοῦτο νῦν καὶ τόπῳ δείκνυσιν ἐμφανῶς.

A= ὅτ' ἐμαίνετο φαίδιμος Ἕκτωρ] τοῦτο ἂν τις σημειώσαιτο πρὸς τὸ "τινάσσετο μαινομένοιο" (Il. 15. 609)· τινὲς γὰρ γράφουσι "μαρναμένοιο."

B= ἐμαίνετο] ἐνθουσιωδῶς ἐμάχετο. διὸ οὐκ εἶπεν 'ὅτ' ἐμάρνατο.'

B+ 6. προχέοντο] ὡς ἐπὶ τῶν προβάτων "ἐπ' ἀλλήλῃσι κέχυνται" (Il. 5. 141). §. εἰ δὲ Ἥρα ὁ ἀὴρ κατὰ τοὺς φυσικούς, πῶς τοῖς μὲν ἐπιχεῖται, τοῖς δὲ οὔ; ἀλλὰ καὶ Ἀθηνᾶ "ἀχλὺν θεσπεσίην κατέχευε" (Od. 7. 41, 2) τῷ Ὀδυσσεῖ, καὶ Ποσειδῶν τῷ Ἀχιλλεῖ ἀχλὺν ἐπέχει (Il. 20. 321)· ὥστε οὖν ἐκπεσόντας τῆς πόλεως ἐμπεσεῖν τῷ ποταμῷ, τοῦτο ποιεῖ ἡ Ἥρα.

B− πεφυζότες] δειλιῶντες· "θεσπεσίη ἔχε φύζα" (Il. 9. 2), ἀντὶ τοῦ δειλία.

B− 7. πίτνα] ἐξέτεινε, "πιτνὰς εἰς ἐμὲ χεῖρας" (Od. 11. 392).

B= 8. * εἰλεῦντο] συνωθοῦντο.

B= 9. ἐν δ' ἔπεσον] οὐκ εἶπεν ἐνέβησαν, ἀλλ' "ἐνέπεσον" τὸ ἀκούσιον τῆς φυγῆς θέλων σημᾶναι.

B− πατάγῳ] πάταγος ψόφος ἐκ τριῶν μιγνύμενος, ὅπλων, βοῆς, ὕδατος. καὶ Θουκυδίδης (7. 84) "⟨ὡς δὲ γίγνονται⟩ ἐπὶ αὐτῷ, ἐμπίπτουσιν οὐδενὶ κόσμῳ."

ἄλλως: πατάγῳ—βράχε—ἴαχον—ἀλαλητῷ] πάντα ταῦτα συνήγαγε πρὸς ἔμφασιν.

B+ 10. ὄχθαι δ' ἀμφὶ περὶ μεγάλ' ἴαχον] αἱ περὶ αὐτὸν ὄχθαι ἀμφίαχον· ἢ πρὸς ἔμφασιν αἱ δύο κεῖνται προθέσεις· ἢ ὡς συνᾴδουσαι τοῖς ἐγχωρίοις. ἔμφασιν δὲ ἔχει ὁ τόπος ἐφ' ἑκατέραν ὄχθην τοῦ ψόφου καὶ τῆς βοῆς ἀνακλωμένων.

11. ἔνθα καὶ ἔνθα] οἱ μὲν πρὸς τὸ ἀνωφερές, οἱ δὲ πρὸς τὸ κατωφερὲς "ἑλισσόμενοι·" καὶ ἔμπροσθεν "ἡμίσεες δὲ ἐς ποταμὸν εἰλεῦντο" (7, 8)· ἢ ἐπὶ πολλοὺς τόπους διερρῖφθαι τοὺς νηχομένους φησίν· διὰ γὰρ τούτου τοὺς οὐκ εὐχερῶς νήχεσθαι δυναμένους διὰ τὴν σφοδρότητα τοῦ ῥεύματος δείκνυσιν.

4. τοῦτο ἂν A: τοῦτον ‖ 5. μαινομένοις ‖ 6. μαρναμένοις ‖ 10. ἐπιχέεται ‖ 19. φωνῆς: corr. W ‖ 20. γινόμενος B ‖ 21. supplevi ex Thuc. ‖ αὐτῷ Thuc.: ταυτὸν ‖ 22. ἐσπίπτουσιν Thuc.

Digitized by Google

12. ὡς δ' ὅθ' ὑπὸ ῥιπῆς] ἐπεὶ ταπεινὴ ἡ εἰκών, ἐφαίδρυνεν αὐτὴν λέξεσι, τῷ "ῥιπῆς" καὶ τῷ "ἠερέθονται." ἅπτουσι δὲ οἱ γεωργοὶ πῦρ διώκοντες αὐτά⟨ς⟩ τοῦ σπόρου. ἐμφερέστατα δὲ ἐφ' ἑκατέρου τῇ εἰκόνι κέχρηται· τὸ μὲν γὰρ ἀκαταμάχητον τοῦ διώκοντος πυρὶ παρέβαλε, τὸ δὲ ἄπρακτον τῶν φευγόντων ἀκρίσιν. ἐντεῦθέν τινες Κύπριόν φασι τὸν ποταμόν· κατά τινας γὰρ χρόνους ὀχλεῖται ἡ Κύπρος ὑπὸ ἀκρίδων, ὡς Κυρήνη καὶ ἡ Βάρκη. B−

ἀκρίδες] παρὰ τὸ κρᾶν, ὅ ἐστιν ἐσθίειν—"ὃς αἰζηῶν ἔκραε κηδεμόνας" (Callim. fr. 200 Schn.)—ἢ ἀκρίζειν, ὅ ἐστι τὰ ἄκρα ἐσθίειν. A=B−

§. βροῦχος δὲ παρὰ τὸ βρύκειν.

ἠερέθονται] ἐρεθίζονται. πλεονάζει γὰρ τὸ η̄, ὡς "ἠμύει" (Il. 2. 148). B−

14. ὄρμενον] ψιλωτέον τὸ "ὄρμενον." ἀπὸ γὰρ τοῦ ὄρω ἐστὶ ψιλουμένου καὶ βαρυνομένου ὀρόμενον ὄρμενον κατὰ συγκοπήν, ἢ ἐκ τοῦ ὠρμένον συστολῇ καὶ ἀναδρομῇ τοῦ τόνου. A=B−

πτώσσουσι καθ' ὕδωρ] ἐμπίπτουσι καταπτήξασαι. B=

16. κελάδων ἐπιμίξ] τὸ μὲν "κελάδων" βαρυντέον—φησὶ γοῦν "παρ' ποταμὸν κελάδοντα" (Il. 18. 576) οὐ κελαδοῦντα—τὸ δὲ "ἐπιμίξ" ὀξυτονητέον. A+B−

17. αὐτὰρ ὁ διογενής] μόνον τοῦτον οὕτω δίχα τοῦ κυρίου καλεῖ.

ὄχθῃ] ὄχθη καὶ κρημνὸς ταὐτόν· φησὶ γοῦν "μεσσοπαγὲς δ' ἄρ' ἔθηκε κατ' ὄχθης" (172) καὶ "οὐ δύνατ' ἐκ κρημνοῖο" (175). ὄχθαι δὲ οἱ παραποτάμιοι κρημνοί.

18. κεκλιμένον μυρίκῃσιν] περικεκλεισμένον, κεκρυμμένον. §. οὐ δηλοῖ, πῶς ἀνέλαβεν αὐτό. §. πᾶσαν ἰδέαν μάχης διελθὼν ἐν τῷ A+ πεδίῳ καὶ περὶ τὸ τεῖχος καὶ ἐπὶ ταῖς ναυσὶ καινόν τι ἐξεῦρεν ἐπὶ τῇ Ἀχιλλέως ἐξόδῳ τὴν παρὰ τῷ ποταμῷ μάχην, οὐ μόνον τὴν μονοείδειαν περιιστάμενος ἀλλὰ καὶ καινὰς διαθέσεις ἐπεισφέρων τῇ ποιήσει· τετάρτην γὰρ ταύτην συνιστὰς μάχην ἐπὶ λήξει τῆς ποιήσεως, ἐπεὶ μὴ ἀξιομάχους οἶδε βαρβάρους Ἀχιλλεῖ καὶ ἄτοπον εἰς ἀκατέργαστον λῆξαι τὴν ποίησιν, θεῶν τε μάχην παρεισάγει

2. ῥιπῆς B: ῥιπῇ ‖ καίουσι B ‖ 3. supplevi ex B Eust. ‖ τῶν σπορίμων Eust. ‖ 8. κρᾶν sec. ut A: γρᾶν pr. ut Et. M. p. 219, 22 ‖ 8, 9. κηδεμόνας A: -όνα Galen. in Lex. Hipp. p. 546 Fr., -όνος ut Et. M. ‖ 14. ψιλούμενον B ‖ βαρυνόμενον B ‖ 15. συστολῇ καὶ ἀναδρομῇ scripsi, cf. A: συνδρομῇ καὶ ἀναδόσει ‖ 16. καταπληχθεῖσαι B ‖ 22. δύναται: corr. W ‖ 26. ἐπὶ W: ἐν

Digitized by Google

*καὶ τὸν ποταμὸν καθίστησιν, εὔλογον ἀφορμὴν λαβὼν τὴν ἀπὸ τῶν νεκρῶν στένωσιν.*

*ἄλλως: κεκλιμένον μυρίκῃσιν, ὁ δ' ἔσθορε*] Πυθοκλῆς *ὡς ἓν περιφέρεται τὸ* "*ὅδε,*" *ἵν' ᾖ ἀντὶ τοῦ* '*καί,*' *ὡς ἠδέ καὶ ἰδέ.*

A= *ὁ δ' ἔσθορε*] *γράφεται καὶ* "*ἔνθορε·*" *ἔνιοι δὲ γράφουσιν* "*αὐτὸς δ' αἶψ' ἐπόρουσεν.*"

B− 20. *τύπτε δ' ἐπιστροφάδην*] *συνεστραμμένως ἰσχυρῶς, ἢ μηδένα τόπον παραλιμπάνων, ὡς καὶ ἐπὶ τῆς* Τειχομαχίας "*πάντῃ δὴ πύργοι καὶ ἐπάλξιες αἵματι φωτῶν ἐρράδατ' ἀμφοτέρωθεν*" (Π. 12. 430)· *ἑκατέρωθεν γὰρ ὑπ' ὄψιν ἤγαγε τὸ πρᾶγμα καὶ τὸ πλῆθος τῶν ἀναιρουμένων παρέστησεν.*

B− 22. *ὡς δ' ὑπὸ δελφῖνος*] *καλῶς τὰ τῆς παραβολῆς· ὅτε μὲν γὰρ ὁ διώκων ἐπὶ γῆς ἦν οἱ δὲ φεύγοντες εἰς τὸν ποταμὸν συνωθοῦντο, τὸν μὲν πυρὶ τοὺς δὲ ἀκρίσιν ὡμοίωσεν· ὅτε δὲ ἐν ὕδατι ὁ διώκων καὶ οἱ διωκόμενοι, πρὸς τὸν ὑποκείμενον τόπον ἡ παραβολὴ συνᾴδει. καλῶς δὲ καὶ δελφῖνι εἴκασται· θαλασσίας γὰρ δαίμονος υἱός. ὡς ἰχθύος δὲ ὄντος τοῦ δελφῖνος τὸ* "*ἄλλοι*" *εἶπεν· καὶ* Πίνδαρος "*ἰχθὺν παιδοφάγον*" (fr. 306 B.) *ἐπὶ τοῦ κήτους.*

B− *μεγακήτεος*] *μέγα κύτος ἔχοντος, ὡς* "*μεγακήτεϊ νηΐ*" (Il. 8. 222), *ἢ μεγάλου κήτους.*

B+ 23. *μυχούς*] *τὰς διαδύσεις παρὰ τὴν νύκτα.*

25. *ποταμοῖο κατὰ δεινοῖο*] *δίνας ἔχοντος καὶ ἤδη ἀκροκελαινιόωντος* (249).

B= 26. *πτῶσσον*] *κατέπτησσον ταπεινοῦντες αὐτούς.* §. "*κρημνούς*"
B= *δὲ τὰς ἐπικρεμαμένας τοῖς ὕδασιν ὄχθας.*

*κάμε χεῖρας ἐναίρων*] Ἑρμόδωρος *ὁ ῥαψῳδὸς* "*χεῖρας ἐναίρων*" *ἤκουε* '*χειροκοπῶν,*' *κατεχρήσατο δέ· κυρίως γὰρ ἐναίρειν τὸ σκυλεύειν, ὅθεν καὶ* "*κατηναρισμένας*" *φησὶν ὁ* Σοφοκλῆς (Aiac. 26).

B= 27. *δυώδεκα λέξατο*] *ὡς εἰς θυσίαν μέλλων παριστάνειν τὴν*
B= *καλουμένην δωδεκάδα.* §. *μεγάλην δὲ τὴν ὑπεροχὴν διὰ τούτου παρίστησιν ἐπιλέξασθαι αὐτὸν τοὺς αἰχμαλώτους λέγων οἵους καὶ ὅσους ἠβούλετο, εἶτα καὶ τούτους καθ' ἕνα συνδῆσαι ὥσπερ ἀνδράποδα προτείνοντα⟨ς⟩ τὰς χεῖρας.*

5. *ἔνθορε* A: *ἔκθορε* ‖ 17. *δὲ* scripsi: *τε* ‖ 21. *καταδύσεις* B ‖ 34. supplevi ex B

Digitized by Google

29. ἐξῆγε θύραζε] καταχρηστικῶς, ὡς καὶ "ἐκ πόντοιο θύραζε" (Il. 16. 408).

31. τοὺς αὐτοὶ φορέεσκον] περιπαθῶς ἄγαν· ταῦτα γὰρ ἀφορμὴ B=
γέγονε τῶν δεσμῶν αὐτοῖς, ἃ εἰς σωτηρίαν ἐπήγοντο.

ἐϋ στρεπτοῖσι χιτῶσιν] ἀντὶ τοῦ ⟨εὐ⟩κλώστοις· ἐνήθετο γὰρ καὶ B=
ἡ κρόκη. οὐδέπω δὲ ἐγινώσκετο τρῖψις κρόκης, ἀλλὰ νῆσις· Μένανδρος "κρόκην δὲ νήσεις στήμονα" (fr. 301 M.).

34. ἐνθ' υἱεῖ] περισπαστέον καὶ διὰ τῆς ει διφθόγγου γραπτέον B=
τὸ ει· καὶ γάρ ἐστιν ἀπὸ τῆς υἱεύς.

ἄλλως: ἔνθ' υἱεῖ Πριάμοιο] μετέβαλεν εἰς ἄλλην διάθεσιν ποι- B=
κίλλων τὴν διήγησιν. πρῶτος οὖν καὶ τὸ τῶν περιπετειῶν εἶδος ἔδειξε, ποικίλον ὂν καὶ θεατρικὸν καὶ κινητικόν. πάντα δὲ λέγων ἀληθοποιεῖται τὸν λόγον.

36. * οὐκ ἐθέλοντα] ἀντὶ τοῦ πρὸς βίαν. B=

37. ἐννύχιος] εἶπε γὰρ "πολλὰς μὲν ἀύπνους νύκτας ἴαυον" (Il. 9. 325).

ὁ δ' ἐρινεὸν—τάμνε νέους ὅρπηκας] ἀπὸ τοῦ γενικοῦ εἰς τὸ εἰδικὸν A+B−
μεταβέβηκεν. ὅρπηξ δὲ ψιλοῦται· ἔστι γὰρ παρὰ τὸ ὅρω, πλεονασμῷ τοῦ π, εἰ καὶ ⟨ὁ⟩ λόγος κελεύει αὐτὸ δασύνεσθαι· τὸ γὰρ α καὶ τὸ ε εἰς ρ καταλήξαντα ἑπομένου τοῦ π δασύνεσθαι θέλει, ἅρπη ἕρπε· οἷς συνεξομοιοῦσι καὶ τὸ ὅρπηξ.

ἄλλως: ὁ δ' ἐρινεὸν ὀξέι χαλκῷ τάμνε] εἰ διαστείλαιμεν βραχὺ AB+
ἐπὶ τὸ "τάμνε," εὐλογώτερον ἂν γένοιτο τὸ σχῆμα.

ἄλλως: ὁ δ' ἐρινεόν] ἀντὶ τοῦ ἐρινεοῦ, ὡς "γυναῖκά τε θήσατο A+B−
μαζόν" (Il. 24. 58) καὶ "οἰνοχόον βάλε χεῖρα" (Od. 18. 396). τινὲς δὲ ἀντὶ τοῦ ξύλου. οὐ γὰρ εὐθετεῖ ὁ ἐρινεὸς εἰς ἅρματα· εἴη ἂν οὖν ξύλον ἀντὶ τοῦ ξύλου τεθεικώς.

39. τῷ δ' ἄρ' ἀνώιστον] ἀναγκαίως προεκτίθεται τὰ περὶ αὐτὸν B=
ἅπαντα, ἵνα ἑξῆς ἱκετεύοντος αὐτοῦ γνώριμος ὁ λόγος καθεστήκῃ.

ἀνώιστον] ἀνεπιλόγιστον· νωίσασθαι γὰρ τὸ νοῆσαι. παρὰ τὸ B−
⟨ὀ⟩ίσασθαι ἀνόιστον καὶ κατ' ἐπέκτασιν.

40. ⟨Λῆμνον⟩ ἐυκτιμένην] ἤδη γὰρ αὐτὴν ᾤκουν Ἕλληνες τῶν Ἀργοναυτῶν· κυρίως δὲ περάσαι τὸ εἰς πέραν ἀποδόσθαι.

* Λῆμνον] λείπει ἡ εἰς.

5. supplevi ex B ‖ 6. οὐδέπω W: οὐδέποτε ut B ‖ 7. νήσει καὶ στ. B ‖ 15. γὰρ post μ. omisi ‖ 29. καθεστῇ B ‖ 31. ἀνώιστον ‖ 33. scholion ad v. 58 scriptum: traiecit W



Digitized by Google

41. *ἄγων*] ἴσως κελεύσας Πατρόκλῳ, ὡς καὶ "λούσασ' ἐν ποταμῷ" (Od. 7. 296).

B= 42. *ξεῖνός μιν ἐλύσατο*] ἐπιξενωθεὶς ἠλευθέρωσεν. §. τὸ δὲ ἑξῆς,

AB= ξεῖνός μιν ἐλύσατο Ἴμβριος Ἠετίων.

43. *Ἴμβριος Ἠετίων*] πρὸς τὴν ὁμωνυμίαν, καὶ ὅτι φίλοι τοῖς Ἕλλησιν οἱ Λήμνιοι, ἐχθροὶ δὲ τοῖς Τρωσίν, ἐπεί τοι διὰ τί δὴ μὴ τὸν υἱὸν τοῦ βασιλέως ἀπέδωκαν;

*Ἀρίσβη⟨ν⟩*] μεταξὺ Περκώτης καὶ τῆς Ἀβύδου.

B= 46. * *ἐλθὼν ἐκ Λήμνοιο*] σωθεὶς ἀπὸ τῆς Λημνίας δουλείας.

B= 48. *καὶ οὐκ ἐθέλοντα*] περισσὸς ὁ "καί." ἴσως δὲ τὸ φιλόψυχον αὐτοῦ κωμῳδεῖ καὶ διὰ τοῦ πρώτου (36).

B= 50. * *γυμνόν*] οὕτω γὰρ καὶ ἐγνωρίσθη.

*οὐδ' ἔχεν ἔγχος*] ὅμοιον τὸ σχῆμα τῷ "ἰοῖσίντε τιτυσκόμενοι λάεσσί τ' ἔβαλλον" (Il. 3. 80)· ἴσως δὲ καὶ διὰ τῆς ἐξαλλαγῆς χλευάζει τὸ πρόσωπον, ὡς οὐδὲ τῶν ἀμυντηρίων ἑαυτῷ τι καταλιπεῖν ὑπέμεινεν.

54. * *ὢ πόποι*] "πόποι" οἱ θεοὶ παρὰ τὸ ἐποπτεύειν πάντα.

B= 55. *ἦ μάλα δὴ Τρῶες*] ὑπερβολικῶς εἶπε, τάχα Τρῶες καὶ ἐξ Ἅιδου φεύξονται, ὅπου θαλασσοκρατούντων Ἑλλήνων ἀπὸ νήσου ἔφυγεν.

A-B= *μεγαλήτορες*] Πῖος στίζει εἰς τὸ "μεγαλήτορες," εἶτα τὸ ἑξῆς ἐν ἤθει φησὶν ἀναφωνήσας 'διαναστήσονται ἄρα καὶ οἱ τεθνεῶτες, εἴπερ καὶ οὗτος ἴσχυσε διαπεραιωθῆναι.'

A+ 57. *φυγὼν ὑπὸ ⟨νηλεὲς ἦμαρ⟩*] ἐπεὶ οὐδέποτε πρόθεσις ἀντὶ προθέσεως κειμένη ἀναστρέφεται.

B= 60. *ἀλλ' ἄγε δὴ—δουρός*] γενναῖον ἦθος καὶ ἐπάνω τῶν δεινῶν κείμενον ἡ εἰρωνεία παρίστησιν.

63. *⟨γῆ⟩ φυσίζοος*] οὐ καλὸν τὸ ἐπίθετον ἐπὶ νεκρῶν καὶ τύμβων ταττόμενον.

B= 64. *ὡς ὥρμαινε μένων*] ὁ μὲν περιμένει διὰ τὴν ὑπεροχὴν τεθαρρηκὼς ἑαυτῷ καὶ οὐχ οἷον ἁρπάζων τὸν καιρόν, ὁ δὲ ἐμπέδως ⟨πάντα⟩ ὁρῶν ἄφυκτα ἑαυτῷ αὐτὸς πρόσεισιν.

B= 65. *περὶ δ' ἤθελε*] ἐπιτείνει τὸ φιλόζωον, ὅπως συγγνώμην ἔχῃ παρατείνων τὰ τῆς δεήσεως.

1. καὶ λοῦσ' textus Od., λούσας ‖ 6. τί δὴ μὴ tentavi: τί μὴ Bekker, τοῦ ἄγον μὴ ‖ 9. Λημνείας ‖ 10. schol. ad 36 iterum scriptum ‖ 14. ἐξαλλαγείσης ‖ 18. ἔφυγον ut B: corr. W ‖ 26. φυσίζωος ut textus ‖ 28. περιμένει sec. ut B: περιτέμνει pr. ‖ 30. suppl. W ex B ‖ αὐτῷ B ‖ 31. ἔχοι ut B

Digitized by Google

67. δόρυ μακρόν] ὅτι κατὰ τὸ σιωπώμενον ἀνέλαβε τὸ δόρυ. A=

68. οὐτάμεναι] ὥστε οὐκ ἀφῆκε τὸ δόρυ ἀλλ' ἐνέπηξε τῇ γῇ. τὸ γὰρ οὐτῆσαι ἐπὶ τοῦ τρῶσαι. §. ἔστι δὲ ὥσπερ ἐν γραφῇ θεάσασθαι B= τὸν μὲν ἐπανατεινόμενον τὸ δόρυ τρῶσαι θέλοντα, τὸν δὲ φθάσαντα τὴν πληγὴν καὶ τοῖς γόνασι προσπίπτοντα, καὶ τὴν μὲν αἰχμὴν τῇ γῇ προσπεπηγυῖαν, τὸν δὲ καὶ τῶν γονάτων ἐχόμενον καὶ τὸ δόρυ κατέχοντα τοῦ κτείνοντος.

70. χροὸς ἄμεναι] "ἄσασθε κλαυθμοῖο" (Π. 24. 717). §. ἐναγώνιον δὲ τὸ ἐνιαχοῦ ἀποτυγχάνειν καὶ παρέχειν καιρὸν τοῖς ἐλεεινολογήμασιν.

73. καί μιν λισσόμενος] τοῦτον τινες προστιθέασιν οὐ φερόμενον A= ἐν ταῖς Ἀριστάρχου. τινὲς δὲ γράφουσι "καί ῥ' ὀλοφυρόμενος."

74. αἴδεο] ὡς ἱκέτην προσδέχου. δύο γὰρ πρὸς σωτηρίαν B= ἀνυστικά, αἰδὼς καὶ ἔλεος.

75. ἀντί τοι] ὡς ἀντιάνειρα (Π. 3. 183) καὶ ἀντίκλειδα. §. "ἱκέταο" B= δὲ τοῦ εἰς τὴν ἑστίαν ἥκοντος καὶ ἱκετεύοντος. πιθανὴ δὲ ἡ ἐπανάληψις· ὁ γὰρ αἰχμάλωτος ἱκέτην ἑαυτὸν φησιν—ἱκέτην γάρ, φησί, κυρίως καλοῦμεν τὸν ἑκουσίως καταφυγόντα—ὁ δὲ τῷ ὁμωρόφιος γεγονέναι καὶ τροφῆς μετεσχηκέναι εἰς τὸ τῶν ἱκετῶν δίκαιον ἑαυτὸν τάττει.

* ἀντί τοι εἰμ' ἱκέταο] ἴσος ἱκέτῃ. A+B=

76. * "πρώτῳ" ξένων.

ἀκτήν] ἡ ἄγουσα ἡμᾶς καὶ πορεύεσθαι ποιοῦσα. ἄτοπον δὲ τὸν μεταδόντα τροφῆς, ἐξ ἧς ἄνθρωποι ζῶμεν, τῆς ζωῆς ἀφαιρεῖσθαι. καὶ "Δημητέρος" φησὶν εἰς δεισιδαιμονίαν παρακαλῶν. καὶ ὃ μὲν εἰς τροφὴν ἐπὶ τῷ πωλῆσαι παρέλαβεν, ὃ δὲ τοῦτο εἰς τὸ τῶν ἱκετῶν δίκαιον ἔταξεν. καὶ θαυμάσαι ἄξιον τὴν εὐπορίαν τοῦ ποιητοῦ. πολεμίῳ γὰρ προσώπῳ λόγον περιθεὶς ὅμως εὐπόρησε πρὸς τὴν σωτηρίαν εὐλόγου προφάσεως. B+

80. λύμην] εὐκτικῶς· πρὸς ὅ φησι "μή μοι ἄποινα πιφαύσκεο" B– (99)· ἀφ' οὗ καὶ πληθυντικαὶ κατὰ ἀναδιπλασιασμόν, "λέλυντο δὲ γυῖα ἑκάστου" (Od. 18. 238). συνέσταλται δὲ διὰ ⟨τὸ⟩ μέτρον.

83. μέλλω που ἀπέχθεσθαι] ἔοικα ἀπεχθὴς γεγονέναι. §. ἄκρως A+B= δὲ διαγράφει δειλόν, ἀπεγνωκότα μέν, ὅμως δὲ δεόμενον τῆς σω- B= τηρίας. ἔχεται γὰρ ἁπάντων ἡ ἀμείνων ἐλπίς.

5. πίπτοντα B ‖ 8. ἄσασθαι ‖ 11. ταῖς A: τοῖς ‖ 14. ἀντίκλεις apud Poll. x 22 ‖ 16. φησὶ alt. delet W ut B ‖ 17. ὁμωρόφιος Bekker: ὁμορρόφιος B, ὁμορόφιος ‖ 24. ἔλαβεν B, παρέλαβεν: ἔταξεν scripsi ex l. 19, τάττει coni. W ‖ 26. εὐλόγου B: -ως ‖ 28. ἀφ' W: ἐφ' ‖ 31, 32. 'aut post σωτ. deest ⟨τυχεῖν⟩ aut verba τῆς—ἐλπὶς sunt scriptoris nescio cuius' W



Digitized by Google

B= 85. *Λαοθόη] ἵνα δείξῃ, ὅτι καὶ πρὸς μητρὸς εὐγενής ἐστιν. ἅμα δὲ ὅτι οἱ ἐν τύχαις μεγίσταις ἐλεοῦνται ἀτυχοῦντες.*

86. *Ἄλτεω, ὃς Λελέγεσ⟨σ⟩ιν] φασὶ* Πρίαμον *πρὸ τῆς* Ἑκάβης *γῆμαι τὴν Λαοθόην, πασῶν τῶν* Ἀσιατίδων *εὐγενείας ἕνεκα προκρίναντα τὸν γάμον τῆς κόρης.*

B= *ἄλλως:* Ἄλταο] *τὸ αὐτὸ ὄνομα διχῶς ἐσχημάτισεν,* "Ἄλταο" *ὡς* Ἀτρείδαο *καὶ* "Ἄλτεω" *ὡς* Μεν[έλεω].

AB= *ἄλλως:* Ἄλτεω] *πρὸς τὴν ἐπανάληψιν τοῦ ὀνόματος τὸ σημεῖον.*

A– . Λελέγεσ⟨σ⟩ι—*ἀνάσσει]* Ἀρίσταρχος *σὺν τῷ ῑ τὸ "ἀνάσσει·" οἱ δὲ χωρίς· οὐκ ἀλόγως γὰρ περὶ* Πηδάσου *ὡς πεπορθημένης, "πέρσε δὲ* Λυρνησσὸν *καὶ* Πήδασον" (Il. 20. 92), *εἰ μὴ ἄρα φαίημεν πεπορθῆσθαι μὲν πρότερον τὴν* Πήδασον, *ἀνειληφέναι δὲ πάλιν τὴν ἀρχὴν τὸν* Ἄλτην.

87. *ὑπὸ* Σατνιόεντι] '*ἐπὶ*' *τοῖς ποταμοῖς φαμεν κεῖσθαι τὰς πόλεις.*

B= 88. *τοῦ δ' ἔχε θυγατέρα] αὔξει τὸ γένος* Πριάμου *λέγων ἐπιδεδικάσθαι τὴν συγγένειαν* Ἄλτου· *ἀλλοτριῶν δὲ ἑαυτὸν τοῦ γένους* Ἕκτορός *⟨φησι⟩, "πολλὰς δὲ καὶ ἄλλας."*

89. *σὺ δ' ἄμφω δειροτομήσεις] "σὺ δέ" ἐν ἐρωτήσει τινές, ἵνα μὴ εἰδὼς πάλιν παρακαλῇ. καταχρηστικῶς δὲ 'ἀναιρήσεις.'*

A+ 95. *οὐχ ὁμογάστριος]* Ζηνόδοτος *"ἰογάστριος," ἐπεὶ ἐν ἄλλοις ἔφη "ἰῆς ἐκ νηδύος ἦσαν"* (Il. 24. 496) *καὶ "ἰῇ ἄρα γεινόμεθ' αἴσῃ"* (Il. 22. 477).

B= . 96. *ἐνηέα τε] τῷ ἐπιθέτῳ τοῦ φίλου μαλάσσειν αὐτὸν οἴεται, διδάσκων αὐτὸν ζηλοῦν τὴν προσήνειαν τοῦ φίλου.*

B= 99. *νήπιε] διὰ τοῦ ἐπιθέτου πᾶσαν ἐλπίδα τοῦ πείθειν ἐξέκοψεν.*

*μή μοι ἄποινα] τινές, ἐπεὶ ἔλεγεν "ἑκατόμβοιον δέ τοι ἦλφον"* (79)· *ἢ ἐπεὶ διὰ τοῦ "μή με κτεῖνε"* (95) *τοῦτο ὑπέφηνεν, ἢ διὰ τοῦ "νῦν δ' ἐλύμην"* (80).

100. * *ἐπισπεῖν αἴσιμον ἦμαρ] ἐπὶ τὴν πεπρωμένην ἐλθεῖν.*

AB= 101. *πεφιδέσθαι] παροξυτόνως, ὡς τὸ "ἱκέσθαι"* (Il. 1. 19)· *ἔστι γὰρ μέσος δεύτερος ἀόριστος.*

B= 105. *περὶ δ' αὖ* Πριάμοιο] *ὃ μὲν ὡς ἐπὶ τῇ εὐγενείᾳ προὐβάλετο* (88), *ὃ δὲ διὰ τοῦτο φονεύειν αὐτόν φησιν.*

9. *ἀνάσσειν* lemma ‖ *ῑ τὸ ἀνάσσειν*: corr. Hoffmann ‖ 14. *ἐπὶ* textus ‖ 15. *πολλάς* ‖ 18. supplevi ex B ‖ 19. *δὲ* post *τ.* del. W ‖ 24. *ἐν* ante *τῷ* ut B : omisi

Digitized by Google

ἄλλως: περὶ δ' αὖ Πριάμοιο] ὁ μὲν ἔλεγεν ὅτι οὐκ εἰμὶ Ἑκάβης, ὁ δὲ ἀντέθηκεν ὅτι Πριάμου παῖς ἐστιν. B=

106. ἀλλὰ φίλος, θάνε καὶ σύ] τινὲς ἀξιοῦσι μετὰ τὸ "θάνε" στίζειν, ἵν' ᾖ 'φίλος θάνεν ὁ Πάτροκλος.' B=

ἄλλως: ἀλλὰ φίλος, θάνε καὶ σύ] πιθανὴ ἡ εἰρωνεία καὶ πρὸς τὸν ξενίαν προβαλλόμενον (76). θανάτου δὲ κρείσσων ὢν παραμυθεῖται τὸν ἀγεννῶς τοῦ ζῆν ἐφιέμενον. B=

* οὕτως] διὰ τοῦ ō αἱ πᾶσαι. A=

108. καλός τε μέγας τε] ὁπότερον γὰρ ἂν θατέρου στερηθῇ, πρὸς σωματικὸν κόσμον ἀτελές.

110. ἀλλ' ἐπί τοι καὶ ἐμοί] οὐκ ἀναστρεπτέον τὴν "ἐπί·" τὸ γὰρ ἑξῆς ἐστιν 'ἐπ' ἐμοί,' ἵν' ᾖ 'ἀλλὰ καὶ ἐπ' ἐμοὶ ἔσσεται·' τινὲς δὲ τελείαν δόντες ἐν τῷ προτέρῳ τὸν ἑξῆς ὡς ἀπὸ ἄλλης ἀρχῆς προφέρονται τὸν "ἔσσεται ἢ ἠώς" καὶ τὴν ἔπι ἀναστρέφουσιν, ἵν' ᾖ 'ἔπεστιν·' οὕτως Ἀρίσταρχος καὶ Νικίας. ἄμεινον δὲ τὸ πρῶτον, ὥσπερ ἔχει καὶ τὰ τῆς παραδόσεως. A~B−

ἄλλως: ἀλλ' ἐπί τοι καὶ ἐμοί] στικτέον κατὰ τὸ τέλος τοῦ στίχου, ὡς καὶ τοῖς περὶ Ἀρίσταρχον δοκεῖ, καὶ τὸ ἑξῆς ἀπὸ ἄλλης ἀρχῆς, "ἔσσεται ⟨ἢ⟩ ἠὼς ἢ δείλη." τὸ δὲ λεγόμενον τοιοῦτον· ἔστ⟨α⟩ί τις ὄρθρος ἢ μεσημβρία ἢ δειλινὴ ὥρα, καθ' ἣν κάμέ τις ἀνελεῖ. καὶ χωρὶς τοῦ σ̄ τὸ "δείλη," ὡς καὶ Δίδυμός φησιν. AB−

111. ἠώς] ἕωθεν ἕως μεσημβρίας, ὡς τὸ "ὄφρα μὲν ἠὼς ἦν" (Il. 8. 66) καὶ "πᾶσαν δ' ἠοίην" (Od. 4. 447) "ἔνδιος δ' ὁ γέρων" (ib. 450), ἡ δὲ μετὰ μεσημβρίαν ἕως ἑσπέρας δείλη· ἧς τὸ μὲν πρῶτον δείλην πρωίην, τὸ δὲ πρὸς ἑσπέραν δείλην ὀψίαν Ἀττικοί φασιν. τρισὶ δὲ διαστήμασιν ὥρισε τὴν ἡμέραν διὰ τὸ μηδέπω ὡροσκοπίαν παραδεδόσθαι.

* δείλης] ὅλαι εὐθεῖαί εἰσιν· διχῶς οὖν τοῦ ς̄ ἡ δείλη. AB+

112. Ἄρῃ ἐκ θυμὸν ἕληται] τῷ σιδήρῳ· συνείληπται δὲ ἀπὸ τοῦ Ἄρηι. τινὲς δὲ "ἀρῇ" βλάβῃ, βέλους ἢ δόρατος. B−

113. ἢ ὅ γε δουρὶ βαλὼν ἢ ἀπὸ νευρῆφιν] πέπεισται γὰρ ὡς οὐδεὶς αὐτῷ συνελθὼν συστάδην ἀνελεῖ. B=

114. τοῦ δ' αὐτοῦ λύτο] "αὐτοῦ" ἐν ᾧ ἦν τόπῳ ἱκετεύων. B=

8. schol. supra v. 107 scriptum: traieci ut A ‖ 12. τὸ ἑξῆς post ᾖ del. W ‖ 13. ἄλλης dubitanter W, cf. l. 18: τινὸς ‖ 21. ἀνελεῖ W, ἀνέλῃ A: ἀναιρεῖ ‖ 24. ἧς W: ἧ ‖ 28. ὅλῳ ‖ 32. μαχεῖται B

Digitized by Google

AB= 115. *χεῖρε πετάσ⟨σ⟩ας] ἀπογνοὺς ἤδη τὸν σύντομον αἱρεῖται θάνατον.*

B– 120. *ποταμόνδε λαβὼν] τὸ μὲν τοὺς ἐν τῷ ποταμῷ ὄντας ἐμβάντα ἀναιρεῖν συγγνωστόν, τὸ δὲ καὶ τοὺς ἐν τῇ γῇ ἀναιρουμένους εἰς τὸ ῥεῖθρον ἐμβάλλειν αἰτίαν πιθανὴν παρέχει τῷ ποταμῷ εἰς τὴν κατ' Ἀχιλλέως ἐπιβουλήν. ἔπειτα καὶ κατ' αὐτοῦ βλασφημεῖ, "οὐδ' ὑμῖν ποταμός περ ἐύρροος ἀργυροδίνης ἀρκέσει"* (130). *θηρώμενος οὖν ὁ ποιητὴς τὴν πρὸς τὸν ποταμὸν μάχην ζητεῖ πιθανὰς αἰτίας.*

AB– 122. *ἐνταυθοῖ νῦν ἧσο] περισπαστέον τὸ "ἐνταυθοῖ·" ἔστι γὰρ ἀπὸ τοῦ ἐνταῦθα* Ἀττικῶς· *τὸ δὲ "ἧσο" δασυντέον. τινὲς δὲ ψιλοῦσιν, ἵν' ᾖ ἀπὸ τοῦ ἴσθι· ἔνιοι δὲ γράφουσιν "ἐνταυθοῖ νῦν κεῖσο," ἄμεινον δὲ τὸ πρῶτον.*

*ἄλλως: ἐνταυθοῖ]* Ἀττικόν *ἐστιν. οἱ δὲ ἀπὸ τοῦ ἐνταυθί.* §. *"ἧσο"*
B= *δὲ δίαγε ἢ ὕπαρχε.*

B– 123. *ἀκηδέες] οὐ κηδόμενοι· οἱ δέ, ὡς "ἀνηλεές" ἐπὶ τοῦ* Λυκάονος (57).

B+ *οὐδέ σε μήτηρ] ἐπεὶ πολλὰ περὶ τῆς μητρὸς προὐβάλετο "μινυνθάδιον δέ με μήτηρ γείνατο—τῆς δὲ δύω γενόμε⟨σ⟩θα"* (84 sqq.), *ὥσπερ ἐμπιπλάμενος τῆς κατὰ τῶν πολεμίων κολάσεως τοῦτό φησιν.*

124. **ἐνθεμένη] κηδεύσασα.*

A+B= 125. **εἴσω ἁλός] ἀντὶ τοῦ εἰς ἁλός.*

A+B= 126. *θρῴσκων τις κατὰ κῦμα] οὕτως αἱ* Ἀριστάρχου *"μέλαιναν φρῖκ' ἐπαΐξει," ἡ δὲ* Χία *"μελαίνῃ φρίχ' ὑπαΐξει." οὕτω δὲ αὐτὸ* Ἀρίσταρχος *ἐξηγήσατο· τῶν ἰχθύων τις κατὰ τὸ κῦμα θρῴσκων, ὅ ἐστι κολυμβῶν, ἐπὶ τὴν φρῖκα ἀΐξει, ἵνα φάγῃ σε φερόμενον. δεῖ γὰρ τὸν μέλλοντα ἰχθὺν φερομένου τινὸς γεύεσθαι ἄνω μετέωρον ἐπὶ τὴν φρῖκα τῆς θαλάσσης ἐλθεῖν. τὸ δὲ πᾶν οὕτως· νεοσφαγὴς μὲν οὖν ὢν καταδύσῃ ἐπὶ τὸ βάθος τοῦ ποταμοῦ, ἔνθα σὺν τοῖς ἰχθύσιν ὢν ἀπολιχμηθήσῃ τοῦ αἵματος· ἐπὶ πλέον δέ σε ἄταφον ὄντα καὶ μετεωρισθέντα ἐκβαλεῖ παρὰ θάλασσαν ὁ ποταμός, ἔνθα τις τῶν*

1. *ἤδη* W : *κἂν* ut A ‖ 3, 4. *ἐπιβάντα* ut B ‖ 11. *ἧσον* ‖ 15. iteratur * *ὕπαρχε* ‖ 18, 19. *μινυνθάδιος* ‖ 19. *δύο* ‖ 25. *ἐπαΐξει* etiam B: *ὑπαΐξει* A ‖ *μελαίνῃ* Heyne : *μελαίνη* ‖ *φρῖχ'* ‖ *ὑπαΐξει* B : *ὑπαΐξαι* ‖ *αὐτὸ* W : *-ὸς* ‖ 27, 28. *ὑπὸ* A ‖ 31. *ἀπολικμηθήσῃ*

Digitized by Google

ἰχθύων σε κατέδεται ἐπὶ τὴν φρῖκα φερόμενος. Φιλητᾶς δὲ ἀρεκόμονος τῇ "ὑπαλύξει" γραφῇ φησιν, ὡς ἐκεῖνος ὁ λιπανθεὶς ἰχθὺς ὑπὸ τοῦ δημοῦ τὴν ψυχρασίαν ὑπαλύξει.

127. * ἰχθὺς ὅς κε φάγῃσι] Ἀριστοφάνης "ὥς κε φάγῃσι." A=

129. * κεραΐζων] ἐρημῶν.

130. οὐδ' ὑμῖν ποταμός περ] ἕως τοῦ "οὓς ἐπὶ νηυσὶ θοῇσιν" (135) Ἀριστοφάνης ἠθέτηκεν ὡς παρεμβληθέντας ὑπὸ τῶν ἀπορούντων διὰ τί ὁ ποταμὸς ὀργίζεται, καίτοι σαφῶς αὐτοῦ λέγοντος "Ξάνθος ἐπεὶ κεχόλωτο δαϊκταμένων αἰζηῶν" (146)· εἰ γὰρ ἐβλασφημήθη ὁ ποταμός, ἔλεγεν ἂν τοῦτο πρὸς Ἥραν (369) καὶ Ἥφαιστον (357). A+

131. * δηθά] νῦν ἀντὶ τοῦ 'ἐκ πολλοῦ χρόνου.' B=

πολεῖς] οὕτω τινές· ἠθέτει δὲ αὐτοὺς Ἀριστοφάνης· ἄμεινον οὖν "πολέας." A+

132. * μώνυχας] τὰ ὁρμητικώτατα γὰρ τῶν ζῴων αὐτῷ ἀφιᾶσιν.

135. * νόσφιν ἐμεῖο] λείπει 'ὄντος.' B=

136. ποταμὸς δὲ χολώσατο] οὐχ ὅτι ἐβλασφημήθη, ἐπεὶ κἂν πρὸς Ἥραν τοῦτο εἰρήκει καὶ πρὸς Ἥφαιστον—φησὶ γοῦν "ἐπεὶ κεχόλωτο δαϊκταμένων" (146)—ἀλλὰ διὰ τὸ τοὺς ἐπὶ γῆς ἀναιρουμένους εἰς αὐτὸν ῥίπτεσθαι.

χολώσατο—μᾶλλον] ῥιφέντος Λυκάονος ἦρκται τοῦ θυμοῦ· νῦν δὲ μᾶλλον διὰ τὸ κακῶς ἀκοῦσαι. B=

137. * πόνοιο] τοῦ κατὰ τὴν μάχην ἔργου.

140. Ἀστεροπαίῳ ἐπᾶλτο] πῶς, φησί, πρὸ ε΄ ἡμερῶν τὸν κατάλογον ποιησάμενος Ἀστεροπαῖον παρέλιπε λέγοντα ῥητῶς πρὸ ια΄ ἡμερῶν ἐληλυθέναι (156); καὶ οἱ μὲν ὑποτάσσουσι στίχον ἐν τῷ τῶν Παιόνων καταλόγῳ "αὐτὰρ Πυραίχμης ἄγε Παίονας ἀγκυλοτόξους" (Il. 2. 848) "Πηλεγόνος θ' υἱὸς περιδέξιος Ἀστεροπαῖος," ὃν καὶ ἐν πολλαῖς τῶν Ἰλιάδων φέρεσθαι. οὐ θαυμαστὸν τὸ παραλελεῖφθαι αὐτὸν ἐν τῷ καταλόγῳ· μόνων γὰρ ἐμνήσθη τῶν τὴν κυρίαν ἡγεμονίαν ἐχόντων, ἐν δὲ τῷ κατὰ μέρος καὶ τοὺς μετ' ἐκείνους τεταγμένους παρέλαβεν, ὡς ἐπὶ Ἀθηναίων· ἐν μὲν γὰρ τῷ κατολόγῳ Μενεσθέα φησὶν εἶναι τὸν ἡγεμόνα (Il. 2. 552), ἐν δὲ τῇ ἐπὶ ναυσὶ μάχῃ "οἱ B—

4. κε alt. A: καὶ ‖ 6. ἐν δ' ὑμῖν ‖ 15. αὐτῷ W: -οῖς ‖ 22. διὰ τὸ κακῶς ἀκοῦσαι B: καὶ τοῦ ἀκοῦσαι ‖ 29. ⟨οἱ δέ φασιν⟩ ante οὐ supplet W

Digitized by Google

μὲν Ἀθηναίων προλελεγμένοι· ἐν δ' ἄρα τοῖσι—Φείδας τε Στιχίος τε Βίας τ' ἐύς" (Π. 13. 689, 91). ταὐτὸν οὖν ἐστι καὶ ἐπὶ Ἀστεροπαίου. ὁ μὲν ⟨γὰρ⟩ Πυραίχμης τὴν πρώτην ἡγεμονίαν εἶχε, τὴν δὲ δευτέραν Ἀστεροπαῖος, νυνὶ μέντοι τὴν πᾶσαν ἡγεμονίαν αὐτῷ ἀνατίθησι διὰ τὸ τὸν Πυραίχμην ὑπὸ Πατρόκλου ἀνῃρῆσθαι, ὥσπερ καὶ Πρωτεσιλάου ἀποθανόντος ὁρῶμεν τὸν Ποδάρκην ἄρχοντα (Π. 2. 704).

B= 141. υἱέι Πηλεγόνος· τὸν δ' Ἄξιος] καὶ τίς χρεία τοῦ πατρός, μέλλοντος αὐτοῦ γενεαλογεῖν αὐτόν (158); ἀλλ' ὃ μὲν ὡς ἀγνὼς Ἀχιλλεῖ—τῶν γὰρ ἐπηλύδων ἦν—ἐδίδαξεν αὐτὸν τὸ γένος, ὁ δὲ ποιητὴς ἵνα μὴ ἐπιμένοι τῷ οἰκείῳ καταλόγῳ συνέτεμε καὶ τὴν μητέρα ἐδίδαξεν (142).

A= 142. Ἀκεσσαμενοῖο] ὀξυντέον τὸ Ἀκεσσαμενός, ἵνα ὄνομα γένηται, ὡς Δεξαμενός καὶ Τισαμενός.

145. μένος δέ οἱ ἐν φρεσί] δαιμονίως οὐκ ἀθρόαν τὴν τοῦ ποταμοῦ ὀργὴν εἰσάγει, ἀλλὰ πρῶτον μὲν δι' ἑτέρου ἐπιβουλεύει τῷ Ἀχιλλεῖ, εἶτα δ' αὐτὸς ἅψεται (234).

B= ἄλλως: μένος δέ οἱ ἐν φρεσί] ὅτι ψυχικὴ ἀρετὴ ἡ δύναμις. πιθανὸν δὲ ποταμοῦ αὐτὸν ἀπόγονον εἶναι, ὅπως ἐπὶ πλέον ἐρεθίσῃ τὸν ποταμόν.

B= 147. οὐδ' ἐλέαιρεν] Πῖος ψυχρόν φησι τὸ ἐπίθετον, ἄν τε ἐπὶ τῶν Τρώων—πῶς γὰρ ἄξιον ἐγκαλεῖν Ἀχιλλεῖ, ὅτι οὐκ ἐλεεῖ τοὺς πολεμίους;—εἴτε ἐπὶ τοῦ ποταμοῦ, ὅτι αὐτὸν οὐκ ἠλέει, οὐχ ἁρμόζον ἐπὶ θεοῦ.

B= 150. τίς πόθεν εἶς ἀνδρῶν] πιθανὴ ἡ εἰσβολὴ ἐκ τοῦ καιροῦ, ὅτι τῶν ἄλλων φευγόντων οὗτος ἀντέστη.

* ὅ μευ] τινὲς "ὅ μου."

B– 155. δολιχεγχέας] καὶ πῶς ἐν τῷ καταλόγῳ (Π. 2. 848) φησὶν αὐτοὺς ἀγκυλοτόξους; καὶ γὰρ καὶ Τεῦκρος ἐπαμφοτερίζει· ἴσως δὲ δισσὸν ἦν τὸ γένος, καὶ οἳ μὲν ὑπὸ Πυραίχμῃ, οἳ δὲ ὑπ' Ἀστεροπαίῳ εἰσίν.

156. εἰλήλουθα] ἀντὶ τοῦ 'ᾠχόμην,' ὡς "ᾤμωξαν ἀολλέες" (Π. 23. 12) ἀντὶ τοῦ ᾤμωζον, ὥστε πρὸ ια' ἡμερῶν ἐκ Παιονίας ἐξεληλυθέναι· διὰ τούτου δὲ λύσις τοῦ πῶς πρὸ ε' ἡμερῶν τὸν κατάλογον ποιησάμενος οὐκ ἐμνήσθη τοῦ Ἀστεροπαίου· οὔπω γὰρ ἦν φθάσας.

2. ἔσται B ‖ 3. supplevi ex B ‖ 6. ἄρχοντα Bekker, cf. Eust.: ἔχοντα ‖ 8. ἀγνὼς scripsi, μὴ γνώριμος B: ἀγνὸς ‖ 14. ἀθρόαν W: -ον ‖ 16. ἅψεται scripsi: ἀφέξεται ‖ 19. ἄν W: κἄν ‖ 25. ὅ μου Nauck, ὅ μοι coni. W: ὁμοῦ ‖ 32. τοῦ Bekker: τὸ

Digitized by Google

162. ἁμαρτῇ] περισπᾶται καὶ σὺν τῷ ῑ γράφεται—ἔστι γὰρ παρὰ τὸ ἁμαρτῶ—ὁ δὲ Ἀρίσταρχος δίχα τοῦ ῑ, ἀπὸ τοῦ ἁμαρτήδην λέγων ἀποκεκόφθαι τὴν λέξιν, κακῶς. A+

δούρασιν ἀμφίς] δίχα· "τὼ δ' ἀμφὶς φρονέοντε" (Il. 13. 345). "εὔξοον ἀμφὶς ἐέργει" (ib. 706) εἰς ἑκάτερα διείργει· καὶ "εἴριον ἀμφὶς ἀνέλκει" (Il. 12. 434)· "ἀμφὶς ἐάγη" (Il. 11. 559)· ἀμφίβολον δὲ πότερον 'ἁμαρτῇ ἀνέσχετο' ἢ 'ἁμαρτῇ ἀμφίς.' ἐξ ἑκατέρου μέρους· ὃ καὶ ἄμεινον· περιδέξιος γάρ ἐστιν. B=

* ἀμφίς] "ἄμφω" ἡ Μασσαλιωτική. A=

163. περιδέξιος] τινὲς ἀντὶ τοῦ ὑπερδέξιος, μεγαλοδέξιος ὡς "περίεσσι γυναικῶν" (Od. 18. 248). οἱ δὲ ἀμφιδέξιος. §. τὴν δὲ ἀσπίδα ἀπέβαλεν ὡς δύσχρηστον ἐν ὕδασιν· δύναται δὲ καὶ πελτάριον ἔχειν, ὡς οἱ τοξόται. B=

165. χρυσὸς γὰρ ἐρύκακε] οὐκοῦν ἐπιπόλαιος ἦν ὁ χρυσός. εἰ δέ φησιν, ὅτι μέχρι τινὸς ἔρρηξεν, μέσην τακτέον τὴν χρυσῆν πτύχα κατὰ Πορφύριον. B=

166. * ἐπιγράβδην] ὡς ἐπιξέει⟨ν⟩.

167. σύτο δ' αἷμα] ὑπὸ μόνου τούτου Ἀχιλλεὺς τιτρώσκεται. AB=

ἡ δ' ὑπὲρ αὐτοῦ] ὡς τὸ "νεφέλη δέ μιν—τὸ μὲν οὔποτ' ἐρωεῖ" (Od. 12. 74, 5), οὕτω καὶ νῦν πρὸς τὴν συνώνυμον μελίαν ὑπήντησεν (162).

169. ἰθυπτίωνα] ἀπὸ τοῦ "ἰθὺ βέλος πέτεται" (Il. 20. 99)· μεταφορικῶς δὲ ἀπὸ τοῦ φοροῦντος τὸ πλεονέκτημα ἐπὶ τὸ φορούμενον μετήγαγεν. ἔστιν οὖν 'κατ' εὐθὺ πετομένην.' B=

ἄλλως· ἰθυπτίωνα] Ἀρίσταρχος "ἰθυκτίωνα," ὅ ἐστιν ἐπ' εὐθείας ἔχουσαν τὰς κτηδόνας καὶ τὰς ἐν τοῖς ξύλοις διαφύσεις. A~

172. μεσ⟨σ⟩οπαλές] μέχρι τοῦ μέσου παλλόμενον· οὕτω γὰρ τὸ μετὰ βίας ἐκπεμφθὲν σημαίνει, ὅτι μέχρι τοῦ μέσου καταπεπηγὸς τὸ δόρυ περὶ τὸν οὐρίαχον ἐπάλλετο. δηλοῖ δὲ καὶ τὸ ὑποκείμενον ἔδαφος τελματῶδες ὄν. τοῦτο δὲ οἰκονομεῖ, ἵν' ἑξῆς ἐπιχειρῶν Ἀστεροπαῖος ἀνελκύσαι αὐτὸ ⟨ἀ⟩δύνατος ᾖ, ἢ ὅτι πᾶν δόρυ ἐκ μέσου πάλλεται. B−

* μεσσοπαγές] "μεσοπαλές·" οὕτω διὰ τοῦ λ̄. A+

2. δίχα scripsi cf. A: διὰ ‖ 10. μεγαλοδέξιος B: μεγάλως δεξιὸς ‖ 13. πελτάριον Bekker: πελάρτιον ‖ 24. πετομένην B: -ον ‖ 25. Ζηνόδοτος A ‖ 26. κτηδόνας scripsi: κτεδόνας A, κτιδόνας Eust., ἀκτεδόνας

Digitized by Google

A+ 173. Πηλείδης δέ] ἐπανείληφεν, ὡς περὶ ἑτέρου διαλεγόμενος.

A+ 174. * ἄλτ' ἐπὶ οἷ] ἀπόλυτος ἡ "οἷ."

175. * οὐ δύνατ' ἐκ κρημνοῖο] γραφικῶς.

179. ἄορι] τῷ δόρατι· Φιλητᾶς "καί κεν Ἀθηναίης δολιχαόρου" ἀντὶ τοῦ 'μέγα δόρυ ἐχούσης.'

B= * Ἀχιλεὺς σχεδόν] λείπει ⟨τὸ⟩ 'ἐλθών.

B− 181. χολάδες] τὰ ἔντερα, ἀπὸ τῆς κοιλότητος ἢ τοῦ κεχαλάσθαι, ὅθεν καὶ κῶλον· οἱ δὲ ⟨ὅτι⟩ τὰ ἔντερα τὴν ξανθὴν ἔχει χολήν· τῆς γὰρ χολῆς ἡ μὲν ξανθή, ὅθεν ὁ ἴκτερος, ἡ δὲ μέλαινα, ἀφ' ἧς αἱ μελαγχολίαι.

B− 184, 5. Κρονίωνος παισίν] ἀντὶ τοῦ ἐκγόνοις. Αἰακοῦ γὰρ καὶ Ἐνδηίδος τῆς Σκείρωνος Πηλεύς, οὗ Ἀχιλλεύς.

A+B= 185. ποταμοῖό περ] περισσὸς ὁ "πέρ." §. Ἀρίσταρχος δὲ τὸ
A+ "ἐκγεγαῶτι" κατὰ δοτικήν.

B− 186. φῆσθα] προπερισπαστέον· παρατατικοῦ γάρ ἐστιν. Τυραννίω⟨ν⟩ δὲ βαρύνει ὡς ἐνεστῶτος χρόνου καὶ μετὰ τοῦ ῑ γράφει.

ποταμοῦ γένος] ἀλλὰ καὶ Αἴγινα Ἀσωποῦ· οὐκ εὐτελίζει οὖν τοὺς ποταμούς, ἀλλὰ Δία προκρίνει, ἄλλως τε τὰ τῶν πατέρων ἀεὶ προκρίνει ὁ ποιητής.

189. Αἰακός] ἐπειδὴ ἀετῷ εἰκασθεὶς ἐμίγη αὐτῇ, τὸν παῖδα Αἰακὸν ὠνόμασεν.

B+ 190. ἁλιμυρηέντων] κυρίως μύρεσθαι τὸ ἐπὶ μόρῳ τινὸς θρηνεῖν. φησὶ δὲ "οὐδέ τι πῃ δύναμαι προχέειν ῥόον εἰς ἅλα δῖαν" (219).

192. καὶ γάρ σοι ποταμός] ἤτοι περὶ τοῦ Ἀξιοῦ φησιν οἷον 'πάρεστί σοι ποταμὸς ὁ πρόγονος' ἢ καὶ μᾶλλον 'πάρεστί σοι ὁ Ξάνθος,' ἵνα διὰ τούτου ἐπὶ τὴν ὀργὴν προκαλῆται τὸν Ξάνθον.

AB+ ἄλλως: καὶ γάρ σοι ποταμός] ἢ συναπτέον μέχρι τοῦ χραισμεῖν, ἢ στικτέον ἐπὶ τὸ "μέγας·" ⟨ὑποστικτέον δὲ μετὰ τὸ "εἰ δύναταί τι"⟩.

194. οὐδὲ κρείων Ἀχελώιος] ἡ ἀρχαία Ἑλλὰς περὶ Δωδώνην καὶ Σελλοὺς ἔκειτο, ὅθεν ὁ Ἀχελῷος ἐκρέων δι' Αἰτωλίας ἐς τὸν Ἀμβρακικὸν ἐξῄει κόλπον, ἄχρις οὗ Ἡρακλῆς αὐτὸν ἀπέστρεψεν· μέγιστος οὖν τῶν ταύτῃ ποταμῶν ὁ Ἀχελῷος. διὸ Ἀχελῷος πᾶν πηγαῖον ὕδωρ·

7. ἃ post ἔντερα omisi ut B ‖ 8. supplevi ex B ‖ 12. Ἐνδηίδος scripsi cf. Paus. II 29, 10 alios, Μενεδηίδος coni. Bekker: Μενεδηίδης ‖ 16. suppl. sec. ‖ 28, 29. suppl. W ex A ‖ 30. ἀρχὴ ‖ 32. ἐπέστρεψεν ‖ 33. Ἀχελῷος alt. W: -ον

Digitized by Google

καὶ τὸ ἐν Δωδώνῃ δὲ μαντεῖον ⟨ἐν⟩ ἅπασι τοῖς χρησμοῖς κελεύει θύειν Ἀχελῴῳ.

Ἀχελώιος] πρεσβύτερον τῶν ἄλλων ἥγηνται τὸν Ἀχελῷον· διὸ καὶ κρείοντα αὐτόν φησιν. B+

195. ἄλλως: "οὔτε" διὰ τοῦ τέ· τινὲς δὲ οὐ γράφουσι τὸν στίχον θέλοντες ἐξ Ἀχελῴου ῥεῖν· τὸν γὰρ αὐτὸν Ὠκεανῷ Ἀχελῷόν φασιν. A+

196. πᾶσα θάλασσα] δηλονότι ὅλη· ἢ ἐπεὶ πολλὰ πελάγη εἰσίν, Ἀτλαντικόν, Λιγυστικόν, Τυρρηνικόν, Λιβυκόν, Μυρτῷον, Αἰγύπτιον, Παμφύλιον, Ἰκάριον, Αἰγαῖον, Ἑλλήσποντος, Μέλας κόλπος, Εὔξεινος, Κασπία, Ἐρυθρά. AB=

197. καὶ φρείατα μακρά] βαθέα· καὶ "ἠιόνος προπάροιθε βαθείης" (Il. 2. 92) ἀντὶ τοῦ τῆς μακρᾶς. §. "νάουσι" δὲ πιδύουσιν. B=

200. καὶ ἐκ κρημνοῖο] ἀντιπέφρακε τῇ ὄχθῃ τὸν κρημνόν. A+

202. δίαινε] διαίνεσθαι κυρίως τὸ ἐκ Διὸς βρέχεσθαι.

203. ἐγχέλυες] χωρίζει αὐτὰς τῶν ἰχθύων, ἐπεὶ οὔτε ἐξ ὀχείας γίνονται οὔτε ζῷα τίκτουσι οὔτε σπερματικοὺς ἔχουσι πόρους οὐδ' εἰς θῆλυ καὶ ἄρρεν διακρίνονται, ἀλλ' ἐκ τῶν καλουμένων γῆς ἐντέρων αὐτόματα συνίστανται ἐν τῷ πηλῷ, ζῶσι δὲ ὄμβρῳ καὶ ὕδατι. φασὶ δὲ καὶ ἀλληλοφάγους αὐτὰς εἶναι καὶ ζῆν ἑπτὰ ἢ ὀκτὼ ἔτη. καὶ ἐν τῷ ἀγορανομικῷ δὲ νόμῳ Ἀθηναίων διέσταλται ἰχθύων καὶ ἐγχελύων τέλη. καί φησιν, ὡς καὶ οἱ ἐν βάθει ἰχθύες ἀνέβρασσον ἐσθίοντες αὐτό⟨ν⟩· ἢ ὅτι μάλιστα τῶν ἄλλων ἰχθύων σαρκοφαγοῦσιν. A+B−

204. δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες] περὶ γὰρ τοὺς νεφροὺς πολλή ἐστιν ἡ πιμελή. εἴρηνται δὲ νεφροί, ἀφ' ὧν νείφεται τὰ οὖρα. κυρίως δὲ τὸ ἀπὸ τῆς ἔρας τῇ γλώσσῃ ἐπαίρειν ἐρέπτεσθαι. B= §. συναπτέον δὲ ὅλον τὸν στίχον· τὸ γὰρ ἑξῆς ἐστι δημὸν ἐπινεφρίδιον. τὸ δὲ "ἐρεπτόμενοι" καὶ "κείροντες" δισσολογεῖται. AB=

κείροντες] ἀπλήστως ἐσθίοντες· ὅθεν ὁ κόρος. AB=

205. Παίονας ἀγκυλοτόξους]... διεπολέμουν γὰρ πρὸς τοὺς ὁμόρους Θεσσαλούς· διὸ τὴν διαφορὰν συνέστησεν ... ὡς Λυδίων καὶ Λυκίων.

206. * πεφοβήατο] συνδεδιωγμένοι ἦσαν.

1. suppl. W ‖ 3. μείζονα pro πρ. B ‖ 5. lemma οὐδὲ κρείων post ἄλλως omisi, cf. A ‖ 15. praescripsit pr. in margine ὅρα περὶ ἐγχελύων ‖ 16. οὐδ' scripsi: οὐκ ‖ 22. supplevi ex B ‖ 29. Π. ἱπποκορυστὰς in textu ‖ lacunam indicavi, in qua distinctum erat inter Π. ἀγκυλοτόξους (Il. 10. 428) et Π. ἱπποκορυστὰς (Il. 16. 287) Thessalorum vicinos ‖ 30. lacunam indicavi ‖ pro Λυδίων coni. W Κιλίκων

Digitized by Google

214. περὶ μὲν κρατέεις, περὶ δ' αἴσυλα ῥέζεις] τοιοῦτόν τι ἐστὶν ὃ λέγει ‘ἐν ᾧ διὰ τοὺς θεοὺς κρατεῖς, ἀδικεῖς.’

B= αἴσυλα] ἐστερημένα αἴσης, ὅ ἐστι τῆς ἰσότητος. §. οὐκ ἀνα-
AB= στρεπτέον δὲ τὴν “περί·” ἔστι γὰρ ἀντὶ τοῦ περισσῶς.

217. * γ' ἐλάσας] τινὲς “πελάσας.”

B= 218. ἐρατεινὰ ῥέεθρα] καλῶς τὸ ἐπίθετον εἰς ἔνδειξιν τοῦ ὅτι τὰ τοιαῦτα ῥεύματα μεμίανται.

219. * προχέειν ῥόον] ἐπεὶ καὶ προχοαὶ τὰ ῥεύματα.

B— εἰς ἅλα δῖαν] μεγάλην, ἀπὸ τοῦ Διός, ἢ παρὰ τὸ δέος, ἢ ὅτι θρεπτικὴ τῶν οὐρανίων.

A— 221. ἀλλ' ἄγε δὴ καὶ ἔασον] ἀπὸ τοῦ ἥδω τινὲς οἰόμενοι τὸ “ἕασον” κατὰ διαίρεσιν τῆς α' συλλαβῆς ἐδάσυναν, ἵνα σημαίνῃ τὸ πληρώθητι· ἄμεινον δὲ ψιλοῦν· ἔστι γὰρ ἀπὸ τοῦ ἐάω τὸ ἔασον.

B+ * ἕασον] τινὲς πληρώθητι, παρὰ τὸ ἆσαι.

ἄγη μ' ἔχει] θαυμασμὸς παρὰ τὸ ἄγαν.

B— 223. ἔσται ταῦτα, Σκάμανδρε] ἀμφιβόλως συγκατατίθεται ἀφέξεσθαι τῆς εἰς τὸν ποταμὸν τῶν νεκρῶν ἐμβολῆς· εἶθ' ἑξῆς παραβαίνει τὰς συνθήκας· καὶ πάλιν ἐπεισβαίνει τῷ ῥείθρῳ· “ἦ, καὶ Ἀχιλλεὺς μὲν δουρίκλυτος ἔνθορε μέσσῳ κρημνοῦ ἀπαΐξας” (233, 4).

227. * δαίμονι ἶσος] ἀκμῆς ὡς θεός.

B= 229. οὐ σύ γε βουλὰς εἰρύσαο Κρονίωνος] διὰ τὸ “ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπῃ νόος ἐστὶν ἑκάστου” (Π. 20. 25). καὶ πρὸς τὸ “εἰ γὰρ Ἀχιλλεὺς οἷος ἐπὶ Τρώεσσι μαχεῖται” (ib. 26). ὑπομιμνήσκει οὖν, ὅτι δεῖ κωλύειν ἀριστεύοντα οὕτω τὸν Ἀχιλλέα, ἐξουσίαν ἅπαξ δόντος τοῦ Διός.

B— 232. δείελος ὀψὲ δύων] τὴν τοῦ ἡλίου δύσιν, ὀψίαν δείλην ὑπὸ Ἀττικῶν λεγομένην, αὐτὸς ἀρσενικῶς ‘ὀψὲ δύοντα δείελον’ ἔφη· τινὲς δὲ ‘δείλη,’ ἐπεὶ δειλότεροι τότε γίνονται, τὸ νυκτερινὸν οἰωνιζόμενοι
A+ σκότος. §. δείλη δείελος, προπαροξυτόνως, ὡς ⟨ἑσπέρα⟩ ἕσπερος.

* σκιάσῃ] σκίασμα γὰρ γῆς ἡ νύξ.

B— 234. ὁ δ' ἐπέσσυτο οἴδματι θύων] ἐδεινοποίησε τὸν τόπον τοῖς ὀνόμασιν· τὸ μὲν γὰρ “ἐπέσσυτο” σφοδρὰν τὴν ὁρμὴν παρίστησιν, τὸ δὲ οἶδμα ἀπὸ τῆς θαλάσσης μετήνεγκε, τὸ δὲ “θύων” ὁρμῶν

13. τοῦ ἐάσω τὸ ‖ 27. τὴν πρὸς ante τὴν omisi ut B ‖ ὑπὸ B: ἀπὸ ‖ 28. οὗτος B ‖ 29. γίνονται B: ἐγίνοντο ‖ 30. supplevi ex A ‖ 32. λόγον B

Digitized by Google

ἐμμανῶς. ἡ μεταφορὰ δὲ τοῦ κυκᾶσθαι (235) τὸν ποταμὸν ⟨ταραττόμενον παρίστησιν⟩· καὶ ⟨τὸ⟩ ‘οἴδματι θύειν’ καὶ ὀρίνειν τὰ κύματα καὶ τοὺς νεκροὺς ὠθεῖν.

235. ὦσε δὲ νεκρούς] θείας ἐνεργείας τὸ μιᾷ ὁρμῇ τοὺς μὲν νεκροὺς ἐκβάλλειν, τοὺς δὲ ζῶντας ἐγκρύπτειν κολποῦντα ἑαυτόν, τὸν δὲ Ἀχιλλέα περιίστασθαι· διὸ εἶπε ‘πάντα ῥέεθρα ὄρινεν’ ἀντὶ τοῦ ‘διήγειρεν.’

239. κρύπτων ἐν δίνῃσι βαθείῃσιν μεγάλῃσιν] τὸ ὁμοιοτέλευτον δίδωσι πλάτος τῷ ποταμῷ.

241. ὦθει δ' ἐν σάκεϊ] ἀντίπαλος γάρ ἐστιν Ἡφαίστου τοῦ δημιουργοῦ.

242, 3. πτελέην—εὐφυέα] κυριολεξία, ὡς καὶ ἐπὶ τοῦ “καί μοι φύσιν αὐτοῦ ἔδειξεν” (Od. 10. 303).

243. ἐκ ῥιζῶν ἐριποῦσα] οὐ παρέλκει τὸ “ἐκ ῥιζῶν·” βα- B= θύρ⟨ρ⟩ιζον γὰρ τὸ δένδρον. ὅθεν καὶ ὅλῳ συγκατηνέχθη τῷ κρημνῷ.

244. κρημνὸν ἅπαντα διῶσεν] τὴν συνεχομένην ὑπὸ τῶν ῥιζῶν B= γῆν πᾶσαν διέλυσεν. ∫. προπερισπωμένως δὲ τὸ “διῶσεν.” A+B=

246. ἐκ λίμνης ἀνορούσας] οὕτως ἡ γραφή· οἱ δὲ “ἐκ δίνης” A+ καὶ ἕτεραι “ἐκ λίμνης·” εἰ μὴ δὲ τὸ εὐσταθὲς ὕδωρ Ὠκεανοῦ, οὐ καλεῖ οὕτως· καὶ ἐν Ὀδυσσείᾳ (5. 337) “ἀνεδύσατο λίμνης.” τινὲς δὲ καὶ “ῥιπῆς” γράφουσιν.

247. ποσὶ κραιπνοῖσι] εἰ τοὺς πολεμίους διώκων ὠκύτατός ἐστι, B= χρὴ ἐννοεῖν, περὶ τῆς ἰδίας σωτηρίας δεδοικὼς ποῖος ἦν.

249. ἀκροκελαινιόων] σκυθρωπάζων διὰ τῆς ἐπιφανείας.

ἄλλως: ἀκροκελαινιόων] ἐπὶ μὲν τῶν τῆς θαλάσσης κυμάτων λέγει B= “κυρτὰ φαληριόωντα” (Il. 13. 799)· ἀκριβέστατα δὲ ἐπὶ τῶν ποταμῶν παρεφύλαξεν· κυμαινομένων γὰρ αὐτῶν μέλαινα ἡ ἐπιφάνεια ὁρᾶται. τῇ δὲ παραγωγῇ καὶ τῇ συνθέσει τῶν λέξεων ἔδειξεν ἐπαιρόμενον καὶ μελαινόμενον κῦμα.

παύσειε πόνοιο] Ἀριστοφάνης “φόνοιο,” ὁ δὲ Ἀρίσταρχος A+ “πόνοιο,” τοῦ κατὰ τὸν πόλεμον ἔργου.

251. δουρὸς ἐρωή] “ἐρωή” μεθ' ὁρμῆς βοή.

252. αἰετοῦ οἴματ' ἔχων] λέοντι (Il. 20. 164) δελφῖνι (22) ἀετῷ αὐτὸν εἴκασεν. καλεῖται δὲ μέλας ἀετὸς καὶ φασσοφόνος· ἔστι δὲ μικρὸς μέν, τῶν δὲ ἄλλων ἰσχυρότερος.

1, 2. supplevi ex B

Digitized by Google

A-B= μέλανος τοῦ θηρητῆρος] Ἀριστοτέλης "μελανόστου" ἀναγινώσκει, τοῦ μέλανα ὀστᾶ ἔχοντος· ἀγνοεῖ δὲ ὡς οὐ δεῖ ἀπὸ τῶν ἀφανῶν ποιεῖσθαι τὰ ἐπίθετα. οἱ δὲ "μελανόσσου," μέλανας ὀφθαλμοὺς ἔχοντος. Ἀρίσταρχος "μελανός του" ἀντὶ τοῦ τινός. ἀγνοεῖ δὲ ὅτι ὁ ποιητὴς τὸ ἐγκλιτικὸν οὐδέπω λέγει· ἄμεινον οὖν ἄρθρον αὐτὸ δέχεσθαι· οὐ γὰρ ἀεὶ λείπει τοῖς ἄρθροις ὁ ποιητής.

ὅτι μέλανα ὀστᾶ ἔχουσιν οἱ ἀετοί, ὡς καὶ Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων.

B— 257. ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγός] ἀπὸ τοῦ ἁδροῦ ἐπὶ τὸ ἰσχνὸν ἔρχεται καὶ ἀνθηρόν. ἡ δὲ παραβολὴ πρὸς τὴν ταχεῖαν ἐπιφορὰν καὶ τὴν παραλλαγὴν τοῦ ὕδατος. κόσμου δὲ ἕνεκα παρεδιηγήσατο τὰ λοιπά. "ἠΰτε κούρη νηπίη, ἥ θ' ἅμα μητρὶ θέουσα" (Π. 16. 7, 8) καὶ τὰ ἑξῆς· παραφυλάττει δὲ τὴν ἐπεξεργασίαν· "ἀπὸ κρήνης" τὴν φορὰν τοῦ ὕδατος πρὸς τὸ δαψιλὲς τῆς ἐπιρρύσεως, ἐν κατάντει δὲ χωρίῳ (258) πρὸς τὸ συνεχὲς καὶ ταχὺ τοῦ ῥεύματος.

B= ὀχετηγός] ὑδραγωγός· ὀχετοὶ γὰρ αἱ ἐπιρρύσεις.

258. ὕδατι ῥόον ἡγεμονεύει] "ἡγεμονεύει" ὁδηγῶν τὸν ῥόον τοῦ ὕδατος.

B= 259. μάκελλα ἡ σκαλὶς ἡ μονόθεν κέλλουσα καὶ κινοῦσα· δίκελλα γὰρ ἡ διχόθεν κέλλουσα.

B= ἀμάρη ἡ ὑδρορόη, παρὰ τὸ τῇ ἄμῃ αἱρεῖν, ἢ παρὰ τὸ μὴ ἐᾶν τὰ παραπεφυκότα αὐτῇ μαραίνεσθαι.

B= ἄλλως: ἀμάρης ἐξ ἔχματα βάλλων] τὰ κωλύματα τῆς διώρυχος ἐκβάλλων.

B= 260. * ὑπὸ ψηφῖδες] ἡ "ὑπό" πρὸς τὸ "ὀχλεῦνται" (261), ἵν' ᾖ 'ὑποκινοῦνται.'

B= 261. κελαρύζει] μετὰ κελάδου ῥεῖ, κατὰ ἀντίθεσιν λακερύζει.

A— 262. φθάνει] Ἀρίσταρχος ἐξέτεινε τὸ ᾱ διὰ τὸ μέτρον· Ζηνόδοτος "φθανεῖ" ὡς νοσεῖ.

B= 264. * λαιψηρόν] λίαν ταχύν.

B= 265. ὁ⟨σ⟩σάκι δ' ὁρμήσειε] τινὲς ἀντὶ τοῦ διανοήσειε. §. γράφεται καὶ "οἰμήσειε." προκρίνει δὲ τὴν διὰ τοῦ ρ̄ γραφὴν Ἀρίσταρχος.
AB=

1. fr. om. Rose, cf. l. 7 || 2. μέλανα B: μέλαινα || 3. μέλανας B: μελαίνας || 7. schol. post μαρ. l. 22 scriptum: traieci || fr. om. Rose, cf. Schrader Porph. p. 274; 'in Zoicis Aristotelis haec lecta esse iniuria negatur' W || 19. μάκελλα pro lemmate scriptum; item ἀμάρη || μονόθεν κ. Eust.: μακ. || 21. αἱρεῖν scripsi, cf. E. M. s. v. ἀμάρα: ῥεῖν ut B || 27. λακερύζει B: -ίζει

Digitized by Google

266, 7. εἴ μιν ἅπαντες ἀθάνατοι φοβέουσι] ἀντὶ τοῦ εἰ μηδένα B= βοηθὸν ἔχει, ἀλλὰ πάντας ἐπιβούλους· ἢ εἰ ἄρα δύναταί τισι τῶν θεῶν καὶ εἰς μάχην ἐλθεῖν.

269. πλάζ' ὤμους καθύπερθεν] ὅλον τὸ πεδίον πέλαγος γεγενη- B– μένον ὑπὸ τοῦ ποταμοῦ ἔδειξεν, ὥστε καὶ τοὺς ὤμους ἐπικλύζειν τοῦ Ἀχιλλέως. καὶ πρὸς μὲν ἀλήθειαν ταῦτα οὐ πιθανά—τί γὰρ ἐπράττετο περὶ τοὺς ἄλλους στρατιώτας; ἀπίθανον γὰρ μόνον τον Ἀχιλλέα ὑπὸ τοῦ ποταμοῦ ταῦτα πάσχειν—ὡς δὲ ἐν ποιήσει παράδεκτα. καὶ οὕτω τῇ ἀπαγγελίᾳ κατώρθωται, ὥστ' οὐδ' ἀνίησι τὸν ἀκροατὴν ἐπιλογίσασθαί τι τῶν λεγομένων, εἰ ἀληθὲς ἦν ἢ μή· ὅτι γὰρ εἰς τὸ πεδίον τραπόμενον τὸν ποταμὸν ταῦτα δρᾶν φησι, δῆλον ἐκ τοῦ "ἄψορρον δ' ἄρα κῦμα" (382).

πλάζ' ὤμους] πλάσσεν. ἔπλησ⟨σ⟩εν, ὡς καὶ "δύο τ' ἤματα κύματι πηγῷ πλάζετο" (Od. 5. 388)· ἀλλὰ καὶ "πλάζε δὲ πίνοντας" (Od. 2. 396) καὶ "πλάζει δ' ἀπὸ πατρίδος αἴης" (Od. 1. 75).

ὑψόσε πο⟨σ⟩σὶν ἐπήδα] ἵνα ὑπερβάληται τὸ κῦμα. B~

271. λάβρος ὕπαιθα ῥέων, κονίην δ' ὑπέρεπτε πόδοιιν] ὡς προφθάσαντος τοῦ ῥεύματος τὸν ἥρωα.

κονίην δ' ὑπέρεπτε ποδοῖιν] ὑπήσθιεν, ὑπέσπα. ἐμφαντικῶς δὲ B= τὴν κατὰ μικρὸν ὑπονοστοῦσαν γῆν ἔδειξεν, ὅπως ἀκρατὴς εἴη τῆς βάσεως ὁ ἥρως.

273. ὡς οὔ τις με θεῶν ἐλεεινὸν ὑπέστη] ἐμὲ τὸν ἐλεεινόν. ἢ B= λείπει τὸ ὄντα. § . τὸν ἀκλεῆ δὲ θάνατον ὀδύρεται. καὶ Λεωνίδας ὁ B= Λάκων χεῖρα βληθεὶς ὠδύρετο, ὅτι μὴ ἔχων τὴν χεῖρα τελευτᾷ.

274. ἔπειτα—καὶ τί πάθοιμι] "ἔπειτα" μετὰ τὸ σωθῆναι ἐκ τοῦ ποταμοῦ.

275. * οὐρανιώνων] θεῶν· οὐ γὰρ Θέτις οὐρανία.

276. ψεύδεσ⟨σ⟩ιν ἔθελγεν] μεγαλοπρεπῶς τῇ τοιούτου θανάτου B= ἐλπίδι θέλγεσθαί φησιν ὥσπερ ἡδέσι λόγοις πιστεύσας· λυπεῖ οὖν αὐτὸν οὐχ ἡ τελευτὴ ἀλλ' ὁ τρόπος.

ἄλλως: ψεύδεσ⟨σ⟩ιν] ὡς βέλεσιν, ἀπὸ τοῦ ψεῦδος. οὐ γὰρ A+B= ἐπίκειταί τινι ἐπιθετικῶς.

278. λαιψηροῖς—βελέεσ⟨σ⟩ιν] τοῖς αἰφνίδιον ἀποκτείνουσιν. B=

13. δύο ἔτι ‖ 14. πελάζετο ‖ 17. λάβρος textus: λάβρως ‖ 23, 24. ὁ Λάκων Bekker: ὁ δ' ἄκων ‖ 28. ἐπὶ post μ. ut B: omisi ‖ 32. ἐπιθετικῶς B: -ῷ ‖ 33. ἀποκτείνουσιν B: ἀποκτέννουσιν

Digitized by Google

B= 279. ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι] ὅρα τὸ μεγαλοφυές· οὐ γὰρ μόνον τὸν ἐν πολέμῳ θάνατον αἱρεῖται, ἀλλὰ καὶ ὑπὸ τοῦ ἀρίστου ἀναιρεθῆναι. ἔοικεν οὖν καὶ ἡ Θέτις δικαίως ἀποκρύψασθαι τὴν ἀλήθειαν καὶ τὸν Ἀπόλλω ἀντὶ τοῦ Ἀλεξάνδρου παραλαβεῖν (278).

B= τέτραφε] ἀντὶ τοῦ ἐτράφη· τὰ γὰρ ἐνεργητικὰ τούτου τοῦ ῥήματος ἀντὶ παθητικῶν τάσσει.

B= 280. ἀγαθὸν δέ κεν ἐξενάριξεν] οὐχ ὅτι καὶ νῦν οὐκ ἀγαθὸς ὁ Ἀχιλλεύς, κἂν ὑπὸ τοῦ ποταμοῦ διαφθαρῇ, ἀλλὰ τοιοῦτόν ἐστιν ὃ λέγει, ἀγαθὸν ὄντα καὶ πράττοντά τι γενναῖον.

A+ 281. λευγαλέῳ] χαλεπῷ, οὐ 'διύγρῳ' ὡς Ἡσίοδος. τί γὰρ ἐπὶ τοῦ "λευγάλεοί τ' ἐσόμε⟨σ⟩θα" (Od. 2. 61);

282. ἐρχθέντ' ⟨ἐν μεγάλῳ ποταμῷ⟩] παρὰ τὸ ἔρσαι· κυρίως τὸ
A–B= ἐν ὕδατι ἀπολέσθαι. §. ψιλωτέον δέ. ἔστι γὰρ παρὰ τὸ εἴργω. Ἀττικοὶ δὲ δασύνουσιν. §. ἐν τῇ Μασσαλιωτικῇ "εἱρχθέντα."

B= παῖδα συφορβόν] πρὸς τὸ ἀγεννὲς καὶ εὐτελὲς τοῦ θανάτου· καὶ διὰ τῆς ἡλικίας καὶ διὰ τοῦ ἐπιτηδεύματος ταπεινοῖ τὸ πρόσωπον· παιδὶ δὲ συφορβῷ ἑαυτὸν εἰκάζει ὁ λέγων "καλός τε μέγας τε"
A= (108). §. σημειοῦνται δέ τινες ὡς ἅπαξ εἰρημένον.

B= 283. ἔναυλος] χειμάρρους διὰ στενοῦ ⟨τόπου⟩ καὶ περιμήκους ποιούμενος τὴν ῥύσιν.

B= 284. τῷ δὲ μάλ' ὦκα] ἔδει γὰρ πολλοῦ τάχους εἰς τὸ ἀνακτήσασθαι τὸν οὕτως ἠθυμηκότα· διὸ δύο θεοὶ προσίασιν, καὶ οὐ μόνον διαλέγονται, ἀλλὰ καὶ τῆς δεξιᾶς πίστιν παρέχουσιν.

B+ 286. χειρὶ δὲ χεῖρα λαβόντες ἐπιστώσαντ' ἐπέεσ⟨σ⟩ιν] διὰ τῆς δεξιᾶς πίστιν ἐποιήσαντο.

B= 288. μήτ' ἄρ τι λίην τρέε μηδέ τι τάρβει] ἱκαναὶ αἱ προσθῆκαι ὑπὲρ τοῦ θαρρῆσαι Ἀχιλλέα, ὅτι θεοί τε εἰσὶν οἱ συμμαχοῦντες καὶ Ζεὺς ὁ ἐπινεύσας καὶ τὸ μοιρίδιον οὔπω ἐληλυθός· πρὸς δὲ τοὺς ζητοῦντας, πῶς διαλέγονται μὲν αὐτῷ οἱ θεοί, οὐκ ἐπιβοηθοῦσι δέ, ῥητέον ὅτι ἕτερος ἦν ὁ ἀντιτεταγμένος τῷ Σκαμάνδρῳ (213).

B– * τρέε] ὑποχώρει.

289. ἐπιτάρροθοι] πλεονάζει ὁ ταρ, ὡς ἐν τῷ ἀταρτηρός.

290. ἐγὼ καὶ Παλλὰς Ἀθήνη] ἡμάρτηται, ὅτι τὸ ἑαυτοῦ ὄνομα οὐ προσέθηκεν. §. κατὰ τὸ σιωπώμενον δὲ ἴσως ἐκελεύσθησαν.

1. ὤφελ' || 8. φθαρείη B, διαφθαρείη || 10. fr. editoribus ignotum || 11, 19. supplevi ex B || 12. τὸ ἔρσαι W ex Et. M. p. 377, 46: τὴν ἔρσαν || 22. δὲ post διὸ om. W || πάρεισιν B || 28. μ. οὕτως B

Digitized by Google

292. λοφήσει] κοπ⟨ι⟩άσει· κυρίως δὲ ἐπὶ τῶν ὑποζυγίων.

293. αἴ κε πίθηαι] οὐ πάνυ οἰκεῖόν φησιν αὐτὸ ὁ Πῖος· διὰ τί γὰρ ἤμελλε μὴ πεισθήσεσθαι καὶ θεοῖς καὶ τὰ κεχαρισμένα συμβουλεύουσιν; τάχα οὖν πρὸς τὰ ἑξῆς ἐστι "σὺ δ' Ἕκτορι θυμὸν ἀπούρας ἂψ ἐπὶ νῆας ἴμεν" (296, 7). ὁρῶσι γὰρ αὐτὸν ἐπιτεταμένως ἔχοντα πρὸς τὸν φόνον τῶν πολεμίων καὶ δυσκόλως ἀφεξόμενον τῆς σφαγῆς, κἂν Ἕκτορος κρατήσῃ. B=

294. μὴ πρὶν παύειν χεῖρας] ἀπὸ ἄλλης ἀρχῆς ἀναγνωστέον· τὸ γὰρ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ ἐστιν. AB=

295. Ἰλιόφιν] συνήθης καὶ Θηβαίοις ὁ σχηματισμός.

296. ὅς κε φύγῃσι] ἀντὶ τοῦ 'ὃς ἂν φύγῃ.' καὶ "Ἕκτορι" ἀντὶ τοῦ Ἕκτορος. A+

ὅς κε φύγῃσι] στικτέον εἰς τὸ "φύγῃσι·" τὸ δὲ ἑξῆς ἀπὸ ἄλλης ἀρχῆς, τοῦ ἀπαρεμφάτου ἀντὶ προστακτικοῦ κειμένου. AB=

298. * τὼ μὲν ἄρ' ὣς εἰπόντε] συλληπτικόν.

299. αὐτὰρ ὃ βῆ] τὸ ἑξῆς 'αὐτὰρ ὁ βῆ ἐς πεδίον·' τὰ δὲ ἄλλα διὰ μέσου εἴρηται. AB=

ἄλλως: αὐτὰρ ὃ βῆ] ὑπεκκαύματα δέδωκε τῇ ἀπαγγελίᾳ, τὸν μὲν ὑπὸ θεῶν ῥώσας, τὸν δὲ Σκάμανδρον μᾶλλον προσεπιτιθέμενον καὶ προσεταιριζόμενον κατ' αὐτοῦ ⟨εἰπών⟩. B=

301. δαΐ κταμένων] ἄμεινον κατὰ διάστασιν ἀναγινώσκειν τὸ "δαΐ κταμένων," ὡς τὸ "Ἄρηι κταμένῳ" (Il. 22. 72). A+B=

302. πλῶον καὶ νέκυες] ἀλλὰ τριταῖοι πλέουσιν. ἢ οὖν ὑπὸ ὀργῆς ἐπῆρε κατὰ τοῦ Ἀχιλλέως τὰ σώματα, ἢ 'ἐν τῇ μάχῃ ἀπολομένων.' B—

303. * πρὸς ῥόον αἴσσοντος ἀν' ἰθύν] ἀνὰ τὴν φορὰν τοῦ ὕδατος ὁρμῶντος. B=

305. ἔληγεν] ἔπαυεν, ὡς τὸ "Ἰδομενεὺς δ' οὐ λῆγε μένος μέγα, ἵετο δ' αἰεί" (Il. 13. 424).

306. κόρυσ⟨σ⟩ε] ἐμετεώριζεν ἢ ὥπλιζε κατὰ Ἀχιλλέως. B=

307. ὑψόσ' ἀειρόμενος] μετεωριζόμενος· "ἵστατ' ἀειρομένη" (Il. 2. 151).

308. φίλε κασίγνητε] καὶ ἀδελφὸν παρακαλεῖ καὶ κατὰ ἀνθρώπου καὶ ὑπὲρ φιλουμένης πόλεως. B=

1. suppl. W ‖ δὲ post κοπ. omisi ‖ 6. ἀφεξόμενον B: ἀφέξεσθαι ‖ 10. Θηβαίοις Bekker: Θηβαῖος ‖ 11. φύγοι in lemmate ‖ φύγοι alt. ut A ‖ 20. supplevi ex B ‖ 22. Ἄρηι κταμένων ut B ‖ 24. ἀπολομένων W: -όμενοι ‖ 33. φίλης B



Digitized by Google

310. *κατὰ μόθον*] *γράφεται* "*κακὸν θεόν*" *οἷον κακὸν ἐπίκουρον.*

B= §. Τρῶες οὐ μενέουσιν, ἀλλ' ὀξυλαβείας χρεία πρὸς τὸ σῶσαι αὐτούς.

B= 312. * *ὀρόθυνον ἐναύλους*] *τοὺς χειμά⟨ρ⟩ρους, τὰς στενὰς διώρυχας.*

314. *φίτρων καὶ λάων*] *πολλὴ ἡ ὁρμὴ κελεύοντος καὶ τὰ παρακείμενα κατασπᾶν φυτὰ καὶ τοὺς παρατυγχάνοντας λίθους.*

315. * *μέμονεν*] *διανοεῖται.*

B= 316. *οὔτε βίην χραισμησέμεν*] *δαιμονίως κατείλοχε πάντα οἷς ἐπηρμένος* Ἀχιλλεὺς *ὑπερηφάνως διέκειτο, ὑπὸ ἀνδρ⟨ε⟩ίας, ὑπὸ κάλλους, ὑπὸ τῆς πανοπλίας.*

A+ 317. *τὰ τεύχεα καλά*] *μετάθεσις ἄρθρου, ὡς* "*τὸν* Χρύσην *ἠτίμησ' ἀρητῆρα*" (Il. 1. 11).

B= * *νειόθι*] *πρὸς τῷ κατωτάτω τῆς θαλάσσης.*

A+ 318. * *ἰλῦος*] *μέτρου χάριν ἐκτέταται τὸ ῡ.*

A= 319. *εἰλύσω ψαμάθοισιν*] *ἐὰν μὲν διὰ τοῦ ει* "*εἰλύσω,*" *δηλοῖ τὸ εἰλήσω, ἐὰν δὲ διὰ τοῦ ῑ, σκεπάσω ἀφανίσω παρὰ τὴν ἰλύν, ὡσεὶ ἔλεγε* '*τῇ ἰλύι καλύψω.*' *διχῶς οὖν ἡ γραφή.*

A= *χέραδος*] *τὸ* "*χέραδος*" *οὐδέτερον, προπαροξυτόνως, ὡς κίναδος· καὶ* Πίνδαρος *δὲ* (cf. Pyth. VI 13) *τὴν δοτικὴν ἐξήνεγκε* "*χεράδει,*" *ὡς μεγέθει· ἅπαξ δὲ εἴρηται παρ'* Ὁμήρῳ.

AB– *ἄλλως: χέραδος*] *τὸ πλῆθος τῶν ποταμίων ἢ θαλασσίων ψήφων, ἢ τῶν εἰς χερμάδια ἐπιτηδείων λίθων, ἢ πᾶσαν συρρέουσαν ἀκαθαρσίαν ἐκ τῶν ὑδάτων κατὰ μίμησιν τοῦ ἤχου τοῦ γινομένου κατὰ τὴν σύρσιν· ἀντιφράζει γοῦν αὐτῷ* "*πολὺν δ' ὀρυμαγδὸν ἐπῆρε φιτρῶν*" (313).

A+B= 320. *ἐπιστήσονται*] *δυνήσονται·* "*ἐπίστατο πῆλαι* Ἀχιλλεύς" (Il. 16. 142).

AB= 321. *ἄσιν*] *τὸν ἐν ὕδασι ⟨συρφετὸν⟩ ξηρόν, ἀπὸ τῆς ἄζης· οἱ δὲ τὴν ἐκ τοῦ ποταμοῦ δεῖσαν· ὅθεν καὶ ἄσιον τὸν λειμῶνα ἤκουσαν* (Il. 2. 461).

AB+ 323. *τυμβοχοῆσ'*] *ἀπαρέμφατον ῥῆμα τὸ* "*τυμβοχοῆσαι·*" *ὁ δὲ λέγει* '*οὐκ ἔσται αὐτῷ χρεία χώσεως τάφου·*' *ὁ δὲ* Κράτης *ὡς οἰνοχόης.*

B= 325. *μορμύρων*] *ἀναβράσσων ἢ θηριούμενος, παρὰ τὴν μορμώ. ἔστι*

7. *κατείλοχε* Bekker: *-ηχε* || 13. *ἐκτέταται* A: *τέτατται* || 17. *κίναδος* W: *κίναιδος* || 20. *ψηφίδων* B || 21. *χερμάδια* Dindorf in Thesauro: *χερμαδίας* ut B || 22. *ἤχου* scripsi: *στίχου* || 23, 24. *ὄρινε φ.* codd. Iliadis || 27. supplevi ex B || *καὶ* ante *ξ.* add. B

Digitized by Google

δὲ ἀπαραμίλλητα ταῦτα τοῦ Ὁμήρου· οὐ γὰρ μόνον τῇ μεγαληγορίᾳ τῶν ὀνομάτων ἀλλὰ καὶ τῇ ἐννοίᾳ κατώρθωται· ἔστι δὲ ἰδεῖν κῦμα μετέωρον αἵματι καὶ ἀφρῷ μεμιγμένον, καὶ τούτῳ ἐπιπλέοντα τὰ σώματα.

327. κατὰ δ' ᾕρεε] καθῄρει, κατέβαλλεν. §. δασυντέον δὲ τὸ "ᾕρεε," ⟨ἵν'⟩ ᾖ κατελάμβανεν· τὸ γὰρ αἱρῶ περισπώμενον καὶ δασυνόμενον δηλοῖ τὸ καταλαμβάνω. A=B+

328. Ἥρη δὲ μέγ' ἄυσε] κατὰ συλλογισμὸν ἐνέφηνε τὸν κίνδυνον· οἰκεῖον δὲ τὸ σχῆμα θηλείᾳ.

329. * ἀποέρσειε] Κυπρίων ἡ λέξις. A=

331. ὄρσεο, κυλλοπόδιον, ἐμὸν τέκος] εἰς τὸ "τέκος" ἡ στιγμή· τὸ δὲ ἑξῆς 'αὐτὰρ ἐγὼ εἴσομαι ζεφύροιο καὶ νότοιο χαλεπὴν ὄρσουσα θύελλαν ἐξ ἁλόθεν.' AB−

κυλλοπόδιον] προπαροξυτόνως. §. λέγει 'εἰ καὶ κυλλοποδίων εἶ, ὅμως ὄρσεο.' §. διδασκαλία δὲ στρατηγικῶν· εὐμήχανον ⟨γὰρ⟩ εἶναι ⟨δεῖ⟩ καὶ συνορᾶν ταχέως δύνασθαι τίνα καὶ ποῖα τίσι καὶ ποίοις μάχεται, καὶ τίνων ἀφεκτέον, καὶ τίσι πολεμητέον. νῦν γὰρ ἀντίπαλον Σκαμάνδρῳ πέμπει τὸν υἱόν· ἑξῆς δὲ Ἑρμῆς ἀπολέγει τῇ Λητοῖ (498) καὶ Ἀπόλλων Ποσειδῶνι (467). A+B= B−

* κυλλοπόδιον] ἄκαιρον καὶ ἀπρεπὲς τὸ ἐπίθετον. A+

332. * ἠίσκομεν] ⟨εἰκότως⟩ νομίζομεν, ὅτι ὕδωρ πυρὶ ἐναντίον. B=

333. * πιφαύσκεο] ἐνδείκνυε, ἐξύφαπτε. B=

334. ζεφύροιο] ζέφυρος παρὰ τὸν ζόφον, ἐπεὶ ἀπὸ δύσεως ἣν ζόφον καλεῖ. B=

ἀργεστὴν τὸν νότον, ἐπεὶ ἀπὸ Ἄργους εἰς τὴν Τροίαν πνεῖ. "χαλεπὴν θύελλαν" φησὶ τὴν ἐκ β' κεκραμένην ἀνέμων.

335. * εἴσομαι] πορεύ⟨σ⟩ομαι.

336. Τρώων κεφαλάς] κατὰ περίφρασιν τοὺς Τρῶας. B=

κῆαι] προπερισπᾶται· οὐ γάρ ἐστιν εὐκτικόν, ἀλλ' ἀπαρέμφατον. A=

337. φλέγμα] τὴν φλόγα, ὡς "καῦμα—θεσπέσιον" (Hes. Th. 700) ἀντὶ τοῦ καῦσις. AB−

* κακόν] κακοποιόν.

339. * καὶ ἀρειῇ] ἀπειλῇ. §. ὁ "καί" ἀντὶ τοῦ ἤ.

341. * ἰάχουσα] ὡς φέρουσα.

2. δὲ B: γὰρ ‖ 5. suppl. W ‖ ᾖ W: ἢ ‖ 14, 15. supplevi ex B ‖ 16. πολεμητέον B: -ιστέον ‖ 20. suppl. W ex B ‖ 23. ζοφοπνοίαν B ‖ 24. ἀργεστήν pro lemmate scriptum ‖ 25. κεκραμένην W: κρεμαμένην ‖ 26. supplevi ex D ‖ 28. κῆε



Digitized by Google

342. * τιτύσκετο] παρεσκεύαζεν.

B+ 343. ἐν πεδίῳ πῦρ δαίετο] ἵνα ἀναξηράνῃ τὸ εἰς αὐτὸ ἐκκεχυμένον ὕδωρ. §. "καῖε δὲ νεκρούς," Ἀχιλλέα δὲ οὔ· οὐδὲ γὰρ ὁ Σκάμανδρος τοὺς Τρῶας ἀπέπνιγεν ἐν ἑαυτῷ.

B− 346. ὀπωρινὸς βορέης] ἰσχυροὶ γὰρ κατὰ τὴν ὀπώραν οἱ βορέαι πνέουσιν. εὐκταῖον δὲ ἀρδευθείσῃ γῇ βορ⟨ρ⟩ᾶν ἐπιβαλεῖν· πυκνουμένης γὰρ τῆς ἐπιφανείας δύνει κατὰ ῥιζῶν ἡ νοτὶς ὑπὲρ τοῦ ἀποθεῖναι τὸ ὑγρόν· ὀπωρινὸς δὲ ὁ θερινὸς κατὰ Σικυωνίους.

B= ἄλλως: ὀπωρινὸς βορέης] οἱ γὰρ ἐτησίαι ξηρότεροι τοῦ ἐν χειμῶνι πνέοντος βορέου.

A+ · 347. ἂν ξηράνῃ] μετὰ τοῦ ν̄. καὶ "θερμήνῃ" (Π. 14. 7) μέν φησιν, ἀλλ' οὐ 'ξηρήνῃ' διὰ τὸ κακόφωνον, ὡς "ψαρῶν" (Π. 17. 755) καὶ "ψῆρας" (Π. 16. 583). Ἀριστοφάνης δὲ γράφει "αἶψ' ἐξανήνῃ."

348. ἐξηράνθη πεδίον] οἰκονομικὸν τοῦτο, ἵνα τὰ ἑξῆς διάθηται.

B= 350. καίοντο πτελέαι] δηλονότι ὑποφυγόντος τοῦ ποταμοῦ καὶ εἰς τὸ ἴδιον ῥεῖθρον τραπομένου τοῦ ὕδατος.

B= 351. λωτός τε] τοῖς ὑπ' αὐτοῦ τρεφομένοις ὕλῃ χρῆται κατ' αὐτοῦ.

A= ἠδὲ κύπειρον] αἱ ἐκ τῶν πόλεων "κύπαιρον."

353. τείροντ' ἐγχέλυες] καὶ τὰς ἐγχέλυας εἰπεῖν καιομένας οὐ πάνυ ἁρμόδιον· οὐ γὰρ οὖν καὶ αὐτῶν ἅπτεται τὸ πῦρ, ἀλλὰ πνοῇ μόνον καὶ τῇ ἀναφορᾷ τοῦ πυρὸς ⟨τείρονται⟩.

* τείροντ' ἐγχέλυές τε καὶ ἰχθύες] ὑπερβολὴ τὸ κατὰ βάθη κάεσθαι.

A= ἐγχέλυές τε καὶ ἰχθύες] ὅτι διέστειλε τὰς ἐγχέλεις τῶν ἰχθύων.

B= 354. κυβίστων] σημαντικώτερον οὐκ ἂν εὕροιμεν ὄνομα. οὐ γὰρ ἀναπάλλεσθαι τοὺς ἰχθῦς ἔφη, ὅπερ καὶ χωρὶς πυρὸς συμβαίη ἄν, ἀλλὰ τοὺς ἀναπαλλομένους τε ἅμα καὶ καταδυομένους πάλιν ὑπὸ τῆς φλογὸς διὰ τοῦ ῥήματος ἔδειξεν.

356. καίετο δ' ἶς ποταμοῖο] Πτολεμαῖος ὁ Πινδαρίων τὸν καὶ σύνδεσμον καὶ τὴν ε̄ ἀντωνυμίαν ἐνόμιζεν.

ἄλλως: καίετο δ' ἶς] τινὲς "καί ἑ τόδε," ἵν' ᾖ 'καὶ αὐτὸν τόδε εἶπεν ἶς ποταμοῖο.'

6. ἐπιβαλεῖν Bekker: ἐπιλαβεῖν ut B ‖ 9. ἐτησίαι B: ἐτήσιοι ‖ 14. ἐξανήνῃ Spitzner, ἐξαναίνῃ Heyne: ἐξεναίνειν ‖ 21. οὖν W: οἷον ‖ 22. suppl. W ‖ 25. ἐγχέλεις A: -υς ‖ 28. ὑπὸ Bekker: ἀπὸ ut B

Digitized by Google

357. οὔ τις σοί γε θεῶν—ἀντιφερίζει⟨ν⟩] ἀνίκητον γὰρ τὸ πῦρ· καὶ σίδηρον γοῦν μαλάσσει καὶ οὐδὲ ὑπὸ ἄλλου μαραίνεται, ἀλλ' ὑφ' ἑαυτοῦ· καὶ Ζεὺς πύρινον ἔχει τὸ δόρυ· λεπτομερεστάτη γὰρ ἡ οὐσία τοῦ πυρὸς ⟨καὶ⟩ διὰ πάντων διικνουμένη. B–

οὔ τις σοι—θεῶν δύναται] εὐφυῶς ἄγαν ἧτταν ὁμολογούμενος καὶ τοὺς ἄλλους θεοὺς συμπεριλαμβάνει.

361. ἀνὰ δ' ἔφλυε] ἀνέζει δέ· ἔνθεν καὶ τὸ ἐκ θερμότητος ἀνάστημα φλυκτίς, καὶ φλύαρος ὁ ἀναζέων τοῖς λόγοις. B= §. ἐμφαντικῶς δὲ ἄγαν ὡς ἐπὶ ἀγγείου καιομένου. εἶτα καὶ τῇ εἰκόνι τοιαύτῃ χρήσεται (362). B–

362. ὡς δὲ λέβης ζεῖ ἔνδον] ἐμφαντικῶς τὸ "ἔνδον," ἵνα καὶ τὴν κοιλότητα δείξῃ καὶ τὴν κάτωθεν ἀνάζεσιν. κοῖλα δὲ ἀμφότερα, καὶ ὁ ποταμὸς καὶ ὁ λέβης. B=

362, 4. ἄλλως: ὡς δὲ λέβης ζεῖ ἔνδον ἐπειγόμενος—ἀμβολάδην] τὸ ἑξῆς, ζεῖ ἔνδον πάντοθεν ἀμβολάδην. καὶ ἡμεῖς ὑπὲρ τῶν ζεόντων φαμὲν ἀναβάλλειν τὸ χαλκίον. ἀναζεῖ οὖν πάντοθεν διὰ τὴν τῆς φλογὸς ὑπερβολήν. διὸ καὶ ἐπάγει "ὑπὸ δὲ ξύλα κάγκανα κεῖται" (364). B–

363. κνίσσῃ μελδόμενος] σὺν τῷ ῑ Ἀρίσταρχος "κνίσῃν." τὸ δὲ "μελδόμενος" ἀντὶ τοῦ τήκων. "κνίσην" δὲ πᾶν τὸ πιμελές. τινὲς δὲ οὐδετέρως ἤκουον 'τὰ κνίση,' καὶ τὸ "μελδόμενος" ἀντὶ ἐνεργητικοῦ τοῦ μέλδων, ὅ ἐστι τήκων· ἀλλ' οὐδὲν τῶν εἰς ος οὐδετέρων ἀδιαίρετόν ἐστι παρ' Ὁμήρῳ κατὰ τὸ πληθυντικόν· τείχεα γὰρ καὶ βέλεα λέγει· τί οὖν ἐστι τὸ "Τηλέμαχος τεμένη νέμεται" (Od. 11. 185) οὕτως οὖν καὶ τὰ "κνίση μελδόμενος;" ἀλλ' ἀεὶ παρ' Ὁμήρῳ ἡ κνῖσα θηλυκῶς εἴρηται. Ἑρμογένης δὲ ἐν τῷ περὶ τῶν ε' προβλημάτων γράφει "κνίσῃ μελδόμενος," ἵν' ᾖ 'τῇ κνίσῃ μελδόμενος·' τινὲς δὲ "κνίσῃ μελδομένου," ἵν' ᾖ συὸς τηκομένου τὴν κνίσαν· μέλδειν δὲ κυρίως τὸ τὰ μέλη ἔδειν· ἄμεινον δὲ τῇ συνήθει γραφῇ χρῆσθαι "κνίσῃ μελδόμενος" ἀντὶ τοῦ λιπαινόμενος. καὶ ἔστι "μελδόμενος" ἀντὶ τοῦ τὰ μέλη ἀλδόμενος, ὡς ἀλλαχοῦ "μέλε' ἤλδανε ποιμένι λαῶν" (Od. 18. 70)· σημαίνει δὲ ἡ κνίσα καὶ τὴν ἐκ τῶν κρεῶν ἀναθυμίασιν, ὅταν λέγῃ "καὶ τότε με κνίσης A+B–

3. γὰρ B: δὲ || 4. supplevi ex B || 8. φλυκτὶς B: φλυκτὸς || 16. χαλκίον B: -εῖον || 26. εἴρηται B: εὕρηται || 27. μελδόμενος prius B: -ένου || 27, 28. μελδόμενος B: -ένου || 28. ἵν' ᾖ Schrader: δὴ

Digitized by Google

ἀμφήλυθεν ἡδὺς ἀυτμή" (Od. 12. 369) καὶ "κνίση δ' οὐρανὸν ἷκεν" (Il. 1. 317). σημαίνει δὲ καὶ τὸ λίπος, ὡς ἐπὶ τῶν γαστέρων ἔφη "ἐμπλείην κνίσης τε καὶ αἵματος" (Od. 18. 119). σημαίνει δὲ καὶ τὸν ἐπίπλουν, ὡς ὅταν λέγῃ "κατά τε κνίσῃ ἐκάλυψαν δίπτυχα ποιήσαντες" (Il. 1. 460)· διπλᾶ γὰρ ποιήσαντες τὰ κνίσῃ τοὺς μηροὺς ἐκάλυψαν. "δίπτυχα" δὲ τὰ κνίσῃ "π⟨οιήσ⟩αντες," ἐπεὶ γὰρ δύο οἱ μηροί, τὸν ἐπίπλουν εἰς δύο διελόντες ἑκάτερον τῶν μηρῶν θατέρῳ μέρει τοῦ ἐπίπλου ἐκάλυπτον. καὶ ἔστιν ἐν τῇ κωμῳδίᾳ τὸ ἑνικὸν οὐδέτερον, "τὸ κνῖσος ὀπτῶν ὀλλύεις τοὺς γείτονας" (fr. adesp. 335 a M.).

ἄλλως: κνίσῃ μελδόμενος] τὴν πιμέλην τήκων· §. τινὲς δὲ οὐδετέρως ἤκουον, τὰ κνίσῃ· τινὲς δὲ "μελδομένου," ἵν' ᾖ συὸς τηκομένου τὴν κνίσαν· μέλδειν δὲ κυρίως τὸ τὰ μέλη ἔδειν.

B+ σιάλοιο] σιτευτοῦ. §. καὶ αὐτὸς μὲν κρεῶν ἐφθῶν οἶδε χρῆσιν, τοὺς δὲ ἥρωας οὐκ εἰσάγει χρωμένους· πῶς οὖν βοείους πόδας ἐσθίουσι μνηστῆρες (Od. 20. 299); οὐ γὰρ ἂν ὤπτησαν πόδας.

365. ὣς τοῦ καλὰ ῥέεθρα πυρὶ φλέγετο] καὶ πῶς μὴ ἐκαίετο ὁ Ἀχιλλεύς; ἀλλ' ὥσπερ ὁ Σκάμανδρος Ἀχιλλέα μὲν ἔπνιγεν, "ζῳοὺς δὲ σάω κατὰ καλὰ ῥέεθρα κρύπτων ἐν δίνῃσι βαθείῃσιν μεγάλῃσιν" (238), οὕτω καὶ ὁ Ἥφαιστος πᾶν μὲν ὑφάπτει τὸ ἄλλο τοῦ ποταμοῦ πλὴν ἐκείνου τοῦ τόπου, ἔνθα ἦν Ἀχιλλεύς.

*ζέε δ' ὕδωρ] γράφεται καὶ "σχέτο δ' ὕδωρ" ἤγουν τῆς ὁρμῆς.

A+B− 366. οὐδ' ἔθελε προρέειν] οὐκ ἠδύνατο. καὶ "ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες" (Od. 1. 250) καὶ "ἤθελε Μηριόνης,

B= μάλα δ' ἤθελε ⟨Νέστορος υἱός⟩" (Il. 10. 229). §. "ἀυτμή" ἐξατμιζομένη πυρώδης πνοή. τὸ μὲν ⟨γὰρ⟩ καθαρὸν ὕδωρ ὡς τὴν ἰδίαν φύσιν ἔχον ἀκολούθως ὅπῃ θέλει ῥεῖ, τὸ δὲ θερμαινό⟨μενο⟩ν βραδύπορον γίνεται, πολὺ τῆς δυνάμεως ἀφῃρημένον· καὶ ὁ μὲν Ἥφαιστος ἡ πυρώδης ἐστὶν ὅλη οὐσία, ὁ δὲ Σκάμανδρος μέρος τῆς οὐσίας.

B= 369. *τίπτε] ἐπὶ τίνι αἰτίᾳ.

B− ἐμὸν ῥόον ἔχραε κήδει] "ἔχραε" ὥρμησεν, ὥστε λυπεῖν· "μητέρι μοι μνηστῆρες ἐπέχραον" (Od. 2. 50).

6. δὲ τὰ scripsi: αὐτὰ || 12. μελδομένου scripsi: ἠμελλομένου || 27. supplevi ex B || ὡς B: εἰς || 28. supplevi ex B || 29. γίνεται sec. ut B: γρ. pr. || ὁ μὲν scripsi: ὅτι

370. ἐξ ἄλλων] παρὰ τοὺς ἄλλους Ἑλληνικοὺς θεούς, ἢ ὑπὲρ τοὺς ἄλλους συμμάχους ⟨τῶν⟩ Τρώων ὥρμησέ με λυπεῖν. βέλτιον οὖν ἡ συνήθεια τοῖς ἄνω συντάσσει τὸ "ἐξ ἄλλων." AB–

οὐ μέν τοι ἐγὼ τόσον αἴτιός εἰμι] τοῦ μὴ ἁλίσκεσθαι τὴν Τροίαν.

373. ἐπὶ καὶ τόδ' ὀμοῦμαι] ἐπὶ τούτοις καὶ τοδε ὀμοῦμαι μετὰ τὸ λῆξαι, ἢ ἐπομοῦμαι. B=

374. ἐπὶ Τρώεσ⟨σ⟩ιν ἀλεξήσειν] τὸ ἑξῆς ἐπαλεξήσειν. B=

375. μαλερῷ] παρὰ τὴν ἀλέαν πλεονασμῷ τοῦ μ̄. ἢ παρὰ τὸ μαλεῖν, ὅ ἐστιν ἀφανίζειν. B+

376. καιομένη] ἀναφωνεῖ τὸ τέλος τῆς ἱστορίας εὐκαίρως ὁ ποιητής· οὐ γὰρ προκόψει μέχρι τούτων τὸ σύγγραμμα τῷ Ὁμήρῳ. B=

379. ἀγακλεές] εὔκαιρον πρὸς τὴν νίκην τὸ ἐπίθετον. B=

380. στυφελίζειν] σκληρῶς τύπτειν. B+

382. ἄψορρον δ' ἄρα κῦμα] ἐπιφερὲς ὂν τὸ ἔπος ἐδήλωσε τὴν κατάστασιν καὶ πρόχυσιν τοῦ ποταμοῦ, ὡς τὴν ἔπαρσιν τὸ "ἀκροκελαινιόων" (249).

385. ἐν δ' ἄλλοισι] τὸ ἑξῆς 'ἐνέπεσεν.' §. ἔνδοξος δὲ Ἀχιλλεύς, οὗ τὴν γένεσιν ᾄδουσι θεοὶ καὶ τὴν τελευτὴν καὶ τὸν πόλεμον.

388. ἀμφὶ δὲ σάλπιγξεν μέγας οὐρανός] εὖ πόλεμον θεῶν κελεύσματι οὐρανοῦ διήγειρεν. ἢ περιήχησε διαδεδομένης τῆς φωνῆς, ὅ φησιν ἀλλαχοῦ "ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα" (Il. 13. 837). καινὸν δὲ ἐζήτησε διανόημα σαλπίζειν τὸν οὐρανὸν φήσας· εἰ γὰρ εἶπεν 'ἐβρόντησεν,' οὐδὲν παράδοξον οὐδὲ καταπληκτικὸν ⟨ἂν⟩ εἰσῆγεν. B=

σάλπιγξεν] πάλιν σάλπιγγα αὐτὸς μὲν οἶδε, τοὺς δὲ ἥρωας οὐκ εἰσάγει χρωμένους (cf. Il. 18. 219). A+

389. ⟨ἐ⟩γέλασ⟨σ⟩ε δέ οἱ φίλον ἦτορ] διὰ τὸ ἥκιστα ἐπιχειρηθῆναι παρὰ τῶν διχονοούντων· καὶ Μένανδρος (fr. inc. 30) "καὶ τοῦτο θύων οὐδεπώποτ' ηὐξάμην ἐγὼ τὸ σώζειν τὴν ἐμὴν οἰκίαν, ἀλλὰ παρέλιπον οἰκετῶν εἶναι στάσιν ἔνδον παρ' αὐτῷ πρᾶγμα χρησιμώτατον." τοιοῦτο καὶ τὸ "χαῖρε νόῳ, ὅτ' ἄριστοι Ἀχαιῶν δηριόωντο" (Od. 8. 78). ἢ ἐπεὶ ὁρᾷ περὶ ἀρετῆς αὐτοὺς ἀγωνιζομένους, χαίρει ὁ Ζεύς. B–

2. supplevi ex B ‖ 10. καιομένην ‖ 14. ἐπιφερὲς corruptum ‖ 19. πόλεμον B: πολέμων ‖ 23. supplevi ex B ‖ 28, 29. οὐδέποτε θύων εὐξάμην ἄλλως σώζεσθαι τὴν οἰκίαν ἢ στάσιν οἰκετῶν εἶναι ἐν αὐτῇ B ‖ 28. σῴζειν Buecheler Mus. Rhen. 42 p. 200: σῷζον ‖ ⟨Δι'⟩ οἰκίαν supplet Buech., ⟨συν⟩οικίαν Fiorillo apud Meinekium ‖ ἀλλ' οὐ coni. Buech. ‖ 29. αὐτῷ Meineke: αὐτῷ ‖ 30. χαίρειν οἴῳ ὅτ'

Digitized by Google

B= 392. ῥινοτόρος] πρῶτον γὰρ δεῖ τῆς τῶν ἀσπίδων τρώσεως, εἶτα τῶν σωμάτων ἐφικέσθαι.

A+ 394. κυνάμυια] ἀναιδὴς καὶ θρασεῖα· ἢ αἱμοπότις, ὅ ἐστι κρότων. ⟨ἢ⟩ ἔστι κινόμυια ἡ κινοῦσα τοὺς μύας τῶν ὀφθαλμῶν καὶ μὴ ἠρε- A+B= μαῖον ἔχουσα τὸ βλέμμα. §. ⟨"ἄητον"⟩ (395) μέγα, παρὰ τὴν αἶαν.

* κυνάμυια] συνθέτως.

395. θάρσος ἄητον ἔχουσα] δύναται καθ' ἑαυτὸ λέγεσθαι τὸ ἡμιστίχιον κατὰ κλητικὴν πτῶσιν 'ὦ θάρσος ἄητον ἔχουσα.'

ἄλλως: θάρσος ἄητον] ἠώρητο ἢ ὅρμα ἀλλήλοις ἀντιπνεόντων.

μέγας δέ σε θυμὸς ἀνῆκεν] μετεωρισμὸς δέ σε ψυχῆς ἀνέπεισεν.

B= 396. ἦ οὐ μέμνῃ] κακῶς ἥττης ἑαυτοῦ ὑπομιμνήσκει—ἔδει γὰρ αὐτόν, ὡς Ζεὺς "ἦ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω ὑψόθεν" (Il. 15. 18)—ἢ θέλει αὐτὴν πλῆξαι ὡς δίκην νῦν ληψόμενος.

397. * πανόψιον] φανερῶς, οὐ πειρωμένη λανθάνει⟨ν⟩.

A+B– πανόψιον] πάντων ἔσχατον—ἡ γὰρ ὀψία ἔσχατος καιρός—ἵνα λέγῃ 'τὸ δὲ πάντων ἔσχατον αὐτὴ λαβοῦσα τὸ ἔγχος ἔπληξάς με.' ἢ τὸ ὁλόλαμπρον, ὡς ταὐτὸν εἶναι τῷ πάνοπτον πρωτοτύπῳ. Ἀντίμαχος δὲ γράφει "ὑπονόσφιον." καὶ τίποτε δι' αὐτοῦ θέλει δηλοῦσθαι ἄμεινον;

B= 398. ἰθὺς ἐμεῦ ὦσας] ἐξ ἐναντίας μου ἤρεισας δόρυ.

B= 399. ἀποτισέμεν] ἐκτίσειν διὰ τιμωρίας.

401. οὐδὲ Διὸς δάμνησι κεραυνός] αὐτοῦ γὰρ ὅπλον. §. οὐχ ὡς τοῦ Ἄρεος ἐκεῖσε βαλόντος, ἀλλὰ τῆς Ἀθηνᾶς μετενεγκούσης πρὸς τὸ μὴ τρωθῆναι.

B= 402. * τῇ] ἐκεῖ.

B= 405. * οὖρον ἀρούρης] ὅριον γῆς.

B= 406. βάλε—κατ' αὐχένα] διὰ τί κατ' αὐχένα βάλλεται Ἄρης; ὅτι ὑψαύχην ἡ ὕβρις.

A–B= 407. πόσον ἔχει τὸ πέλεθρον; τὸ πλέθρον ἔχει πόδας ἑκατόν, B= πήχεις δὲ ἑξήκοντα ἓξ δίμοιρον. §. εἰ δὲ ζητοίης πῶς ἔφθασεν ὁ Διομήδης τὸν τηλικοῦτον τρῶσαι, ἴσθι ὡς Ἀθήνης συνεργούσης.

2. ἀφικέσθαι ‖ 3. αἱμοποτεῖ: corr. W ‖ 3, 4. κρότονοί εἰσι κ. ‖ 4. κινόμυια Eust.: κυνῶν μυῖα ‖ τοὺς μύας Eust., τὸν μῦν coni. Heyne: μυῖαν sec., μοῦ /// pr. ‖ 9. θυμὸς ἄητον ‖ 15. δὲ post π. del. Bekker ‖ suppl. Bekker ‖ 23. ὅπλον W ex A: ὀπτέον ‖ 24. Διὸς coni. W pro Ἄρεος ‖ 28. διὰ τί—Ἄρης ante πόσον l. 30 scripta: traieci

Digitized by Google

408. * ἀμφαράβησε] ἄραβος κυρίως ἡ ἐν Ἄρει βοή. B+

410, 1. ὅσσον ἀρείων εὔχομ' ἐγών] ἔστι γὰρ ἣ μὲν ἐξ ἀνδρὸς μόνου, ὃ δὲ καὶ ἐκ γυναικός. καὶ ἣ μὲν ἔνοπλος γεννηθεῖσα συμπεφυκυῖαν τοῖς ὅπλοις τὴν ἀρετὴν ἔχει· καὶ ταύτης ὁ πατὴρ ἅμα τῇ γενέσει νίκην ἐποίησεν· ἄλλως τε τὸ δίκαιον ἐπικρατεῖν ἀεὶ πέφυκεν. B−

412. Ἐρινύας] κατάρας. "οὕτω" δέ, πρὸς τοὺς κρείσσονας ἐθέλων μάχεσθαι. B=

415. * πάλιν τράπεν] παρέτρεψεν.

416. τὸν δ' ἄγε χειρὸς ἑλοῦσα ⟨—Ἀφροδίτη⟩] δεῖ γὰρ κρᾶσιν εἶναι τῶν ἠθῶν· Ἁρμονίαν γοῦν παῖδα ἐσχήκασιν· ἢ ὅτι τὸ πλέον διὰ γυναῖκας οἱ πόλεμοι. ἀνταμείβεται γὰρ αὐτῷ τῆς χρήσεως τῶν ἵππων· Ἥρα δὲ ἀπέχεται τῆς Ἀφροδίτης διὰ τὸν κεστόν. B−

417. μόγις δ' ἐσαγείρατο θυμόν] τὸ ζωτικὸν πνεῦμα συνέλεξεν. B=
§. ἐν παρατατικῷ δὲ τὸ "ἐσαγείρατο" Ἀρίσταρχος. B−

419. αὐτίκ' Ἀθηναίην] ὅτι τὸν πολέμιον αὐτῆς ὠφελεῖν ἐπιχειρεῖ.

422. * κλόνον] ἐν ᾧ κλίνεται τὰ πράγματα. A=

424. ἐπιεισαμένη] ἐφορμήσασα, "εἴσομαι ἐξ ἀλόθεν" (Il. 21. 335)· ἢ ἀντὶ τοῦ ἐπελθοῦσα. A+B−

πρὸς στήθεα] ὅπου ἡ ἀφροσύνη· ⟨ἀντ⟩ήρκει δὲ οὐδὲ τῇ πληγῇ τῆς χειρός. B−

428. τοιοῦτοι νῦν πάντες] ἀεὶ τὸ "νῦν" φυλάσσον τὸν χρόνον καὶ τὸν τόνον φυλάσσει· ἣν που δὲ συσταλῇ διὰ μέτρον, ἐγκλίνεται· "δεῦρό νυν ἢ τρίποδος" (Il. 23. 485)· "ἐκτελέει ὅσα πού νυν ἐέλπεται" (Il. 10. 105). A+B−

430. τλήμονες] εὔτολμοι. οἱ δὲ τραγικοὶ ἐπὶ δυστυχοῦς τιθέασι τὴν λέξιν. A~B=

435. κρείων] ὁ τῆς αὐξήσεως αἴτιος· ὑγρὸς γάρ, καὶ κραίνειν τὸ πληροῦν. AB=

436. διέσταμεν] οὐ πολεμοῦμεν, οὐ μιγνύμεθα—μιγῆναι γὰρ λέγει τὸ πολεμῆσαι—ὡς αἰσχρὸν μὲν τῶν ὁμοφύλων μαχομένων ἀργεῖν, καὶ πρεσβύτην ⟨δὲ⟩ ἄρχειν μάχης ⟨δεινότερον⟩. A+B=

437. ἀμαχητί] συστελλόμενον Δώριον, ἐκτεινόμενον δὲ Ἀττικόν.

4. ταύτης Eust.: -ην ‖ 8. πάλεν textus ‖ 11. πόλεμοι B Eust.: -ιοι ‖ ἀνταμείβεται B: ἀνταμείβετο ‖ αὐτῶν ‖ 22. νῦν alterum B: ν̄ ‖ 23. ἣν B: εἰ ‖ 30. μιγῆναι scripsi: μίγνυσθαι B, μιγνύναι ‖ 32. suppl. W ex B

Digitized by Google

B= 440. * καλόν] τὸ ἄρχειν.

B= 441. * ἔχες] εἶχες.

A= 442. μέμνηαι] ἐνθάδε "μέμνηαι" διπλῆ γὰρ ἡ χρῆσις (cf. Il. 23. 648).

B— 444. παρ Διός] τινὲς ἐξ οὐρανοῦ, ἀπὸ τοῦ Διὸς οἴκου· "ἐν Διὸς εἱλεῖται" Ἄρατος (222).

A+B= θητεύσαμεν] οὐ παραδίδωσι τὴν αἰτίαν δι' ἣν ἐθήτευσαν.

ἄλλως: θητεύσαμεν] ἠθέλησαν γὰρ συνδῆσαι τὸν Δία "Ποσειδάων καὶ Φοῖβος Ἀπόλλων" (Π. 1. 400)· οἱ δὲ ἐπὶ τῷ πειρᾶσ⟨θ⟩αι τὴν ὕβριν Λαομέδοντος· "καί τε θεοὶ ξείνοισιν ἐοικότες" (Od. 17. 485)· ὡς ἀποθανόντος οὖν τοῦ αἰτίου, τιμώμενος νῦν ἐν Ἰλίῳ Κίλλῃ Χρύσῃ Τενέδῳ βοηθεῖ αὐτοῖς· οἱ δὲ δύο φασὶν ἐργασαμένους ἀμισθὶ ἀναθεῖναι Ἀπόλλωνι καὶ Ποσειδῶνι· οἱ δέ, ὅτι ἀπὸ τῶν ἱερατικῶν χρημάτων ᾠκοδόμησαν αὐτά.

B+ 445. μισθῷ ἔπι ῥητῷ] καὶ αἱ ὡρισμέναι συνθῆκαι ῥῆτραι.

A~B= 447. ἵν' ἄρρηκτος πόλις εἴη] ἀσφάλιος γὰρ καὶ θεμελιοῦχος ὁ Ποσειδῶν· διαφωνεῖ δὲ ταῦτα τοῖς ἐν τῇ Τειχοποιίᾳ ἀθετουμένοις (Il. 7. 443–64).

A+B= 448. βουκολέεσκες] νόμιος γὰρ ὁ θεός· οἱ δὲ ἐπεὶ αἱ ἀρχαὶ τῶν λοιμῶν ἀπὸ τῶν τετραπόδων ἄρχονται, αὐτοῖς ἐπέστησαν, ὅπως ἀναβαλλόμενος τούτων ἅπτεσθαι πολὺ μᾶλλον τῶν ἀνθρώπων ἀπέχηται.

B= 450. πολυγηθέες ὧραι] αἱ πολλοῖς αἴτιαι τοῦ χαίρειν· αὔξουσι γὰρ τοὺς καρπούς. ἢ εἰς πολ⟨λ⟩ὴν χαρὰν ἄγουσαι τοὺς καρπιζομένους.

B+ 451. * ἐξέφερον] ἐμήνυον.

B~ βιήσατο μισθόν] ἀντὶ τοῦ ἀπεστέρησε μετὰ βίας.

B= * νῶι βιήσατο μισθόν] παρὰ τὸ μεῖον. ἐβιήσατο ἡμᾶς τὸν μισθόν· μισθὸς ἐλαχίστη ἀμοιβὴ παρὰ τὸ μεῖον.

453. πόδας καὶ χεῖρας ὕπερθεν δήσειν] ἐξαγκωνίσαι.

A= 454. τηλεδαπάων] οὕτως Ἀρίσταρχος· αἱ δὲ ἀπὸ τῶν πόλεων "θηλυτεράων."

B— ἄλλως: τηλεδαπάων] τηλοῦ τὸ πέδον ἐχουσῶν ἢ μακρὰν ἀπὸ τῆς Τροίας οὐσῶν· καταχρηστικῶς οὖν ἐπὶ τοῦ αὐτοῦ ἐδάφους πραθῆναί φαμέν τινα.

456. * ἄψορροι] ὀπισόρμητοι εἰς οὐρανόν.

2. εἶχες B: ἔχεις ‖ 12. οἱ Bekker: εἰ ‖ 14. ᾠκοδόμησαν W: -εν ‖ 23. ἢ B: αἱ ‖ 29. οὕτως A: οὗτος

Digitized by Google

458. τοῦ δὴ—λαοῖσι] ἐν ἤθει ταῦτα.

οὐδὲ μεθ' ἡμέων] λείπει γενόμενος.

462. οὐκ ἄν με σαόφρονα] τινές φασιν ἐγγὺς γεγονότος Ποσειδῶνος μηκέτι δύνασθαι τὸν τοξότην πολεμεῖν.

* σαόφρονα] συνετόν.

464. δειλῶν] ἀτυχῶν· Δείλας γὰρ πρῶτος τὸν εἰς φόνους κλῆρον εὗρεν, ὥς φησι Θεόκλυτος. B+

465. ζαφλεγέες] μεγαλόφρονες· καὶ ταῦτα θνητήν φησι τροφὴν ἐσθίοντες, οὐ σιτούμενοι ἀμβροσίαν ὡς ἡμεῖς· ὅταν δὲ ἀποβλέψῃ εἰς τὴν θείαν φύσιν ὁ ποιητής, τότε τὰ ἀνθρώπινα πράγματα ἐξευτελίζει. B−

* ζαφλεγέες] λαμπροί.

466. * ἀκήριοι] νεκρούμενοι.

467. δηριαάσθων] τὸ δεύτερον ᾱ ἐκτατέον ὥσπερ ἐπὶ τοῦ ἀδιαιρέτου. A+B=

468. αἴδετο γάρ ῥα πατροκασιγνήτοιο] ἄλλως τε ὁ ἥλιος ἐκ θαλάσσης τρέφεται. πῶς οὖν ἔδει μάχεσθαι; B=

469. πατροκασιγνήτοιο] τοῦτον οἱ μὲν πάτρωα, οἱ δὲ θεῖον καλοῦσιν.

μιγήμεναι] συμβαλεῖν· ἔστι δὲ παιδευτικά, ὡς τὸ "Λητοῖ, ἐγὼ δέ τοι οὔ τι μαχήσομαι· ἀργαλέον γάρ" (498) καὶ "ἀλλά τοι οὐκ ἐθέλουσα Ποσειδάωνι μάχεσθαι" (Od. 13. 341). B−

*μιγήμεναι] τινὲς γράφουσι "δαμήμεναι."

470. πότνια θηρῶν] δεσπότις. μεταβαλὼν οὖν φησιν Ἀνακρέων "δέσποιν' Ἄρτεμι θηρῶν" (fr. 1 B.). οἰκεῖον δὲ ταύτῃ τὸ προπετές, διὸ καὶ περιπίπτει βλάβῃ. ὥστε καὶ τὰ πεπραγμένα ἐν τῇ Θεομαχίᾳ τολμηρότερον ἀφορμὰς ἔχει Ἄρην καὶ Ἄρτεμιν. A+B−

471. Ἄρτεμις ἀγροτέρη] περισσὸς ὁ στίχος. §. οὕτω δὲ παρὰ Συρακοσίοις καὶ Ἀθηναίοις τιμᾶται· "τῇ δ' Ἀγροτέρᾳ παρῄνεσα κατὰ χιλίων εὐχὴν ποιήσασθαι" (Ar. Equ. 660). A+

ὀνείδειον] ὡς τέλειον καὶ ὄρειον· οὕτω γὰρ ἐκπίπτει καὶ τὰ τῆς παραγωγῆς, εἰ μὴ τὸ ᾱ παραλήγοι ἐν τῷ εἰς ος λήγοντι οὐδετέρῳ, ἢ δύο σύμφωνα κατὰ διάστασιν, οἷον ἕλος ἕλειος, ὄρος ὄρειος· παρῃτησάμεθα δύο σύμφωνα διὰ τὸ ἕρκος ἕρκιος τὸ ᾱ διὰ τὸ πέλαγος A+

6. Δείλας Eust.: δειλὰς ‖ πρῶτος Eust.: -ον ‖ 23. μεταβαλὼν B: μεταλαβών ‖ 24. Ἄρτεμι B et codd. Hephaestionis: -ις ‖ 28, 29. κατὰ χιλίων παρῄνεσα codd. Ar.

Digitized by Google

πελάγιος, ἄγος ἅγιος· τὸ γὰρ Ἀργεῖος οὐκ ἀπὸ οὐδετέρου παρῆκται, ἄλλως τε καὶ ἔχει δύο σύμφωνα.

B+ 473. * μέλεον] ἄμοχθον.

B= 474. * ἀνεμώλιον αὔτως] ἀνεμωλίως ἀπράκτως.

A~ 475–7. μή σευ νῦν ἔτι] παραπεποίηνταί πως ἐκεῖθεν οἱ στίχοι "πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα εὐχομένης" (Il. I. 396)· τί δὲ καὶ βουλόμενος συνεχῶς τοῦτο ἐκαυχᾶτο ὁ Ἀπόλλων;

B– 478. τὴν δ' οὔτι προσέφη] προείρηκε γὰρ τὴν αἰτίαν τῆς παραιτήσεως "αἴδετο γάρ ῥα πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσιν" (469)· ὥστε δισσολογεῖν οὐκ ἐχρῆν αὐτόν.

A=B– 479. ἀλλὰ χολωσαμένη] ἀπὸ κοινοῦ τὸ "προσέφη·" οὕτως οὖν κἀκεῖ "παῖδά τε σοι ἀγέμεν Φοίβῳ θ' ἱερὴν ἑκατόμβην" (Il. I. 443)· ἀπὸ κοινοῦ γὰρ τὸ "ἀγέμεν." καὶ περιττὸς ὁ ἑξῆς "ῥέξαι ὑπὲρ Δαναῶν" (ib. 444).

B= 482. χαλεπή τοι ἐγὼ μένος ἀντιφερίζειν] ἐξ ἐναντίας τὸ ἐμὸν μένος φέρειν. ἐπεὶ δὲ εἶπε "τί νυ τόξον ἔχεις," φησὶν ὅτι, εἰ καὶ τοξοφόρος εἶ, χαλεπή σοι πολέμιος ἔσομαι.

B= 483. λέοντα] λέαιναν· οὐδέποτε δὲ παρ' Ὁμήρῳ εἴρηται τὸ λέαινα.

* ἐπεί σε λέοντα] ἐπεὶ λέαινάν σε.

B+ 484. κατακτάμεν ἥν κ' ἐθέλῃσθα] προΐσταται γὰρ ἡ Ἄρτεμις τοκετῶν, ἐπεὶ περὶ τὰς πανσελήνους εὐτοκώταται αἱ γυναῖκες, ὥς φησι Χρύσιππος.

B+ 485. θῆρας ἐναίρειν] φονεύειν ἢ σκυλεύειν. περιάπτεται γὰρ νεβρίδας· Ἀλκμᾶν "ἑσσαμένᾳ πέρι δέρματα θηρῶν" (fr. 18 B.). §. σημειοῦνται δέ τινες, ὅτι ἔναρα ἐπὶ ἀλόγων ζῴων οὐκ ἔστιν.

486. ἀγροτέρας] τινὲς τὰς μὴ ταχέως γηρώσας.

* ἀγροτέρας] ἀγριωτέρας.

A+B= 487. εἰ δ' ἐθέλεις, πολέμοιο δαήμεναι] στικτέον εἰς τὸ "δαήμεναι·" ἔστι γὰρ ἀντὶ τοῦ δάηθι.

B= 489. ἐπὶ καρπῷ χεῖρας] "ἐπὶ καρπῷ" τῆς Ἀρτέμιδος· ἔμφασιν δὲ ἔχει πολλῆς δυνάμεως.

6. εὐχομένου ‖ 19. εὕρηται ‖ 26. ἑσσαμέναι; ἐπαμέναι apogr. V, unde ἐπαμμέναι coni. Welcker, ἐπαμμένα Bergk, ἐπειμένα Hartung ‖ πέρι Bergk ceteri: παρὰ ‖ 31. δάηθι B: δαῆναι ‖ iteratur* δαήμεναι] ἀντὶ τοῦ δάηθι

Digitized by Google

490. *ἀπ' ὤμων αἴνυτο τόξα*] ποιητικῶς ἀντὶ τῶν βελῶν "τόξα" B= φησίν. ἢ τὴν πᾶσαν τοξικὴν κατασκευήν.

* *τόξα*] τὰ τοξεύματα.

492. *ἐντροπαλιζομένη*] ἐξ ὑποστροφῆς ἀνθισταμένη. αἱ δὲ A–B= πλείους κατ' αἰτιατικήν, ἵν' ᾖ 'ἐκτρέπουσα⟨ν⟩ τὰς ὄψεις πρὸς τὰς τῆς χειρὸς καταφοράς.'

493. * *ὕπαιθα*] ἔμπροσθεν.

*πέλεια*] Ἀριστοτέλης (H. N. 544$^{b}$ 2) φησὶ μικροτέραν τῆς περιστερᾶς εἶναι καὶ ὑπέρυθρον καὶ ταχύπουν.

ἄλλως: *πέλεια*] ὡς κράτεια· ἔστι δὲ καὶ πελειάς ὀξυτόνως, A+ ὡς μαῖα καὶ μαιάς.

495. *χηραμόν*] ἀπὸ τοῦ χωρεῖν, ⟨πέτραν⟩ διαγωγὰς ἔχουσαν B= πολλάς, ὥς τι χωρεῖσθαι. §. σημειωτέον δέ, ὅτι προεξηγήσατο AB– τίς ἡ χηραμός, κοίλη πέτρα, ἐπεξηγεῖσθαι εἰωθώς, οὐ προεξηγεῖσθαι· "νεβρὸν ἔχοντ' ὀνύχεσσι, τέκος ἐλάφοιο" (Il. 8. 248).

*οὐδ' ἄρα τῇ γε ἀλώμεναι*] καὶ ἐπ' ἀλόγοις μοιρίδιον οἶδεν, οὐ μόνον ἐπὶ ἀνθρώποις.

498. *ἐγὼ δέ τοι οὔ τι μαχήσομαι*] ἄτοπον γὰρ τὸν λόγιον καὶ B– εἰρηνικὸν θεὸν μάχεσθαι. ἢ ὡς φιλῶν μίξεις· καὶ γὰρ μετ' Ἀφροδίτης ἐθέλει δεθῆναι (Od. 8. 342), καὶ Πελασγοὶ δὲ ἐντεταμένον τὸν Ἑρμῆν ἱδρύονται· ἄλλως τε ἄνοπλος ἑκάτερος, καὶ ἄτοπος ἡ δίχα ὅπλων μάχη.

499. *πληκτίζεσθαι*] μάχεσθαι. τῶν ἅπαξ δὲ εἰρημένων ἡ λέξις. B=

501. *εὔχεσθαι ἐμὲ νικῆσαι*] ἄτυφος· διὸ λογικὸς θεὸς ὃς οὐδὲ B+ ἀδοξίας φροντίζει.

502. *Λητὼ δὲ συναίνυτο*] ἴσως πρὸς τὸ σκῦλα μὴ μεῖναι τῆς B– θυγατρός, ὅπερ ἐκ περιουσίας ὁ ποιητὴς προσῆψεν.

*καμπύλα τόξα*] μεταφορικῶς ἀπὸ τοῦ τόξου τὰ βέλη· ἢ συλληπ- A+B= τικῶς τὰ τόξα καὶ τὰ βέλη· ὡς δὲ χοῖνιξ τὸ μετροῦν καὶ μετρούμενον, οὕτω καὶ τόξα ἐπὶ ἑκατέρου δεκτέον.

506. *δακρυόεσσα δέ*] ἀφελὴς ἡ διάθεσις καὶ παρθένῳ πρέπουσα· B+ Ἀφροδίτη δὲ ὡς γεγαμημένη τῆς Διώνης . . . ἐκεί⟨νη⟩ "δ' ἐν γούνασι πῖπτε" (Il. 5. 370) διὰ τὸ καταπονεῖσθαι τῇ πληγῇ.

5. supplevi ex B ‖ 12. suppl. W ex B ‖ 16. ἐπ' W: ἐν ‖ 28. τόξα alt. ‖ 29. γὰρ χ. B ‖ 32. γεγαμημένη B: -ης ‖ lacunam indicavi: 'de interceptis cf. B' W ‖ suppl. W ex B ‖ 33. διὰ τὸ B: δία τῷ

Digitized by Google

B= 507. ἑανὸς τρέμε] καιρίως διὰ τῆς ἐσθῆτος ⟨τὸ⟩ σῶμα ἐνέφηνε τρέμον.

A= τὴν δὲ προτὶ οἷ⟨εἷλε⟩] ὀρθοτονητέον τὴν "οἷ," ἐπεὶ εἰς σύνθετον ⟨μεταλαμβάνεται⟩. §. προσελάβετο ἑαυτῷ, τουτέστιν προσεπεπτύξατο.

508. * ἡδὺ γελάσσας] ἠθικῶς.

B+ 509. τίς νυ σε] ἀγνοεῖν προσποιούμενος.

B= 511. ἐυστέφανος] στέφανος ἐπικεφάλιος γυναικῶν κόσμος. §.
B+ "κελαδεινή" δέ τινες παρὰ τὸ κῆλα. ἢ ὅτι Ἐγκέλαδον σὺν Ὠρίωνι ἀνεῖλε βιαζόμενον αὐτήν.

A+ ἄλλως: ἐυστέφανος κελαδεινή] ἠρκέσθη τοῖς ἐπιθέτοις· περιττὸς οὖν κἀκεῖ ὁ "Ἄρτεμις ἀγροτέρη, καὶ ὀνείδειον φάτο μῦθον" (471).

512. σή μ' ἄλοχος] πιθανῶς καὶ αὐτὸν πιθανοποιεῖται διὰ τῆς ἀλόχου.

AB+ 513. νεῖκος ἐτύχθη] "νείκε' ἐτύχθη" πληθυντικῶς· καὶ "ἐφῆπται" ἀντὶ τοῦ ἐπισυνδέδεται ἤυξηται.

B= 514. ὣς οἱ μὲν τοιαῦτα] οὔτε γὰρ ἀπολύσασθαι ⟨θέλει⟩ Ἥραν τοῦ ἐγκλήματος, ἵνα μὴ λυπῇ τὴν ὑβρισθεῖσαν, οὔτε ἐγκαλεῖν [τῇ ἀπολυθείσῃ].

515. αὐτὰρ Ἀπόλλων] προοικονομεῖ πάλιν εἰς τὰ ἑξῆς, ἵνα ὑπολειφθεὶς μόνος πλανήσῃ τὸν Ἀχιλλέα ἀπὸ τοῦ τείχους.

516. μέμβλετο γάρ οἱ] διασταλτέον μετὰ τὸ "οἷ."

* πόληος] Αἰολικῶς, ὡς "ἀκτῆνας" καὶ ψημύθιον.

A+ 519. * χωόμενοι] συγκεχυμένοι.

B= 522. ὡς δ' ὅτε καπνὸς ἰὼν—ἄστεος αἰθομένοιο] πηλίκον δέ ἐστι τὸ πῦρ οὗ τὸ τέλος ἅπτεται τοῦ οὐρανοῦ; καὶ τοῦτο θεόπεμπτον (523), ἵνα μὴ ταχέως σβεννύηται. τὴν ἐπὶ πλεῖστον δὲ νέμησιν τοῦ Ἀχιλλέως ἡ παραβολὴ τοῦ πυρὸς ἐνέφηνεν.

B= 526. εἱστήκει δ' ὁ γέρων] ἐναργῶς ὁ τῆς ἀγωνίας μεστὸς δείκνυται γέρων ἐπιβεβηκὼς τοῖς τείχεσιν. μεταγαγὼν δὲ ὁ ποιητὴς τὴν στρατιὰν ἐπὶ τὰ ἔνδον οὐκ ἄλλῳ πιθανὸν ἐνόμισε προσκεῖσθαι

1. supplevi ex B ‖ 4. supplevi ex A ‖ 8. κόσμος B: κοινός ‖ 9. τὸ B: τὰ ‖ κῆλα Eust.: κοῖλα ‖ 14. σήμ' ‖ πιθανολογεῖται coni. Bekker ‖ 17. iteratur * ἐφῆπται] ἐπισυνδέδεται ‖ 19, 20. inclusa om. B ‖ 23. τοῦ οἱ ‖ 24. ψημύθιον Et. M. p. 603, 56: ψιμύθιον ‖ 28. νέμεσιν B

Digitized by Google

τὰ τῆς διατάξεως ἢ τῷ Πριάμῳ· βασιλεὺς γάρ ἐστι καὶ συνετός, τῶν δὲ ἔργων διὰ τὴν ἡλικίαν ἀπεχόμενος.

* θείου] παρόσον θεοποίητόν ἐστι τὸ τεῖχος. AB=

528. * ἄφαρ] ταχέως.

πεφυζότες] ὅθεν ἄφυζαν τὸν λέοντα Ἡσίοδος εἶπεν (fr. 238 M.). A=B+

530. ὀτρυνέων] τοῦ καιροῦ ἐπείγοντος καὶ ὁ γέρων στρατηγεῖ ἐπὶ τῇ σωτηρίᾳ τῶν φευγόντων. B=

ἄλλως: ὀτρύνων παρὰ τεῖχος] χωρὶς τοῦ ε, ἤδη ἐνεργῶν καὶ οὐ μέλλων. A+

* ὀτρυνέων] ὡς μέλλων περισπᾶται καὶ διῄρηται.

531. ἐν χερσὶ πύλας] πᾶσαν φιλοφροσύνην τὴν πρὸς τοὺς φύλακας ὁ καιρὸς ἀφαιρεῖται· Νέστωρ δ' "οὕτω νῦν, φίλα τέκνα, φυλάσσετε" (Il. 10. 192). §. "πύλας" δὲ νῦν τὰς θύρας, ὡς τὸ "εἴ τιν' ἑταίρων ἐκ πολέμου φεύγοντα" (Il. 12. 122). B=

533. * κλονέων] καὶ κλόνις ἡ εὐκίνητος ὀσφύς.

λοίγι' ἔσεσθαι] πρεσβυτικῶς ὁρᾷ τὸν καιρόν, ὅτι εἰς κακὸν προχωρήσειν εἰκὸς τὰ πράγματα, καὶ ὀλοθρευθήσεσθαί φησι τοὺς Τρῶας. B=

534. * ἀλέντες] ἐκκλίναντες ἢ συστραφέντες. B+

536. μὴ οὖλος ἀνήρ] καὶ Καλλίμαχος (fr. 507) "οὔλου μητέρ' Ἄρηος," ὀλοθρευτικοῦ. B= B=

⟨οὖλος—⟩εἰς τεῖχος ἅληται] ἄθρους ὁρμήσῃ ἢ μετὰ πλήθους.

ἅληται] ψιλῶς· ἔστι γὰρ μέσος ἀόριστος ὑπερσυντελικὸς ἀκόλουθος τῷ ἆλῆναι ἀπαρεμφάτῳ παθητικῷ δευτέρῳ ἀορίστῳ καὶ μετοχῇ τῇ "αὐτὰρ ἐπεὶ—ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες" (534). A+

537. ἀπῶσαν ὀχῆας] ἀπεκρούσαντο ὡς συνεκτικοὺς ὄντας τῶν πυλῶν. B=

538. τεῦξαν φάος] παρέσχον τοῖς φεύγουσιν, ὡς ἐκεῖ "φόως δ' ἑτάροισιν ἔθηκεν" (Il. 6. 6). οὐ δεόντως οὖν ἀθετοῦνται ὑπὸ Ζηνοδότου. AB+

* φάος] σωτηρίαν τοῖς φεύγουσι Τρωσίν. B=

5. ἄφυζαν Bekker: ἀφύζαν ‖ Ἴωνες ἐκάλουν B pro Ἡσίοδος εἶπεν ‖ 8. τῆς σωτηρίας ‖ 14. iteratur *θύρας ‖ 18. εἶκος ‖ 20. μητέρα ‖ 22. ὁρμήσει ‖ 26. ἀπεκρούσαντο B: ἀνεκρούσαντο ‖ 28. παρέσχον B: -οντο

Digitized by Google

A= 539. ἀμύναι] οὕτως ἡ γραφή, παροξυτόνως· ἔστι γὰρ εὐκτική· τινὲς μέντοι "ἀλάλκοι" γράφουσιν.

B= * ἀντίος] τῷ Ἀχιλλεῖ.

B= 541. δίψῃ καρχαλέοι] ξηραίνει γὰρ καὶ τραχύνει τὴν γλῶσσαν ἡ δίψα ἡ πολλή.

B= κεκονιμένοι] ἄκρως ὑπέγραψε τὴν φυγὴν καὶ τὸ σχῆμα τῶν διωκομένων.

A– 542. ὁ δὲ σφεδανῶν] οὕτω "σφεδανῶν," ἐπερρωμένος τῷ θυμῷ, καθάπερ τὸ φονῶν. περισπαστέον δὲ ὡς στεφανῶν.

B+ σφεδανῶν] κατεπείγων αὐτοὺς ἢ ἐπαιρόμενος τῷ θυμῷ ἢ φονευτικὸς παρὰ τὸ φονῶν.

* λύσσα] ⟨ἡ⟩ ἐκλύουσα τοὺς λογισμοὺς ἀνία.

B= 543. κῦδος ἀρέσθαι] τὸν Ἕκτορα, ἐφ' ᾧ φησιν "ἠράμεθα μέγα κῦδος, ἐπέφνομεν Ἕκτορα δῖον" (Il. 22. 393).

B= 544. Τροίην] τὴν Ἴλιον· οὐκ ἔστι γὰρ ⟨ἡ⟩ χώρα, πύλας ἔχουσα, ἀλλὰ πόλις.

A= ἄλλως: Τροίην] ὅτι ὁμωνύμως τῇ χώρᾳ τὴν Ἴλιον εἴρηκεν.

A– 550. Ἀχιλλῆα πτολίπορθον] τινὲς "Ἀχιλλέα Πηλείωνα," πρὸς τὸ ἐπίθετον ξενισθέντες. ἀλλ' ἤδη αὐτὸς εἶπε "δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξα" (Il. 9. 328). ἐπὶ δὲ Ὀδυσσέως πλεονάζει τῷ ἐπιθέτῳ διὰ τὴν Ἰλίου πόρθησιν.

553. * ὑπὸ κρατεροῦ Ἀχιλῆος] λείπει 'διωκόμενος.'

554. * τῇ περ] ὅπου.

B= 555. αἱρήσει με καὶ ὥς, ⟨καὶ⟩ ἀνάλκιδα δειροτομήσει] καὶ οὕτως συλλήψεταί με καὶ οὐδ' ἀμυνόμενον ἀναιρήσει.

B= 556. εἰ δ' ἂν ἐγὼ τούτους μέν] διὰ τὸν "εἰ" σύνδεσμον ὑποστικτέον μετὰ τὸ "ῥωπήια δύω," τοῦ ἑξῆς συνδέσμου περιττεύοντος τοῦ "δέ." δύναται δὲ στίζεσθαι ἐπὶ τὸ "δύω," τοῦ "εἰ" συνδέσμου κειμένου ἀντὶ τοῦ ἄρα διαπορητικοῦ. οὕτω δὲ ἔσται ὁ "ἂν" περιττός.

8. οἱ δέ σε δαφνῶν lemma ‖ ἐπαιρόμενος pr. in textu: ἐπερρωμένος pr. supra add. ‖ οὕτω ante ἐπ. del. W ‖ 10. στεφανῶν lemma ‖ ἐπαιρόμενος B: ἐπερρωμένος ‖ 15. ἔστι B: ἔνι ‖ supplevi ex B ‖ 18. πτολίπορθον (550) sec. in marg.: πελώριον (527) pr. ‖ schol. v. 527 adscriptum: traieci; v. 548–550 desunt in textu ‖ ad 26 * ἀνάλκιδα] δείξας δηλονότι scriptum: non intellego ‖ 28 τοῦ δύω B

Digitized by Google

558. πεδίον Ἰλήιον] τὸ πρὸς τῷ τάφῳ Ἴλου. ὁ δὲ Κράτης "Ἰδήιον" γράφει, ἵν' ᾖ τὸ τῇ Ἴδῃ ὑποκείμενον. A+B=

559. ῥωπήια δύω] λοχήσω ἐν τοῖς θαμνώδεσι τόποις. B=

561. ἱδρῷ ἀποψυχθείς] πνεύμασι τὸν ἱδρῶτα ξηράνας. B=

563. ἀπαειρόμενον] ἀντὶ τοῦ ἀπαίροντα· ἐκ μεταφορᾶς τῶν νηῶν τῶν ἐπαιρουσῶν εἰς τὸν πλοῦν τοὺς ἱστούς. B—

567. εἰ δέ κεν οἱ προπάροιθε] ἐνταῦθα ὁμολογουμένως ὁ ει διαπορητικός ἐστιν ἀντὶ τοῦ ἄρα κείμενος. A=

568. καὶ γάρ θην τούτῳ] ὁ διαλογισμὸς ἀνθρώπινος, ὅτι ἓν σῶμα καὶ μία ψυχὴ καὶ τρωτὸς ὁ χρώς· ἀλλὰ τὴν ἀρετὴν αὐτοῦ οὐδαμοῦ ἐνθυμεῖται. εἰ δὲ τοιαῦτα πάντες ἐνενόουν, μαχόμενοι ἔπειτ' οὐκ ἂν ἔδεισάν ποτε τοὺς πολεμίους ἐπιόντας. B=

569. θνητὸν δέ ἑ φάσ' ἄνθρωποι] "φασί." τοῦτο εἰρωνευόμενός φησιν. δοκῶ, καὶ αὐτὸς θνητός ἐστιν.

570. ἀθετεῖται ὡς λύων τὸν ἐπιλογισμόν· κρέμασθαι γάρ τις νομίσας τὸν λόγον προσέθηκε τὸν στίχον. A+

571. Ἀχιλῆα ἀλεὶς μένεν] συστρέψας τὸ πρώην εἰς φυγὴν ὁρμώμενον σῶμα ἔμενεν. B=

573. ἠύτε πόρδαλις] θυμικὸν καὶ πολεμικὸν ζῷον μέχρι θανάτου. τοσοῦτον τῶν ἀγρίων προύχει ὅσον ἐκεῖνα τῶν ἡμέρων. ἐν δὲ παρδάλεσι καὶ ἄρκτοις τὰ θήλεα ἰσχυρότερα (Aristot. H. A. p. 608 a 34). οὕτω δὲ ἐπιτέτευκται, ὅτι μηδὲ αὐτὸς Ὅμηρος ἄλλην μάχην παρδάλεως ἐτόλμησεν εἰπεῖν. B—

* πόρδαλις] διὰ τοῦ α "πάρδαλις." A+

575. ἐπεί κεν ὑλαγμὸν ἀκούσῃ] Ἀρίσταρχός τινάς φησι γράφειν "κυνυλαγμόν·" καὶ Στησίχορος δὲ ἔοικεν οὕτως ἀνεγνωκέναι· φησὶ γοῦν "ἀπειρεσίοιο κυνυλαγμοῖο" (fr. 85 B.)· οὐχ ὁρῶμεν δέ τι πλεῖον ἐκ τῆς συνθέσεως· ὁ γὰρ ὑλαγμὸς καὶ χωρὶς τοῦ προσκεῖσθαι τὸ ὄνομα ἰδίως ἐπὶ κυνῶν ἀκούεται, ὡς ὁ χρεμετισμὸς ἐπὶ τῶν ἵππων. ἄλλως τε τὰ εἰς γμος ῥηματικὰ μετὰ προθέσεως πέφυκε συντίθεσθαι, τῆς αὐτῆς τάσεως μενούσης, μετ' ἄλλου δὲ οὐδενός, οἷον παιγμός ἐμπαιγμός κηρυγμός ἐκκηρυγμός. καὶ τὸ ὑλαγμός AB—

11. ἐπεὶ ‖ 15. lemma ὡς εἰπών (571) omisi et scholion ad v. 570 traieci ut A ‖ 20. ἀγρίων W: ἄλλων ut B ‖ 27. ἀπειρέσιοι κυνυλαγμοί B, ἀπειρεσίου κυνυλαγμοῦ Eust. ‖ 28. πλέον B ‖ 31. τάσεως B: στάσεως

οὖν παρὰ τὸ ὑλάσσω γεγονὸς οὐ συντεθήσεται μετ' ἄλλου μέρους λόγου. σύνδεσμος οὖν ἐστιν ὁ "κέν" ἐν τῷ "ἐπεί κεν ὑλαγμὸν ἀκούσῃ."

ἄλλως: ἐπεί κεν] τινάς φησιν Ἀρίσταρχος γράφειν "κυνυλαγμόν" οἷον κυνῶν ὑλαγμόν· οὕτω καὶ Ζηνόδοτος.

* ἐπεί κεν ὑλαγμόν] ἐκ πλήρους ὁ "κέν" σύνδεσμος.

576. φθάμενός μιν] αἱ ἀπὸ τῶν πόλεων "φθάμενός τις."

A = ἢ οὐτάσῃ ἠὲ βάλῃσιν] πρὸς τὸ διάφορον τῶν σημαινομένων.

B = 577. περὶ δουρὶ πεπαρμένη] φησὶν Ἡρακλέων ἐν Ῥώμῃ τοῦτο τεθεᾶσθαι. ὁ δὲ βαλών, φησί, τὸ πάλιον ὃ περιέκειτο ἑτέρῳ περιέθηκεν ὡπλισμένῳ καὶ ἀκμῆτι, ὅπως ἐπ' ἐκεῖνον τραπῇ.

A + 578. * ξυμβλήμεναι] ξυμβαλέσθαι αἰκίσασθαι.

B = 582. * τιτύσκετο] κατεστοχάζετο.

A + B = 583. ἢ δήπου] περισπῶμεν τὸν "ἢ" σύνδεσμον, ἠθικὸν καὶ ἐρωτηματικὸν νῦν ὄντα.

A + 586. ἀνέρες εἰμέν] ἐν ταῖς πλείοσιν "ἄνδρες ἔνειμεν."

A + 587. * οἵ κε πρόσθε φίλων τοκέων ἀλόχων τε καὶ υἱῶν] . . . ἔν τισι τῶν εἰκαιοτέρων "⟨οἵ κε πρόσθε φίλων⟩ τοκέων ἀλόχων τε καὶ υἱῶν."

B ~ 588. ἐνθάδε πότμον ἐφέψεις] τῇ πεπρωμένῃ ἐνθάδε ἀκολουθήσεις.

A + §. τινὲς δὲ ἀναστρέφουσι τὴν "ἐπί" οὐκ εὖ.

B = 589. * ἔκπαγλος] προπετής, θρασύς.

B = 591. * κνήμην] τὴν κνημῖδα.

A = 594. * θεοῦ] ὅτι ἄτρωτα τὰ ὅπλα. πρὸς τὰ ἠθετημένα (Il. 19. 365–8).

595. * ὡρμήσατ' Ἀγήνορος] ὡς τὸ "ὡρμήθη δ' Ἀκάμαντος" (Il. 14. 488).

597. * ἠέρι πολλῇ] τῇ ἀέρι τῇ σκοτίᾳ.

B + 598. * ἡσύχιον] λάθρα· ἢ ἀθόρυβον.

599. * ἀποέργαθε] διὰ τοῦ ἑτέρου ε.

AB = 602. ἕως ὃ τόν] ὑποστικτέον εἰς τὸ "ποσὶν οἷσιν" (605)· ἡ γὰρ ἀνταπόδοσις "ἕως ὁ τὸν πεδίοιο διώκετο—τόφρ' ἄλλοι."

B = * πυροφόροιο] εὐθέτου πρὸς ἄροσιν.

B = 605. ὡς αἰεὶ ἔλποιτο κιχήσεσθαι] θνητὴν ἐμιμεῖτο ταχυτῆτα, καταλείπων ἐλπίδα τῷ διώκοντι.

7. οὐτάσει ‖ 9. θωράκιον B: 'πάλιον est pallium' W ‖ 11. συμβαλεῖν A, ξυμβαλοῦσθαι ‖ 13. καὶ B: κατ' ‖ 15. πλείοσιν A: πόλεσιν ‖ 16. lacunam indicavi ex A supplendam ‖ 17. supplevi ex A ‖ 27. ἀθορύβως B ‖ 29. ποσὶν οἷσιν etiam B ‖ 30. post ἀντ. omisi τόφρ' ἄλλοι Τρῶες ut B

Digitized by Google

606. πεφοβημένοι ἦλθον ὁμίλῳ] πεφοβημένοι ἦλθον ὑπὸ τοῦ ὁμίλου. B~

610. * ἀσπασίως] ἀσπάσιοι, ἄσμενοι ἐπὶ τῇ ἑαυτῶν σωτηρίᾳ οὐκ ἔχοντες καιρόν.

611. ὅν τινα τῶνδε πόδες] ὡς εἶχε ποδῶν ἕκαστος ἐσῴζετο, τῶν συμμάχων οὐ μεμνημένος, ἕκαστος δὲ τὸ καθ' ἑαυτὸν σκοπῶν. B=

σάωσαν] εὐκτικὸν τὸ "σαώσαι" ἀντὶ τοῦ σαώσειεν. A+

## ΕΙΣ ΤΗΝ X.

1. πεφυζότες] καὶ τὴν μετὰ δέους κατάπληξιν οὕτω καλεῖ. ἔστιν οὖν δεδειλιακότες· φησὶ γοῦν "Τρῶες ἄφαρ κλονέοντο πεφυζότες" (Il. 21. 528). καὶ ἔστιν ὅμοιον τῷ "τίφθ' οὕτως ἔστητε τεθηπότες ἠύτε νεβροί" (Il. 4. 243). ἔστιν οὖν φύζα φυζῶ, ὡς κίσσα κισσῶ· καὶ μέσος παρακείμενος πέφυζα, οὗ ἡ μετοχὴ πεφυζώς. B—

ἠύτε νεβροί] ἐπὶ τὸ "νεβροί" βραχὺ διασταλτέον. A+B=

νεβροί] οἱ νεωστὶ ἐπὶ βορὰν ἰόντες, ἢ 'νέποροι' οἱ μηδέπω πορεύεσθαι δυνάμενοι. AB=

2. ἱδρῶ ἀπεψύχοντο] ἀντὶ τοῦ τὸν ἱδρῶτα ἀνέμῳ ἀνέψυχον. χαριέστερον δὲ τὸ "ἀπεψύχοντο." AB+

ἄλλως : ἱδρῶ] ὡς παρὰ τὸ εἰκῶ εἰκώς αἰδῶ αἰδώς, οὕτως "ἱδρῶ·" ὅθεν καὶ ἀναλογώτεροι Αἰολεῖς, θηλυκῶς λέγοντες.

ἀκέοντο] κυρίως ἀκεῖσθαι, τὸ ἄχος ἰᾶσθαι καὶ τὸ ὃ δή ποτε θεραπεύειν· ὅθεν Φρύγες ἀκεστὴν τὸν ἰατρὸν καὶ Ἀθηναῖοι ἀκέστορα. B—

δίψαν] δίψα Ἰακῶς· δίψος Ἀττικῶς. B=

3. κεκλιμένοι—ἐπάλξεσιν] ἤτοι ἐπαναπαυόμενοι καὶ ἐπερειδόμενοι ταῖς ἐπάλξεσι διὰ τὸν κόπον τῆς μάχης, ὡς Αὐτόχθων καὶ Ἐπαφρόδιτος· χαρίεν γὰρ τὸ μὴ ἀναχωρεῖν ἀπὸ τοῦ τείχους εἰσδραμόντας εἰς τὴν πόλιν. ἢ ἐπάλξεσιν ἔφη ἀπὸ μέρους ἀντὶ τοῦ 'ὅλῳ τῷ τείχει.' B= §. "κεκλιμένοι" δὲ περιεχόμενοι, ὡς "⟨ἐν γὰρ Τρώων⟩ πεδίῳ—⟨πόντῳ⟩ κεκλιμένοι" (Il. 15. 739, 40). A+

3. ἐμπειρίᾳ ‖ 4. post κ. suppl. W ex. gr. ⟨τοῦ ἀλλήλων προνοεῖσθαι⟩ ‖ 6. μὴ pro οὐ B ‖ 8. addidi : Ἰλίαδος X Ὁμήρου textui inscriptum ‖ 10. αὐτὰρ ‖ 11. τίπτ' αὔτως B ‖ 13. κίσσα κισσῶ B : κνίσσα κνισσῶ ‖ 18. ἀνέψυχον Eust. : ἀνεψύχοντο B, ἵνα τὸ πνέοντο ‖ 21. ἀναλογώτερον coni. Bekker ‖ δὲ post θ. del. Bekker ‖ 23. ἀκέστορα D : ἀκέστριαν ut B ‖ 24. Ἰωνικῶς B



Digitized by Google

5. "Εκτορα δ' αὐτοῦ] αὐτόθι, ἔνθα Σκαιαί εἰσιν· ἤδη δέ τι τῶν ἑξῆς προαναφωνεῖ, ὅτι κατέσχεν αὐτὸν ἡ μοῖρα ἐπὶ κακῷ μεῖναι.

B= 6. πυλάων τε Σκαιάων] ἐν ἀριστερᾷ κεῖνται τοῦ τείχους αἱ πύλαι, καλοῦνται δὲ Δαρδάνιαι.

10. * ἀσπερχές] ἀδιαλείπτως, εἴγε καὶ θεὸν διώκεις.

B− 11. Τρώων πόνος] τὸ κατὰ τῶν Τρώων ἔργον· ἢ ἄρα οὐ κεκόπωσαι διώκων τοὺς Τρῶας;

A+B= * ἐφόβησας] εἰς φυγὴν ἔτρεψας.

12. εἰς ἄστυ ἄλεν] λείπει τὸ 'ἀφικόμενοι,' ἐπεὶ ἔδει εἶναι ἦλον· ἢ τὸ "ἄλεν" ἀντὶ τοῦ ἐξέκλιναν.

B= σὺ—δεῦρο λιάσθης] σοῦ ὧδε ἀποκλίναντος ἐκεῖνοι ἐσώθησαν.

13. σύνδεσμος ὁ "τοί"· φησὶ δὲ 'οὐ γὰρ φονεύσιμός εἰμι.'

B+ 15. ἑκάεργε] στοχάζεται ἢ ἀπὸ τοῦ "μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων" (Il. 16. 94) ἢ τοῦ "λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσ⟨σ⟩ιν" (Il. 21. 278) ἢ ἀπὸ τῆς τοξικῆς σκευῆς. ἅμα γὰρ λέγων ἀνέφηνεν ἑαυτὸν τῇ στολῇ οἷος ἦν.

B− ὀλοώτατε] ὀλέθρου παρασκευαστικέ· ἢ ὁ λοιμῶν αἴτιος· οἱ δὲ γράφουσι "δολοώτατε" διὰ τὸ "δόλῳ δ' ἄρ' ἔθελγεν Ἀπόλλων" (Il. 21. 604). ἐκθύμως δὲ παρρησιάζεται, ἀφῃρημένος ὑπ' αὐτοῦ ἑταῖρον καὶ νίκην. καὶ ἔστιν ὡς τὸ "δικαιότατος Κενταύρων" (Il. 11. 832).

* ὀλοώτατε] ἐμοὶ δηλονότι.

18. ἐμὲ—κῦδος ἀφείλεο] 'ἐμὲ ἀφείλεο' Ἀττικῶς, ὡς τὸ "ἐπεί μ' ἀφέλεσθέ γε δόντες" (Il. 1. 299). §. τὸ δὲ "ἀφείλεο" διὰ τοῦ ε̄ο γράφεται.

B= 20. ἦ σ' ἂν τισαίμην] ἐτισάμην σε ἄν. γενναῖος ὁ μὴ καταπλησ-
A= σόμενος τὸν φονέα. §. ἀπ' ἄλλης δὲ ἀρχῆς τὸν στίχον ἀναγνωστέον ψιλουμένου τοῦ η̄.

B− εἴ μοι δύναμίς γε παρείη] δύναμις ἴση τῇ σῇ· προφέρεσθαι δὲ ταῦτα δεῖ οὐ τεθαρρηκυίᾳ φωνῇ, ἀλλ' ὡς ἂν εἴποι ἀνὴρ γενναῖος μεγαλόφρων ἀπειλῶν θεῷ.

B− 22. ἀεθλοφόρος] νικητής. πρὸς τὸ τάχος καὶ τὸ σοβαρόν· καὶ μᾶλλον κέλητι αὐτὸν εἰκάζει· εἷς γὰρ ὄχημα οὐ φέρει. κέλητα

1. Σκαιαί sec.: Σκεαί pr. || 8. ἔστρεψας || 9. ἦλον scripsi, cf. Et. M. s. v.: τί ἄλεν || 12. lemma ἐπεὶ οὔτι (19) omisi et ad v. 13 scholion traieci || 18. γὰρ ἔθ. B || 19. ὑπ' αὐτοῦ W: ἑαυτοῦ || 22. ἐμὲ alt. W: ἐμεῖο || 25, 26. καταπτησσόμενος ut B

Digitized by Google

οὖν φησιν ἁμιλλώμενον ὀχήματι, ὥστε καὶ τὸ νικᾶν. Ἀλέξανδρον δὲ στατῷ ἵππῳ ⟨εἰκάζει⟩ (Il. 6. 506).

23. * πεδίοιο] διὰ τοῦ πεδίου. A + B =

24. * λαιψηρά] ἀντὶ τοῦ λαιψηρῶς. B +

25. τὸν δ' ὁ γέρων—ἴδεν] ἡ γὰρ περὶ τὸν υἱὸν εὔνοια παραιρεῖται B −
τὴν ἀμβλυωπίαν τοῦ γήρως. ἄλλως τε προτρέχει τῶν αἰσθήσεων ὁ νοῦς· καὶ "νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει" (Epich. fr. inc. 2 Lor.)· ὡς καὶ "Νέστωρ—πρῶτος κτύπον ἄιε" (Il. 10. 532)· ὀξυτέρους γὰρ περὶ τὰς αἰσθήσεις τοὺς προήκοντας ποιεῖ.

26. * πεδίοιο] πάλιν διὰ πεδίου. B =

27. ὅς ῥα τ' ὀπώρης εἶσιν] ἄνεισιν. ἔδει δὲ πρὸ ὀπώρας εἰπεῖν· A + B =
τότε γὰρ ἡ τοῦ κυνὸς ἐπιτολή.

28. ἀστράσι] οἱ μὲν ὡς δέρμασιν, οἱ δὲ ὡς κεμάσιν. §. οἱ μὲν κατὰ μεταπλασμὸν ὡς ἔγκασι πρόβασι, οἱ δὲ ἀπὸ τοῦ ἀστήρ, ὡς πατράσιν. A + B −

32. ὡς τοῦ χαλκός] ἔδει χρυσὸς ἔλαμπεν, ἀπὸ κρείσσονος καὶ B −
λαμπροτέρου, εἰ μὴ ὅτι καὶ χαλκὸς ἐκέκρατο· φησὶ γοῦν "χαλκὸν δ' ἐν πυρὶ βάλ⟨λ⟩εν" (Il. 18. 474).

ἄλλως: ὡς τοῦ χαλκὸς ἔλαμπε] συμφωνεῖ τοῦτο τῷ περὶ τὴν B =
ἐπιφάνειαν τῆς ἀσπίδος εἶναι τὴν χαλκῆν πτυχήν.

34. ὑψόσ' ἀνασχόμενος] πρῶτον τοῖς θεοῖς ἄρας τὰς χεῖρας B =
οὕτω κόπτει τὴν κεφαλήν.

μέγ⟨α δ'⟩ οἰμώξας ⟨ἐγεγώνει⟩] ἄδηλον τίνος τὸ "μέγα." §. ἄξιον
δὲ ζητήσεως πῶς μηδεὶς πολεμεῖ Ἕκτορι. §. . . . ἀλλὰ καὶ διὰ τοῦ B +
σχήματος, ἵν', εἰ τύχοι μὴ ἀκούσας τῶν λεγομένων, ἀλλ' οὖν τὸ B +
σχῆμα τοῦ πατρὸς ὁρῶν οἰκτείρῃ τὸν γέροντα· γραφικῶς οὖν κεῖται τὸ σχῆμα.

37. * ὀρεγνύς] ὡς ἐπ' αὐτὸν ἐκτείνων τὰς χεῖρας. B =

38. Ἕκτορ, μή μοι μίμνε] πιθανῶς διεῖλε τὸν οἶκτον εἰς μόρια, B +
τό τε πρὸ θανάτου καὶ ⟨τὸ⟩ μετὰ θάνατον, ἵνα μήτε μακρὸς εἴη μήτε ἀσυμπαθής. πῶς οὖν Ἀλεξάνδρου μὲν τὸ μονομάχιον οὐ καρτερεῖ θεωρεῖν (Il. 3. 306), Ἕκτορος δέ; ἢ ὅτι ὃ μὲν ἐν τῷ πεδίῳ συνέβαλεν, ὃ δὲ πρὸ τοῦ τείχους, ἔνθα παρῆσαν πάντες τῷ μεγέθει τοῦ κινδύνου καταπλησσόμενοι. ἄλλως τε ἐκεῖνον μὲν ἀπιὼν ἐᾷ πολεμεῖν,

5. παραιρεῖται B : παραιτεῖται ‖ 13. κέρασιν: corr. W ‖ μὲν alterum W: δὲ ‖ 22. τίνος Bekker : τινὲς ‖ 23. lacunam indicavi ex B supplendam ‖ 24. λεγομένων B : δρωμένων ‖ 28. μέρη B, πρόσωπα

Digitized by Google

εἰδὼς ὀλίγον λειπόμενον Μενελάου καὶ τῶν θανάτων πρόξενον γεγονοτα, τὸν δὲ μένων ἱκετεύει μὴ πολεμεῖν, τὸ διάφορον τῆς ἰσχύος ἑκατέρων εἰδώς· ἄλλως τε οὐ θεατής, ἱκέτης δ' ἐπιμένει.

B ~ *"τοῦτον·" δείκνυσι τὸν λάμποντα.

39. οἶος ἄνευθ' ἄλλων] ὡς Ἀγαμέμνων "μηδ' ἔθελ' ἐξ ἔριδος" (Il. 7. 111)· ἀγαθὸν δὲ τοῦτο, μὴ οὕτω φιλοτεκνεῖν ὡς καὶ ἀπατᾶσθαι περὶ τὴν κρίσιν τὰ βελτίω ὑπειληφότα περὶ τῶν παίδων.

A – B = 41. αἴθε θεοῖσι φίλος] ἀντὶ τοῦ εἰπεῖν 'εἴθε ἐχθρὸς τοῖς θεοῖς γένοιτο.' ὁμοίως εἶπε τῷ "τίω δέ μιν ἐν καρὸς αἴσῃ" (Il. 9. 378). σημειοῦνται δέ τινες, ὅτι ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον δεδήλωκεν.

A = B ~ 42. ἔδονται] Ἀρίσταρχος "ἔδοιεν." §. ἃ δὲ ἀπεύχεται τῷ παιδί,

B = ταῦτα καταρᾶται τῷ πολεμίῳ.

B = 44. υἱῶν πολλῶν] καὶ τοῦτο εἰς ἔλεον, ὡς ⟨ἄξιον⟩ καὶ διὰ τὴν τῶν ἄλλων παίδων ἀποβολὴν ἐλεῆσαι τὸν πατέρα. ἅμα δὲ καὶ ὑπομιμνήσκει τῆς Ἀχιλλέως δεινότητος.

B + εὖνιν] ὅ ἐστιν εὐναζόμενον, ἐξ οὗ τὸ ἡσυχάζοντα, ἐξ οὗ καὶ ἠρημωμένον, ἐξ οὗ ἐστερημένον· ἢ παρὰ τὴν ἑνὸς γενικὴν ⟨ἕνις⟩ εὖνις, μεμονωμένος.

45. τηλεδαπάων] τινὲς "θηλυτεράων" διὰ τὸ Λῆμνον καὶ Ἴμβρον ὑπὸ θηλειῶν βασιλεύεσθαι· ἀλλ' οὐκ εἰς ταύτας μόνον ἐπωλοῦντο. ἢ εὐγείων· ἀλλ' "οὔ τις—νήσων ἱππήλατος οὐδ' εὐλείμων" (Od. 4. 607).

A + 48. *τούς μοι] σὺν τῷ τ̄ "τούς μοι."

B = *κρείουσα] ἀντὶ τοῦ βασιλικωτάτη, ὡς τὸ "δῖα γυναικῶν."

B + 49. εἰ μὲν ζώουσι] ἐλεεινὴ καὶ ἡ ἄγνοια τοῦ πατρός. ᾔδει γὰρ ὁ Ἕκτωρ περὶ τῆς ἀναιρέσεως τῶν ἀδελφῶν καὶ ἴσως ἂν αὐτὸν καὶ ἐπὶ τούτῳ ἠλέησεν.

AB + ἦ τ' ἂν ἔπειτ'—ἀπολυσόμεθα] πλεονάζει ὁ "ἄν."

50. χαλκοῦ τε χρυσοῦ τε—ἔστι γὰρ ἔνδον] κοινὸν τὸ 'χαλκὸς καὶ χρυσός.'

*ἔστι] δεῖ προσλαβεῖν τὸ 'χαλκὸς καὶ χρυσός.'

51. πολλὰ γὰρ ὤπασε] διπλῆ δὲ πρὸς τὸ ἔθος· καὶ Ἀγαμέμνων "ἐπιμείλια δώσω" (Il. 9. 147).

1. τῶν θανάτων πρόξενον corrupta ‖ 11. ἔδοιεν etiam A: ἔδοιντο B ‖ 13. supplevi ex B ‖ κἂν B pro καὶ ‖ 16. ἡσυχάζον B ‖ 17. supplevi ex B ‖ 25. λίαν pro καὶ B ‖ 27. τούτῳ scripsi: το /// ‖ 28. ἔπειτα

Digitized by Google

ὀνομάκλυτος] Ἀρίσταρχος ὑφ' ἓν ὡς "πασιμέλουσα" (Od. 12. 70). ἐν δὲ Ὀδυσσείᾳ "ὄνομα κλυτὸς Αἴθων" (Od. 19. 183) κατὰ παράθεσιν. εἰ δέ φασιν 'οὐκ ἔστιν ἐξ οὐδετέρου καὶ ἀρσενικοῦ σύνθετον,' τί ἐστι τὸ Ἀστυάναξ καὶ ποιηματογράφος; A+B=

Ἀθηνόκριτός φησι τὸν Ὅμηρον πρώην Ἄλτην καλεῖσθαι διὰ τὸ ἐπαινεῖν αὐτὸν "ὀνομάκλυτος." κατὰ σύνθεσιν οὖν, ὡς τοξόκλυτος· ἔστι γοῦν παρὰ Πινδάρῳ (fr. 312) τὸ θηλυκὸν αὐτοῦ ἐν παρωνύμῳ χαρακτῆρι· "ὀνομακλύτα" γάρ ἐστιν. AB+

* παιδὶ γέρων] αἱ ἀπὸ τῶν πόλεων "παιδὶ φίλῃ" Ἀριστοφάνης "πολλά." A–

52. καὶ εἰν Ἀΐδαο δόμοισιν ἄλγος ἐμῷ θυμῷ] οὕτω δεῖ συνάπτειν, ἵνα ἐπιταθῇ, ὡς τὸ "αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου" (390). A+

53. τοὶ τεκόμεσθα] ὡς "Δάρδανον αὖ πρῶτον τέκετο" (Il. 20. 215). B=

54. λαοῖσιν ἄλλοισι μινυνθαδιώτερον] οὐδεὶς γὰρ αὐτοὺς ποθήσει σοῦ περιόντος. ἄκρως δὲ ὑπερηύξησεν· τὴν μὲν γὰρ τῶν ἄλλων παίδων ἀναίρεσιν μόνοις φησὶ τοῖς γονεῦσι πένθος παρασχεῖν, τὸν δὲ Ἕκτορος θάνατον δημοσίαν ἔσεσθαι συμφοράν, ἵνα, εἰ καὶ πρὸς τὴν ἰδίαν σωτηρίαν ὀλιγωροίη, ἀλλὰ οὖν τῶν κοινῇ συμφερόντων προνοησάμενος ⟨ἀποσταίη τοῦ κινδύνου⟩. B=

55. * Ἀχιλῆι] ἀντὶ τοῦ ὑπ' Ἀχιλλέως. A+

56. τεῖχος] τὴν πόλιν· Καλλίμαχος "ὁ δ' ἐκ Λοκρῶν τείχεος Ἰταλικοῦ" (fr. 493). φιλοπάτριδα δὲ ὄντα ὑπομιμνήσκει τῆς πόλεως. B+ §. τινὲς δὲ συμπαθέστερον γράφουσιν "ἐμὸν θάλος." B=

* ἐμὸν τέκος] γράφεται καὶ "ἐμὸν θάλος."

56, 7. ὄφρα σαώσῃς Τρῶας] φιλότιμον αὐτὸν εἰδὼς ὑπήλλαξε τὴν δόξαν, πρὸς εὔκλειαν καὶ κοινὴν σωτηρίαν αὐτῷ τὴν φυγὴν εἶναι λέγων. B=

57. Τρῶας καὶ Τρῳάδας] ἤτοι στικτέον μετὰ τὸ "Τρῳάδας," ἵνα ἀπὸ ἄλλης ἀρχῆς ἀπαγορευτικὸς ὁ λόγος γένηται, "μηδὲ μέγα κῦδος ὀρέξῃς·" εἰ δὲ συνάπτοιμεν, ἔσται καὶ τὰ ἑξῆς ὑποτακτικά. A+B–

1. πᾶσι μέλουσα || 2. ὀνομάκλυτος || 4. σύνθετον B: συνθέτου || 5. 'an Ἀθηνοκλῆς' W || 6–8. ὡς τὸ τοξόκλυτος παρὰ Π. καὶ περίκλυτος B || 9, 10. iteratur scholion in margine || 10. supplet Ludwich ⟨παιδὶ γὰρ ὤπασε⟩ πολλὰ ⟨γέρων⟩ || 12. μεμνήσομαι || 17. ὑπερηύξησεν B: τῇ αὐξήσει || 19. ἔσεσθαι B: ἔσσεσθαι || 20. ὀλιγωροίη B: -ρως || 21. supplevi ex B || 28. ἀδοξίαν B || λέγει B

Digitized by Google

B= 58. *φίλης αἰῶνος*] οἰκεῖα ταῦτα πατρὶ καὶ γέροντι καὶ πεῖσαι θέλοντι, ἐγκωμιάζειν τὸ ζῆν καὶ ἐπὶ φιλοψυχίαν παρακαλεῖν. ἀντιτέθεικε δὲ τῇ τοῦ ἐχθροῦ δόξῃ τὴν αὐτοῦ ἀτυχίαν (59) εἰς φ⟨θ⟩όνον κινῶν τὸν Ἕκτορα. ἀπὸ τοῦ ποιεῖν καὶ πάσχειν ἡ κατασκευή. §. αἰὼν δὲ παρὰ τὸ ἀεί, ἢ τὸν ὑπόλοιπον τῆς ζωῆς χρόνον.

A+ 59. *πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον*] ὁ στίχος ἐστὶν ὅλος θαυμαστὸς ἐκ τῶν η' μερῶν τοῦ λόγου συγκείμενος.

B– *ἔτι φρονέοντ' ἐλέησον*] φρονέων ἀντὶ τοῦ φρονήσας εὖ ἢ ἔτι ζῶν· τὸ ζωτικὸν γὰρ φρένας καλεῖ "ποτὶ δὲ φρένες αὐτῷ ἕποντο" (Il. 16. 504), ὡς ἐπὶ Πατρόκλου τεθνεῶτος "ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν" (Il. 23. 104), ὅ ἐστι τὸ συνεκτικὸν τοῦ ζῆν· ἢ ἕως ἔξεστί μοι φρονῆσαι. §. τινὲς δὲ "ἔτι ζώοντ' ἐλέησον."

A= * *ἐμέ*] ὀρθοτονητέον τὴν "ἐμέ" ἀντωνυμίαν.

AB= 60. *ἐπὶ γήραος οὐδῷ*] ἐξόδῳ τοῦ βίου, ἐφ' ᾧ ἤδη πεπέρανται ὁ βίος, καὶ διεξελήλυθεν ἐξ αὐτοῦ.

B= 61, 2. *ἐπιδόντα υἷάς τ' ὀλλυμένους*] ἐναργῶς πέφρακε τὰ τῶν πορθήσεων, ὡς καὶ ἐν ἄλλοις· "ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε" (Il. 9. 593). καὶ μὴ γράψας δὲ τὴν Ἰλίου πόρθησιν ὅμως ἐδήλωσεν αὐτῆς τὰ παθήματα, πᾶσαν ἡλικίαν τὴν ἐν πολέμῳ τι πάσχουσαν παραλαβών. ταῖς δὲ γυναιξὶν ἡ εἰς τὸ σῶμα ὕβρις μείζων ⟨πάντων⟩. δαιμονίως δὲ ταῦτα ὑπ' ὄψιν ἤγαγεν ἐν βραχεῖ, χρησάμενος ἅμα καὶ ἀπεριέργως ταῖς λέξεσιν· οὐ γὰρ ὑψορόφους ἢ δαιδαλέους θαλάμους λέγει οὐδὲ θύγατρας καλλικόμους ἢ καλλισφύρους, ἀλλ' ἀπήλλακται τῶν ἐπιθέτων αὐτῷ τὰ δυστυχοῦντα τῶν σωμάτων.

B= 63. *κεραϊζομένους*] παρὰ τὰ κέρατα· ὅθεν τὸν ἄθυμον καὶ ἀόργητον ἀκέραιον λέγουσιν.

*καὶ νήπια τέκνα*] ἐντεῦθεν ὁ περὶ Κασ⟨σ⟩άνδρας καὶ Ἀστυάνακτος ἐρρύη μῦθος παρὰ τοῖς τραγικοῖς.

B= 65. * *νυούς*] τὰς τῶν υἱῶν γυναῖκας.

B= 66. *αὐτὸν δ' ἄν*] περισσὸς ὁ "ἄν." §. 'πρώταις' δὲ θύραις ταῖς

B– αὐλείοις, ταῖς ὑπὸ τὴν εἴσοδον πρώταις. ἐντεῦθεν ὑπὸ τῷ βωμῷ τοῦ

2. *ἄρτι* ante *τὸ* omisi ut B ‖ 3. supplevi ex B ‖ 6. *ὁ στίχος* A: *ὡς* ‖ 8. *τὸ* ante *εὖ* omisi ut B ‖ 11. *μοι* scripsi: *σοι* ‖ 14. iteratur * *οὐδῷ*] *ἐξόδῳ* ‖ *ἐπεραιώθη* B ‖ 20. *μείζων* B: *μεῖζον* ‖ supplevi ex B ‖ 21. *δαιμονίως* post *ὕβρις* ut B: traiecit W ‖ *πάντα δὲ* B pro *δὲ ταῦτα* ‖ *ὑπ' ὄψιν* B: *ὑπόληψιν*

Digitized by Google

ἑρκ⟨ε⟩ίου Διός φασιν αὐτὸν ἀνῃρῆσθαι. φησὶ γοῦν "μηρί' ἔκηε— αὐλῆς [ἐ]ν χορτῷ" (Il. 11. 3, 774).

πύματόν με] καὶ τὸ "πύματον" οἰκτρόν, οἷον ἐπιδόντα τὰ τῆς B= πορθήσεως δεινά.

67. ὠμησταί] ὠμηστής ὀρχηστής παραγωγά, οὐ σύνθετα. "ὠμηστὴς A~B– καὶ ἄπιστος" (Il. 24. 207). §. τὸ δὲ "ἐρύουσιν" ἐνεστώς A+B= ἐστιν ἀντὶ μέλλοντος. οἰκτροτάτη δὲ ἡ καὶ μετὰ θάνατον αἰκία· καὶ ὅτι οὐδὲ ἐν τοῖς βασιλείοις ταφήσεται, ἀλλ' ἐκριφήσεται.

68. ῥεθέων] τῶν μελῶν. §. δείκνυσι δὲ ὅτι κατὰ παντὸς μέλους τὸ AB= ζωτικὸν καὶ ψυχικόν ἐστιν. ῥέθη δὲ τὰ ζῶντα μέλη, δι' ὧν ῥέζομέν AB= τι· Αἰολεῖς δὲ τὸ πρόσωπον καὶ ῥεθομαλίδας τοὺς εὐπροσώπους φασίν. Διονύσιος δὲ καὶ νῦν τὸ πρόσωπόν φησι δηλοῦσθαι· διὰ γὰρ μυκτήρων ἢ στόματος ἐκπνέομεν, καίτοι γε τοῦ ποιητοῦ λέγοντος (Il. 14. 518) "ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν ἔσσυτο."

69. πυλαωρούς] τινὲς "θυραωρούς·" πύλας γὰρ ἐπὶ πόλεώς A B+ φησιν· παλαιὸν δὲ ἔθος τηρεῖσθαι τοὺς πυλῶνας κυσίν, ἵνα βαΰζοντες δηλοῖεν ἐν τοῖς ἔνδον τοὺς ξένους. "θυραωρούς·" οὖν γραπτέον θυροφύλακας.

70. ἀλύσσοντες] ἄγαν λυσσῶντες· τοῦτο γὰρ τοῖς κατοικιδίοις A+B– συμβαίνει κυσίν, ἐπὴν γεύσωνται σώματος. οἱ δὲ 'ἐν ἄλῃ ὄντες,' ὡς τὸ "ἡ δ' ἀλύουσ' ἀπεβήσετο" (Il. 5. 352). οἱ δὲ παρὰ τὴν ἄλυν, ὅ ἐστι παίγνιον, "ἦ ἀλύεις, ὅτι Ἶρον" (Od. 18. 333), οἷον "κυνῶν μέλπηθρα" (Il. 13. 233).

71. * ἐν προθύροισι] ἀντὶ τοῦ παρὰ προθύροις.

νέῳ δέ τε πάντ' ἐπέοικεν] δοκεῖ τοῦτο προτρεπτικὸν εἶναι μᾶλλον B= ἐπὶ θάνατον ἢ ἀποτρεπτικόν· καίτοι φαίνεται βουλόμενος πείθειν τὸν Ἕκτορα εἰσιέναι εἰς τὸ τεῖχος καὶ μὴ ὑπομένειν τὸν Ἀχιλλέα. ῥητέον δὲ ὅτι τῷ ἅπαξ ἀναγκασθέντι ἀποθανεῖν νέῳ τοῦτο ἔοικεν, ὃ δὲ τὸν ἐκ προπετείας ὑφίστατο θάνατον. διὸ σαφηνίζει τὸν νοῦν "πάντα δὲ καλὰ θανόντι περ [ὅττι φανήῃ]," ὡς ἄρα καλὸν τὸ ἀποθανεῖν ὑπὲρ πατρίδος καὶ οἰκείων ἐπὶ λυσιτελείᾳ τῶν προσηκόντων, ἵν' ᾖ, πάντα δὲ τὰ τῆς αἰκίας [καλά] εἰσι τῷ θανόντι,

5. παραγωγά, B: -όν ‖ 8. ταφήσεται B ‖ 9. τῶν B: ὅτι ‖ 16. κυσὶν ἵνα secundum B: ὅθεν ‖ 17. δηλοῖεν B: δηλοῖ ἐν ‖ πυλαωρούς coni. et § post γρ. ponit W, cf. A ‖ 20. λύντες B ‖ 28. τοῦτο B: τούτῳ ‖ 30. διὸ ante πάντα omisi ut B ‖ καλὰ B: κάλλα ‖ 30, 32. evanida supplevi ex B

Digitized by Google

*ἐὰν ἐκ τοῦ ἀποθανεῖν καλόν τι φανῇ καὶ λυσιτελές. σὺ δέ, φησί, ῥιψοκινδύνως ταῦτα βούλει παθεῖν, οὐκ ὠφελῶν τοὺς οἰκείους.*

A= 73. * *ὅττι φανήῃ*] *οὕτως* Ἀρίσταρχος.

74. *πολιόν τε κάρη*] *κάρη καὶ γένειον τῶν οἰκτρῶν ἐστι μερῶν καὶ ἃ κομῶσιν οἱ πενθοῦντες.*

AB– 75. *αἰδῶ τ' αἰσχύνουσι*] *αἰδοῖα, ἢ τὴν ἀπὸ τῆς ὄψεως τοῦ σώματος ἐντροπήν.*

B= 77. *ἦ ῥ' ὁ γέρων*] *ἀφ' ὧν ἤρξατο, ἐνταῦθα καὶ ἔληξεν· "ᾤμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὅ γε κόψατο χερσίν"* (33). *"ἦ ῥ' ὁ γέρων, πολιὰς δ' ⟨ἄρ'⟩ ἀνὰ τρίχας ἕλκετο χερσί"* (77).

B= 79. *μήτηρ δ' αὖθ' ἑτέρωθεν*] *παθητικὰ ταῦτα καὶ κόρον φέροντα τῷ μήκει· ταμιεύεται δὲ τὴν* Ἀνδρομάχην *ἐπὶ νεκρῷ καὶ συρομένῳ τῷ* Ἕκτορι (Il. 22. 476), *ἵνα μὴ πάλιν οἱ αὐτοὶ θρηνῶσιν.*

A+B= 80. *κόλπον ἀνιεμένη*] *γυμνοῦσα τὸ περὶ τοὺς μαζοὺς κόλπωμα· καὶ "αἶγας ἀνιεμένους"* (Od. 2. 300) *γυμνοῦντας, ἐξ οὗ τὸ ἐκδέροντας. κινητικὸν δὲ καὶ γραφικὸν τὸ σχῆμα. ἔδειξε δὲ ὅσον φιλοτεκνότεραι γυναῖκες· ὃ μὲν γὰρ περὶ ἑαυτοῦ δέδιεν, ἣ δὲ περὶ τοῦ παιδὸς καὶ ἄνω καὶ κάτω βοᾷ "φίλον θάλος, ὃν τέκον αὐτή"* (87), *τῶν ἐπὶ τῇ πατρίδι δεινῶν ἐπιλελησμένη. παρατηρητέον δὲ καὶ τὸ σχῆμα τοῦ λόγου, ἀπὸ μετοχῆς εἰς ῥῆμα μεταβαῖνον.*

B– *ἄλλως: κόλπον ἀνιεμένη, ἑτέρηφι δὲ μαζὸν ἀνέσχεν*] *τὰ γεννήσαντα καὶ θρέψαντα μέρη, ὡς "ἀπὸ κόλπου μητρὸς* Ἐλειθυίης *ἤλθετε βουλομένης"* (Schneider Callim. II p. 775). *ἐλέγετο δὲ κόλπος τὸ ἐπάνω τῆς ζώνης κόλπωμα τοῦ πέπλου· ὅθεν καὶ προκόλπιον· περὶ γὰρ τὰς ὀσφῦς ἐζώννυ⟨ν⟩το.*

B– 82. *τέκνον ἐμόν*] *οὐκ ἀρκεῖται, ὡς ἀλλαχοῦ, τῷ "τέκνον, τίπτε λιπὼν πόλεμον"* (Il. 6. 254), *ἀλλὰ καὶ "ἐμόν" διὰ τὸ ταραχῶδες καὶ ἐναγώνιον τῆς ψυχῆς ⟨προσέθηκεν⟩.*

B= *τάδε τ' αἴδεο*] *ἀντιδοῦναι τούτοις χάριν ὑπὲρ ὧν σοι ἐποίησαν.*

B+ 82, 3. *καί μ' ἐλέησον αὐτήν*] *εἰ μὴ σαυτὸν ἐλεεῖς. τινὲς δὲ παρ'* Ἴωσιν *"αὐτήν" τὴν μητέρα λέγεσθαι, "τέκν' ἔφαγεν στρουθοῖο καὶ αὐτήν"* (Il. 2. 317).

4. *ἐστι* scripsi, 'fort. *ἧπται*' W : *ἧκται* ‖ 6. *αἰσχύνουσι* textus : *-ησιν* ‖ *καὶ* ante *τοῦ* omisi ut B ‖ 7. *ἐντροπὴν* scripsi : *αἰσχύνην* B, *ἐκτροπὴν* ‖ 13. *θρηνῶσιν* scripsi : *θρῆνοι ὦσιν* B, *θρηνοῖεν* ‖ 18. *καὶ* post *θ.* ut B : omisi ‖ 22. Εἰλειθυίης ‖ 23. *ἤλθετε* Bekker : *-ετο* ‖ 28. supplevi, cf. B ‖ 29. *σε* rec. ‖ 30, 31. *παρίωσι ταύτην* : corr. Bekker ‖ iteratur* ad v. 80 "*αὐτήν*" *τὴν μητέρα παρ'* Ἴωσιν

Digitized by Google

ἄλλως: καί μ' ἐλέησον αὐτήν] ἤτοι συναπτέον μέχρι τοῦ "ἐπέσχον" καὶ ἀπ' ἄλλης ἀρχῆς "τῶν μνῆσαι, φίλε τέκνον," ἢ στικτέον εἰς τὸ "αὐτήν," εἶτ' ἀπ' ἄλλης ἀρχῆς "εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον." ἔστι δὲ ὑποστιγμὴ μετὰ τὸ "ἐπέσχον." A—B—

83. λαθικηδέα] καὶ "ἔνθα οἱ ἠπιόδωρος ἐναντίη ἤλυθε μήτηρ" (Il. 6. 251).

84. φίλε τέκνον] ἄκρως οὐκ ἀφίσταται τῶν κοινῶν ὀνομάτων ἐν τῷ "τέκνον ἐμὸν—τῶν μνῆσαι, φίλε τέκνον, φίλον θάλος, ὃν τέκον αὐτή." B=

* φίλε τέκνον] πρὸς τὸ σημαινόμενον. A+B=

* ἄμυνε] ἀμύνου. AB=

85. τείχεος ἐντός] ἱκανὰ δὴ πρὸς πειθώ· οὐ γὰρ ἀποστῆναι τῆς μάχης αὐτῷ συμβουλεύει ἀλλὰ μετ' ἀσφαλείας μάχεσθαι. B=

ἐντὸς ἰών] "ἐών" γραπτέον, οὐκ "ἰών." §. "πρόμος" δὲ πρὸ τῶν ἄλλων μαχόμενος, οὐχ ὁ βασιλεύς. A+B= A+B=

86. σχέτλιος] ἐπ' αὐτοῦ τοῦ Ἕκτορος. ἐπιφωνήσεις δὲ συνεχεῖς ἀπαιτεῖ τὸ πάθος. B+

87. κλαύσομαι] φίλοικτον χρῆμα γυνή. καὶ τοῦτο μέγα τοῖς τεθνεῶσιν ᾤοντο. B=

88. οὐδ' ἄλοχος] ὡς φιλογύνην ὑπέμνησε τῆς γυναικός. "πολύδωρος" δὲ ἡ εὔμορφος· περὶ γὰρ τούτων πολλὰ δίδοται ἕδνα· "ἐκ δόμου Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα" (472). B—

* τὸ "μέγα" ἐπὶ τόπου νῦν. B=

89. κύνες—κατέδονται] οἶδεν αὐτὸν τοῦτο δεδοικότα μάλιστα· "σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν" (Il. 7. 79). B+

90. ⟨προσ⟩αυδήτην] ἢ παρατατικοῦ ἐστι Δωρικοῦ ἢ ἀορίστου συγκεκομμένου· ἄμεινον δὲ διὰ τοῦ παρατατικοῦ τὴν ἀδιάλειπτον δηλοῦσθαι δέησιν.

* προσαυδήτην] Δωρικῶς.

91. πολλὰ λισσομένω] σημαίνει, ὅτι πολλὰ παραλέλοιπεν, ἃ δεῖ προσεπινοεῖν. B=

οὐδ' Ἕκτορι θυμὸν ἔπειθον] ἔστι γὰρ θρασὺς καὶ ἕτοιμος, ἀλόγιστος δὲ καὶ ἀμετάβλητος. B=

* οὐδ' Ἕκτορι θυμὸν ἔπειθον] Ἕκτορι δὲ θυμὸν οὐκ ἔπειθον. A+

93. ἐπὶ χειῇ] ἐπὶ μὲν τῶν ἄλλων ζῴων ξυλόχους τε καὶ εὐνάς A+B=

7. φίλον τέκος lemma ‖ 12. ἀπομάχεσθαι B ‖ 15. Ἕκτορος W, Ἀχιλλέως conieceram: βασιλέως ‖ ἐπιφωνήσεις B: ἐκφωνήσεις ‖ 17. φίλοικτον B ‖ 18. ᾤοντο B: οἴονται ‖ 20. ἐδίδοτο B ‖ 32. ἀμετάβλητος B: εὐμ-

Digitized by Google

φησι—δύνα⟨ν⟩ται γὰρ καὶ ἕτερα ζῷα χωρῆσαι—νῦν δὲ χειὰν τὴν αὐτὸν μόνον χωροῦσαν καὶ τρόπον τινὰ ἔλυτρον αὐτοῦ οὖσαν. "οὐδὸς —ἀμφοτέρους ὅδε χείσεται" (Od. 18. 17). ἢ ὅτι δίκην ὕδατος ἐκχεῖται εἰς αὐτὴν τὸ θηρίον. ἀγριώτερα δὲ τὰ ἐν ἐρήμῳ γεννώμενα.

A= * ὀρέστερος] ἔν τισι τῶν ἀπὸ τῶν πόλεων "ὀρέστερον ἄνδρα δοκεύῃ."

B+ 94. βεβρωκὼς κακὰ φάρμακα] φασὶν αὐτὸν ἐσθίοντα μύρμηκας καὶ κανθαρίδας μετὰ τὴν φώλευσιν ἰοῦ πληροῦσθαι καὶ ἐρεθίζεσθαι λυσσᾶν τε ⟨ἐπιθυμοῦντά⟩ που ἀπομάξασθαι τὸν ἐνοχλοῦντα ἰόν (Aristot. fr. 372 R.).

B+ 95. σμερδαλέον δὲ δέδορκε] εἰκαστικῶς· βλέπων γὰρ χαλεπὸν ἑλίσσει τὴν σπεῖραν περὶ τὴν χειάν· γίνεται οὖν ὅ τε ἑλιγμὸς τῶν σφονδύλων χαλεπὸς ἐπὶ μάχῃ τεθηγμένου δεινόν τε τὸ βλέμμα. ἡ δὲ τροφὴ ὕλη τῆς ὀργῆς, ἡ δὲ στάσις τεκμήριον τῆς ῥώμης, ὁ δὲ τόπος ἔρημος καὶ ἀνήμερος.

B= 97. πύργῳ ἔπι προὔχοντι] παρὰ τὸ προέχον τοῦ πύργου, ὡς "νείατον ἀνθερεῶνα" (Il. 5. 293) καὶ "νείαιραν—γαστέρα" (Il. 16. 465).

B– ἄλλως: πύργῳ ἐπὶ προὔχοντι] ὑπονοητέον τὴν οἰκοδομίαν κάτωθεν οὖσαν πλατεῖαν καταλήγειν εἰς στενόν. ἢ 'πύργον προὔχοντα' τὸ τοῦ πύργου προέχον, ὡς "νείαιραν—γαστέρα·" ἔστι δὲ πλινθίῳ παραπλήσιον τοῦτο.

B– πύργῳ ἐπὶ προὔχοντι] ἡ "ἐπί" ἀντὶ τῆς παρά, ὡς "ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶν ἀολλέες" (Il. 15. 494). ὡς ἀνδριαντοπλάστης δὲ νῦν μὲν τοῦτον, ὕστερον δὲ ἐπὶ τῆς μελίας ἱδρύει τὸν Ἀχιλλέα (225).

B– 99. εἰ μέν κε πύλας καὶ τείχεα δύω] διαπόρησις ὁ τρόπος. δείκνυσι δὲ ὅσον κακὸν ἡ φιλοτιμία· διὰ γὰρ τὸ μὴ ἀκοῦσαι ⟨κακὸς⟩ ὑπὸ κακωτέρου "Ἕκτωρ ἧ⟨φι⟩ βίηφι" (107) ἀπόλλυται. καὶ ἔστι μὲν ὁ λογισμὸς γενναίου φρονήματος, ἄλλως δὲ ἄφρονος· κακὸν γὰρ κακῷ ἠθέλησεν ἰάσασθαι.

B= 100. ἐλεγχείην ἀναθήσει] ἀντὶ τοῦ ἀνάψει. καὶ γὰρ "ἀγάλματ' ἀνῆψεν" (Od. 3. 274) ἀντὶ τοῦ ἀνέθηκεν. Ἀττικοὶ δέ φασιν ἀναθεῖναι τὸ φορτίον ἀντὶ τοῦ ἐπιθεῖναι. οἱ δὲ αὐξήσει.

B– 101. ὅς μ' ἐκέλευε] καὶ τὸ ἑξῆς, ὅς μ' ἐκέλευε νύχθ' ὕπο τήνδ' ὀλοὴν Τρωσὶ ⟨ποτὶ⟩ πτόλιν ἡγήσασθαι· οὐ γὰρ νυκτὸς ὥρμησεν

5. δοκεύῃ A: -ει ‖ 8. supplevi ex B ‖ που B: τοῦ ‖ 12. τε scripsi: δὲ ‖ 17. οἰκοδομὴν B ‖ 18. πλατεῖαν B: πελαγίαν ‖ 25. supplevi ex B ‖ 29. περιάψει ‖ 33. ἡγήσεσθαι B

Digitized by Google

Ἀχιλλεύς· στικτέον οὖν εἰς τὸ "ὀλοήν·" ἐὰν γὰρ συνάψωμεν, ἐναντίον φαίνεται· οὐ γὰρ νυκτὸς ὥρμησεν Ἀχιλλεύς, νυκτὸς μέντοι ὁ Πολυδάμας συνεβούλευσεν (Π. 18. 254).

103. * κέρδιον] καὶ "κάλλιον," διχῶς.

105. καὶ Τρῳάδας] τὰ γὰρ τῶν γυναικῶν ὀνείδη χαλεπώτερα. B=

106. κακώτερος] ἀντὶ τοῦ ἥσσων· οὐ γὰρ κακὸς Ἕκτωρ. ἔθος δὲ B= τοῖς χείροσι ψέγειν τὰ τῶν κρεισσόνων ἔργα καὶ τοῖς μείζοσιν ἀνιαρὸν τὸ ὑπὸ ἡσσόνων κακολογεῖσθαι.

108. * τότ' ἄν] περισσὸς ὁ "ἄν."

* κέρδιον] καὶ "κάλλιον," διχῶς. A+

109. ἄντην] λείπει ἐλθόντα.

ἢ Ἀχιλῆα κατακτείναντα] οἰωνίζεται νῦν ἐν κινδύνῳ ὢν περὶ B= αὐτοῦ πρότερον λέγειν τι τῶν δυσχερῶν.

110. ⟨ἠέ κεν⟩ αὐτῷ ὀλέσθαι] ὑπ' αὐτοῦ ὀλέσθαι, ὡς "Ἀχιλῆι A~ δαμασθείς" (55). §. ὁ δὲ "κέν" περισσός. A+

* πρὸ πόληος] ὑπὲρ τῆς πόλεως· φασὶ πρὸ τῆς πόλεως ἀγωνίζεται. B=

111. εἰ δέ κεν ἀσπίδα—καταθείομαι] ἤρτηται μέχρι τοῦ (122) A+B– "ἀλλὰ τίη μοι ταῦτα," καὶ οὐδὲν αὐτοῖς ἀνταπεδόθη. ἤτοι οὖν διαπορητικός ἐστιν ὁ λόγος 'ἆρα τὴν ἀσπίδα κατάθωμαι καὶ τὴν περικεφαλαίαν καὶ τὰ καὶ τὰ ποιήσω' ἢ κομματικῶς εἴρηται 'ἐὰν κατάθωμαι καὶ πορευθῶ.' δύναται δὲ καὶ ἠθικῶς ὁ Ἕκτωρ ἅπαξ ἐν μετανοίᾳ γενόμενος πρὶν ἀνταποδοῦναι διακόψαι τὸν λόγον· στίζομεν οὖν αὐτὸν ὡς πλήρη.

ἀσπίδα—καταθείομαι] ὅπως μὴ δοκῇ ὡς πολέμιος προσιέναι. ἢ B= ἵνα μὴ διὰ τῆς θέας τῶν ὅπλων ἔτι αὐτὸν πυρώσῃ. ὅσον δέ ἐστιν ἐν ταῖς νίκαις ἀφόρητος, τοσοῦτον ἐν ταῖς ἀτυχίαις ταπεινός. ἄλλως τε τὸ μὲν ἅπαντα ἐνθυμεῖσθαι συνετοῦ, τὸ δὲ ἐκλέγεσθαι τὰ ἄριστα γενναίου.

113. ἀντίος] τινὲς ἱκέτης· ὅθεν ἀνταῖος ἱκέσιος Ζεὺς παρὰ Ἱπποβότᾳ.

116. * "ἥ τε" ἡ ἁρπαγὴ τῆς Ἑλένης.

117. ἅμα δ' ἀμφὶς Ἀχαιοῖς] ἅμα τῇ προτέρᾳ ὑποσχέσει δηλονότι. B=

⟨ἅμα⟩ ἀμφὶς Ἀχαιοῖς] χωρὶς ὧν Ἀλέξανδρος ἥρπασεν. οἱ δὲ τὸ B–

11. ἐλθόντα W : ἐδέοντο ‖ 12. Ἀχιλλῆα ‖ 13. αὐτοῦ scripsi : αὐτῶν ‖ 14. Ἀχιλλῆι ‖ 16. ὑπὲρ A B : πρὸ ‖ 20. ἢ A : καὶ ‖ 24. πολεμίῳ B ‖ 25. ἐπ' αὐτὸν ὁρμήσῃ B ‖ 30 ? ‖ 33. Ἀχαιῶν

Digitized by Google

"ἀμφίς" ἀντὶ τοῦ δίχα, ὅ ἐστιν εἰς δύο. τὸ δὲ ἔθος καὶ ἐν τῇ Ὁπλοποιίᾳ (Π. 18. 502)· ταύτην οὖν ἴσως καλεῖ Ἀγαμέμνων ποινήν (Il. 3. 290).

B= 119. Τρωσὶν δ' αὖ μετόπισθε] μετὰ τὴν πρὸς Ἀχιλλέα ὑπόσχεσιν.

B= §. "γερούσιον" δὲ σεμνόν, ἢ τὸν τοῖς γέρουσιν ὀφείλοντα προτείνεσθαι.

B= * Τρωσὶν δὲ] παρὰ Τρώων δέ.

120. δάσασθαι] μέλλοντός ἐστιν· διὸ διὰ τοῦ ε.

A= 121. * χωρὶς τοῦ δ̄ "ἀλλὰ τίη."

ἀλλὰ τίη μοι ταῦτα] ἀρίστη ἀνάγνωσις ἥδε.

B= 122. ἵκωμαι ἰών] διὰ τοῦ "ἰών" ἐδήλωσεν, ὅτι τὸ "ἵκωμαι" ἀντὶ τοῦ ἱκετεύσω, ὡς "τὴν ἱκόμην φεύγων" (Il. 14. 260). ἀνάπαλιν δὲ ἐκεῖ "ἐς Πηλῆ' ἱκέτευσε" (Π. 16. 574) ἀντὶ τοῦ παρεγένετο.

A~ * ἵκωμαι] ὡς λέγωμαι.

B– 124. αἰδέσεται] μετὰ αἰδοῦς δέξεται, ὡς "αἰδεῖσθαί θ' ἱερῆα" (Π. 1. 23) καὶ "αἰδοίοισιν ἔδωκα" (Od. 15. 373) ἀντὶ τοῦ ἱκέταις· ἐπιμελῶς δὲ τοῦτο τίθησιν ἐπὶ τῶν ἱκετῶν.

B= 125. ὥς τε γυναῖκα] τοῦτο γὰρ αἰσχρὸν ἡγεῖται, εἰ δίχα τῶν ὅπλων ἀποθανεῖται.

A+B– 126. ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης τῷ ὀαριζέμεναι] ληρῶδες ἀρχαιολογίας διηγεῖσθαι, ἀπὸ τοῦ τὸ παλαιὸν ὀρεινόμων ὄντων τῶν ἀνθρώπων ἐκεῖσε τίκτεσθαι, ἢ ἐπεὶ 'μελιηγενεῖς' λέγονται οἱ πρώην ἄνδρες καὶ '⟨λαοὶ⟩' ἀπὸ τῶν λίθων Δευκαλίωνος, ἢ χρησμοὺς διηγεῖσθαι—Δωδώνῃ γὰρ δρῦς, πέτρα δὲ Πυθών—ἢ περιττολογεῖν, ἀπὸ τῶν περὶ τὰς δρῦς φύλλων καὶ περὶ τὰς πέτρας κυμάτων. ἢ οὐκ ἔστιν αὐτῷ τὴν ἀρχὴν τοῦ γένους διηγεῖσθαι τῶν ἀνθρώπων.

127. ὀαριζέμεναι] ὁμιλεῖν προσπαίζειν· ὄαροι δὲ αἱ ὁμιλίαι, ἐπειδὴ ὁμοῦ τοὺς συνιόντας ὁρμόττουσιν, ἢ ὅτι τὸ ὄας συντίθενται δῆθεν ὡς μὴ συνιέντες εὐθέως, ἀλλ' ὁμιλοῦσι μακρὰ καὶ ἀπηρτημένα, ἐναπολαύοντες ἐπὶ πολὺ τῆς πρὸς ἀλλήλους θέας.

B= παρθένος ἠΐθεός τε] καλῶς τὸ φλύαρον τῶν λόγων ἀκάκων ὁμιλίαις παραβάλλει μύθοις παλαιοῖς τερπομένων. διὰ δὲ τὴν πολυλογίαν τῇ ἀναλήψει ἐχρήσατο.

B= 129. ἔριδι ξυνελαυνέμεν] εἰς ἔριν ἢ μετ' ἔριδος. §. τὸ δὲ "ὅτ⟨τ⟩ι
A+ τάχιστα" ἑκατέροις δύναται προσδίδοσθαι.

B= 130. ⟨ε⟩ἴδομεν] λείπει τὸ 'ἵνα.' ὅμως, καίτοι προλογισάμενος, οὐ μένει τὴν θέαν Ἀχιλλέως ἀλλὰ νικᾶται τῷ πάθει.

6. ε Hoffmann Φ und X I p. 242 : σ̄ ‖ 24. διηγεῖσθαι Bekker : -οῖτο ‖ 26. ἐντίθενται : corr. W

Digitized by Google

131. σχεδὸν ἦλθεν] ὑφ' ἓν πάντα πράττεται. οἳ μὲν δέονται, ὃ δὲ ἔπεισιν, ὃ δὲ διαλογίζεται. ἅμα δὲ πάντα λέγειν ἀδύνατον. B=

132. ἶσος] τινὲς διὰ τῆς ει διφθόγγου ἀντὶ τοῦ ὅμοιος, ἐπεὶ καὶ τὸ "εἰσάμενος" ἀντὶ τοῦ ὁμοιωθείς.

κορυθάικι] τῷ κινοῦντι ἐν τοῖς πολέμοις τὴν περικεφαλαίαν· ὡς "τριχάικες" (Od. 19. 177) καὶ "κορυθαίολος." "ἀμφὶ δὲ πήληξ σμερδαλέον κροτάφοισι τινάσσετο" (Il. 15. 608, 9). B−

133. σείων Πηλιάδα ⟨μελίην⟩] δόρυ.

ἄλλως: σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον] οὗτος ὁ στίχος μετατιθέμενος Ἰωνικὸς γίνεται ἀπὸ μείζονος 'σείων μελίην Πηλιάδα δεξιὸν κατ' ὦμον' (Sotades ap. Hephaest. 2, 5 G.). ἀλλ' ἡ σύνθεσις καὶ τὸν ἄρρενα τόν⟨ον⟩ τεθήλυκεν.

134. * χαλκός] ὁ τῆς παντευχίας χαλκός.

135. ἠελίου ἀνιόντος] πρὶν διασκεδάσαι τὰς αὐγάς, ὅτε καὶ ὁραθῆναι δύναται. B=

ἄλλως: ἢ ἠελίου] ὑγρότερος ὁ στίχος ἐγένετο τῇ παραλληλίᾳ τῶν φωνηέντων.

136. Ἕκτορα] ὑπερβατῶς, Ἕκτορα δὲ ἕλε τρόμος. B=

137. ὀπίσω] φεύγει γὰρ ἐπὶ τὸν ἐρινεὸν καὶ τὸ τοῦ Ἴλου σῆμα εἰς τὰ δεξιὰ τῆς πόλεως· ὁ γὰρ Ἀχιλλεὺς ἀπὸ τοῦ Σκαμάνδρου καὶ τῶν ἀριστερῶν μερῶν ἀναστρέφει. ἢ "ὀπίσω" ἀντὶ τοῦ κατὰ νώτου, καὶ "πύλας" ἐφ' ὧν ὁ Πρίαμος εἱστήκει. B=

* βῆ δέ] βῆ γάρ. "φοβηθείς" δὲ φεύγων· ἢ ἔβη ὥστε φεύγειν. B−

139. ἠύτε κίρκος] ὄρειος γάρ ἐστι καὶ ὀξύπτερος καλεῖται διὰ τὸ τάχος τῆς πτήσεως. B=

140. * οἴμησε] ὥρμησεν, ὡς τὸ "οἶμα λέοντος ἔχων" (Il. 16. 752).

141. φοβεῖται] ἀντὶ τοῦ φεύγει, καὶ τὸ "ὕπαιθα" ἀντὶ τοῦ ἔμπροσθεν. AB+

142. τάρφε' ἐπαΐσσει] ἐγγὺς γὰρ γεγονὼς πυκνὰς τὰς ἐπιπτήσεις ποιεῖ καὶ βοᾷ τῇ τοῦ λαβεῖν ἐλπίδι. ἰδίωμα δὲ φωνῆς τὸ λεληκέναι, ὡς τὸ κλάζειν. B=

143. * ἰθύς] πάλιν 'κατ' εὐθεῖαν.'

* τρέσε] μετὰ δέους ἔφυγεν.

8. post δόρυ add. Ἰωνικῶς ἀπὸ μειζόνων γενέσθαι corrig. ex l. 10 ‖ Ἰωνικὸς ἀπὸ μείζονος γίνεται ‖ 10. Ἰωνικῶς: corr. Bekker ‖ 12. suppl. apogr. V ‖ 14. διασκεδάσει ut B ‖ 17. add. sec. διὰ τοῦτο ὑγρὰ λέγονται τὰ φωνήεντα

Digitized by Google

144. * λαιψηρά] ἀντὶ τοῦ λίαν ταχέως.

145. παρὰ σκοπιήν] "σκοπιήν" τὸ Αἰσυήτου μνῆμα· φησὶ γοῦν "τύμβῳ ἐπ' ἀκροτάτῳ Αἰσυήταο" (Il. 2. 793).

B= ἐρινεόν] τὸν παρὰ τῷ Ἴλου μνήματι ἐρινεόν.

B− 146. τείχεος—ὑπὲκ κατ' ἀμαξιτόν] ἐμφαντικώτατα κεῖνται αἱ προθέσεις, τοῦ μὲν ὑποδῦναι τὸ τεῖχος σπουδάζοντος, τοῦ δὲ ἐξωθοῦντος αὐτόν· ὁ δὲ λόγος 'κατὰ τὴν ὑπὸ τὸ τεῖχος ἀμαξιτὸν ἔτρεχον.'

B= τείχεος αἰέν] τὸ ἑξῆς, κατ' ἀμαξιτὸν αἰὲν ἐσσεύοντο ὑπὲκ τείχεος. δηλοῦσι δὲ αἱ προθέσεις τὸν μὲν ὑποδῦναι τὸ τεῖχος σπουδάζοντα, τὸν δὲ ἐξωθοῦντα αὐτόν.

B= ὑπὲκ κατ' ἀμαξιτόν] Ἀττικῶς πεπλεόνακε ταῖς προθέσεσι τὸ δυσέλικτον τοῦ δρόμου παριστάς.

B+ * κατ' ἀμαξιτόν] τὴν λεωφόρον· "ᾗ περ ἅμαξαι ἄστυδ' ἀφ'
A+B− ὑψηλῶν ὀρέων" (Od. 10. 103). §. βραχὺ δὲ διασταλτέον μετὰ τὸ "ὑπέκ·" τὸ γὰρ ἑξῆς 'ὑπὲκ τείχεος κατ' ἀμαξιτόν.'

B= 147. κρουνὼ δ' ἵκανον] δαιμονίως τὸν τῆς διώξεως καιρὸν οὐκ ἀργὸν κατέλιπεν, ἀλλ' ὥσπερ διατριβὴν ποριζόμενος τῇ ἀκοῇ τοὺς μὲν τρέχειν φησίν, αὐτὸς δὲ ψυχαγωγεῖ τὸν ἀκροατήν.

B− κρουνοὶ καὶ οἱ ἀπὸ τῶν ὀρέων μετὰ ψόφου καὶ κρούσεως νάοντες ⟨χειμάρροι⟩· "κρουνῶν ἐκ μεγάλων" (Il. 4. 454)· αἱ δὲ ἀληθιναὶ πηγαὶ Σκαμάνδρου κατὰ ἀνατολὰς τῆς Ἴδης πρὸ τ' σταδίων τῆς Ἰλίου εἰσίν· ἴσως δὲ ὑπόγεως ῥέων ἐξ Ἴδης ὧδε ὁρᾶται.

B− ἄλλως: καὶ πῶς ἐν τῇ Μ (19) ἀπὸ τῆς Ἴδης φησὶν ἔχειν αὐτὸν τὰς πηγάς; ῥητέον οὖν, ὅτι νῦν φησι τὰς πηγὰς ταύτας ἀναβλύζειν ἀπὸ τοῦ Σκαμάνδρου, ἵνα λείπῃ ἡ ἀπό, 'ἀπὸ Σκαμάνδρου'· οἱ δὲ τοπικώτερον ἱστοροῦντες δύο λιβάδας εἶναι ἑτέρας τῶν ἀπὸ τῆς Ἴδης πηγῶν, ἃς εἰς τὸν Σκάμανδρον ἐμβάλλειν· μεταξὺ δὲ αὐτῶν καὶ τοῦ τείχους τρέχει ὁ Ἕκτωρ ἴσως, ἀναστηριζόμενος ἀπὸ τοῦ τείχους ὑπὸ Ἀχιλλέως.

B− 149. ὕδατι—ῥέει] ἢ ῥεῖται ὕδατι, ἢ ὕδωρ ῥέει· προσληπτέον δὲ τὸ 'χειμῶνι.' φασὶ δὲ καὶ τὰς ἐν Ἴδῃ πηγὰς τοῦτο πάσχειν.

151. εἰκυῖα χαλάζῃ] ἀντὶ τοῦ εἰκότος ἢ εἰκός.

B= 152. ἢ χιόνι ψυχρῇ] ψυχροτέρα γὰρ χαλάζης χιών· καὶ θέρους

13. τῇ περ || 15. post ὑπέκ prius omisi κατ' ἀμαξιτὸν ut A B || 16. κρουνῶν || 19. lemma κρουνῶν ἐκ μεγάλων omisi ut B, cf. l. 20 || 20. supplevi ex B || 21. τριακοσίων Eust., γ' B || 23. schol. cum l. 25 coniunctum et ἀλλὰ scriptum: corr. Schrader || 31. εἰκότος W: -ως

Digitized by Google

γὰρ γίνεται χάλαζα. ὁ δὲ κρύσταλλος καὶ τῆς χιόνος ψυχρότερος. §. ὑγρὸν δὲ ἐποίησε τὸν στίχον τῇ ἐπὶ τὸ αὐτὸ τῶν φωνηέντων παραλήψει.

153. * ἐπ' αὐτάων] ἀντὶ τοῦ παρ' αὐταῖς. A+

ἐγγὺς ἔασιν] οὐ τῆς πόλεως ἀλλ' ἀλλήλων, ἐπεί τοι ἔδει καὶ ⟨ἐν⟩ τῷ πολέμῳ ἀδεῶς ἐξιέναι αὐτάς· §. "ἔασι" δὲ ἀντὶ τοῦ ἦσαν.

154. καλοί] ἐκ καλῶν λίθων γεγονότες ἢ διαυγὲς ὕδωρ ἔχοντες. B=

158. πρόσθε μὲν ἐσθλός] ὅτι πρὸς τὸ πρῶτον ὑπήντησε καὶ τῷ ἀντιθέτῳ σχήματι χρῆται.

δίωκε δέ μιν] ἀεὶ τὸ διώκειν ἐπὶ τοῦ φεύγοντός τινος κατόπιν B= ἐπιτρέχοντος τίθησιν.

159. ἐπεὶ οὐχ ἱερήιον] καὶ νῦν Οἰταῖοι Ἡρακλεῖ πεντετήριον ἀγῶνα ποιοῦντες βύρσας διδόασιν. §. καὶ ἱερεῖον μὲν πᾶν θῦμα, B= ἰδίως δὲ παρ' Ἀττικοῖς τὸ πρόβατον.

160. ἀρνύσθην] ἄρνυσθαι τὸ ἀντί τινος λαμβάνειν τι. B=

161. ἀλλὰ περὶ ψυχῆς] ἐλεεινὸν τὸ θατέρου ἴδιον κοινὸν ἆθλον B+ αὐτοῖς παρέχειν. καὶ ἦν τῷ Ἀχιλλεῖ ἐκ περιουσίας ὁ κίνδυνος.

*Ἕκτορος] λείπει ἡ περί.

162. ἀεθλοφόροι] οὐχ ἁπλῶς δρόμον ἵππων παρέλαβεν, ἀλλ' A~B= ἀγωνιστῶν, καὶ οὐ καθολικῶς δρόμον ἀλλὰ τὸν περὶ ⟨τὰ⟩ τέρματα, ὅτε ὀξύτερον θέουσι πλησιαζούσης τῆς νίκης. εἰς δὲ τὴν προθυμίαν καὶ τὸ τοῦ ἄθλου ὅτι "μέγα" (163)· ὡς περὶ μεγάλων γὰρ πάσῃ προθυμίᾳ χρῶνται.

περὶ τέρματα] τὰ τέλη τῆς νίκης.

163. ῥίμφα] ῥᾳδίως· καταστρέφει δὲ εἰς τὸ ταχέως. B−

164. ἀνδρὸς κατατεθνειῶτος] ἐπὶ ἀνδρὸς τεθνεῶτος. οὐκ οἶδε δὲ A~B= στεφανίτας ἀλλ' ἐπιταφίους ἀγῶνας.

165. περιδινηθήτην] ὡς ἀπὸ τόρνου περιεστράφησαν· ἐξ οὗ τὸ B= τάχος καὶ τὸ πρὸς μίαν γραμμὴν τρέχειν. §. πῶς δέ φασιν ὁ ποδωκίστατος πάντων οὐ καταλαμβάνει τὸν Ἕκτορα; πρόχειρον μὲν οὖν τὸ B= λέγειν, ὅτι Ἀπόλλωνα ἔχει συμμαχοῦντα· καὶ τοῦτο δὲ λέγεται, ὅτι ὁ μὲν Ἀχιλλεὺς ἀνάριστός ἐστι πενθήρης προκαμὼν ὑπὸ Ξάνθου καὶ Ἀγήνορος (Il. 21. 595), ὁ δὲ Ἕκτωρ καὶ ἀναπέπαυται παρὰ τῷ τείχει καὶ περὶ ψυχῆς τρέχει, οὐκ ἦν τε ἐξ εὐθείας ἡ δίωξις τῷ Ἀχιλλεῖ προϋποτρέχοντι καὶ ἐκκλίνοντι τὸν Ἕκτορα τῆς πόλεως.

5. ἐξεῖναι ‖ 19. καθολικὸν B ‖ supplevi ex B ‖ 25. τοῦ ante τ.: om. B ‖ 31. ἄριστος B

166. *θεοὶ δὲ—ὁρῶντο*] ἀπὸ τῆς Ἴδης ἑώρων· ὅταν δὲ ἔλθῃ εἰς Ἴδην Ζεύς, ἐπὶ τῷ ἐπισεῖσαι αὐτοῖς τὴν αἰγίδα παραγίνεται.

B— 168. *ἄνδρα διωκόμενον*] ἀντὶ τοῦ διώκοντα. ἄτοπον γὰρ μεμνῆσθαι μὲν Ἕκτορος, μή γε μὴν Ἀχιλλέως. ἔστιν οὖν ὡς τὸ "ἕως ὃ τὸν πεδίοιο διώκετο" (Il. 21. 602).

A+B= 170. **Ἕκτορος*] λείπει ἡ περί.

B= **ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηεν*] τοῦτο πρὸς τὴν ἡμετέραν εὐσέβειαν.

A+B= 172. **ἐν πόλει ἀκροτάτῃ*] ἀντὶ τοῦ ἀκροπόλει, ὡς "ἀκροτάτῃ κορυφῇ" (Il. 1. 499, 5. 754).

B= 174. *φράζεσθε θεοί*] διδάσκει παρρησίας μεταδιδόναι τοῖς ἀρχομένοις καὶ κοινωνεῖν αὐτοῖς τῆς βουλῆς.

B= 181. *οὔ τοι—ἐπαινέομεν*] εὖ τὸ μὴ εἰπεῖν 'μεμφόμεθά σοι.'

B= 183, 4. *οὔ νύ τι θυμῷ πρόφρονι*] ταὐτὸν ⟨ἡ⟩ εἱμαρμένη παρὰ θεοῖς ὃ νόμος παρὰ ἀνθρώποις· ὡς οὖν ὁ παρ' ἡμῖν κριτὴς οὐ παρανόμως δικάζει, οὐδὲ Ζεὺς παρὰ τὴν εἱμαρμένην. πολλάκις δὲ καὶ ἠπιότητος χάριν καὶ βιάζεσθαι σπουδάζομεν τὸν νόμον. τοῦτό φησι καὶ Ζεύς, ὅτι ᾔδειν τὸ δίκαιον τῆς εἱμαρμένης, διὰ δὲ τὸ δίκαιον τοῦτο εἶπον, ἵνα ᾖ τὸ "τοί" σύνδεσμος παραπληρωματικός.

A+ μετηνέχθη⟨σαν⟩ ἐντεῦθεν εἰς τὴν ἀγορὰν τῶν θεῶν (Il. 8. 39, 40) καί εἰσιν ἐνταῦθα οἰκειότεροι· ἐκεῖ γὰρ ὀργίζεται.

A+B= 185. *μηδέ τ' ἐρώει*] ἀποχώρει· "ἐρωῆσαι πολέμοιο" (Il. 13. 776, 19. 170).

B= 189. *ὄρεσφι*] δι' ὀρῶν ἢ ἐν ὄρε⟨σ⟩ιν. §. περισσὸν δὲ τὸ "ἐλάφοιο."

B= ὁ γὰρ νεβρὸς ἐπὶ ἐλάφου μόνον, ὡς καὶ μόσχος ἐπὶ βοὸς καὶ πῶλος ἐφ' ἵππου λέγεται.

A+B= 190. *διά τ' ἄγκεα καὶ διὰ βήσσας*] ἀντὶ τοῦ δι' ἀγκῶν καὶ διὰ βησσῶν, ὡς τὸ "διά τ' ἔντεα καὶ μέλαν αἷμα" (Il. 10. 298).

B= ἄλλως: *διά τ' ἄγκεα*] τοῦ ὄρους τὸ μὲν ἀνωτάτω ἀκρώρεια⟨ι⟩, τὰ δὲ ὑψηλὰ σκοπια⟨ί⟩, τὰ δὲ προνενευκότα πρῶνες, ⟨τὰ δὲ⟩ κλίματα κλιτύες, τὰ βάσιμα βῆσσαι, τὰ κοῖλα ἄγκη, τὰ σύνδενδρα νάπαι, τὰ κάτω πρυμνώρειαι, ἡ δὲ παρὰ ταῖς πρυμνωρείαις πεδιὰς παρώρεια.

1. *δρόωντο* ‖ 'debebat τοῦ Ὀλύμπου' W ‖ 5. *διώκεται* ‖ 14. *τοι θ.* ‖ supplevi ex B ‖ 19. *ᾖ* B: *εἴη* ‖ *ὁ τοί* B ‖ 20. lemma *πρόφρονι μυθέομαι* (184) delevi ad 183, 4 scholion traieci supplevi ut A ‖ 21. *οἰκειότερον* ‖ 22. *μηδ' ἔτ'* ‖ 24, 29, 30. supplevi ex B ‖ 32. *παρόριον* B ‖ add. sec in margine *ὅρα ὡς τὰ μέρη τῶν ὀρῶν ὀνομάζονται*

Digitized by Google

191. *καταπτήξας ὑπὸ θάμνῳ*] *ὑποπεσών.* §. "*θάμνῳ*" *δὲ τῇ* B= *συμφυάδι, παρὰ τὸ θαμινόν.* B=

192. *ἔμπεδον*] *ἀνενδότως. τινὲς δὲ εἰς τὸ ἐναποτετυπωμένον ἴχνος* B= *ἐν τῷ πεδίῳ ἀπὸ τῆς βάσεως τοῦ νεβροῦ.* §. *τὰς Δαρδανίας πύλας ἀνατολικὰς θέλουσι, Σκαιὰς δὲ πρὸς δυσμὴν νευούσας.*

193. *ὣς Ἕκτωρ οὐ λῆθε*] *ἡ παραβολὴ πρὸς τὴν δίωξιν μόνον·* B= *οὐδὲ γὰρ κρύπτεται ὁ Ἕκτωρ. ἢ ὅτι καὶ αὐτὸς καιρὸν παρεφύλαττε ⟨τοῦ⟩ ὑποφυγεῖν εἰς τὴν πόλιν, ὡς ὁ νεβρὸς εἰς τὸν θάμνον.*

194. *ὁσ⟨σ⟩άκι δ' ὁρμήσειε*] *ὁσάκις ἂν κατὰ τὰς πύλας γενό-* B= *μενος Ἕκτωρ ἐβούλετο παρεισδῦναι εἰς τὴν πόλιν ἐπειχθεὶς τῷ δρόμῳ, τὸν ἔνδον δρόμον ἔχων Ἀχιλλεὺς ἐδίωκεν εἰς τὸ πεδίον.*

* *ὁρμήσειε*] *ἀντὶ τοῦ διελογίζοιτο.*

196. * *εἴ πως οἱ καθύπερθεν ἀλάλκοιεν*] "*οἱ*" *δύναται καὶ ἄρθρον εἶναι.*

197. *προπάροιθεν*] *πρότερος αὐτοῦ γινόμενος πρὸς τῇ πόλει ἀπέ-* A+B= *στρεφεν αὐτὸν εἰς τοὐπίσω. ἐπὶ χρόνου οὖν τὸ* "*προπάροιθεν.*"

*ὑποστρέψασκε*] *καὶ* "*παρα⟨σ⟩τρέψασκε*" *διχῶς.*

199. *ὡς δ' ἐν ὀνείρῳ*] *τὸ ἄπρακτον θέλοι δηλῶσαι· ὡς γὰρ ἐκεῖνοι* B= *φαντασίᾳ καὶ οὐκ ἀληθείᾳ εἰσίν, οὕτω καὶ οὗτοι οὐδὲν ἤνυον, οὔτε οὗτος τὸ φεύγειν οὔτε οὗτος τὸ καταλαβεῖν· δοκοῦν γὰρ ἑκάτερον γενέσθαι οὐδέτερον γίνεται. καλῶς δὲ καὶ ἐπὶ τὴν μετάφρασιν ἐλήλυθε* "*φεύγοντ⟨α⟩*" "*ἀλύξαι*" "*μάρψαι*" "*διώκειν.*"

*ἄλλως: ὡς δ' ἐν ὀνείρῳ*] *ἀθετοῦνται οἱ γ'* (199—201) *διὰ τὸ* A+ *ἀσθενὲς τῆς φράσεως καὶ ὅτι ὑπεκλύουσι τὴν ποδώκειαν Ἀχιλλέως.*

201. *μάρψαι ποσίν*] *ὅτι τὸ* "*μάρψαι*" *ἐπὶ ποδῶν ἔταξεν.*

202. *ὑπεξέφυγεν*] *γράφεται* "*ὑπεξέφερεν,*" *ἵν' ᾖ ὅμοιον τῷ* A+ "*ὑπὲκ θανάτοιο φέρονται*" (Il. 15. 628).

203. *πύματόν τε καὶ ὕστατον*] *αἱ δύο αἰτίαι Ἀπόλλων βοηθὸς καὶ Ἀχιλλεὺς ἐμποδιζόμενος πρὸς τὸ μὴ ⟨βαλεῖν⟩ ἀνανεύων τοῖς Ἀχαιοῖς..*

* *πύματόν τε καὶ ὕστατον*] *ἐκ παραλλήλου τὸ αὐτό.*

205. *ἀνένευε*] *Μεγακλείδης πλαστὴν εἶναι τὴν μονομαχίαν φησίν·* B+ *πῶς γὰρ . . . τὰ Ἡφαιστότευκτα ὅπλα εἰσίν;*

1. *δὲ* B: *δεῖ* || 2. *θαμεινόν* B || 4. *νεκροῦ* B || 8. suppl. W || 10. *παρεισδῦναι* B: *παραδῦναι* || 12. *διελογίζετο* || 13. *οἱ* scripsi: *οὐ* || 14. *πρότερος* A: *πρῶτος* ut B || *τὴν πόλιν* B || 16. suppl. Bekker || 17. *ἐκεῖνα* ut B || 18. *φαντασία* B || *ἀλήθεια* B || 28. *ἀνανεύειν*: suppl. et corr. W ex A || 31. lacunam indicavi, de interceptis vide B || ante *τὰ* suppl. W ⟨*πρὸς τί δὲ*⟩



Digitized by Google

206. οὐδ' ἔα ἱέμεναι] τοῦ γὰρ ἐχθροῦ αὐτόχειρ βούλεται γενέσθαι.

B= 208. ἀλλ' ὅτε δὴ τὸ τέταρτον] Διοκλῆς φησίν, ὅτι συμβαίνει τῷ κύκλῳ περιτρέχοντι εἰς τὸν αὐτὸν τόπον παραγίνεσθαι τετράκις,
B= ὅταν τρεῖς συμπληρώσῃ κύκλους. §. φασὶ δὲ τὸν παλαιὸν περίβολον
A= Τροίας τριάκοντα σταδίων εἶναι. §. σημειοῦνται δέ τινες διὰ τὸ δοκοῦν ἐναντίον εἶναι "τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον" (251) καὶ "ἀλλ' ὅτε δὴ τὸ τετάρτον."

209. ἐτίταινε τάλαντα] ἴσως ἀλληγορεῖ τὴν Διὸς γνώμην πῶς περὶ τῶν ἐνεστώτων ἐσκέπτετο· φησὶ γοῦν ἀλλαχοῦ "γνῶ γὰρ Διὸς ἱρὰ τάλαντα" (Il. 16. 658).

210. ἐν δ' ἐτίθει δύο κῆρε] ἐντεῦθεν Αἰσχύλος τὴν Ψυχοστασίαν (p. 69 N.) ἐτυπώσατο φαύλως ἐκδεξάμενος τὸ εἰρημένον.

B− ἐν δ' ἐτίθει δύο κῆρε] κῆρας τὰς μοίρας—γελᾷ δὲ τὸν μῦθον ὁ Ζώιλος· ποδαπαὶ γὰρ αἱ Μοῖραι ἐν ταῖς πλάστιγξι, καθήμεναι ἢ ἑστηκυῖαι; — οὐ τὰς ψυχάς, ὡς ἐξεδέχετο Αἰσχύλος (p. 69 N.)· ἐπάγει γὰρ "τὴν μέν" (211). τὸ κέαρ δὲ λέγεται οὐδετέρως ἐπὶ τῆς ψυχῆς. ὡς δὲ οἱ καταδικάζοντες τὴν ψῆφον ἐπιφέρουσιν ὑπὲρ τοῦ κυρῶσαι, οὕτω καὶ ὁ Ζεὺς τῷ ζυγῷ χρῆται.

212. ἕλκε δὲ μέσσα] Χρύσιππος "ῥῦμα" γράφει· τὴν γὰρ ῥοπὴν τοῦ ζυγοῦ ῥύμην καλεῖσθαι.

B− 213. ᾤχετο δ' εἰς 'Αΐδαο] ὑπερβολικῶς, ὡς ἤδη τοῦ Ἕκτορος κατὰ τὸν τῆς πεπρωμένης λόγον μηκέτι ἐν τοῖς ζῶσιν ὄντος· ἢ ὅσον ἐπὶ τῇ τοῦ Διὸς ψήφῳ.

214. Πηλείωνάδ' ἵκανε] ὡς τόπον, ὡς "Ο⟨ὔ⟩λυμπόνδε."

B= 218. δῃώσαντε] καταπολεμήσαντας.

219. πεφυγμένον—γενέσθαι] ἀντὶ τοῦ φυγεῖν.

B− 221. προπροκυλινδόμενος ⟨πατρὸς Διός⟩] πρὸ τοῦ Διὸς προκυλινδόμενος. ποιοῦσι δὲ τοῦτο οἱ ἱκετεύοντες· "λιτάνευε κυλινδόμενος κατὰ κόπρον" (414). τινὲς δὲ προασπίζων τοῦ Διός, ἐπειδὴ εἶπε "τῇ μάλ' ἐπι⟨σ⟩σείων" (Il. 15. 230).

B= 222. ἄμπνυε] ἐν σεαυτῷ γενοῦ, ἀπὸ τοῦ πνεύματος.

223. πεπιθήσω] μετ' ὀλίγον μέλλων· ἢ διπλασιασμός.

B+ 227. Δηιφόβῳ] οὗτος οὖν μετὰ θάνατον Πάριδος ἡγήσατο τῆς

6. ἑξήκοντα B || 7. τρεῖς || Πριάμοιο || 33. ὀλίγου sec.

Digitized by Google

στρατιᾶς. καὶ "ποτὶ δῶμα⟨τα⟩ Δηιφόβοιο βήμεναι—ἠύτ' Ἄρηα" (Od. 8. 517) ὡς ἄρχοντος.

229. ἠθεῖε] σεπτικὴ φωνὴ πρὸς πρεσβύτερον ἀδελφόν· καὶ Εὔμαιος "ἀλλά μιν ἠθεῖον καλέω" (Od. 14. 147) ἀντὶ τοῦ ὡς πρεσβύτερον ἀδελφὸν σέβω καὶ αἰδοῦμαι. ἔστι δὲ ὑποπτεῦσαι τῶν Πριαμιδῶν πρεσβύτατον εἶναι τὸν Ἕκτορα. A+B=

231. ἀλλ' ἄγε δὴ στέωμεν] ἄτοπον θεὸν οὖσαν πλανᾶν τὸν Ἕκτορα. ἢ τὰ ἴσα πράττει Ἀπόλλωνι, ἐπεὶ κἀκεῖνος ἐπέθετο Πατρόκλῳ μαχομένῳ (Il. 16. 793). B+

234. γνωτῶν] γνωτὸς ὁ ἀδελφός, παρὰ τὸ πλέον τῶν ἄλλων γνωρίζεσθαι. B=

235. τιμήσασθαι] λείπει τὸ σέ, ἵν' ᾖ 'νῦν δὲ καὶ μᾶλλον κατὰ νοῦν ἔχω τιμῆσαί σε.' B=

241. τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντες] τοίως, ὡς μηδένα συγχωρεῖν πολεμεῖν αὐτῷ. B=

243, 4. μὴ δ' ἔτι δούρων ἔστω φειδωλή] ἐκ τοῦ παρεπομένου 'μαχεσώμεθα.' οὕτω γὰρ οὐ φείδονται δοράτων.

244. φειδωλή] βραχὺ διασταλτέον εἰς τὸ "φειδωλή" καὶ "εἴδομεν," τὰ δὲ ἀλλὰ συναπτέον ἕως "γλαφυράς" (246). A+

245. νῶι κατακτείνας] εὖ τὸν κίνδυνον ἐκοινοποιήσατο, τὴν δὲ νίκην μόνῳ περιῆψεν Ἕκτορι (246). B=

247. καὶ κερδοσύνῃ] ἢ περισσὸς ὁ "καί," ἢ τὸ "φαμένη" ἀντὶ τοῦ ἔφη. ἢ πρὸς τῷ ταῦτα εἰρηκέναι δολίως καὶ παραλογιστικῶς "ἡγήσατο." B=

250. * φοβήσομαι] φεύξομαι. A+

251. τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον] "δίον" ἔδεισα· "περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν" (Il. 9. 433, 11. 557). ἢ ἐδιώχθην, "ἀπὸ μεγάροιο δίεσθαι" (Od. 17. 398). ἢ φοβηθεὶς ἔφυγον. B+

* δίον] αἱ χαριέστεραι "δίες." A=

253. ἕλοιμί κεν] θρασύνεται ἐν τῇ κλήσει καὶ τὰ ἀμείνω πρῶτα λέγει καὶ ἑξῆς "οὐ γὰρ ἐγώ σ' ἔκπαγλον ἀεικιῶ" (256). τὸ δὲ θρασὺ νῦν αὐτοῦ ἐλεεινόν ἐστιν ἐκ φενακισμοῦ καὶ πλάνης ἐγειρόμενον. B−

254. ἀλλ' ἄγε δεῦρο] δύο τὰ παρακελευστικά.

6. πρεσβύτατον W : -τερον ut B ‖ 14, 15. συγχωρεῖσθαι B ‖ 17. οὗτοι : corr. W ‖ 26. Πριάμοιο ‖ 28. μεγάροιο Bekker : στρατοῖο ut B ‖ 33. δύο scripsi : διὸ

Digitized by Google

B— ἐπιδώμεθα] ἢ δῶμεν ἑαυτοῖς μάρτυρας καὶ ἀναδόχους, ἢ ἐπόπτας ποιήσωμεν πρὸς τὸ ἰδεῖν, ἢ εἰς οὐρανὸν ἀποβλέψωμεν οὗ εἰσιν οἱ θεοί, ἢ μαρτυροποιησώμεθα—τοὺς γὰρ μάρτυρας Ἀττικοὶ ἰδύους φασίν—οἳ δὲ ἐπικαλεσώμεθα.

B+ 255. **ἁρμονιάων] τῶν συμβόλων.

256. *ἀεικιῶ] Ἀττικὸς μέλλων.

A+ 257. καμμονίην] τὴν ἐκ καταμονῆς νίκην. §. περὶ ὃ δὲ μά-
B= λιστα δέδιεν, αἰκιζόμενος ὁ Ἕκτωρ οἶκτον κινεῖ.

B= *καμμονίην] τὴν μονομερῆ νίκην.

B= 261. Ἕκτορ—ἄλαστε] ἄλαστόν φησι τὸν ἀνεπίληστα κακὰ δεδρακότα.

A+B— συνημοσύνας] συνθήκας· οἱ γὰρ συντιθέμενοι εἰς ταὐτὸν ἀφιᾶσι τὴν γνώμην. διὸ καὶ δασύνεται· ἔστι γὰρ παρὰ τὸ ἵημι σύμβολα· "σύνεσίς τε δύω ποταμῶν" (Od. 10. 515) ἀντὶ τοῦ συμβολή.

262. ὡς οὐκ ἔστι λέουσι] ἐντεῦθεν τὸν περὶ λεόντων καὶ ἀνθρώπων μῦθον Αἴσωπος ἀνέπλασεν.

263. οὐδὲ λύκοι τε] γνωρίμους τὰς εἰκόνας οὔσας ἐπικεφαλαιῶν παρατρέχει.

B~ ἄλλως: οὐδὲ λύκοι τε καὶ ἄρνες] ἐντεῦθεν ἡ παροιμία "⟨ὡς λύκοι⟩ ἄρνα, φιλοῦσιν ἐρασταί" (cf. Diogen. VIII 76, p. 320).

B= 265. ἐμὲ καὶ σὲ φιλήμεναι] ἀντὶ τοῦ φιλῆσαι ἀλλήλους.

A=B— 266. πρίν γ' ἢ ἕτερόν γε πεσόντα] εἰς τοῦτο ἡ διάνοια καταστρέφει, ὅτι πρότερον συμβήσεται τὸν ἕτερον ἡμῶν πεσεῖν πρὶν ἢ ὅρκους ἡμᾶς ποιήσασθαι, ὡς τὸ "πρίν μιν καὶ γῆρας ἔπεισιν ἡμετέρῳ ἐνὶ οἴκῳ" (Il. 1. 29).

268. *παντοίης ἀρετῆς μιμνήσκεο] πρᾶσσε ὃ δύνασαι.

B— 270. οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις] ἡ καύχησις ὑπὲρ ἄνθρωπον οὐκ ἀνατιθέντα τῇ τύχῃ τὰς ἐλπίδας. ἤ, ἐπεὶ εἶπεν Ἀθηνᾶ "Ἕκτορα δῃώσαντε" (218), θαρρῶν τῷ θεῷ διαβεβαιοῦται τὸ μέλλον.

B— 272. ἐμῶν ἑτάρων] Μυρμιδόνων οὐδένα ῥητῶς ἀνῄρηκεν. 'τῶν Ἀχαιῶν' οὐν φησιν· ὁ δὲ νοῦς· νῦν δώσεις ἀθρόας δίκας ὑπὲρ τῆς λύπης τῆς ἐμῆς.

4. ἰδύους W : δήους || 14. δύο || 17. οὔσας scripsi : οὐ τὰς || 19. supplevi ex Plat. Phaedr. p. 211 et Diogeniano; οὕτως φιλοῦσι λύκοι τοὺς ἄρνας, ὡς φιλέουσιν ἀντερασταί B, cf. Haupt op. II 404 || 20. ad ἄρνα add. rec. τὴν ἐρωμένην || 29. δῃώσαντα || 32. λυπήσεως τ. B

Digitized by Google

274. *καὶ τὸ μὲν ἄντα*] ἐναγώνιον μὲν ποιεῖ τὴν στάσιν τὰ κατὰ δόξαν τῶν ἀκροατῶν ἐκκλίνων καὶ λογοποιῶν ἕτερα. B=

*ἠλεύατο*] κινεῖ τὰς ἐλπίδας τῶν ἀκροατῶν, ὡς τάχα ἂν περιγενησομένου τοῦ Ἕκτορος.

277. *λάθε δ' Ἕκτορα*] ἐκεῖνον γὰρ ἐπιλειψάσης τῆς Μοίρας ἐῶσιν οἱ θεοί. B=

280. *ἤτοι ἔφης γε*] ἔφης γε μέν· διὰ τὸ "ἄφαρ δέ σε Παλλὰς Ἀθήνη ἔγχει ἐμῷ δαμάᾳ" (270). B+

281. *ἀρτιεπής*] εὐεπής, ἀπηρτισμένος εἰς τὸ λέγειν ὥστε πιστεύεσθαι. B= §. σημειοῦται δὲ Ἀρίσταρχος, ὅτι οὐκ ἐπὶ ἐπαίνου τὸ "ἀρτιεπής." A+

*ἐπίκλοπος*] ἠσκηκὼς λόγοις ἀπατᾶν, οἱ δὲ ἐπιθυμητής—κλέπτεσθαι γὰρ τὸ ὀρέγεσθαι, "καὶ ἐπίκλοπος ἔπλετο τόξων" (Od. 21. 397)—ἢ ἀσκῶν διὰ λόγων παραλογίζεσθαι, ὡς τὸ "κλέπτε νόῳ" (Il. 1. 132). A=B−

283. *οὐ μέν μοι φεύγοντι*] ὅ ἐστιν 'οὐκ ἀποτρέψεις με λόγοις.'

284. *ἰθὺς μεμαῶτι*] εἰς τοὔμπροσθεν κατὰ σοῦ χωροῦντι. ἀγαθὰ δὲ ταῦτα τοῖς νέοις πρὸς μίμησιν. B=

*διὰ στήθεσφιν ἔλασ⟨σ⟩ον*] εἰρωνεία τοῦτο, καὶ μόνον. A~

285. * *εἴ τοι ἔδωκε θεός*] ὡς αὐτὸς ἔφη (271).

*ἄλευαι*] προπαροξυτόνως· ἔστι γὰρ προστακτικόν. ἐν εἰρωνείᾳ δέ φησι τοῦτο. AB=

290. *οὐδ' ἀφάμαρτεν*] οὐκ ἀφάμαρτε δέ.

291. *χώσατο δ' Ἕκτωρ*] συνεχύθη τὴν διάνοιαν. A+

293. *κατηφήσας*] κάτω τὰ φάη ἔχων. B=

294. *ἐκάλει*] αἱ τῶν πόλεων "ἐβόα."

*λευκάσπιδα*] ἅπαξ ἐχρήσατο. τὸ παράσημον δὲ τῶν ὅπλων τὴν ἀρετὴν ἐμφαίνει τοῦ φοροῦντος. A+B=

295. *ἤτεέ μιν δόρυ*] ἡδέως χρῆται τῷ ἀσυνδέτῳ· ἀλλὰ καὶ τῇ ἐπιφορᾷ ἐλεεινότατον.

300. *νῦν δὲ δὴ ἐγγύθι μοι ⟨θάνατος κακός⟩*] βραχὺ διασταλτέον εἰς τὸ "κακός·" στικτέον δὲ εἰς τὸ "οὐδέ τ' ἄνευθεν·" τὸ γὰρ "οὐδ' ἀλέη" (301) καθ' αὑτὸ προενεκτέον, λείποντος τοῦ ἔστιν. AB=

2. ἀκροατῶν W: ἀχαιῶν ‖ 7. δή σε ‖ 9. εἰς τὸ B: ἐν τῷ ‖ 12. * iteratur ἐπιθυμητής ‖ 17. χωροῦντι B: -ος ‖ 19. καὶ μόνον corrupta ‖ 30. ἐλεεινότατον W: -άτη

Digitized by Google

B− οὐδέ τ' ἄνευθεν] "οὐδέ" οὐ γάρ· ἀεὶ δὲ δύο ἔχει δόρατα, "πάλλων δ' ὀξέα δοῦρα" (Il. 5. 495 al.), "δοιὰ δὲ χερσὶ δοῦρ' ἔχεν" (Il. 12. 464, 5). πῶς οὖν οὐκ ἔχει νῦν δύο; ἢ κατὰ τὸ σιωπώμενον ἔοικε θάτερον ἀποβεβληκέναι ἐν τῷ δρόμῳ.

ἄλλως: οὐδέ τ' ἄνευθεν] ὡς τὸ "οὐ πολλὸν ἐπὶ χρόνον, ἀλλὰ μίνυνθα" (Od. 15. 494).

B+ 301. οὐδ' ἀλέη] ἀλέη δὲ οὔ, ὅ ἐστιν οὐδὲ ἄλυξις.

πάλαι τότε] πάροιθέ γε. ἐν δὲ ταῖς εἰκαιοτέραις "πάλαι τό γε φίλτερον."

A+B= 304. ἀσπουδί] δίχα ταλαιπωρίας.

B− 305. ἀλλὰ μέγα ῥέξας] λείπει ἀγαθόν· Ἀλκμὰν (fr. 50 B.) "μέγα γείτονι γείτων." ἢ κακὸν εἰς τοὺς πολεμίους, ὡς "σύν τε μεγάλῳ ἀπέτισαν" (Il. 4. 161) καὶ "ἔπαθον μεγάλα."

B= καὶ ἐσσομένοισι πυθέσθαι] ὡς καὶ τοὺς ἐσομένους πυθέσθαι.

B= 307. τέτατο] ἀπὸ τελαμῶνος ἤρτηται.

A+B− 308. ἀλείς] ἀθρόον ἑαυτὸν συστρέψας· οἱ γὰρ εἰς δρόμον ἑαυτοὺς δόντες οὐκ ἀνειμένως πορεύονται ἀλλὰ συστρέφονται· κἀκεῖ οὖν "αἰετοῦ οἴματ' ἔχων" (Il. 21. 252) οὐκ ὄμματα.

309. διὰ νεφέων] τινὲς "ἀπὸ νεφέων."

A+B= 310. ἀμαλήν] ἁπαλήν, κατὰ συγγένειαν τῶν στοιχείων. οἱ δὲ ἅμα τῇ μητρὶ ἀλαμένην, οἱ δὲ τὴν μὴ ἔχουσαν μαλλόν, ὅ ἐστι ἰσχυρόν.

ἢ πτῶκα] ἰδίως τὸ πτὼξ ἐπὶ λαγωοῦ.

314. κόρυθι δ' ἐπένευσε] οὗτός ἐστιν ὁ κορυθάιξ.

315. καλαὶ δέ] αἱ πλείους "δειναὶ δέ."

A= * ἔθειραι] νῦν καταχρηστικῶς αἱ χαῖται τῆς κόρυθος.

B+ 317. νυκτὸς ἀμολγῷ] καὶ τὴν ἑσπέραν ἀμολγὸν καλεῖ· καὶ τότε γὰρ ἀμέλγονται ⟨τὰ⟩ θρέμματα.

318. ἕσπερος] τὸν ἕσπερον Πέρσαι μὲν Τήρων, Ἕλληνες δὲ Ἀπόλλωνά φασιν.

B+ ἄλλως: ἕσπερος] "ἕσπερος" ἕω πέρας ἄν· καλεῖται δὲ ὁ ἕσπερος καὶ ἑωσφόρος κατὰ καιρῶν μεταβολάς· ὅταν μὲν προηγούμενος ἡλίου ἐπικαταδύνῃ αὐτῷ πρῶτος τῶν ἄλλων, ἕσπερος, ὅταν δὲ ἑπόμενος τῷ ἡλίῳ προανατείλῃ, τότε ἑωσφόρος καλεῖται. κάλλιστος

7. οὔτε ἀλ. ‖ 23. scholion scriptum post l. 24 et ἄλλως lemmati praefixum ‖ 24. lemma κόρυθι δ' ἀνένευσεν delevi et καλαὶ δέ scripsi ut A ‖ 29. Ἀφροδίτην coni. W ‖ 32. συνδύνῃ B

Digitized by Google

δέ ἐστιν, ἐπεὶ μέγας καὶ προσηνής, Ἀφροδίτης χάριτας ἀπολάμπων. θαυμασίως οὖν ὁ ποιητής, ὅτε μέν ἐστιν ἑωσφόρος, φησὶν "ἔρχεται ἀγγέλλων φάος ἠοῦς" (Od. 13. 94) καὶ "εἶσι φόως ἐρέων" (Il. 23. 226) — ὁρῶμεν γὰρ αὐτὸν ἀνατέλλοντα ὑπὲρ τὸν ὁρίζοντα — ὅτε δέ ἐστιν ἕσπερος, οὐδεὶς αὐτὸν ὁρᾷ ἀνατέλλοντα, ἀλλ' ὑπὲρ τὴν γῆν μετέωρον ἱστάμενον ἐν τῷ δύνοντι τοῦ οὐρανοῦ μέρει.

ἵσταται ἀστήρ] καὶ μὴν τῶν πλανήτων ἐστὶν ὁ τῆς Ἀφροδίτης· ἡ οὖν ἀντὶ τοῦ ἀνίσταται ἀνατέλλει ἢ πρὸς τὴν ἡμῶν φαντασίαν, καθὸ οὐ δυνάμεθα συνιδεῖν τὸν δρόμον αὐτοῦ. B=

319. εὐήκεος] καλὴν ἀκὴν ἐχούσης. B=

321. ὅπῃ εἴξειε] ὅπου χωρήσειεν ἡ αἰχμή. καὶ ἀλλαχοῦ "πλευρά, τά οἱ κύψαντι παρ' ἀσπίδος" (Il. 4. 468). φυλάσσεται γὰρ τὰ τοῦ Πατρόκλου ὅπλα τρῶσαι· ἐμφαίνει δέ, ὅσον ἐρεθισμὸν ἐνεποίει Ἀχιλλεῖ ἡ θέα αὐτῶν. B−

322. τοῦ δὲ καὶ ἄλλο τόσον μέν] ὅταν τὸ μὲν ἀπολειπόμενον ἔλασσον ᾖ, τὸ δὲ γεγονὸς πλεῖον, "τόσ⟨σ⟩ον" φησίν· "τό⟨σ⟩σον μὲν ἔχον τέλος" (Il. 18. 378) "τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν" (Il. 23. 454). 'τὸ μὲν ἄλλο σῶμα κατείχετο κρυπτόμενον.' οἱ δὲ γλωσσογράφοι "τόσον" ἀντὶ τοῦ τὸ σῶμα. A−B−

324. φαίνετο δὲ κληῖδες] ἔν τισι "φαῖνον δ' ᾗ κληῖδες," ἵν' ᾖ οὕτως· τὸ μὲν ἄλλο σῶμα ἔσκεπεν τὰ τεύχη, ἐκεῖνον δὲ τὸν τόπον ἔφαινον, ὅπου αἱ κληῖδες τῆς λαυκανίης τὸν αὐχένα συνέχουσιν. A+B−

ἄλλως: φαίνετο δὲ κληῖδες] ἐφαίνετο δὲ κατὰ τὴν λαυκανίαν, ᾗπερ αἱ κληῖδες αἱ ἀπὸ τῶν ὤμων διήκουσαι συνέχουσι τὸν αὐχένα. B+

326. ἐπί οἱ] ἐπὶ αὐτῷ. §. ὀρθοτονητέον δὲ τὴν "οἱ."

328. οὐδ' ἄρ' ἀπ' ἀσφάραγον] ἴσως ἐκκλίναντος αὐτοῦ πλαγία γέγονεν ἡ τομή· εἴωθε δὲ τὰ ἐκ τύχης ὡς ἐξ αἰτίας λέγειν. "ἦλθε δ' ἐπὶ νότος ὦκα—ὄφρ' ἔτι τὴν ὀλοήν" (Od. 12. 427, 8) "ὦρσαν—νύμφαι—ἵνα δειπνήσειαν ἑταῖροι" (Od. 9. 154). οἰκονομικὸν δὲ B−

4, 5. πρὸ τοῦ ὁρίζοντος B ‖ 14. Πατρόκλου scripsi: πατρὸς ‖ 15. αὐτῶν W: -οῦ ‖ 17. ᾖ scripsi: εἴη ‖ 21. κληῖδες ἵν' A: κληίδεσιν ‖ 23. ἔφαινον scripsi: ἔσκεπον ‖ 29. ἀσφάραγος B ‖ 30. ψυχῆς B ‖ 32. ὄφρα δειπν.

Digitized by Google

καὶ τοῦτο, ἵνα καὶ ἀποθνήσκων μὴ ἀπροσφώνητος ᾖ· ἔστι δὲ πρόληψις ὁ τρόπος.

331. ἀτάρ που ἔφης] "ἄφαρ" ἀντὶ τοῦ εὐθέως, κούφως, ἀφρόνως. ἴσως ἐπεὶ ἔλεγε "τίς δ' οἶδ', εἴ κ' Ἀχιλεὺς—φθήῃ ἐμῷ ὑπὸ δουρί" (Π. 16. 860).

332. σῶς] τινὲς ἐκ τοῦ σόος· ἀλλ' ἔδει σοῦς. τινὲς δὲ ἀπὸ τοῦ σαούς· Ἀλκαῖος δὲ καὶ τὰ β' οο εἰς ω συναλείφει. ἐπὶ νηῶν δέ τινες ἐπὶ νέας τε καί εἰσιν αὗται ἀντὶ τοῦ νεῶν.

οὐδέν] ψιλῶς, ἵνα παρέλκῃ τὸ δεν· δύναται δὲ καὶ δασέως. §. ἔστι δὲ ⟨τὸ "ἐμέ"⟩ ἀντὶ τοῦ ἐμοῦ.

B= 333. μέγ' ἀμείνων] "ἀμείνων" σοῦ δηλονότι· οὐ γὰρ φιλῶν Πάτροκλον συνέκρινεν ἂν αὐτὸν ἑαυτῷ.

B= 334. μετόπισθε] ἢ τοπικῶς, ὡς τὸ "νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι" (Od. 11. 66), ἢ χρονικῶς ἀντὶ τοῦ μετὰ ταῦτα.

B= 335. σὲ μὲν κύνες] ἀφορμὴν αὐτῷ δέδωκε δεήσεως ἀπειλήσας περὶ τῆς αἰκίσεως· πολλὴν γὰρ πρόνοιαν εἶχε τοῦ θάπτεσθαι.

B– 336. ἀικῶς] οἳ μὲν δισυλλάβως αὐτὸ προφέρονται, οἳ δὲ συνεστάλθαι φασίν. περισπᾶται δέ· ἔστι γὰρ ἐκ τοῦ αἰκέως πεπονθός, ὃ σημαίνει τὸ αἰκιστικῶς καὶ χαλεπῶς.

ἀικῶς] "αἰκέως" Ἀντίμαχος, κακῶς.

B= 337. ὀλιγοδρανέων] ὀλίγον τοῦ δρᾶν ἔχων. πολὺς δὲ ἔλεος τοῦ πρὸς τῷ τελευτᾶν φωνὴν ἀφιέντος.

B= 338. λίσσομ' ὑπὲρ ψυχῆς] κατὰ ψυχῆς, ὡς τὸ "καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος" (Π. 24. 466).

B– 346, 8. αἲ γάρ πως αὐτόν με] τὸ ἑξῆς, ἀνδρῶν οὐκ ἔστιν ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι· αὐτόν με μένος καὶ θυμὸς ἀνείη ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι. μεταξὺ δὲ ἀνεφώνησε τὸ "οἷά μ' ἔοργας." ἔστι δὲ ὡς "ὠμὸν βεβρώθοις" (Il. 4. 35) καὶ "ἐσθέμεναι προσφῦσα" (Il. 24. 213).

B= 347. ἀποταμνόμενον] ἐκλύει τὴν ἔμφασιν τὸ "ἀποταμνόμενον," εἰ μὴ ἀντὶ τοῦ ἀποσπαράσσοντα κεῖται.

A– κρέα ἔδμεναι] κατὰ συστολὴν τὸ "κρέα," ὡς καὶ ἐν τῇ συνηθείᾳ· ἐκτείνει δὲ Τυραννίων· ἀλλ' οὐδέποτε ὁ ποιητὴς 'κρέαα' εἶπεν.

1. ᾖ scripsi: εἴη ‖ 4. Ἀχιλλεὺς ‖ 7, 8. corrupta ‖ 13. ὄπισθεν ut B ‖ 18. αἰκέως scripsi: ἀικῶς A, ἄικακῶς ‖ 18. πεπονθώς ‖ 20. οἱ περὶ Ἀντίμαχον A, ubi Ἀρίσταρχον coni. Lehrs ‖ 22. τὸ B ‖ 27. ἀνήῃ B

Digitized by Google

348. ὡς οὐκ ἔσθ' ⟨ὅς—⟩] οὐδὲ νεκρὸς ἂν ἕξεις τὸν βοηθήσοντα.

349. εἰκοσινήριτα] ὑφ' ἓν ἀναγνωστέον, ὡς τὸ "ἐεικοσάβοια" AB— (Od. 1. 431). παραφυλακτέον δὲ ὅτι ὁ εἴκοσιν ἀριθμὸς εἰς ν̄ λήγων συντέθειται· τὸ γὰρ ν τοῦ εἴκοσίν ἐστιν· καὶ ἔστι τὰ εἰκοσάκις ἐρίζοντα καὶ ἰσούμενα· "Νέστωρ οἶος ἔριζεν" (Il. 2. 555) "ἐριζέμεν οὐκ ἐθελήσω" (Od. 8. 223) καὶ "μεγήριτα τέκνα θεάων" (Hes. Th. 240) οἷον θεαῖς ἐρίζοντα.

ἄλλως: εἰκοσινήριτα] εἰκοσαπλᾶ, εἰκοσάκις ἐξισούμενα τοῖς ὑπὸ A+B= σοῦ νοουμένοις δώροις· τὸ γὰρ ἐρίζειν καὶ ἐπὶ τοῦ ἐξισοῦσθαι τάσσεται.

349, 50. ἄποινα στήσωσι] παραστήσωσιν, ἢ ἰσόσταθμά σοι B= κομίσωσιν.

351. οὐδ' εἴ κεν σ' αὐτόν] οὐκ ἔστι σύνθετον, ἐπεὶ ἁμαρτήσεται.

χρυσῷ ἐρύσασθαι] πρὸς χρυσὸν ἀντιστῆσαι. τοῦτο δὲ ὑπερ- B+ βολικῶς εἶπεν. ὁ μέντοι Αἰσχύλος ἐν Ἕκτορος λύτροις (p. 65 N.) ἀληθὲς αὐτὸ ἐξεδέξατο.

354. κατὰ πάντα δάσονται] ὅλον κατέδονται. ἔμφασιν δὲ ἔχει A—B= τῆς διακοπῆς τὸ ὑπερβατόν.

355. τὸν δὲ καταθνῄσκων] δαιμονίως τῶν καιρῶν στοχάζεται· B= ἔμπροσθεν μὲν γὰρ "ὀλιγοδρανέων" (337) παρ' αὐτὴν τὴν τρῶσιν, νυνὶ δὲ ἤδη ἀποθνῄσκων.

356. ἦ σ' εὖ γινώσκων] περισπαστέον τὸν "ῆ·" ἔστι γὰρ A= βεβαιωτικός.

προτιόσσομαι] προσφθέγγομαι, παρὰ τὴν ὄσσαν. ἀλλ' οὐκ B— οἶδεν ὁ ποιητὴς τὸ ὄσσα ἐπὶ θνητῆς φωνῆς. ἔστιν οὖν ἀντὶ τοῦ προ⟨σ⟩ορῶμαι, ὡς "ὀσσόμενος πατέρ' ἐσθλόν" (Od. 1. 115).

358. μή τοι τι θεῶν μήνιμα γένωμαι] μὴ ὁ ἐμὸς θάνατος τὸν ἐκ B— θεῶν φθόνον ἐπὶ σὲ ἐρεθίσῃ, ἐπεὶ καὶ αὐτόν σε δεήσει ὑπὸ Τρώων ἑλκυσθῆναι.

359. ἤματι τῷ] τῇ ἑξῆς μετὰ τὰς ταφὰς ἀνῃρέθη, "αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος" (Il. 18. 96).

ὅτε κέν σε Πάρις] οἱ μέν, ὅτι μαντεύονται περὶ ἀποβίωσιν. §. B+ ἀριστεύσει . . . παρέχουσι δὲ καὶ Ἀπόλλωνα, ἐπεὶ καὶ αὐτὸς Τένεδον ἀνεῖλε τὸν Ἀπόλλωνος.

19. δὲ B: καὶ ‖ τὸν καιρὸν B ‖ 26. προορῶμαι B, -ώμην ‖ 27. μή τι τοι ‖ 27, 28. τὴν ἐκ θ. μῆνιν B ‖ 28. φθόνον W: θάνατον ‖ 32. αἱ ψυχαὶ post ἀπ. add. B ‖ 33. lacunam indicavi ex B supplendam

Digitized by Google

362. ἐκ ῥεθέων] Αἰολεῖς τὸ πρόσωπον ῥέθος.

B= 365. τέθναθι] ὑπερβολὴ ὀργῆς τὸ καὶ πρὸς νεκρὸν διαλέγεσθαι.

B= κῆρα δ' ἐγὼ τότε δέξομαι] καλὸν τοῖς νέοις μεμνῆσθαι τῶν ἐπῶν· ὁ δὲ Ἕκτωρ φιλοψυχῶν πρὸς τὸν Πάτροκλόν φησι "τί νυ μοι μαντεύεαι αἰπὺν ὄλεθρον" (Il. 16. 859).

367. καὶ ἐκ νεκροῖο εἰρύ⟨σ⟩σατο] ἔστι πάλιν ὡς ἐπὶ γραφῆς τὸ πᾶν σκοπῆσαι.

B= 369. περίδραμον] ὡς γὰρ ἐπὶ παράδοξον πρᾶγμα συνθέουσιν.

B= 370. οἳ καὶ θηήσαντο] καὶ ταῦτα εἰς οἶκτον τοῦ ἀνῃρημένου.

B– 371. οὐδ' ἄρα οἵ τις ἀνουτητί] δημώδους πλήθους τὸ πάθος· αὔξει δὲ τὴν ἀρετὴν τοῦ κειμένου· ὃ εἰδυῖα Ἀνδρομάχη φησὶ "χωόμενος, ᾧ δή που ἀδελφεὸν ἔκτανεν Ἕκτωρ" (Il. 24. 736). δύο δὲ συνέχονται πάθεσιν, ἐκπλήξει τε καὶ μίσει.

ἀνουτητί] εἰ μὴ ἔτρωσεν αὐτόν.

B– 373. ἦ μάλα δή] ὁ λόγος σαρκαστικός, ὅταν ἐν ἐπαίνῳ λεγόμενος ψόγον ἔχῃ, ὡς τὸ "ἦ μάλ' ἐλαφρὸς ἀνήρ" (Il. 16. 745) καὶ "ὄφρ' ἐπὶ νηυσὶ συνώμεθα" (Il. 13. 381).

B= 375. ⟨εἴπεσκε καὶ⟩ οὐτήσασκε] ἅμα λέγοντες καὶ ἐτίτρωσκον. τὸ δὲ ὁμοιοτέλευτον σχῆμα οὐκ ἐπὶ τέλους· ἔνθεν λανθάνει τὸν ἀκροατὴν προσέχοντα ταῖς αἰκίαις Ἕκτορος.

A~ 379. ἐπειδὴ τόνδ' ἄνδρα] σημειῶδες, ὅτι καὶ ἀκεφάλοις χρῆται ὁ ποιητής· ὥστε οὐ δεῖ προπερισπᾶν τὸ "φίλε κασίγνητε" (Il. 21. 308).

A+B– ἄλλως: ἐπειδὴ τόνδ' ἄνδρα] τὴν αἰτίαν τοῦ πράγματος προὔθηκεν· ἔδει γὰρ εἰπεῖν 'δεῦτε, πειραθῶμεν, εἰ καταλείψουσι πόλιν ἄκρην· ἐπειδὴ τόνδε ἄνδρα·' ἔστι δὲ ὅμοιον τῷ "πολλοὶ γὰρ τεθνᾶσι καρηκομόωντες" (Il. 7. 328).

B= ἄλλως: ἐπειδὴ τόνδ' ἄνδρα] παιδευτικὸν καὶ τοῦτο πρὸς εὐσέβειαν· ἐπὶ τηλικούτῳ γὰρ κατορθώματι οὐδὲν ἀλαζονεύεται.

B= 381. εἰ δ' ἄγετε] στρατηγικῶς μὲν τὸν καιρὸν συνίησι, καταπλήσσων τοὺς πολεμίους παρὰ τὴν πτῶσιν τῶν ἀπολωλότων, φιλοστόργως δὲ μετάγεται τὸ φιλέταιρον προτιθεὶς τοῦ φιλοτίμου.

385. ἀλλὰ τίη μοι ταῦτα] ἐνταῦθα ἀνακύπτει τὸ δεξιὸν τῆς οἰκονομίας τὸ πρὸ τῆς Πατρόκλου ταφῆς ἐξιέναι τὸν Ἀχιλλέα.

11. αὔξει scripsi: αὔξων || 15. ὁ λόγος B: /// κτερος || 21. σημειωτέον D || 32. προθεὶς B

Digitized by Google

ἄλλως: ἀλλὰ τίη μοι ταῦτα] οἱ περὶ Ἡρόδικόν φασι προφασίζεσθαι αὐτὸν τὸν περὶ τὰς Σκαιὰς πόλεμον.

390. αὐτὰρ ἐγὼ καὶ κεῖθι] ἀμέλει καὶ ἐν Ἅιδου συνὼν αὐτῷ ὁρᾶται (Il. 11. 468). κάλλιστον οὖν πρὸς φιλεταιρίαν. B+

391. νῦν δ' ἄγ' ἀείδοντες παιήονα] πῶς τὸν πολέμιον Ἀπόλλωνα ᾄδει; ἤ, ὡς Τρῶες Ἀθηνᾶν (Il. 6. 87 sqq.), εὐμενίζονται τὸν θεόν, ἢ εὕρημα μὲν αὐτοῦ ὁ παιάν, οὐ πάντως δὲ εἰς αὐτὸν ὁ ὕμνος· μετὰ δὲ τὴν νίκην τοῦ δράκοντος αὐτὸν ἐξεῦρεν. B−

παιήονα] ὅτι οὐ μόνον συμποτικὴ ἡ πάλαι μουσικὴ ἀλλὰ καὶ εἰς θρήνους ⟨ἐπιτηδεία⟩· ἥτις καὶ μέχρι τῶν Πυθαγορ⟨ε⟩ίων ἐθαυμάζετο, καλουμένη κάθαρσις· περὶ δὲ τὴν ἐαρινὴν εἰς ταὐτὸν συνιόντες ἤκουον ἑνός, ὃς μέσος καθήμενος ᾖδε λύριον ἔχων ταῖς ἠρεμαίοις ἁρμονίαις· Ἀχιλλεὺς δὲ μόνος (Il. 9. 189) καὶ Πάρις (Il. 3. 54) ᾄδει παρ' Ὁμήρῳ, ὃ μὲν ὑπὸ Χείρωνος τοῦ καὶ Ὀρφέα παιδεύσαντος, ὃ δὲ ἐν Ἴδῃ τραφείς, οὗ διέτριψαν οἱ Ἰδαῖοι δάκτυλοι μουσικώτατοι γεγονότες καὶ πολλὰ εἰς τήνδε τὴν τέχνην ⟨συμβαλόμενοι⟩, ὧν ἕνα Κρινόεντά φασιν, ὃς πρῶτος Μούσαις ἔθυσεν, οὗ ἀπόγονος Τέρπανδρος ὁ Ἀντισσαῖος. ἐπὶ δὲ τοῦ "ὅς τ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι" (Od. 14. 464) οὐκ ἀποδοκιμάζων τὸ ᾄδειν φησίν, ἀλλὰ τὸ "μάλα" τό τε "ἁπαλὸν γελάσαι" (ib. 465), ὅ ἐστι καγχάσαι· ἡ δὲ ἁπαλὴ ὄρχησις μόθων καὶ βαυκισμὸς καὶ σχεδισμὸς ἅπαντα τοῖς μαλακοῖς δίδοται. B−

ἄλλως: παιήονα] τὸν ἐπὶ καταπαύσει κακῶν ᾀδόμενον ἢ ἐπὶ τῷ μὴ γενέσθαι.

393. ἠράμεθα] Ἑλληνικῶς κοινοποιεῖ τὴν νίκην καὶ ἀναζωπυρῶν τὸ συμμαχικὸν οἴχεταί φησι Τρωσὶ τὰ πράγματα μετὰ τελευτὴν Ἕκτορος. B−

395. * ἀεικέα] αἰκιστ⟨ικ⟩ά. B+

396. μετόπισθε ποδῶν] ἐκ τοῦ ὑποκάτωθεν μέρους τοῦ κατὰ τὴν πτέρναν ἕως ἐπὶ τὸ σφυρόν, ὥστε ὅλην λύσασθαι τὴν ἀγκύλην· Λεπτίνης δὲ κακῶς φησιν "ἐκ πτέρνης" (397) τοῦ ἅρματος. B−

401, 2. χαῖται—πίμπλαντο] "πίτναντο" ἐξεπετάννυντο διὰ τοῦ τ̄. §. τινὲς δὲ "πίλναντο." B+

10. supplevi ex B ‖ 12. μέσος Bekker: -οις ‖ 13. ᾄδει scripsi: οἶδε ‖ 15. Ἰδαῖοι Bekker: Ἰουδαῖοι ‖ μουσικώτατοι Bekker: -τεροι ‖ 16. suppl. W ‖ 18. ὁ Bekker: οὗ ‖ 20. διὰ post ἀλλὰ del. W ‖ τε W: δὲ ‖ 21. καγχάσαι scripsi: καὶ ᾆσαι ‖ 22. σχεδιασμός coni. Heyne ‖ 25. ἀναζωπυρῶν B: ἀναζωοποιῶν ‖ 27. supplevi ex B ‖ 29. ἕως scripsi: ὡς ‖ 32. πίδναντο: corr. Ludwich

403. τότε δὲ Ζεύς] πῶς ὁ καὶ παρὰ τὴν εἱμαρμένην θέλων σῴζειν οὐκ ἤμυνεν; ἢ ὅτι παρείπετο τῷ θανάτῳ ἡ αἰκία. ἐάσας οὖν ἀποθανεῖν καὶ αἰκισθῆναι εἴασεν. ἢ τὸ "δῶκεν" ἀντὶ τοῦ 'οὐκ ἤμυνεν.'

B= 405. ἡ δέ νυ μήτηρ] οὐ λειποψυχεῖ ὡς ἐθὰς φόνων υἱῶν καὶ προαρξαμένη τῆς λύπης ἐν τῷ διώκεσθαι αὐτόν (81). τῇ δὲ Ἀνδρομάχῃ ἀθροῦν προσέπεσε τὸ πάθος.

406. ⟨τίλλε κόμην⟩, ἀπὸ δὲ λιπαρὴν ⟨ἔρριψε καλύπτρην⟩] ἤλλαξε τὴν τάξιν· ῥίψασα γὰρ ἔτιλλεν.

B= 408. ᾤμωξεν—πατήρ] ἐπὶ δὲ τῆς θηλείας "κώκυσεν" (407)· ἡ μὲν γὰρ ἀνάρθρως, ὁ δὲ μετὰ λόγου. καὶ ἑξῆς (409), κωκυτῷ τ' εἴχοντο γυναικείῳ καὶ οἰμωγῇ ἀνδρῶν.

A+ 410. ὡσεὶ ἅπασα] τινὲς τὸ "ὡσεί" διὰ τοῦ ῑ γράφουσι καὶ δασύνουσιν, ἀντωνυμίαν ἐκδεχόμενοι τρίτου προσώπου ἀντὶ τοῦ ὡς αὐτή· ἀλλ' οὐ χρῆται αὐτῇ ὁ ποιητής· Σοφοκλῆς Οἰνομάῳ (fr. 427 N.) "ἡ μὲν ὡς ἳ θάσσον', ἡ δ' ὡς ἳ τέκοι παῖδα·" ἔστιν οὖν δίφθογγος.

ἄλλως: ὡσεὶ ἅπασα] καὶ Θουκυδίδης (VII c. 75) "οὐδὲν γὰρ ἄλλο ἢ πόλει ἁλισκομένῃ ἐῴκεσαν."

411. ὀφρυόεσσα] ἐπὶ ὀφρυώδους τόπου κειμένη.

B+ 414. κατὰ κόπρον] "κόπρον" τὰ κόπρια· ἔστι δὲ καὶ ἐπίγραμμα, ὃ εἰς Ἐπίχαρμον (fr. spur. 20 L.) ἀναφέρεται "εἰμὶ νεκρός, νεκρὸς δὲ κόπρος, γῆ δ' ἡ κόπρος ἐστίν· εἰ δ' ἡ γῆ θεός ἐστ', οὐ νεκρὸς ἀλλὰ θεός."

415. ἐξονομακλήδην] οὐ κοινῶς ἀλλ' ἰδίως.

B= 416. καί μ' οἶον ἐάσατε] ὀνειδιστικῶς· εἰ καὶ ὑμεῖς οὐ δοκεῖτε ἐξελθεῖν, ἐμὲ μόνον ἐάσατε.

A– κηδόμενοί περ] Ἀρίσταρχος "κηδόμενοι·" ὁ δὲ "πέρ" πλεονάζει.

418. λίσσωμαι] λείπει ὁ ἵνα, 'ἵνα λίσσωμαι.'

B= ⟨λίσσωμαι⟩ ἀτάσθαλον] λοιδορῶν ἱκετεύει, ἐπεὶ στασιάζει ἐπ' αὐτῷ τῷ πάθει.

B= 419. ἤν πως ἡλικίην] προμελετᾷ τὴν ἱκετηρίαν.

11. ἀνάρθρως W: -ος ut B ‖ ὁ B: ἡ ‖ 16. ἡ μὲν ὡς ἳ θάσσον' ἡ δ' ὡς ἳ τέκοι π. Dindorf: εἰ μὲν ὡσεὶ θάσσονα εἴδως εἰτέκοι π. Apollonius de pron. p. 70 B., ἡ μὲν ὡσεὶ θάσσονα ἡ δὲ ὡσιτέξου π. ‖ 19. ἐκπεπολιορκημένῃ Thuc. codd. ‖ 23. δ' ἡ alt. Hartung: δὲ ‖ 23, 24. κόπρος γῆ δ' ἡ κόπρος ἡ δὲ γῆ νεκρός omissis ceteris B et Leidensis de quo cf. Herm. XIX p. 540 ‖ 24. θεὸς Cobet: νεκρὸς ‖ 29. λίσσομαι lemma

Digitized by Google

420. καὶ δέ νυ τῷ γε πατήρ] τοῦτο πρῶτον ἱκετεύων προβάλλεται· "μνῆσαι πατρὸς σεῖο" (Π. 24. 486). B=

423. τηλεθάοντας] ἀντὶ τοῦ 'θήλεα⟨ς⟩ ὄντα⟨ς⟩·' οὐ γὰρ ἔγκειται τὸ 'τῆλε.'

425. κατοίσεται] κατοίσει.

428. δυσάμμορος] δεδιπλασίακε πρὸς τὴν ἐπίτασιν· τὸ γὰρ δυς καὶ ᾱ ταὐτὸν δηλοῦσιν. B=

429. στενάχοντο πολῖται] "στενάχοντο γέροντες·" ἄμεινον δέ· ἁρμόζοντα γὰρ πατράσιν εἴρηκεν. A–

430. ἀδινοῦ] οἰκτροῦ κατὰ Αἰτωλούς· Ἀρίσταρχος ἀθρόου. B+

431. τέκνον] ἡ συνεχὴς ἀνάκλησις ἐπικουφίζει. B=

τί νυ βείομαι] ⟨"βίομαι"⟩ οὕτως Ἀρίσταρχος 'πῶς ζήσομαι.' A–B=

§. τὸ δὲ "αἰνὰ τεκοῦσα" ὡς τὸ "δυσαριστοτόκεια" (Il. 18. 54). τινὲς δὲ "παθοῦσα." B=

432, 3. ὅ μοι νύκτας τε καὶ ἦμαρ ⟨εὐχωλὴ—πελέσκεο⟩] καθ' ἑκάστην οὖν ἡμέραν ὡς θεῷ σωτῆρι σοὶ ηὔχοντο· καὶ ὁ ζῶν ἰσόθεος (434) νῦν οὐδὲ νεκρὸς εὐτυχής. AB=

433. εὐχωλή] ἐμοὶ μὲν δόξα, τοῖς δὲ πολίταις ὄφελος. AB=

437. ἄλοχος δ' οὔ πω] ἅμα πάντα γέγονεν—ἀμέλει καὶ ἐξελθοῦσα ἀκμὴν εὑρίσκει αὐτὸν ὑπὸ τῶν ταχέων ἵππων ἑλκόμενον—ἀλλ' ἀδύνατον πάντα ὑφ' ἓν διηγήσασθαι.

οὔπω τι πέπυστο] ἢ τὰ αὐτὰ γὰρ ἂν εἶπε τοῖς γονεῦσι καὶ περισσὴ ἐφαίνετο, ἢ ἐλεεινότερον εἰποῦσα καὶ ἐλύετο ⟨ἂν⟩ ἡ ὑπόθεσις.

440. ἱστὸν ὕφαινε] οἰκείως ἔχει ὁ μυχὸς πρὸς τὸ μὴ ῥᾳδίως αἰσθέσθαι. B=

441. δίπλακα ⟨πορφυρέην⟩] διπλοΐδα, ἣν οἷόν τε διπλῆν περιβάλλεσθαι. §. γράφεται καὶ "μαρμαρέην." B=

θρόνα] τὰ βαπτὰ ἔρια, κατὰ μετωνυμίαν, ὁμοίως τοῖς ποιοῦσι τὰ ποιούμενα. A=B–

ἔπασσεν] πάσσειν Κύπριοι τὸ ποικίλλειν· ἀφ' οὗ καὶ ὁ παστός. AB=

443. τρίποδα] αὔξει τὸ πάθος· τοσοῦτον γὰρ ἀπέχει τοῦ ἐννοεῖν τι τῶν συμβεβηκότων, ὡς καὶ λουτρὰ τῷ ἀνδρὶ παρασκευάζειν, μονονουχὶ ὁρῶσα αὐτόν· διὸ καὶ ἐπεφώνησεν ὁ ποιητὴς συμπαθῶς τὸ "νηπίη οὐδ' ἐνόησεν" (445), ὥσπερ ἐλεῶν τὴν ἄγνοιαν αὐτῆς. AB=

3. suppl. Bekker ‖ 4. τῆλε Et. M. s. v.: τῆδε ‖ 12. supplevi ex B ‖ 17. εὐτυχής B: -εῖς ‖ 23. ἡ ὑπόθεσις W: ἡ ὑπὸ θεοῦ ‖ 24. μυχὸς cf. B: μῦθος ‖ 26. οἷόν τε B: οἴονται ‖ 26, 27. περιβαλέσθαι B ‖ 28. μετωνυμίαν scripsi: μετουσίαν ut A

Digitized by Google

445. τῆλε λοετρῶν] εἰώθαμεν λέγειν, ὅτι 'οὐκ ἐν τούτῳ ὁ παρὼν ἐστι καιρός.'

446. χερσὶν Ἀχιλλῆος δάμασεν] τὸ γὰρ προακουόμενον πάθος ἐκλύεται, τὸ δὲ παράδοξον ἀνιᾷ.

B= 448. τῆς δ' ἐλελίχθη γυῖα] ἀνυπέρβλητον τὸ πάθος· ἐννοεῖν γὰρ χρὴ ποδαπὴ ἔσται ἐπιγνοῦσα τὴν συμφοράν, ὁπότε ἐν ἀμφιβόλῳ τῇ ὑπονοίᾳ κατείληπται μὲν τρόμῳ, ὅπερ σημαίνει διὰ τοῦ "τῆς δ' ἐλελίχθη γυῖα," ἀκρατὴς δὲ γέγονε τῶν ἐν χερσίν. οὐ γὰρ ἐκβάλλει τὴν κερκίδα ὡς ἐγνωκυῖα τὸ κακόν, ἀλλὰ χαλασθέντων αὐτῇ τῶν μελῶν ἐκπίπτει τῶν χειρῶν.

ἐλελίχθη] τρόμῳ περιεσείσθη.

κερκίς] παρὰ τὸ κρέκειν· ἐπῇδον γὰρ αὐταῖς.

450. ὅτιν' ἔργα] ἄμεινον "ἅτι⟨ν⟩" ἀντὶ τοῦ ἅτινα.

B= 451. ἑκυρῆς] δι' ἔθους μὲν γὰρ οἰμωγῆς ἤκουε, τὸ δὲ τῆς Ἑκάβης ἐξένισεν αὐτήν.

B= 452. πάλλεται ἦτορ] ἐμφαντικῶς δηλοῖ τὴν ψυχὴν ἐκπηδῆσαι βιαζομένην.

B= 452, 3. γοῦνα πήγνυται] Καλλίμαχος "ἐκόλλησαν γὰρ ἀνῖαι γο⟨ύ⟩νατα" (Lav. Pall. 83).

B= 455. θρασὺν Ἕκτορα] οἶδε γὰρ αὐτοῦ τὸ φιλότιμον· φησὶ γοῦν "φθίσει σε τὸ σὸν μένος" (Π. 6. 407). §. ὅτι εἴωθεν ὁ ποιητὴς τὸ ἓν ἐν δύο περικοπαῖς φράζειν.

457. ἀγηνορίης ἀλεγεινῆς] τῆς ἐμοὶ λυπηρᾶς.

459. προθέεσκε] ἐβόα γοῦν "δεῦρ' ἴτω ἐκ πάντων πρόμος ἔμμεναι" (Π. 7. 75).

τὸ ὃν μένος οὐδενὶ εἴκων] οὐδενὶ παραχωρῶν τὴν ἑαυτοῦ ψυχικὴν δύναμιν.

460. μαινάδι ἴση] μαινομένῃ ἐοικυῖα.

B= 463. παπτήνασα] εὖ τὸ μὴ πυθέσθαι παρ' ἑτέρων· ἀλλὰ ψυχῆς ταρασσομένης ἔργον τὸ αὐτόπτην ἐθέλειν γενέσθαι.

B= 465. ἀκηδέστως] ἐπὶ τῆς Ἀχιλλέως διαθέσεως "ἀκηδέστως."

1. ? ‖ 7. τρόμῳ B: τρόπῳ ‖ ῡ post τοῦ omisi ut B; signum scholii finiti ibidem delevi et schol. cum sequentibus verbis coniunxi ut B ‖ τῆς δ' ἐλ. γυῖα pro lemmate scripta ‖ 8. ἀποβάλλει B, εἰσβάλλει ‖ 13. ὅτιν' textus: ὅττι ‖ supplevi ex B ‖ 18. ἀνίαι ‖ 19. γούνατα etiam B ‖ 28. super μαινάδι add. rec. Βάκχῃ et post ἴ. ὁμοία Βάκχῃ ‖ 29. πυθέσθαι B: πείθεσθαι ‖ 31. ἐπὶ B: ἀπὸ

Digitized by Google

οἶκτον δὲ ἔχει καὶ τὸ ἐν ὄψει τῶν φιλτάτων ἕλκεσθαι, οὐδενὸς ἀμύνειν δυναμένου.

466. τὴν δὲ κατ' ὀφθαλμῶν] τῆς μὲν τὸ πάθος ἐμάρανεν ἡ κατ' ὀλίγον ὄψις, τὴν δὲ ἡ αἰφνίδιος ὄψις ἐπάταξεν. B=

467. ἀπὸ δὲ ψυχὴν ἐκάπυσ⟨σ⟩εν] ὑπερβολικῶς 'ἐξέπνευσεν.' B=

468. τῆλε δ' ἀπὸ κρατός] καὶ πῶς ἀποψύξασα ἐνεργεῖ; ἔστι δὲ σύνηθες Ὁμήρῳ τὸ ὀφειλόμενον ἁπλῶς ἑρμηνεύεσθαι ἐν δυσὶ περικοπαῖς ἐκφέρειν. B+

χέε] οὕτως αἱ κοιναί· Ἀρίσταρχος δὲ "βάλε." A=

δέσματα σιγαλόεντα] εἰς μνήμην ἄγει τῆς παλαιᾶς εὐδαιμονίας, ὅπως τῇ μεταβολῇ αὐξήσῃ τὸν οἶκτον. μὴ ἐῶν δὲ ἡμᾶς ἄσχημόν τι σκοπεῖν περὶ τὸ πτῶμα τῆς γυναικός, ἠσχόληκέ τε ἡμᾶς περὶ τὴν κεφαλὴν αὐτῆς καὶ περιέστησε τὰς συγγενεῖς. ὅρα δὲ καὶ ἐν τοῖς λεπτοτάτοις τὴν παρατήρησιν τοῦ ποιητοῦ. ἐπὶ μὲν γὰρ τῆς Ἑκάβης διὰ συντόμων εἶπεν "ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην" (406)—ἑνὸς γὰρ ἔδει καλύμματος τῇ πρεσβύτιδι—ἐπὶ δὲ ταύτης ὡς ἂν νέας καὶ γυναικὸς τοῦ μάλιστα εὐδοκιμοῦντος ἐπεξεργασίᾳ κέχρηται. B=

469. ἄμπυκα ⟨κεκρύφαλόν τε⟩] κεκρύφαλος ὁ κροκύφαντος.

ἀναδέσμη σειρὰ ἣν κύκλῳ περὶ τοὺς κροτάφους ἀναδοῦνται. καλεῖται δὲ ὑπ' ἐνίων καλαυδέκη. κρήδεμνον δὲ τὸ μαφόριον· "σχομένη λιπαρὰ κρήδεμνα" (Od. 1. 334). A=B—

473. γαλόῳ] πρὸ μιᾶς ὁ τόνος· οὐδέποτε γὰρ παρὰ τῷ ποιητῇ συμφώνου προηγουμένου τοῦ ω̄ τρίτη ἀπὸ τέλους εὑρέθη ἡ ὀξεῖα· τοῦτο δέ φημι πρὸς τὸ παρ' Ἀττικοῖς φιλόγελως καὶ δύσερως. A~

ἄλλως: γαλόῳ] οὕτω τῇ γυναικὶ αἱ τοῦ ἀνδρὸς ἀδελφαί. "εἰνατέρες" δὲ αἱ τῶν ἀδελφῶν γυναῖκες πρὸς ἀλλήλας. AB=

474. μετὰ σφίσιν] ὀρθοτονητέον τὴν "σφίσιν" εἰς σύνθεσιν γὰρ λαμβάνεται. A+

ἀτυζομένην] ταρασσομένην, ἄτῃ συνεχομένην· ἢ ⟨ἑαυτὴν⟩ ἀπορρῖψαι τοῦ τείχους θέλουσαν· ἔλεγε γὰρ "ἐμοὶ δέ κε κέρδιον εἴη σεῦ ἀφαμαρτούσῃ χθόνα δύμεναι" (Il. 6. 410). ἔστι δὲ ἰδεῖν οἰκτροτάτην ὄψιν, ἐκεῖθεν μὲν κατεχόμενον ἐξελθεῖν θέλοντα ἐπὶ Ἀχιλλέα B=

3. 'τῆς scil. Hecubae' W || 7. σύνηθες B: συνήθης || 8. ταῦτα post ἐκφ. delevi; natum videtur ex αὐτὰρ quod in B subsequitur || 9. αἱ κοιναί A: ἡ καινή || 17. μᾶλλον B || 19. ἀναδέσμη pro lemmate scriptum || 20. καλαυδέκη vel καλανδέκη legi, καλαυδάκη A || μαφόριον etiam Eust., maforte Serv. Aen. I 282: ὠμοφόριον Leidensis || 29. supplevi ex B || 32. Πριάμου post μὲν omisi

καὶ θανατῶντα τὸν γέροντα, ἐντεῦθεν δὲ τὴν Ἀνδρομάχην ὑπὸ τῶν γυναικῶν διειλημμένην.

AB+ 475. ἄμπνυτο] "ἔμπνυτο" διὰ τοῦ ε̄, ἀντὶ τοῦ ἔμπνους ἐγένετο, ἐν ἑαυτῇ τὸ πνεῦμα συνῆξεν.

B= θυμὸς ἀγέρθη] ἠθροίσθη ἡ ψυχὴ ἐσκορπισμένη.

B= 476. ἀμβλήδην] ἀντὶ τοῦ οὐκ ἀπὸ τῶν παρεστώτων, ἀλλ' ἐκ προοιμίων.

B= 477. Ἕκτορ, ⟨ἐγὼ δύστηνος⟩] ἠθικὸς ὁ λόγος καὶ ἁρμόδιος γυ-
AB= ναικί. §. στικτέον δὲ μετὰ τὸ "Ἕκτορ" καὶ "δύστηνος."

B= ἐγὼ δύστηνος] ὁ γὰρ ἀποθανὼν πάντων κακῶν ἀπήλλακται.

A= 478. κατὰ δῶμα] αἱ κοιναὶ "ἐνὶ οἴκῳ."

A+ 480. τυτθὸν ⟨ἐοῦσαν⟩] ἀντὶ τοῦ τυτθήν, ὡς "θερμὸς ἀυτμή" (Hes. Th. 696).

A= 481. ⟨δύσμορος⟩ αἰνόμορον] οὕτως "αἰνόμορον," ὥστε τὸν μὲν Ἠετίωνα δύσμορον λέγεσθαι, "αἰνόμορον" δὲ τὴν Ἀνδρομάχην.

A+ 484. νήπιος αὔτως] ὡσαύτως νήπιός ἐστιν ὡς καὶ πρότερον.

B= ἄλλως: νήπιος αὔτως] "αὔτως" ὡς ἐγὼ χήρα καὶ οὗτος νήπιος, ἢ ματαίως γεγενημένος, ⟨ἵν'⟩ ᾗ ὃν αὔτως ἐτέκομεν. σύνηθες δὲ γυναιξὶν ἐν τῇ μνήμῃ τῶν ἀνδρῶν τῆς ὀρφανίας τῶν υἱῶν μνημονεύειν καὶ τὴν κοινὴν παιδοποιίαν ἀπολοφύρεσθαι.

B= 485. τέκομεν σύ τ' ἐγώ τε] οἶδεν ὅτι πρὸς τὴν γένεσιν τῶν παίδων γυνὴ καὶ ἀνὴρ σπέρμα καταβάλλονται.

οὔτε σὺ τούτῳ] τὸ σχῆμα ἀντιμεταβολή. §. δαιμονίως δὲ
B= ἔμιξε τὸ πάθος, ἐφ' ἑκατέρῳ οἶκτον κινοῦσα, ἐπί τε τῷ ἀπολειφθέντι τῆς τοῦ πατρὸς ἀρετῆς ἐπί τε τῷ μὴ ἀπολαύσαντι τοῦ παιδός.

A+B= 487. ἤν περ γὰρ πόλεμόν γε] ἕως τοῦ "δακρυόεις δέ τ' ἄνεισιν" (499) ἀθετοῦνται στίχοι ιγ', ὡς καὶ τὴν σύνθεσιν εὐτελεῖς καὶ τῷ καιρῷ ἀνάρμοστοι· ἀδολεσχίαν γὰρ ποιοῦσι τοσούτῳ προσώπῳ περικείμενοι. ἀλλὰ σύνηθες γυναιξὶ φλυαρεῖν ἐν τοῖς πένθεσι καὶ μάλιστα ἐπὶ τοῖς παισὶ πάθος κινεῖν.

B= 488. πόνος καὶ κήδεα] ἡ ἀτυχία πάντα τὰ χείρω προσδοκᾶν ἐπάγεται.

B= 489. ἄλλοι γάρ οἱ] ὁ μὲν γὰρ Πρίαμος ἐσχατογήρως, ἔργον δὲ σῶσαι χρήματά ἐστιν ὀρφανοῦ παιδός.

17. οὗτος νήπιος B: τοῦτο νήπιον || 18. γεγενημένον || ⟨ἵν'⟩ ᾗ W: ἢ || 23. ἀντὶ μεταβολῆς || δὲ scripsi: γὰρ || 24. ἑκατέρῳ B: -ων || 29. πένθεσι B: πάθεσι || 30. πάθεσι pro παισὶ B || 33. ἔργον ἐσχάτου γήρως B pro ἐσχ.

Digitized by Google

ἀπουρίσσουσιν] ἀφαιρήσονται. B=

490. ἦμαρ δ' ὀρφανικὸν παναφήλικα] τὸ τῆς ὀρφανίας ἦμαρ τῶν ἡλικιωτῶν ἔρημον τίθησι τὸν παῖδα. ἔνιοι δὲ διεσταλμένως "πᾶν," εἶτα "ἀφήλικα," ἵν' ᾖ πᾶν ἦμαρ τὸν ὀρφανικὸν παῖδα ἀφήλικα τίθησιν, ὅ ἐστιν ἐκτὸς τῶν ἡλικιωτῶν. AB=

491. πάντα δ' ὑπεμνήμυκε] πάντα αὐτῷ καταπέπτωκε καὶ κατακέκλιται, παρὰ τὸ ἠμύω ἐμήμυκα, καὶ περισσὸν τὸ ν. ἢ πάντα αὐτὸν εἰς ἀνάμνησιν ἄγει τοῦ δυσφορεῖν. AB= §. οὐδετέρως δὲ τὰ "παρειά." A+B=

494. κοτύλην] εἶδος ποτηρίου, οἱ δὲ τὸ κοῖλον τῆς χειρός. A+B=

495. ὑπερῴην] ὁ Παριαν[ο]ς τὰ οὖλα· ἀπὸ μέρους δὲ τὸ ⟨ὅλον⟩ στόμα. B+

496. ἀμφιθαλής] ὁ ἐπ' ἀμφοῖν εὐδαίμων· καὶ γὰρ "θαλίῃ ἐνὶ πολλῇ" (Π. 9. 143) τῇ εὐδαιμονίᾳ. B+

497. πεπληγώς] ἀντὶ τοῦ πλήσσων. A=

* ἐνίσσων] ἄμεινον "ἐνίπτων."

500. Ἀστυάναξ] τὸ ἀπὸ τῆς εὐδαιμονίας αὐτῷ συμβὰν ὄνομα λέγουσα πλέον οἰκτίζεται· καὶ ἐπαναλαμβάνει αὐτό (506). B−

501. μυελόν] ἐσήμανεν οἵοις καὶ ὅσοις δεῖ τιθηνεῖσθαι τοὺς παῖδας. εὖ δὲ τὸ ἁβροδίαιτον ἐδήλωσε μονογενοῦς καὶ βασιλικοῦ παιδός. B=

502. νηπιαχεύων] παραγωγόν ἐστι τὸ ῥῆμα παρὰ τὸ νηπίαχος, ὡς ἵππος ἱππεύω. A=

503. ἐν ἀγκαλίδεσσι] ἔχουσι γὰρ ἐν ταῖς ἀγκάλαις στρωμνὴν σύμμετρον· ἢ ὡς τῆς τροφοῦ συγκοιμωμένης αὐτῷ. ἐμείωσε δὲ τὴν λέξιν ὁμοίως τῇ βραχύτητι τοῦ παιδός. AB=

504. θαλέων] ἡδυσμάτων. B~

505. πάθησι] πάθοι. A+

507. ἔρυσο] συνεῖχες.

509. αἰόλαι] εὐκίνητοι. πιθανῶς δὲ ἀνέστρεψεν ἐπὶ τοὺς ὀδυρμούς, ἀφ' ὧν καὶ τὴν εἰσβολὴν πεποίηται. B=

511. λεπτά τε καὶ χαρίεντα] οὐ τὴν ταλασίαν ἑαυτῆς ἀλλὰ τὴν δυστυχίαν Ἕκτορος ἐμφαίνει, δι' αὐτὸν οὕτως ἐπιμελῶς ἐργασαμένη. B=

512. ἀλλ' ἤτοι τάδε πάντα] παθητικὰ ταῦτα καὶ βιωτικά· συναφανίζουσι γὰρ τοῖς τεθνεῶσι τὰ κάλλιστα, εἰς ἑτέρων ἥκειν αὐτὰ B−

3. ἀμφηλικιωτῶν B, ἀφηλικιωτῶν ‖ 6. ὑπεμνήμυκε B : ὑπεμήνυκε ‖ 7. ἐμήμυκα B: ἐμήνυκε ‖ 10. scil. Neoptolemus ‖ supplevi ⟨ὅλον⟩ ex B ‖ 25. πάθησι scripsi : ἀπὸ πατρός ‖ πάθοι W ex A : -ος ‖ cf. ad p. 404, 11 ‖ 27. ὀδυρμοὺς B : ὀδυρομένους



Digitized by Google

χρῆσιν φυλασσόμενοι· ἔστιν οὖν "ἀλλ' ἦ τοι" 'ἀλλὰ ὄντως σοι.' ἢ ἐγὼ μὲν φλέξω, σοὶ δὲ οὐκ ὄφελος· διὸ ψιλώσομεν τὸ "οὐδέν" (513), ὡς περισσοῦ ὄντος τοῦ ἕν· ὃ καὶ ἄμεινον.

513. ⟨ἐγ⟩κείσεαι] κείσεαι κείσῃ. §. ἐνετίθετο γὰρ τὰ σώματα τοῖς ἱματίοις, ὡς ἀπὸ Λαέρτου (Od. 2. 99 al.) καὶ Ἕκτορος (Il. 24. 720) δῆλον· ἔστι δὲ γυναικεῖον, ὡς τότε ⟨ἂν⟩ ὠφελίμου οὔσης τῆς ἐσθῆτος, εἰ συνέκειτο αὐτοῖς.

## ΕΙΣ ΤΗΝ Ψ.

A− 1. πτόλιν] Κυπρίων τῶν ἐν Σαλαμῖνι ἡ λέξις· κεῖται δὲ καὶ παρὰ κωμικῷ Ἀναξανδρίδῃ ἐν Σωσίππῳ (fr. 44 K.).

ὅτι τὸ πτόλις καὶ παρὰ κωμικοῖς.

AB= 2. νῆας] τὸν τόπον τῶν νηῶν.

B= Ἑλλήσποντον] τὴν μέχρι Σιγείου θάλασσαν.

B= 3. * ἐσκίδναντο] ἀπ' ἀλλήλων ἐχωρίζοντο.

A+B= 4. * ἀποσκίδνασθαι] ἀφ' ἑαυτοῦ χωρίζεσθαι· ἢ παρέλκει ἡ "ἀπό," ὡς ἐν τῷ "ἀπητίμησε" (Il. 13. 113).

6. ⟨Μυρμιδόνες⟩ ταχύπωλοι] καὶ ὁ θεὸς ἐν τῷ πρὸς Αἰγιεῖς χρησμῷ "ἵππον Θεσσαλικήν" (cf. Anth. Pal. XIV 73, schol. Theocr. XIV 47).

A− 7. μὴ δή πω] μηδέπω. Λοκροὶ δὲ οἱ πρὸς τῇ Ἰταλίᾳ χρῶνται τῷ η̄ ἀντὶ τοῦ ε̄.

B− 8. αὐτοῖς] λείπει ἡ σύν, ὡς τὸ "αὐτῷ γωρυτῷ" (Od. 21. 54).

B+ 10. τεταρπώμε⟨σ⟩θα γόοιο] Αἰσχύλος (fr. 375) "οἵ τοι στεναγμοὶ τῶν πόνων ἰάματα."

B= 12. οἱ δ' ᾤμωξαν] ἰάσατο τὸ ἀπρεπὲς τοῦ κλαίειν ἐνόπλους στρατιώτας διὰ τῆς Θέτιδος. καὶ ἦρχεν Ἀχιλλεὺς τῆς οἰμωγῆς, οἱ δὲ συνῴμωξαν, ὥσπερ ἐνδόσιμον λαβόντες ὑπὸ τοῦ Ἀχιλλέως.

14. μετὰ δέ σφι Θέτις] ἣ καὶ αὐτὴ ἀνακαλουμένη ἢ θείᾳ δυνάμει ἐμπνεύσασα συμπάθειαν αὐτοῖς.

AB= 15. τεύχεα φωτῶν] τινὲς διαστέλλουσιν ἐπὶ τὸ "τεύχεα," ἵνα, φασί, τοῖς τῶν ἀνθρώπων δάκρυσιν αἵ τε ψάμαθοι καὶ τὰ ὅπλα βρέχηται· τερατῶδες γὰρ τὸ δακρύειν τὰ ὅπλα.

1. ἦ τοι W : ἤτοι || 4. κήσεαι κιήσῃ || σώματα scripsi : ὅπλα || 8. addidi || 10. Ἀναξανδρίδῃ Meineke Com. I p. 373 : Ἀλεξανδρίδῃ || 11. schol. p. 403, 25 post πάθος additum : traiecit W || 20. ante Λ. omisi ὡς τὸ εἰς κόρακας, quod ad Il. 22. 498 refert W || 23. οἵ τε schol. Soph. El. 286 || 24. ἐρείσματα schol. Soph. || 28. ἣ κ. W : ἡ κ.

Digitized by Google

16. τοῖον γὰρ πόθεον] "τοῖον" αὐξητικῶς κατὰ ἔμφασιν· οἱ δὲ A=B+ γλωσσογράφοι ἀντὶ τοῦ ἀγαθὸν ἤκουσαν.

μήστωρα φόβοιο] μήσασθαι φυγὴν πολεμίοις δυνάμενον. B=

17. ἄλλως: ἀδινοῦ—γόοιο] ἀθρόου, οἰκτροῦ· δεῖ γὰρ ἐν τοῖς θρήνοις B= προϊέναι μὲν ἀθρόον τὸ πνεῦμα, μὴ δυνάμενον δὲ φέρειν ὑπεκλύεσθαι.

18. χεῖρας ἐπ' ἀνδροφόνους] δίχα δύναται, ἐάν τε αὐτὸς ᾖ ὁ τὰς AB= χεῖρας ἐπιτιθεὶς τῷ φίλῳ, ἐάν τε τὰς ἐκείνου χεῖρας τοῖς στήθεσι λέγῃ τὸν Ἀχιλλέα ἐπιτιθέναι.

19. χαῖρέ μοι, ὦ Πάτροκλε] οἴκτου κινητικὸν ἡ πρὸς νεκροὺς AB= ὁμιλία. κατέχεται δὲ τῇ κοινῇ ἐννοίᾳ ὁ Ἀχιλλεύς, καὶ ἔοικεν ἀηδές τι τὸν θάνατον ὑπειληφέναι· τοῦτο γοῦν ἐν ὑπερβολῇ φησὶ "καὶ εἰν Ἀίδαο δόμοισιν" ὧν χαῖρε, οἷον, εἰ ἔστι παραμυθία καὶ χαρὰ ἐν τοῖς τετελευτηκόσι, ταύτην δέχου παρ' ἡμῶν.

20. τελέω] ὅσον οὔπω 'τελέσω.'

21. "δάσασθαι·" ἔδει μέλλοντος εἶναι 'δάσεσθαι.'

δάσασθαι] οἱ μὲν Ἕκτορα δάσασθαι λείποντος τοῦ τέ, οἱ δὲ μερί- B− σασθαι. εἰώθασι δὲ κύνες ἄλλος ἄλλοθεν ἀποσπᾶν καὶ μερίζεσθαι τὸ σῶμα.

24. ἀεικέα μήδετο ἔργα] ἀπεοικότα διετίθει ἔργα—τοῦτο δέ ἐστι B− τὸ ἐπὶ στόμα ἐκτεῖναι τὸ σῶμα καὶ ἐνυβρίζειν τῷ οὐκ ἀντιλαμβανομένῳ· "κωφὴν γὰρ δὴ γαῖαν" (Il. 24. 54)—ἢ τοῦτο ἀεικὲς τὸν μείζω παρὰ τῇ τοῦ ἥσσονος ἐρρῖφθαι σκηνῇ.

μήδετο ἔργα] νῦν ἀντὶ τοῦ εἰργάζετο. B+

26. οἳ δὲ—ἕκαστοι] ἀντὶ τοῦ 'τῶν δὲ ἕκαστος.' B=

28. παρὰ νηί] λείπει 'καὶ σκηνῇ,' ὡς "παρά τε κλισίῃ καὶ νηὶ μελαίνῃ" (Il. 1. 329)· φησὶ γοῦν "ὅς μοι ἐνὶ κλισίῃ δεδαϊγμένος ὀξέι χαλκῷ κεῖται" (Il. 19. 24).

29. τάφον] ἰδίως νῦν ἐπὶ τοῦ μὴ ταφέντος· φησὶ γοῦν "χεύαντες B∼ δὲ τὸ σῆμα πάλιν κίον· αὐτὰρ ἔπειτα" (257) καὶ ἐπ' Αἰγίσθου "δαίνυ τάφον Ἀργείοισιν—αὐτῆμαρ δέ οἱ ἦλθεν" (Od. 3. 309, 11)· εἰ δὲ εὑρήκει αὐτόν, οὐκ ἂν εἴασε ταφῆναι· φησὶ γοῦν "τῷ κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν" (ib. 258), εἰ μὴ τὸ "δαίνυ" ἀντὶ τοῦ παρεσκεύαζεν. Κύπριοι δὲ "τάφον" τὸν φόνον· "πολέων τάφῳ ἀνδρῶν ἀντεβόλησα⟨ς⟩" (Od. 24. 87), ὅ ἐστι φόνῳ.

4. γόου ‖ 15. lemma ἀδινοῦ γόου (17) omisi et v. 21 scholion adscripsi ‖ 16. τε W : ῑ ‖ 17. ἄλλοσε alt. B ‖ 19. δετο post μήδετο omisi ‖ 31. τῷ καὶ

Digitized by Google

B= 30. πολλοί] ἡ ἐπανάληψις τοῦ "πολλοί" (31) τὸ πλῆθος ἐμφαίνει καὶ τὸ ἀόριστον.

B− βόες ἀργοί] ταχεῖς· ἀλλὰ εἰλίποδες. λευκοί· ἀλλ' οὐ θύεται λευκὸν τοῖς τεθνεῶσιν· δῆλον ἐκ τοῦ "ἔνθ' ὄιν ἀρνειὸν ῥέζειν θῆλύν τε μέλαιναν" (Od. 10. 527) καὶ "ὄιν ἱερευσέμεν οἰῳ παμμέλανα" (ib. 524). ἢ οὖν μετὰ τὸ ἐκδαρῆναι διὰ τὴν πιμελήν. ἢ ὅτι οὐ τῷ Πατρόκλῳ, ἀλλ' εἰς τὸ δεῖπνον τῶν ζώντων τοὺς βόας ἔθυον. ἢ ἀργῶς, ὅ ἐστι ταχέως, ὡς "ταχέες δ' ἱππῆες ἄγερθεν" (287). τινὲς δὲ "ἀργοί" συνεχεῖς, ταχεῖς, ἀδιάλειπτοι· ἢ "ἀργῷ—σιδήρῳ" τῷ πολιῷ.

B− ἄλλως: ὀρέχθεον] κατὰ μίμησιν ἤχου τραχέος πεποίηται τὸ ῥῆμα, ἀντὶ τοῦ ἔστενον ἀναιρούμενοι. ἢ ἐξετείνοντο ἀποθνήσκοντες, ὡς τὸ "κεῖτο μέγας μεγαλωστί" (Π. 16. 776).

30, 1. σιδήρῳ σφαζόμενοι] τινὲς ἀθετοῦσιν ὡς οὐκ ὄντος σιδήρου τότε· τί οὖν φασι "πολιόν τε σίδηρον" (Il. 9. 366).

B= 31. μηκάδες] οὐκέτι ὀρέχθεον, ἀλλ' 'ἐμήκαζον.'

33. εὑόμενοι τανύοντο] ἀντὶ τοῦ τὴν πιμελὴν ἐτήκοντο.

B− ἄλλως: εὑόμενοι ⟨τανύοντο⟩] εὕειν τὸ τὰς τρίχας ἀποκαίειν. "εὗσε—μίστυ⟨λ⟩λέν τε" (Od. 14. 75). 'ἐκτεταμένοι ὠπτῶντο.'

B= 34. ἀμφὶ νέκυν—ἔρρεεν] οὐχ ὅτι ἥπτετο τοῦ νεκροῦ—κεῖται γὰρ ἐν τοῖς λέχεσιν—ἀλλὰ περὶ αὐτόν.

B+ κοτυλήρυτον] δαψιλές, κοτύλῃ ἀρυόμενον. καθόλου δὲ κοτύλας ἐκάλουν τὰ κοῖλα· καὶ Αἰσχύλος ἐν Ἠδωνοῖς (fr. 56 N.) τὰ κύμβαλα—"ὁ δὲ χαλκοδέτοις κοτύλαις ὀτοβεῖ." ἔστι δὲ καὶ ὄνομα ποτηρίου ἡ κοτύλη—"κοτύλην τις τυτθὸν ἐπέσχεν" (Π. 22. 494) "κοτύλην καὶ πύρνον" (Od. 15. 312)—καὶ τὸ περὶ τὸν μηρὸν καὶ τὸ τῶν πολυπόδων καὶ τὸ κοῖλον τῆς χειρός· καὶ παιδιὰ δέ τις ἐν κοτύλῃ λέγεται, ἐπειδὰν τὰς χεῖρας κοιλάναντες εἰς τοὐπίσω δεχώμεθά τινα ἐπιβεβηκότα μὲν τοῖς γόνασιν αὐτοῦ, ταῖς δὲ χερσὶ τοὺς ὀφθαλμοὺς κατειληφότα· ταύτην δὲ οἱ μὲν ἐπιδιφρισμὸν καλοῦσιν, οἱ δὲ κρικαδίαν, οἱ δὲ ἀπόρραξιν· καὶ κοτυλίσκον κρατῆρα, ὃν στέφοντες παρατιθέασι Διὶ ἐν ταῖς θυσίαις.

4. λευκὰ B ‖ ῥέξειν ut B ‖ 6. παμμέλανα B: παμμέλαιναν ‖ 9. ἀδιάλειπτον ‖ 15. φασὶ W : φησὶ ‖ 16. iteratur schol. ὀρέχθεον] ἀλλ' ἐμήκαζον ‖ 19. ἐκτεταμένοι ὠπτῶντο scripsi, cf. D ἀντὶ τοῦ τανυόμενοι εὕοντο ἤγουν τεινόμενοι ἐφλέγοντο: ἐκτεταμένῳ οἰωπίωντο ‖ 24. ὀτοβεῖ Eust. : ἠχεῖ B, στοβεῖ ‖ 26. πύρνον καὶ κοτύλην ut B ‖ 27. καὶ αἱ τ. π. φολίδες B ‖ 28. ἐγκοτύλῃ Pausanias ap. Eust. alii ‖ 29. δεχόμεθα ‖ καὶ post τινὰ omisi

Digitized by Google

ἄλλως: κοτυλήρυτον] παρὰ τὸ ἀρύσω ἀρυτός κοτυλάρυτος. B=

36. εἰς Ἀγαμέμνονα δῖον] ἀντὶ τοῦ πρός. A+B=

37. σπουδῇ] μόγις. §. παροξυτόνως δὲ τὸ "πεπιθόντες" ἔστι γὰρ B= δευτέρου ἀορίστου. AB=

χωόμενον] συγκεχυμένον. B+

39. κέλευσαν] "κέλευσαν" πληθυντικῶς, οἱ βασιλεῖς ἐκέλευσαν· A=B~ οὕτως Ἀρίσταρχος.

40. ἀμφὶ πυρὶ στῆσαι] φιλικῶς ἄγαν· προειλήφασι μὲν γάρ, B= ὅτι οὐκ ἐθελήσει, παρασκευάζονται δὲ ὅμως. τοῦτο δὲ δηλοῖ διὰ τοῦ "εἰ πεπίθοιεν."

41. βρότον] τὸ ἀπὸ φόνου αἷμα· οἱ δὲ τὸν πηλόν. B~

42. ἠρνεῖτο] παρὰ τὸ αἴρειν τὰς χεῖρας.

στερεῶς] ἀνενδεῶς.

43. οὐ μὰ Ζῆν'] ὅτι τὴν ἄρνησιν καὶ ἀπόμοσιν ὁμοῦ ἔθηκεν. AB=

ὕπατος καὶ ἄριστος] δυνάμει καὶ τιμῇ τῶν ἄλλων προύχων θεῶν. B=

44. καρήατος] ἀπὸ τῆς καρῆαρ, ὡς ἤπατος.

ἄλλως: καρήατος] λείπει τὸ ἐμοῦ· ἀσεβεῖν γὰρ οἱ φιλόστοργοι B= νομίζουσι τὴν τοῦ σώματος ἐπιμέλειαν προτιθέντες τῆς κηδείας.

48. πειθώμεθα] ἄκρως διὰ τοῦ "πειθώμεθα" τὸ πρὸς βίαν δείκνυσιν. B=

ἄλλως: πειθώμεθα] οὐ "τερπώμεθα." A=

50. παρά τε σχεῖν ὡς ἐπιεικές] παρασχεῖν ὡς ἁρμόζει καὶ B= καθήκει.

53. θᾶσσον ἀπ' ὀφθαλμῶν] ἀντὶ τοῦ ἵνα ταχύτερον ἐκτὸς τῆς AB= ὄψεως ἡμῶν γένηται.

ἐπὶ ἔργα τράπωνται] ὡς ἐπὶ τιμῇ τοῦ νεκροῦ ἀργίας κατεχούσης B= τὸ στράτευμα.

55. ἐσσυμένως] οὐ παρέλκει νῦν τὸ "ἐσσυμένως," ἀλλ' ἑσπέρας B= οὔσης καὶ κομίσαι τὴν ὕλην παρασκευαζομένους ἔδει ταχῦναι τὸ δεῖπνον. ἀποσιωπᾷ δὲ τὴν περὶ τὸ δεῖπνον διάθεσιν· ἐν πένθει γὰρ καὶ κατηφείᾳ τὰ πράγματα.

δόρπον ἐφοπλίσ⟨σ⟩αντες] οὐχ οἱ Μυρμιδόνες· τούτοις γὰρ τὸν B~ τάφον ἐδαίνυ.

59. ἐπὶ θινί] πρέπουσα κοίτη τῷ πενθοῦντι καὶ ἀλύοντι. τάχα AB=

7. Ἡρωδιανὸς B ‖ 12. χεῖρας Et. M. s. v.: τρίχας ut B ‖ 14. ὅτι A: ἔτι ‖ 15. τῶν post πρ. omisi ut B ‖ 17. λείπει B: λόγου ‖ 19. πρὸς B: παρὰ ‖ 22. καθῆκεν ‖ 25. τιμή

Digitized by Google

δὲ καὶ τὰς παρηγορίας τῶν φίλων οὐ φέρων καθ' αὑτὸν τρέπεται, σχολάζειν τῷ πένθει θέλων.

61. κλύζεσκον] τινὲς ἐπέκλυζον.

A= 63. νήδυμος] ὅτι μετὰ τοῦ ν ἡ λέξις.

μάλα γὰρ κάμε] δικαίως οὖν προφκονόμει τὸν δρόμον Ἀχιλλέως, ὅπως περιπαθὲς ἐπεισόδιον ἐνέγκῃ· πῶς γὰρ ἂν ὁ ἄφροντις οὕτω βαθεῖ ἐβλήθη ὕπνῳ;

64. Ἕκτορ' ἐπαΐσσων] τὸ πλῆρες ἐπὶ Ἕκτορι, ὡς "Κίρκῃ ἐπήιξα" (Od. 10. 322).

B= 65. ἦλθε δ' ἐπὶ ψυχή] πιθανὴ ἡ περιπέτεια· μετὰ γὰρ τοὺς Ἀχιλλέως θρήνους ἐξεῦρέ τι καινότερον καὶ τῷ τετελευτηκότι λόγους περιτίθησι διὰ τοῦ ὀνείρου.

A=B– 66. καὶ ὄμματα κάλ' εἰκυῖα] ἐντεῦθεν Ἀντισθένης ὁμοσχήμονάς φησι τὰς ψυχὰς τοῖς περιέχουσι σώμασιν. Χρύσιππος δὲ μετὰ τὸν χωρισμὸν τοῦ σώματός φησιν αὐτὰς σφαιροειδεῖς γενέσθαι.

AB= 67. καὶ φωνήν] ἄκρως ἐπεξεργάζεται τὴν ἐπιφάνειαν τοῦ ὀνείρου· ἔναυλος γὰρ τῷ Ἀχιλλεῖ ὁ τοῦ φίλου τύπος.

B= 69. εὕδεις] πλήρης φιλοστοργίας ὁ λόγος καὶ ἠθικῆς μέμψεως.

B– αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ] "λελασμένος" δὲ ὑπάρχεις ἀντὶ τοῦ ⟨ἐπι⟩λέλησαι, ὡς "ληρεῖς ἔχων" (Aristoph. Ran. 512).

B= 70. οὐ μέν μευ ζώοντος] περιπαθὲς τὸ ἀναμνῆσαι τῆς φιλίας. μαρτυρῶν δὲ αὐτοῦ τὴν ἐν τῷ ζῆν ἐπιμέλειαν καὶ νῦν ἐπὶ τὰ ἴσα προτρέπεται.

71. πύλας Ἀΐδαο] 'πύλας Ἅιδου' τὸν Ἀχέροντα· ἐκεῖ γάρ εἰσιν αἱ τῶν κολαζομένων ψυχαί, οὓς τοὺς περὶ Τιτυὸν εἶδεν Ὀδυσσεύς (Od. 11. 576). ὁμοίως καὶ Ὅμηρος ἐκεῖνο Ἅιδην καλεῖ· ἴσως δὲ πρὸς τὸ πεῖσαι φαντάζει· πῶς γὰρ ἄταφοι ⟨οἱ⟩ μνηστῆρες διαβαίνουσιν (Od. 24. 9);

72. τῆλέ με ⟨ἔργουσιν⟩] ἀπόλυτος ἡ "μέ."

εἴδωλα καμόντων] ὥρισε τί ἐστι ψυχή.

73. οὐδέ με] οἶδε γὰρ ἑαυτὸν αὐτίκα θανούμενον.

B= 74. εὐρυπυλές] τὸ πᾶσιν ἡπλωμένον.

A+ 75. καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι] λείπει τὸ ἵνα.

75, 6. οὐ γὰρ ἔτ' αὖτις νείσομαι] οὐκ ἐλεύσομαί σοι εἰς ὄψιν·

6. οὕτως ἔμφροντις B² ‖ 7. βαθεῖ B²: -έως ‖ 8, 9. Κίρκη ἐπήιξεν ‖ 12. περιτίθησι B: περιθεὶς ‖ 20. supplevi ex B ‖ 27. suppl. W ‖ 32. ἐφηπλωμένον B

Digitized by Google

οὐδέποτε γὰρ κηδευθεῖσα ψυχὴ παρ' αὐτῷ φαντάζεται· ἴσως δὲ τοῦτο ποιεῖ, τοὺς ἐναγισμοὺς τῶν πολλῶν ἀποτρέπων.

78. βουλὰς—βουλεύσομεν] γενναίως οὐδενὸς τῶν ἡδέων ἐμνήσθη, ἀλλ' ἐν οἷς περὶ τῶν συμφερόντων ἐβουλεύοντο. B=

79. ἀμφέχανε] κατέπιεν· "εἰ δ' ἄμ⟨μ⟩ε χάνοι περὶ πάντας ὄλεθρος" ἀντὶ τοῦ καταπίοι. B+

λάχε] ὅθεν μία τῶν Μοιρῶν Λάχεσις· παρείληφε δὲ ὅτι τῇ γενέσει συνδιατάσσεται καὶ ὁ τῆς τελευτῆς καιρός· ὅθεν Ζηνόδοτος ὁ Κρατήτ⟨ε⟩ιος Χαλδαῖον τὸν Ὅμηρόν φησιν. A=

80. καὶ δὲ σοὶ αὐτῷ] εὐαγγελίζεται αὐτῷ μετ' οὐ πολὺ συνέσεσθαι αὐτῷ, ὅπως μὴ ἀμελῇ τῆς κηδείας. B=

81. εὐηγενέων] τῶν καλοὺς ἀγροὺς ἐχόντων· οἱ δὲ "ε⟨ὐ⟩ηφενέων" παρὰ τὸ ἄφ νος, εὖ τῷ ἀφένῳ χρωμένων. A+B=

82. καὶ ἐφήσομαι] ὅθεν Ἀχιλλεύς φησι "καί μοι—ἕκαστ' ἐπετέλλεαι" (95).

83. μὴ ἐμὰ σῶν ἀπάνευθε] εἶτα ἐπιφέρει "ἀλλ' ὁμοῦ" (84). ἐμφαίνεται δὲ ἦθος τοῦ ἄγαν ἐπιθυμοῦντος διὰ τοῦ σαφέστερον τὴν ἐπιθυμίαν ἐπαναλαβεῖν.

τιθήμεναι] Λάκωνες τὸ θάπτειν "τιθήμεναι" φασίν.

86. ἀνδροκτασίης] καταχρηστικῶς· παῖδα γὰρ ἀνεῖλεν, ὃν ⟨οἱ⟩ μὲν Κλεισώνυμον, οἱ δὲ Αἰανῆ, οἱ δὲ Λύσανδρον καλεῖσθαι· ἀπέκτεινε δὲ αὐτὸν παρὰ Ὀθρυονεῖ τῷ γραμματιστῇ, ὥς φησιν Ἀλέξανδρος ὁ Αἰτωλὸς ἐν Ἀστραγαλισταῖς (p. 635 N.). AB+

88. ἀμφ' ἀστραγάλοισι χολωθείς] αἱ πλείους "ἀμφ' ἀστραγάλῃσιν ἐρίσσας·" καὶ ἔστιν Ἰωνικὸν τὸ ἀστραγάλη. A+

89. ἱππότα] οἱ νεώτεροί φασι διὰ τὸν Εὐρυτίωνος τοῦ Ἴρου φόνον.

90. ὀνόμηνεν] καλεῖσθαι ἐποίησεν, ὅ ἐστιν εἶναι· "σὴ παράκοιτις κέκλημαι" (Il. 4. 60) ἀντὶ τοῦ εἰμί. B—

91. σορός] ἡ ἔσω ὠροῦσα, ὅ ἐστι φυλάττουσα. ἅπαξ δὲ χρῆται τῇ λέξει. A—

92. χρύσεος ἀμφιφορεύς] τοῦτόν φασι Διόνυσον παρὰ Ἡφαίστου λαβόντα ἐν Νάξῳ Θέτιδι χαρίσασθαι, ἐπειδὴ διωκόμενον ὑπὸ Λυκούργου ἐδέξατο (cf. Od. 24. 74). A+

5, 6. versum ignotum om. Schneider post Callim. II ‖ 9. δὲ ante ὁ omisi ut A ‖ 11. καὶ ante ὅπως omisi ‖ 15. ἐπέτελλεν ‖ 21. Αἰανῇ Bekker: Αἰάνην Eust., Ἑανῇ ‖ 23. Ἀστραγαλισταῖς Meineke ex v. 88: ἀστρολογισταῖς ‖ 25. ἐρύσας A

Digitized by Google

A+B— ἄλλως: χρύσεος ἀμφιφορεύς] οὐ σορὸν δέδωκεν ἡ μήτηρ—δυσοιώνιστον γὰρ ἐπὶ πόλεμον ἐξιόντι—ἀλλ' ἴσως μεστὸν οἴνου, ὃν ἀξιοῖ σορὸν γενέσθαι. ἐν πάσαις δὲ οὐκ ἦν ὁ στίχος· καὶ Ἀρίσταρχος ἐκ τῆς ⟨δευτέρας⟩ Νεκυίας αὐτὸν ἐσπάσθαι φησίν "δῶκε δὲ μήτηρ χρύσεον ἀμφιφορῆα" (Od. 24. 73, 4). ἀλλ' ἐκεῖ εὔλογος πρὸς ὕψωσιν τῆς ταφῆς.

B= 94. τίπτε μοι, ἠθείη] βραχὺς ὁ λόγος καὶ ἐμφαίνων τὸν σπεύδοντα πρὸς τὴν ἀμοιβήν· μῆκος δὲ λόγου ὄκνον χάριτος ἀναδέχεται.

ἠθείη] Χαμαιλέων γράφει "ὦ θείη·" γελοῖον δὲ ἐπὶ νεκρῷ τὸ "θείη."

97. ἀμφιβαλόντες] ἀμφιχυθέντες· "ἀμφιχυθεὶς πατέρ' ἐσθλόν" (Od. 16. 214).

99. ὠρέξατο] ἐπεθύμησε, τὰς χεῖρας ὤρεξεν.

B— 100. ἠύτε καπνός] διὰ τὸ λεπτὸν καὶ πνευματῶδες· ἢ πρὸς τὴν κίνησιν· Ζωίλος δέ φησιν, ὅτι "ἀλλ' ὁ καπνὸς ἄνω φέρεται."

B= 101. τετριγυῖα] ἐλεεινὰ βοόωσα, ὡς ἐπὶ τῶν νεοσσῶν (Il. 2. 314).

B= 102. ⟨συμ⟩πλατάγησεν] ἐπὶ τῇ παραδόξῳ φαντασίᾳ τὰς χεῖρας συνέκρουσεν.

B— ἔπος δ' ὀλοφυδνόν] ὁ μετὰ τίλσεως τῶν τριχῶν οἶκτος· "ὤλοψας δὲ βίηφι" (Callim. in Dian. 77).

A~B= 104. ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν] "φρένες" τινὲς σῶμα· μέρος γὰρ σώματος αἱ φρένες. τοῦτο δὲ εἶπε, παρ' ὅσον ἐκταθεὶς οὐκ ἔλαβεν. κάλλιον δέ, ὅτι φρένας οἱ τεθνεῶτες οὐκ ἔχουσιν. ἐμέμφετο γὰρ ὡς ἠμελημένος· καὶ μὴν οἱ ἄταφοι προμαντεύονται· ἢ εἰσὶ μέν, οὐ μὴν πάμπαν. §. γράφεται δὲ καὶ "πᾶσαι."

B= 107. θέσκελον αὐτῷ] θεοείκελον, ὡσεὶ θεοῦ τὴν ὁμοιότητα κατασκευάσαντος.

B= 108. ὑφ' ἵμερον ὦρσε] ὑπερβολὴ πένθους ἐστίν· ὥστε οἱ τὰς παραμυθίας ὀφείλοντες προσφέρειν αὐτοὶ κατάρχονται τῶν δακρύων.

110. ἀμφὶ νέκυν] Ἀττικῶς ἐξέτεινε τὸ "νέκυν."

111. οὐρῆάς τ' ὤτρυνε] "οἱ δ', ὡς ἡμίονοι κρατερὸν μένος ἀμφιβαλόντες ἕλκωσ' ἐξ ὄρεος κατὰ παιπαλόεσ⟨σ⟩αν ἀταρπόν" (Il. 17. 742, 3).

4. supplevi ex A ‖ 5. εὔλογος W: εὐλόγως ‖ 32. οἶδ' ὥστ' ἡμ.

Digitized by Google

ἄλλως : οὐρῆάς τε] ἐν πολλοῖς χωρὶς τοῦ "τέ." A=

113. Μηριόνης] Κρήτη γὰρ ὀρεινὴ καὶ δενδροφόρος.

116. πάραντά τε] μήτε ἀνωφερῆ μήτε κατωφερῆ, ἀλλ' ἰθύτομα. B=

117. πολυπιδάκου] "πίδακος ἀμφ' ὀλίγης" (Il. 16. 825). οὕτως οὖν "πολυπίδακος." A+

119, 20. κτυπέουσαι πῖπτον] ἤλλακται ἡ τάξις A+B=

120. διαπλήσσοντες] διακόπτοντες πρὸς τὴν συμμετρίαν· καὶ "τῷ οἱ ἀποπλήξας κεφαλήν" (Od. 10. 440)· τὸ δὲ "διαπλίσσοντες" τοῖς ποσὶ διαβάντες. A+B−

121. ταὶ δὲ χθόνα ποσ⟨σ⟩ὶ δατεῦντο] διέκοπτον ταῖς ὁπλαῖς τὸ ἔδαφος, ἢ διεμερίζοντο τοῖς ποσὶ τὴν γῆν· μερισμῷ γὰρ ὅμοιόν ἐστιν ἄλλοτε ἄλλῃ τιθεμένων τῶν ποδῶν. AB=

123. πάντες—φιτροὺς φέρον] νόμος στρατιωτικὸς μὴ κούφους ἐν ταῖς χρείαις διατελεῖν. AB=

125. ἐπισχερώ] ἐφεξῆς, παρὰ τὸ ἄλλο ἐπ' ἄλλῳ τὴν σχέσιν ἔχειν. AB=

126. ἠρίον] παρὰ τὴν ἔραν.

ἠδέ οἱ αὐτῷ] ἴσως ἀφ' ἑαυτοῦ τοῦτο ἀναπεφώνηκεν ὁ ποιητής.

130. χαλκὸν ζώννυσθαι] Ἀριστοτέλης (Pol. fr. 476 R.) φησὶ τοὺς πρυλεῖς Ἀχιλλέως ⟨εὕρημα⟩· τοὺς δὲ Ἀχαιοὺς τὸν νόμον εἰς Κύπρον κομίσαι· τῶν γὰρ βασιλέων κηδευομένων αὐτὸς προηγεῖται πυρριχίζων ὁ στρατός.

131. * ἐν τεύχεσσιν] ἀντὶ τοῦ εἰς τεύχη. B=

132. * δίφροισι] ἀντὶ τοῦ εἰς δίφρους. B=

παραιβάται] ὧδε μόνον αὐτοὺς ὠνόμασεν· ἐκεῖ δὲ σημαίνει, "Ἄντιφος αὖ παρέβασκε περίκλυτος" (Il. 11. 104).

133, 4. ** ⟨μετὰ δὲ νέφος—πεζῶν μυρίοι⟩] πρὸς τὸ σχῆμα. A~

135. καταείνυον] τὸ πλῆθος ἐμφαίνει τῶν κειρομένων. B+

ἄλλως: καταείνυον] "εἴλυον" εἴλουν· "εἴνυον" δὲ περιεκάλυπτον ἀντὶ ⟨τοῦ⟩ ἔννυον· δασύνεται δὲ τὸ "εἵνυον·" Ἀρίσταρχος δὲ "εἵνυσαν." AB−

3, 4. εὐθύτομα B ‖ 9. διαπλίσσοντες Cobet: -ήσσοντες ut B ‖ 18. ἔραν scripsi: ἦραν ‖ 19. αὐτῇ in lemmate ‖ 20, 21. cf. schol. Pind. Pyth. II 127 ‖ 30. * καταείνυον] περιεκάλυπτον iteratur

Digitized by Google

136. *κάρη ἔχε*] ἔθος φασὶ παρὰ Λινδίοις τοῦτο.

B– 139. *μενοεικέα—ὕλην*] τὴν ἀρεσκομένην Ἀχιλλεῖ· ἢ τὴν πρέπουσαν τῇ πυρᾷ. φησὶ γοῦν "παρά τε σχεῖν, ὡς ἐπιεικές" (50). μετ⟨εν⟩ήνεκται δὲ ἀπὸ τῶν ζώντων· κυρίως γὰρ ἂν εἴποι τις μενοεικὲς τὸ τῷ μένει ἀρεστὸν καὶ καταθύμιον.

A= 141. *ξανθὴν—χαίτην*] καὶ ὁ Πάρις εἶχε χαίτην, ἀλλ' ἐπὶ γυναιμανίᾳ καὶ ἀπάτῃ.

A+B– 142. *τήν ῥα Σπερχειῷ*] τοῖς ποταμοῖς ἔτρεφον τὰς κόμας, ἐπεὶ κουροτρόφοι νομίζονται· καὶ τοῖς γαμοῦσι δὲ τὸ λουτρὸν ἐξ αὐτῶν ἐκόμιζον γονὴν οἰωνιζόμενοι, καὶ τοῖς πρὸ γάμων τελευτῶσιν ἡ λουτροφόρος κάλπις ἐτίθετο· ὅτι δὲ τὸ ὑγρὸν αὔξει, καὶ παῖδες πρώτῃ τροφῇ χρῶνται τῇ ὑγρᾷ· τινὲς δὲ τρόφιμόν φασι τὸ ὕδωρ καὶ τοὺς βουλιμιῶντας πίνοντας κορέννυσθαι.

ἄλλως: *τήν ῥα Σπερχειῷ*] ὡς συγγενεῖ—Πολυδώραν γὰρ εἶχε τὴν Πηλέως θυγατέρα—ἢ ὅτι ἀπὸ Φθίου τοῦ Σπερχειοῦ Φθία.

B– δῆλον δέ, ὅτι ἐν Τροίᾳ ἤκουσε, διὰ τὸ περὶ αὐτοῦ λόγιον. §. "ἔνορχα" (147) ⟨ἔθυον⟩ τοῖς ποταμοῖς, καὶ Ποσειδῶνι δέ, διὰ τὸ ἐκ τοῦ ὑγροῦ τὴν γένεσιν εἶναι, "Ὠκεανόν τε, θεῶν γένεσιν" (Il. 14. 201, 302). σκεπτέον δέ, μὴ "μῆλα" νῦν τοὺς ταύρους φησίν· τούτους γὰρ τοῖς ποταμοῖς καθ' Ὅμηρον θύουσι, "δηθὰ πολεῖς ἱερεύετε ταύρους" (Il. 21. 131) "ταῦρον—Ἀλφειῷ" (Il. 11. 728).

B= 143. *ἰδὼν ἐπὶ οἴνοπα πόντον*] ὡς ἐπὶ τὴν πατρίδα καὶ τὸν Σπερχειὸν ἀποβλέψας.

146. *σοί τε κόμην κερέειν*] καὶ Ἀντίμαχός φησι (fr. 60 K) τῷ Κηφισσῷ κατὰ τὴν Λίλαιαν τεθυκέναι τὴν κόμην. . . .

152, 3. *κόμην—θῆκεν*] παθητικῶς, οὐχ ὡς οἱ λοιποὶ ἐπέρριψεν.

B= 155. *εἰ μὴ Ἀχιλλεύς*] τοσοῦτος ὁ θρῆνος, ὅτι καὶ Ἀχιλλεὺς ἔγνω τὴν ἀμετρίαν.

B= 157. *γόοιο μὲν ἔστι καὶ ἆσαι*] λείπει τὸ ὕστερον. ἐνέφηνε δὲ διὰ τοῦ "νῦν δ' ἀπὸ πυρκαϊῆς" (158).

ἄλλως: *γόοιο μὲν ἔστι*] ἐπαγγελτικῶς προενεκτέον τὸ "ἔστι," ὡς "ἔστι τοι ἐν κλισίῃ χρυσὸς πολύς, ἔστι δὲ χαλκός" (549).

1. σχέθε in textu ‖ Λινδίοις Bekker: κλινδίοις ‖ 3. πυρᾷ B: πυρρᾷ ‖ 4. τε post τῷ omisi ‖ 6, 7. γυναιμανείᾳ ‖ 10. αὐτῶν scripsi: -ῆς ‖ 17. supplevi ex D ‖ 20. πολλεῖς ‖ 25. lacunam indicavi; deest nomen sacrificantis

Digitized by Google

160. *κηδεός*] *ὀξυτόνως παρὰ τὸ κηδεύω, ὡς λοχεύω λοχεός.* A+B— *οἱ δὲ πλείους “λοχέοιο” ἀναγινώσκουσιν, ὡς ἀνθρώποιο.*

*ἄλλως: κηδεός*] *κηδεύσιμος ἢ κήδιστος.* §. *τὸ δὲ ἑξῆς ‘παραμενόντων.’* B— A+B=

163. *κηδεμόνες*] *οἱ μάλιστα ἀνιώμενοι διὰ τοῦτο καὶ φροντίζοντες.* A=

164. *πυρὴν ἑκατόμπεδον*] *ἑκατὸν ποδῶν ἔχουσαν πλευράν, ὡς καὶ “τετράπους λίθος.”* A+B=

*ἔνθα καὶ ἔνθα*] *ἐκ παντὸς μέρους.*

165. *ἐν δὲ πυρῇ ὑπάτῃ*] *ἐν τῷ ἀνωτάτω αὐτῆς καὶ μέσῳ, ὡς τὸ “ῥινὸς ὕπερ πυμάτης”* (Il. 13. 616). B=

168. *δημὸν ἑλὼν ἐκάλυψε*] *πρὸς τὸ τὴν πιμελὴν ἐξυ[παφ]θῆναι τοῦτο ποιεῖ ὁ Ἀχιλλεύς.* AB=

169. *περὶ δὲ δρατὰ σώματα νήει*] *περὶ αὐτὸν ἐσώρε⟨υ⟩σεν ὑπὲρ τοῦ καὶ τὴν ἀπ' ἐκείνων πιμελὴν ⟨συμ⟩πράσσειν τι πρὸς τὴν καῦσιν. ἅμα δὲ καὶ τοῦ περὶ τὸν νεκρὸν εὐσχήμονος ἕνεκεν. συνσπᾶσθαι γὰρ τὰ καιόμενα τῶν σωμάτων εἴωθεν.* B—

*δρατά*] *“ταυτὶ δέδραται”* Ἀριστοφάνης (Pac. 1039)· *ἐν ἐνίοις δὲ γράφεται “δρετά.”* A+

171. *πρός λέχεα*] *ἀντὶ τοῦ πρὸς τὸ σῶμα αὐτοῦ, ὅτι θερμαινόμενα ἀναζέουσι καὶ προχέονται ἐπὶ τὸν νεκρόν.* B+

*πίσυρας—ἵππους*] *κατὰ πλευρὰ⟨ν⟩ ἕνα· οἰκεῖος δὲ τῷ νεκρῷ ὁ ἴσος ἀριθμός· διὰ τοῦτο* Ποσειδῶνι *θ' θύουσιν* (Od. 3. 8).

174. *ἐνέβαλ⟨λ⟩ε πυρῇ δύο*] *ἴσως τὸ ὠμὸν αὐτοῦ εἰδὼς ὁ πατὴρ μουσικὴν αὐτὸν ἐδίδαξεν· πλέον δὲ αὐτὸν ἠγρίωσεν ὁ* Πατρόκλου *θάνατος, ὡς τοὺς κύνας καὶ τοὺς* Τρῶας *καίειν· διὸ ὥσπερ ἀγανακτῶν ὁ ποιητής φησι “κακὰ δὲ φρεσὶ μήδετο”* (176). B—

177. *πυρὸς μένος—σιδήρεον*] *ἄμφω γὰρ τμητικά, πῦρ καὶ σίδηρος.* AB=

179. *χαῖρέ μοι*] *ἀντὶ τοῦ ἥδου, ὅτι σοι τὰ πρὸς ἡδονὴν ἀπεπλήρωσα.* B=

184. *ἀπειλήσας*] *συνήθως ἡμῖν· ὡς τὸ “ἀπείλησαν γὰρ οἱ ἄλλοι”* (Il. 2. 665). §. *διὰ δὲ τῆς ἀναφωνήσεως ἐθεράπευσε τὸν ἀκροατήν· ἤδη γὰρ συνέπασχε τῇ τοῦ* Ἕκτορος *αἰκίᾳ.* B=

7. *ἑκατόνπεδον* ‖ 12. supplevi ex B: *ἐξαφθῆναι* sec. ‖ 14. *νήει* B: *νῆε* ‖ *ἐσώρευεν* B ‖ 15. *πιμελὴν* B: *πημελὴν* ‖ supplevi ex B ‖ 19. *δρετά* A: *δρατά* ‖ 21. *προσχέονται*

Digitized by Google

A+ 186. ῥοδόεντι—ἐλαίῳ] τὴν χρῆσιν μὲν τοῦ μύρου οἶδεν, οὐ μὴν τὸ ὄνομα. οἰκεῖον δὲ τὸ ἀλείφειν τῇ θεῷ (Il. 14. 171).

187. ἑλκυστάζων] ὡς "νευστάζων" (Il. 20. 162 al.)

B− 190, 1. μὴ πρὶν μένος ἠελίοιο ⟨σκήλει' ἀμφὶ περὶ χρόα⟩] μὴ πρὶν ἀπολυθῆναι τοῖς οἰκείοις τὸ σῶμα σκελετοποιήσειεν. οἱ δὲ τὸν περὶ τοῖς μέλεσι χρόα.

191. σκήλειε] εὐκτικῶς.

B= 192. οὐδὲ πυρὴ—καίετο] τὴν ἔμφασιν τῶν ὑγρῶν ἐμφαίνει, νικησάντων τὸ πῦρ.

194. δοιοῖς—ἀνέμοισιν] οὐκ ἄτοπον θεοὺς καλεῖν ἐπὶ τεθνεῶσιν, ὅπου καὶ ἐν πολέμοις καλοῦσι καὶ αὐτὸς ὁ Ἀπόλλων νεκροφορεῖ (Il. 16. 676).

B= 195. Βορέῃ καὶ Ζεφύρῳ] ὡς Θρᾳξίν· Θρᾴκη δὲ πλησίον τῆς Τροίας.

196. δέπαι] ὅτι συνῃρημένως· ἀλλαχοῦ δὲ "ἐν δέπαϊ χρυσέῳ" (Od. 20. 261).

197. φλεγέθοιατο] Εὐφορίων κακῶς τῷ ῥήματι ἑνικῶς χρῆται (fr. 162 M.).

A=B+ 198. ⟨ὕλη τ'⟩ ἐσσεύαιτο] ὁρμὴν λάβοι ἀπὸ δὲ τῶν ἐμψύχων μετῆκται. χωρὶς δὲ τοῦ ν τὸ "ὕλη·" οἱ δὲ "ὕλην τε σεύαιντο" ἀντὶ τοῦ ὁρμήσειαν οἱ ἄνεμοι καίειν τὴν ὕλην.

B+ 199. μετ' ἄγγελος ἦλθ' ἀνέμοισιν] Ἰωνικῶς, ἀντὶ τοῦ πρὸς ἀνέμους ἦλθεν, ὡς Ἀρχίλοχος "μετέρχομαί σε σύμβολον ποιεύμενος" (fr. 44 B.). οὐκ ἐποίησε δὲ ἐκείνους ἀκούοντας, ἐπειδὴ τοῦτο κατὰ δόξαν ἦν....

AB− 200. δυσαέος] οὐκ ἀεί, ἀλλὰ χειμῶνι. ἔστι γὰρ χειμῶνος μὲν δυσαής, θέρους δὲ προσηνής· "Ζεφυρίη πνείουσα τὰ μὲν φύει" (Od. 7. 119).

202. βηλῷ] τῷ βαθμῷ.

203. πάντες ἀνήιξαν] ἔστι γὰρ ἐρωμένη Ζεφύρου· ἀφ' ὧν καὶ τὸν Ἔρωτά φασιν· ἴσως δὲ ἀκροθώρακες ὄντες ἐρῶσιν αὐτῆς.

B= 205. οὐχ ἕδος] οὐχ ἑδραστέον.

5. σκελετῶδες ποιήσειεν B ‖ 11. αὐτὸς W : -οὺς ‖ 14. legit schol. 'δέπᾳ ἐλλιτάνευεν' ‖ ἀλλαχοῦ δὲ post δὲ iteratum : omisi ‖ 18. iteratur ἀντὶ τοῦ 'ὁρμὴν λάβοι' ‖ 19. τε σεύαιντο Cobet : ἐσσεύαιτο AB, -οντο ‖ 22. σε schol. Pind. Ol. XII 10 : ἐς ‖ σύμβολον schol. Pind. : -ουλον ut B ‖ 22, 23. ποιουμένη vel ποιούμενος schol. Pind., om. B ‖ 24. lacunam indicavi ex B supplendam ‖ 25. χειμῶνος B : -νι

Digitized by Google

206. Αἰθιόπων ἐς γαῖαν] πρὸς ἀπαλλαγὴν τῶν ἐνοχλούντων B= ψεύδεται. χθὲς γὰρ θεαταὶ ἦσαν τῆς μάχης καὶ ἕωθεν φιλονεικοῦσι περὶ Ἕκτορος.

ἄλλως: Αἰθιόπων ἐς γαῖαν] χαρίεν ἐν παρέργῳ δεδήλωκεν, B= ὅτι ἀπηλλάγησαν οἱ θεοὶ τοῦ πολέμου καὶ ὥσπερ ἐκ τῆς φροντίδος κατέστησαν, πέρας ἐχόντων ἤδη τῶν περὶ τὴν Ἀχιλλέως βούλησιν. διὸ παρὰ τοῖς Αἰθίοψί φησι πανηγυρίζουσιν.

ἐς γαῖαν] αἱ τῶν πόλεων "ἐς δῆμον." A=

208. κελαδεινόν] ὃν ἄνω (200) δυσαῆ εἶπεν. B+

214. πόντον ἵκανον] τὸν Θρᾴκιον πόντον καὶ Ἑλλήσποντον.

218. ὁ δὲ πάννυχος] πολὺ τὸ ἑταιρικὸν τοσαύτην φέροντος B= ἀγρυπνίαν καὶ χοὰς χεομένου.

221. ὅτι δωδεκασύλλαβος. A+

222. ὡς δὲ πατὴρ οὗ παιδός] αὐξητικῶς ὅλη ἔχει ἡ παραβολή· B= εἰς γὰρ ἔνδειξιν στοργῆς πατρικῆς παραβέβληται. ἀλλ' οὐκ ἤρκεσεν Ὁμήρῳ τὰ τῆς εἰκόνος· οὐ γὰρ τὴν τυχοῦσαν ἡλικίαν τοῦ παιδὸς παρέλαβεν ἀλλὰ νυμφίον, τέλειον μέν, παίδων δὲ οὔπω πατέρα, ὥστε καὶ παῖδας ὄψεσθαι τοῦ παιδὸς προσδοκήσας μετὰ τῆς δευτέρας ἐλπίδος καὶ τὴν πρώτην ἀπολώλεκεν.

223. νυμφίου] δηλοῖ ἡ λέξις καὶ τὸν ἤδη πατέρα παίδων· "νυμ- AB= φίον ἐν μεγάροις μίαν οἴην παῖδα λιπόντα" (Od. 7. 65).

225. ἑρπύζων—στεναχίζων] διὰ τῶν παρατατικῶν τὸ ἀδιάλειπτον B~ τῆς λύπης σημαίνει.

ἄλλως: ἑρπύζων] ἡ βαρεῖα κίνησις τὴν ταπείνωσιν Ἀχιλλέως δηλοῖ. B=

226. ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν] ἡ "ἐπί" πρὸς τὸ "εἶσι." οὐκ ἀναστρέφεται δὲ διὰ τὸ μεταξὺ τεθεῖσθαι ἕτερον μέρος λόγου.

* * ⟨ἑωσφόρος⟩] λείπει 'ἀστήρ.'

φόως ἐρέων] "ὅς τε μάλιστα ἔρχεται ἀγγέλλων φάος ἠοῦς ἠριγενείης" (Od. 13. 93, 4).

228. ἐμαραίνετο] καὶ ἐκεῖ οὖν "φλὸξ ἐμαράνθη" (Il. 9. 212) γραπτέον.

229. οἱ δ' ἄνεμοι] εἰ οὖν αὐτεξούσιοι οἱ ἄνεμοι, τετεράτευται τὰ περὶ τοῦ Αἰόλου.

8. ἐς A: εἰς ‖ 13. lemma οἶνον ἀφυσσάμενος χαμάδις χέε, δεῦε δὲ γαῖαν (220) om. et scholion ad v. 221 adscripsit W ut A

Digitized by Google

AB= 232. ἐπὶ δὲ γλυκὺς ὕπνος] ἐξέφρασε τὸν μετὰ πολλὴν ἀγρυπνίαν εἰς ὕπνον ὀλίγον ἀποκλίναντα.

AB= ὄρουσε] διὰ τοῦ "ὄρουσε" τὸ τάχος ἐνεφάνισε τοῦ ὕπνου διὰ τὸ πολλὴν ἐπελθεῖν τὴν ἀγρυπνίαν.

AB= 234. δοῦπος ἔγειρεν] τῶν γὰρ λυπουμένων ἐπιπόλαιος ὁ ὕπνος.

239. ὀστέα—λέγωμεν] τοῖς ἄλλοις τὸ σβέσαι ἐπιτάσσει, συμπεριλαμβάνει δ' ἑαυτὸν εἰς τὴν ὀστολογίαν.

B— 243. φιάλῃ] ἀγγείῳ λεβητοειδεῖ ἐκπεπλατυσμένῳ ἄνωθεν. φησὶν οὖν "ἀμφίθετον φιάλην ἀπύρ⟨ωτ⟩ον" (270). §. "δημῷ" δὲ

AB= τὰ ὀστᾶ καλύπτει πρὸς τὸ λιπαινόμενα μὴ εὔσηπτα εἶναι.

δίπλακι] ὅτι ἀρσενικῶς.

244. κλεύθωμαι] ἀντὶ τοῦ κελεύθωμαι, πορεύωμαι· τινὲς δὲ "κεύθωμαι," οὐκ εὖ.

B= 245. πολλόν] μέγαν· "πολλὸς γάρ τις ἵκειτο" (Il. 7. 156).

⟨πολλόν⟩] ἀντὶ τοῦ μέγα.

B= 246. ⟨ἐπιεικέα⟩ τοῖον] ἠθικῶς τὸ "τοῖον." ἀντὶ τοῦ τοιοῦτον σύμμετρον.

AB— 248. δεύτεροι] ὕστεροι· καὶ "δεύτατος ἦλθεν" (Il. 19. 51) ἀντὶ τοῦ 'ἔσχατος·' γενναίως οὐκ οἰκτίζεται τὸν θάνατον.

254. λιτί] ἀποικίλτῳ· τοιοῦτο δὲ καὶ Ἀνδρομάχη φησὶν "ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς" (Il. 22. 513).

A+ ἄλλως: λιτί] ὀξυτόνως· μεταπλασμὸς γάρ ἐστι τοῦ λιτῷ. τὸ λῖτα αἰτιατική ἐστι μεταπλασθεῖσα ἀπὸ τοῦ λιτήν, ἐπεὶ οὐδεμία αἰτιατικὴ εἰς ᾱ λήγουσα ὠξύνθη εἰ μὴ ἡ τινά ἀόριστος οὖσα πρὸς τὸ τίνα εὐκτικήν.

B= 255. τορνώσαντο δὲ σῆμα] ὡς ὁ ζωγράφος προϋπογράφει πρῶτον, οὕτω καὶ οὗτοι προδιέγραψαν τὸ σχῆμα τοῦ τάφου. τὸ δὲ τορνογραφεῖν κυκλοτερῆ δείκνυσι τὸν τάφον.

B— 258. ⟨ἵζανεν εὐρὺν ἀγῶνα⟩] καθεσθῆναι ἐποίησε τὸ πολὺ πλῆθος· ἢ εἰς εὐρύχωρον τόπον, ἵνα λίπῃ ἡ εἰς.

B= 259. νηῶν] τοῦ τόπου· ἐν νεωλκηθείσῃ γὰρ νηὶ οὐδὲν τίθεται οὐδὲ διατρίβει τις ἐν αὐτῇ· φησὶ γοῦν "οἰσέμεναι κλισίηθεν" (564).

ἄλλως: νηῶν δ' ἔκφερ' ἄεθλα] καὶ παρὰ Ἀριστοφάνει ἠθέτηται τοῦτο (259—61).

3. ἐνεφάνισε etiam A: ἐνέφηνε B ‖ 5. ἐπιπόλαιος B: ἐπιπολῆς ‖ 12. ἐκελεύθωμαι lemma, κεύθωμαι textus ‖ τοῦ κελεύθομαι πορεύομαι ‖ 15. πολλὸν in textu signo notatum ‖ 20. τοιοῦτος ‖ 23. λιτήν A: λίτον ‖ 23, 24. οὐδεμίαν αἰτιατικὴν εἰς ᾱ λήγουσαν ‖ 25. πρῶτον B: πρώτην

Digitized by Google

262. ἱππεῦσιν] τινὲς "ἵπποισιν·" κατὰ τούτων γὰρ τὸ ἐπίθετον, οὐ τῶν ἱππέων.

263. γυναῖκα ⟨—ἔργ' ἰδυῖαν⟩] γυναῖκα μὲν τίθησι τῷ νικήσαντι, ὅτι σοφίας δεῖ πρὸς τὴν νίκην, τρίποδα δὲ διὰ τὴν στάσιν. B=

264. ⟨δυωκαι⟩εικοσίμετρον] ὑφ' ἕν, οἷον τὸ "δυωκαιεικοσίπηχυ" (Il. 15. 678).

265. τῷ δευτέρῳ] ὁ μετὰ τὸν ἡνίοχον δεύτερος ὁ ἵππος· τῷ δὲ τρίτῳ ἀνεῦρε τὸν τρίποδα.

266. ἐξετέα] οἱ πλείους παροξυτόνως τὸ "ἐξετέα" ἀνέγνωσαν, οἷς καὶ ἡ παράδοσις ἐπείσθη. A+

βρέφος] ἐναντίως ἡμῖν τὸ ἔμβρυον, τὸ δὲ τεχθὲν "ἔμβρυον" (Od. 9. 245)· βρύειν γὰρ τὸ αὔξεσθαι· "καί τε βρύει ἄνθεϊ λευκῷ" (Il. 17. 56).

268. τέσσαρα μέτρα] ὅτι ὥριστο τὸ μέτρον.

κεχανδότα] ἀντὶ τοῦ χανδάνοντα. "λευκόν" δὲ καινόν. B=

269. δύω χρυσοῖο τάλαντα] πῶς τῷ τετάρτῳ μεῖζον πάντων τίθησιν; φησὶν οὖν Ἀριστοτέλης (fr. 164) οὐκ εἶναι τὸ τάλαντον ὡρισμένον τότε τοῖς παλαιοῖς· νῦν μὲν γὰρ ὡς ἧττον ἵππου, ἐν δὲ ταῖς Λιταῖς (Il. 9. 122) ὡς μέγιστον· ἔστιν οὖν ἀντίμετρον· καὶ Ἀλκίνους φησὶ "φᾶρος—ἐυπλυνὲς ἠδὲ χιτῶνα καὶ χρυσοῖο τάλαντον ἐνείκατε" (Od. 8. 392, 3), αὐτὸς δὲ ὡς μεῖζον δώσων "τοδ' ἄλεισον ἐμὸν περικαλλὲς ὀπάσσω" (ib. 430)· νῦν δὲ ρκ' δραχμὰς ἔχει τὸ τάλαντον, τὸ δὲ παλαιὸν ὁ μὲν Πολέμαρχος δ' δραχμῶν, Θεόφραστος δὲ ιδ', Τίμαιος δὲ κδ'. A–B+

270. ἀμφίθετον φιάλην] οἱ μὲν ἐξ ἀμφοῖν μεροῖν αἰρομένην, οἱ δὲ πανταχόθεν ἱσταμένην. χαλκίον δὲ λεβητῶδες ἦν δύο ὦτα ἀμφοτέρωθεν ἔχον, δι' ὧν ἐβαστάζετο. B=

ἀπύρωτον] διὰ τί "ἀπύρωτον;" ὡς δὴ καὶ ἀναθε⟨μα⟩τιαίων οὐσῶν τοιούτων φιαλῶν, ὡς εἰς ἣν ἐτέθη τὰ ὀστᾶ Πατρόκλου.

271. καὶ μῦθον—ἔειπε] οὐ διὰ κήρυκος—οὐ γὰρ πρὸς πάντας φησιν, ἀλλὰ πρὸς τοὺς ἀριστεῖς—ὥστε οὐ κατὰ τὰ ἔθη τὰ παλαιά. B–

273. δεδεγμένα] διχῶς· εἰ μὲν διὰ τοῦ γ̄, ἀντὶ τοῦ ἐπιδεδειγμένα, εἰ δὲ διὰ τοῦ χ̄, ἀντὶ τοῦ ἐκδεχόμενα, ὡς ἐπὶ ἐμψύχων. A+

274. εἰ μὲν νῦν] συσταλτέον τὸ "νῦν·" ἀντὶ γὰρ τοῦ δή.

5. ὡς post οἷον delevi: καὶ coni. W ‖ 7. corrupta ‖ 8. ἀνεῦρον ‖ 10. οἷς W: ἧς ‖ ἐπείσθη A: ἐπηνέθη ‖ 16. δύο ‖ 25. ἀγγεῖον B ‖ 27. τί scripsi: τοῦ ‖ suppl. Bekker ‖ 27, 28. ὡς post ἀναθ. scriptum: traiecit post φ. W ‖ 30. παρὰ pro κατὰ coni. W



Digitized by Google

275. πρῶτα] πρωτεῖα.

277. ἀθάνατοί τε γάρ εἰσι] πρὸς τὸν φθόνον· οὐ γὰρ αἰσχρὸν ἀθανάτοις ἡσσᾶσθαι.

Ποσειδάων] ὁ ἵππιος θεός.

280. τοίου γὰρ κλέος] λαβόμενος μικρᾶς ἀφορμῆς πάλιν ἐπὶ τὴν μνήμην ἔρχεται τοῦ φίλου.

A= 281. ὅς σφωιν] διʼ ἑνὸς σ̄, ὡς τὸ "ὅ σφιν ἐυφρονέων·" ἐγκλιτικὸν δὲ "σφωίν·" ἔστι γὰρ γʹ προσώπου.

B+ 282. λοέσσας] ἐντεῦθεν Ξενοφῶν (Hipp. 5. 6) τὴν κεφαλὴν τοῦ ἵππου καταπλύνειν ὕδατι ἀξιοῖ καὶ τὸ προκόμιον. τρίτον δὲ κοτύλης ἐλαίου τὸ πᾶν ἀνθρώπου τέγγει σῶμα.

A~B= 287. ταχέες δʼ ἱππῆες] ἀντὶ τοῦ ταχέως, ὡς καὶ τὸ "λῦσεν δʼ ἀγορὴν αἰψηρήν" (Il. 19. 276).

288. Εὔμηλος] ὡς Θετταλικὰς ἵππους ἔχων καὶ ὑπὸ Ἀπόλλωνος τραφείσ⟨ας Il. 2. 766⟩.

B= 289. ἱπποσύνῃ ἐκέκαστο] οὐ μόνον οὖν ἀρετῇ ἵππων θαρρῶν ἀνέστη πρῶτος ἀλλὰ καὶ τέχνῃ ἱππικῇ.

291. ἵππους δὲ Τρῳούς] ἐπιδείκνυται τοὺς ἐξ ἀριστείας ληφθέντας, οὐ ⟨τοὺς⟩ κλαπέντας· ἄλλως τε ὅτι μέλλουσι νικᾶν τοὺς Ἀπολλωνοτραφεῖς τούτους παρέλαβεν· πῶς δὲ ὁ ἔναγχος τρωθεὶς ἀγωνίζεται; ὅτι εἶχον τὰ σώματα εὐφορώτερα τῶν νῦν καὶ τοὺς Ἀσκληπιάδας ἰατρευτάς.

οὕς ποτʼ ἀπηύρα] ὡς τὸ "ὅν ποτʼ ἔδωκας ἀντιθέῳ Ὀδυσῆι"

A+ (Od. 22. 290, 1). §. "Τρῳούς" δέ, ὡς πολλούς.

B= 293. Μενέλαος] εἰς τιμὴν Ἀχιλλέως. ἄτοπος δʼ ἦν ἡσσώμενος Ἀγαμέμνων· τὸ δὲ μηδέτερον τῶν βασιλέων ἀγωνίσασθαι ἀπρεπές.

B− 295. Αἴθην τὴν Ἀγαμεμνονέην] ἔπαινος τοῦ δυναμένου κατευθύνειν τὸ ἐξ ἀνομ⟨ο⟩ίων ζεῦγος. ἰσχανόωσά τε τοῦ δρόμου (300) ἡ Αἴθη οὐκ ἐδίδου ἀνοχὴν τῷ Ποδάργῳ τοῦ θηλυμανεῖν. καὶ ὁ τὴν Τιτανομαχίαν δὲ γράψας (fr. 3 K.) δύο ἄρρενάς φησιν Ἡλίου καὶ δύο θηλείας. ὑπαινίττεται ὁ ποιητής, ὡς ὅτι περὶ τὰ παιδουργὰ μόρια μόνον διαφέρειν ὀφείλουσιν ἄρρεν τε καὶ θῆλυ, κατὰ δὲ τὴν ἀρετὴν καὶ τὸ πρακτικὸν τοῦ βίου οὐδεμία αὐτοῖς διαφορά.

B= ἄλλως: Αἴθην τὴν Ἀγαμεμνονέην] ἵνα τρόπον τινὰ κοινῇ ἀγωνί-

19. suppl. W ‖ 19, 20. Ἀπόλλωνος τραφεῖς: corr. W ‖ 20. παρέλαβεν Bekker: -θεν ‖ 21. εὐφορώτερα W: διαφορώτερα ‖ 23. τὸ οὖς ‖ Ὀδυσσῆι ‖ 31. καὶ ante ὑπ. add. B ‖ παιδουργὰ B: ποδαργὰ

Digitized by Google

ζοιντο. §. πρὸς δὲ τὸ φιλάδελφον. οὐκ ἐντυγχάνοντα περὶ τῆς ἵππου B= πεποίηκεν αὐτὸν τἀδελφῷ, ἀλλὰ ἐπ' ἐξουσίας ὑποζεύγνυσιν "Αἴθην τὴν Ἀγαμεμνονέην τὸν ἑόν τε."

Πόδαργον] οὕτως ἐκαλεῖτο ὁ ἵππος Μενελάου.

296. Ἐχέπωλος] τύραννος Σικυώνιός τις ἦν ὑπὸ Ἀγαμέμνονα. §. κρείττον⟨α⟩ δὲ ἡγήσατο πολεμιστὴν ἵππον ἤπερ ἀπόλεμον ἄν- AB= θρωπον Ἀγαμέμνων.

ἄλλως: Ἐχέπωλος] Ἀκουσίλαος ἐν τρίτῳ γενεαλογιῶν κύριον ἤκουσε τὸ "Ἐχέπωλος" οὕτως· "Κλεωνύμου δ' Ἀγχίσης, τοῦ δὲ Ἐχέπωλος." καὶ Φερεκύδης ἐν τῷ γ'· "Κλεώνυμος δὲ ὁ Πέλοπος ᾤκει Κλεωνῆσι καταστήσαντος Ἀτρέως· τοῦ δὲ γίνεται Ἀγχίσης, τοῦ δὲ Ἐχέπωλος." §. οὐ μάτην καὶ Ἀντίλοχος ἀγωνίζεται· B– ἱππικοῦ γὰρ πατρός ἐστι καὶ παρέξει τῷ πατρὶ ἀφορμὴν ὑποθήκας τινὰς ὑπὲρ τῆς ἡνιοχείας παραδοῦναι, ἄλλως τε καὶ ἀπόγονός ἐστιν ἱππίου θεοῦ Ποσειδῶνος.

297. ἵνα μή οἱ ἕποιθ'] ἀπεσέμνυνε τὴν ἵππον· δῆλον γάρ, ὅτι B= οὕτως ἦν εὐγενὴς ὥστε καὶ λύτρον ἀστρατείας δοθῆναι.

303. Πυληγενέες δέ οἱ ἵπποι] τινὲς γράφουσι "παλαιγενέες·" B– "ἄμφω γὰρ ἀτέμβονται νεότητος" (445). τὸ δὲ "ὠκύποδες" ἐπὶ νεότητος, ὡς Πρίαμος ἐυμελίης καὶ πεδίῳ "ἀνθεμόεντι" τῷ Σκαμανδρίῳ (Il. 2. 467).

305. εἰς ἀγαθὰ φρονέων] ἐπὶ τὸ ἀγαθὸν αὐτὸν σωφρονίζων καὶ B– ἐμβιβάζων αὐτὸν εἰς νίκην· καλῶς δὲ προδιδάσκει περὶ τῆς ἱππικῆς, ἐν ὅσῳ Μηριόνης εὐτρεπίζεται (351).

306. ἐφίλησαν] τὸ μὲν φιλεῖν ἐπ' ἀμφοτέρων δεκτέον, τὸ δὲ A– τῆς ἱππικῆς (307) ἐπὶ μόνου Ποσειδῶνος· συλληπτικῶς δὲ εἴρηται, ὡς ἐπὶ τοῦ "Κύπρις τε καὶ ἀργυρότοξος Ἀπόλλων ἄφρονα τοῦτον ἀνέντες" (Il. 5. 760)· ἴσως δὲ διὰ τὸ τάχος τῶν νηῶν "αἵ θ' ἁλὸς ἵπποι" (Od. 4. 708) ἵππιος [νομίζεται].

307. ἐδίδαξεν] οὕτως ἑνικῶς ἐπὶ μόνου Ποσειδῶνος. A+

310. τῷ τ' οἴω] τὸ τέλειον 'τῷ τοι οἴω' σπανία ἡ συναλ⟨ο⟩ιφή. B= τινὲς δὲ τὸν "τέ" οἴονται· καὶ ἔστι περισσός.

311. τῶν ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοί] ὁ "δέ" παρέλκει, ὁ δὲ "μέν" ἀντὶ τοῦ μήν, ὅ ἐστιν 'οὐ μήν.'

2. ἀλλὰ μετ' B ‖ 6. supplevi ex B ‖ ἢ A, ὑπὲρ ‖ 9. Κλεονύμου ‖ 18. παλαιγενέες B: -έων ‖ 29. inclusa paene evanida



Digitized by Google

B+ ἀφάρτεροι] παρὰ τὸ ἄφαρ· ταχύτατοι.

B+ 312. πλείονα] οὐκ εἶπεν, ὅτι κρείσσων αὐτῶν τυγχάνεις.

B= 314. προφύγῃσιν ἄεθλα] οὐχ ὡς ἀμοίρου ἄθλου αὐτοῦ ἐσομένου, ἀλλ' ἵνα μὴ πέμπτος μείνῃ· εἰ γὰρ ἄεθλόν ἐστι τὸ ἐπὶ τῇ νίκῃ διδόμενον, ἄρα τὸ πέμπτον οὐκ ἔστιν ἄεθλον.

B= 315. μῆτί τοι δρυτόμος] ἵνα κατὰ τὴν φύσιν τοῦ ξύλου καὶ ἁρμονίαν κόπτῃ, καὶ μὴ κατὰ τὸ ἐναντίον τοῦ ἀνέμου, ἀλλὰ πρὸς τὸ πνεῦμα, ὅπως ἀποκλᾷ τὸ λειπόμενον· καλῶς δὲ ἔδειξεν, ὅτι ὃ B= μάλιστα βίας ἔργον εἶναι δοκεῖ τοῦτο τέχνης δεῖται. §. τῇ δὲ ἐπαγωγῇ (316) πρῶτος Ὅμηρος χρῆται.

B= 316. κυβερνήτης] μέγας ἐστὶ κυβερνήτης ὁ ἐν χειμῶνι ὀρθὴν ἄγων τὴν ναῦν.

A=B− 317. ἐρεχθομένην] ἐρεθομένην, ὅ ἐστιν ἐρεθιζομένην, ὡς τὸ "θυμὸν ἐρέχθων" (Od. 5. 83) ἀντὶ τοῦ ἐρεθίζων. ἢ "ἐεργομένην" ἀντὶ τοῦ συνεχομένην.

B= 319. ἄλλος μέν θ' ἵπποισι] ἐναντιότητος ἔλαβεν ἐνθυμήματα, τέχνης ἐπιτυχίαν καὶ ἁμάρτημα ἀτεχνίας. οἳ μὲν γάρ φησιν ἀτεχνεῖς ὄντες, ἵππων δὲ γενναίων ἐπιτυχόντες, τὴν ἐπιτυχίαν εἰς ἧτταν ἐκτήσαντο, οὐ περιγινόμενοι τῶν ἵππων, ἀλλὰ διὰ τὸ μὴ εὐθυδρομεῖν πλείστην ὁδὸν εἱλούμενοι· ὁ δὲ τεχνίτης, ὅταν βραδεῖς ἔχοι ἵππους, τάχιον τοῦ τέλους ἐφικνεῖται εὐθυδρομῶν.

A+ ἄλλος μέν] τινὲς μὲν δασύνοντες ὡς ἄρθρον ἀντὶ τοῦ 'ὁ μέν,' ὡς "ὅς τ' ἄλκιμος, ἐξεφαάνθη" (Il. 13. 278).

B= 322. κέρδεα] τέχνην· "κέρδεσιν, οὔτι τάχει γε, παραφθάμενος" (515).

B= 323. στρέφει] κάμπτει ἐγγὺς τοῦ καμπτῆρος, ἵνα μὴ ἐξαγώνιος αὐτῷ γένηται ὁ δρόμος.

B= 328. οὐ καταπύθεται ὄμβρῳ] Θεόφραστός φησιν (Hist. Plant. 5. 4, 3) αὐτὸ κατορυσσόμενον ἢ ἐν λίμναις βρεχόμενον μὴ σήπεσθαι· ἐν δὲ θαλάσσῃ σήπεται.

B− 330. ἐν ξυνοχῇσιν ὁδοῦ] ταῖς συμπτώσεσι ταῖς ἀπὸ εὐρυχωρίας εἰς στενὸν ἀγμὸν συγκλειομέναις· καὶ "ἐπὶ στῆθος συνοχωκότες" (Il. 2. 218)· τὸ σιγματοειδὲς οὖν τῶν σταδίων συνοχήν φησιν.

5. πέμπτον B: ἓν ‖ 8. ἀποκλῷ ‖ 17. ἀτεχνίας scripsi: ἐπιτυχίας ‖ οἱ B: εἰ ‖ 18. ἵππων B: ἐπὶ τῶν ‖ 18, 19. τῇ ἐπιτυχίᾳ τὴν ἧτταν B ‖ 20. εἱλούμενοι B: εἱλοῦνται ‖ 24. τέχνην W cf. B: ἐχρῆν ‖ 27. αὐτῷ B: τούτοις ‖ 30. ἐν Theophr.: ἐὰν ‖ 32. συνωχωκότες

Digitized by Google

λεῖος δ' ἱππόδρομος ἀμφίς] "ἀμφίς" μετὰ τὴν ἀποστένωσιν· B–
οἱ δὲ χωρίς, μετὰ τὴν τελευτήν.

331. ἤ τευ σῆμα βροτοῖο] Ἀρίσταρχος γράφει "ἠὲ σκῖρος ἔην, νῦν αὖ θέτο τέρματ' Ἀχιλλεύς·" σκῖρον δὲ τὴν ῥίζαν διὰ τὸ ἐσκιάσθαι· ὅθεν τὸ σκιάδ⟨ε⟩ιον Ἀττικοὶ σκῖρον καλοῦσιν.

335. κλινθῆναι—ἧκα] κλιθῆναι ἠρέμα πρὸς τὸ μὴ τρέψαι τὸν B–
δίφρον, ἀλλὰ καὶ κουφισθῆναι τὸν δεξιὸν ⟨ἵππον⟩ καὶ περιδραμεῖν. ὁ δὲ ἀριστερὸς σχολαίτερον ἀνύει.

336. ἧκ' ἐπ' ἀριστερά] τὸ πλῆρες 'ἧκα.' A =

339. δοάσσεται] φαντασθῇ, νομισθῇ. B =

340. λίθου δ' ἀλέασθαι] τοῦ προειρημένου λίθου. "λᾶε δὲ τοῦ B =
ἑκάτερθεν ἐρηρέδαται δύο λευκοί (329).

343. ἔσσεται] τινὲς δίχα τοῦ τ̄.

εἶναι] ἀντὶ τοῦ ἔσο. B +

345. οὐκ ἔσθ' ὅς κε σε—μετάλμενος] οὐδεὶς ⟨ἂν⟩ μετὰ σὲ ὁρμῶν B =
καταλάβοι σε οὐδὲ παρελεύσεται.

346. Ἀρείονα] ἴσως, ἐπεὶ ἐν Σικυῶνι γέγονεν ὁ Ἀρείων, οὗ ἐδόκει ἡ Αἴθη ἀπόγονος εἶναι.

347. Ἀδρήστου—ἵππον—ἢ ⟨τοὺς⟩ Λαομέδοντος] ὑπερβολικῶς καὶ τὰ ἐν ἑκατέρᾳ ἠπείρῳ διαφέροντα γένη τῶν ἵππων παρέλαβεν.

ὃς ἐκ θεόφιν γένος ἦεν] Ὅμηρος μὲν ἁπλῶς, ὅτι θειοτέρας ἦν A +
φύσεως, οἱ δὲ νεώτεροι Ποσειδῶνος καὶ Ἁρπυίας αὐτὸν γενεαλογοῦσιν, οἱ δὲ ἐν τῷ κύκλῳ Ποσειδῶνος καὶ Ἐρινύος. καὶ Ποσειδῶν μὲν αὐτὸν Κοπρεῖ τῷ Ἁλιαρτίῳ δίδωσιν, ὁ δὲ Κοπρεὺς Ἡρακλεῖ, ⟨ὃς⟩ καὶ Κύκνον ἀνεῖλεν ἐν Παγασαῖς ἐπ' αὐτοῦ μαχόμενος. ἔπειτα αὐτὸν δίδωσιν Ἀδράστῳ.

348. τράφεν] ἐπὶ παθητικοῦ τέτραφεν. §. τῷ "τέτραφεν" ἐπὶ παθητικοῦ χρῆται, ὡς ἐκεῖ "ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε τέτραφ' ἄριστος" (Il. 21. 279).

350. ἑκάστου πείρατα] "πείρατα" τὰ ἀποβησόμενα ἀπὸ τῆς B =
ἐμπειρίας.

351. Μηριόνης] οὐδὲ ὁ Μηριόνης αὐτῷ ἀσκόπως πρὸς τὴν ἀγω- B =
νίαν παρείληπται, ἀλλ' ἵνα διάθηται τὰ περὶ τὸν Ἰδομενέα περιέ-

1. δὲ ante μ. omisi || 3. ἤτοι || σκίρος || 4. αὖ θέτο Eust.: ἄνθετο || σκίρον || 5. suppl. W || 6. μὴ τρέψαι Bekker: μὴ στέψαι B, μήτε στρέψαι || 7. supplevi ex B || 12. λευκὼ B || 16. παρέλθοι B || 17. οὗ scripsi: εὖ || 24. Ἁλιορτίῳ

Digitized by Google

B− χοντα φιλονεικίαν ὄχλῳ πρέπουσαν. §. ἐναγώνιον συνίστησι τὸν ἀγῶνα, εἴγε ὁ πρῶτος ὕστατος καὶ ὁ ὕστατος πρῶτος ὁρᾶται. ἦν δὲ ὁ δρόμος οὐ δόλιχος. κάμπτουσι γάρ, ἀλλ' οὐδὲ πολλάκις κάμπτουσιν· ἔδει γὰρ πολλάκις εἰπεῖν τὸν καμπτῆρα. δίαυλος οὖν ἐστι μακρότατος· διὸ καὶ σκοπὸς κάθηται Φοῖνιξ καὶ σημαίνει τὸ τέρμα τηλόθεν, μή ποτέ τις ἐντὸς δρόμου κάμψῃ. ἅπαξ γὰρ ὁρῶνται ἐπὶ τοῦ αἰγιαλοῦ καὶ ἅπαξ φιλονεικοῦσι περὶ αὐτῶν. εἰ δὲ λέγει "ἀλλ' ὅτε δὴ πύματον" (373), τῶν δύο τὸν ἔσχατόν φησιν.

A+ 358. μεταστοιχεί] ἐπὶ στίχον, ὡς τὸ "μετὰ Ξάνθον τε" (Π. 5.152) ἀντὶ τοῦ ἐπὶ Ξάνθον· στίχος δὲ ἡ ἐπὶ τὸ βάθος στάσις τῶν χορευτῶν· οὐ γὰρ κατὰ μέτωπον ἔστησαν, ἐπεὶ διὰ τί ὁ κλῆρος ἐπάλθη; οὐ γὰρ ἔγραφον τοὺς στίχους ὡς νῦν ἡμεῖς κατὰ μέτωπον, ἀλλὰ κατὰ βάθος· ἕν⟨α⟩ γὰρ γράψαντες ἕτερον ἔγραφον καὶ τρίτον καὶ τέταρτον.

A+B= 361. μεμνέῳτο] προπαροξυτονητέον καὶ μετὰ τοῦ ῑ γραπτέον τὸ
A+ "μεμνέῳτο." §. πληθυντικῶς δὲ προενεκτέον τὸ "δρόμους."
B= ἄλλως: "μεμνέῳτο" ἐπιμελοῖτο· "μεμνῆσθαι πατρὸς καὶ μητ⟨έ⟩ρος (Od. 18. 267).

B= 362. οἱ δ' ἄρα πάντες] πᾶσαν φαντασίαν ἐναργῶς προβέβληται,
B~ ὡς μηδὲν ἧττον τῶν θεατῶν ἐσχηκέναι τοὺς ἀκροατάς. §. οὐδὲ καὶ τὰ ἅρματα ἐν τοῖς πετρώδεσιν αἴρεται (369).

B− 365. νόσφι νεῶν] ἤρξαντο μὲν ἀπὸ Σιγείου, ἔνθα ἦν Ἀχιλλεύς, ἔτρεχον δὲ ἐπὶ Ῥοίτειον· νόσφιν οὖν νεῶν τῶν πρὸς τῷ αἰγιαλῷ νεωλκηθεισῶν. κατὰ δὲ Ἀρίσταρχον ὁ δρόμος γέγονεν ἐν τῷ ἀπὸ τοῦ τείχους ἄχρι τῆς θαλάσσης ε̄ σταδίων διαστήματι.

B= 370. ἔστασαν] βεβαία αὐτῶν ἡ στάσις, οὐ πιπτόντων τῇ ἀναβολῇ τῶν ἁρμάτων.

B= 372. οἱ δ' ἐπέτοντο] πρὸς γὰρ τῷ τέλει τῆς νίκης ταχύνουσι πλέον. κονίοντες] κονιορτούμενοι ἢ ἐγκονοῦντες.

A+ 374. ἐφ' ἁλός] οὕτως Ἀρίσταρχος· αἱ δὲ πλείους "ἀφ' ἁλός."

A= 377. τὰς δὲ μέτ' ἐξέφερον] οὐκ ἀναστρεπτέον τὴν "μετά," ἐπεὶ μέσος ἐστὶν ὁ "δέ."

378. Τρώιοι, ⟨οὐδέ τι πολλὸν ἄνευθ' ἔσαν, ἀλλὰ μάλ' ἐγγύς⟩] ὅτι δὶς τὸ αὐτό.

2. ὕστατος W bis: ὕστερος bis ‖ 4. δὲ pro γὰρ B ‖ εἰπεῖν W: εἶναι ‖ 7. λέγοις ‖ 9. Ξ. γε ‖ 15. προσενεκτέον ‖ 19. οὐδὲ καὶ corrupta cf. B ‖ 24. διαστ. post τείχους: traieci ut Eust. ‖ πεντεσταδίῳ W nihil traiciens

Digitized by Google

οὐδέ τι πολλὸν ἄνευθε] φιλονεικίαν κινεῖ τοῖς ἀκούουσι τὸ ἐφάμιλλον τῶν ἀγωνιστῶν.

382. ἀμφήριστον] ἀμφισβητήσιμον. B=

383. εἰ μὴ Τυδέος υἷι] συναγωνιᾶν αὐτοῖς ποιεῖ τοὺς θεατὰς κατὰ Πίνδαρον "πολλοὶ δὲ καὶ μέμνανται, καλὸν εἴ τι ποναθῇ" (Ol. 6. 11).

κοτέσσατο Φοῖβος] σεμνοποιῆσαι πάλιν θέλων τὸν ἀγῶνα καὶ θεοὺς συμφιλονεικοῦντας εἰσάγει. κατὰ Διομήδους δὲ χωρεῖ ὁ Ἀπόλλων, ὅτι "οὐδὲ θεὸν μέγαν ἅζετο" (Il. 5. 434), καὶ ὡς ἱπποβουκόλος Ἀδμήτου. B−

385. χωομένοιο] συγχεομένου ἐπὶ τῇ ἀτυχίᾳ. A ~ B=

387. οἳ δέ] οἱ ἵπποι. B=

388. ἐλεφηράμενος] μετὰ παραλογίας βλάψας. B=

391. ἣ δὲ μετ' Ἀδμήτου υἱόν] δεῖ οὖν καὶ τὰς ἐπικουρίας παραπεφυλαγμένως ποιεῖσθαι, ὅπως μὴ μᾶλλον, ὧν προϊστάμεθα, τούτους βλάψωμεν. B=

392. ἐτ⟨ρ⟩άχυνε τὴν ἀπαγγελίαν μιμούμενος ψόφον ἁρμάτων κλωμένων. B=

393. ἀμφὶς ὁδοῦ δραμέτην] τῆς προκειμένης ὁδοῦ χωρὶς ἔδραμον. B=

ἐλύσθη] συνερρύη, κατειλήθη, ὡς "λασίην ὑπὸ γαστέρ' ἐλυσθείς" (Od. 9. 433). B=

396. θρυλίχθη] ἡ ὀνοματοποιία τοῦ "θρυλίχθη" τὴν ταραχὴν τοῦ θραυσθέντος προσώπου δηλοῖ. B=

397. θαλερὴ—φωνή] σύντονος. B+

398. παρατρέψας] νηφαλιωτάτη ἡ προσθήκη. τοῦτο γὰρ ἦν δεξιοῦ ἡνιόχου, τὸ μὴ ἐπενεχθῆναι τῷ συντετριμμένῳ δίφρῳ. B=

παρατρέψας ἔχε] ἵνα παρελάσῃ τὸν ἐντὸς ἔχων δρόμον ὀρθότερον καὶ φθάσῃ ἐπὶ τὸν καμπτῆρα· ὁ δὲ Μενέλαος ἐξωτέρω τὸν ἀσφαλέστερον ἤλαυνε δρόμον.

401. τῷ δ' ἄρ' ἐπ' Ἀτρεΐδης εἶχε] ἐπέκειτο τούτῳ Μενέλαος· εἰκότως δὲ τοῦτον τρίτον παρέλαβεν, οὗ καὶ τοὺς ἵππους κατονομασίας ἠξίωσεν.

403. ἔμβητον] ἠθικὴ ἡ προσφώνησις καὶ συνήθης, ὅπου καὶ ὀνόματα αὐτοῖς εἰώθασι τιθέναι. B+

5. ποναθῇ etiam Pindari codd. ‖ 11. οἱ ἵπποι lemmati addita ‖ 12. βλάψας B: γράψας ‖ 15. βλάπτοιμεν B ‖ 16. schol. lineae 11 adnexum: discrevit et traiecit W ut B ‖ suppl. W ‖ 24. νηφαλεωτάτη B ‖ 26. aptius schol. infra ad v. 423 legitur ‖ μὴ supra παρατρέψας in lemmate add. pr. ‖ εἶχε in lemmate ‖ 31. ἠθικὴ sec.: ἠθηκὴ pr. ut videtur

Digitized by Google

τιταίνετον] ἀντὶ τοῦ τιταίνεσθε.

B– 405. οἷσιν Ἀθήνη] τὴν ἐκ τῆς Ἀθηνᾶς βοήθειαν στοχάζεται, ὡς οὐκ ἀσύνετος. καὶ Αἴας (782) "ἦ μ' ἔβλαψε θεὰ πόδας, ἣ τὸ πάρος περ μήτηρ ὣς Ὀδυσῆι παρίσταται."

B= 408. ἐλεγχείην καταχεύῃ] αἰδοῖ καὶ φόβῳ διεγείρει αὐτούς.

B= 413. ἀποκηδήσαντε] ἀφροντι⟨στή⟩σαντες, ἀμελήσαντες.

A– 414. ἐφομαρτεῖτον] Ἀρίσταρχος "ἐφαμαρτεῖτον."

417. ὑποδδείσαντες] διὰ τοῦ ἑτέρου δ̄ τὸ "ὑποδδείσαντες."

A+B– 419. στεῖνος ὁδοῦ] βαρυντέον τὸ "στεῖνος," ὡς τὸ μάκρος παρὰ Ἀριστοφάνει (Av. 1131)· "ὦ Πόσειδον τοῦ μάκρους."

B= ἄλλως: στεῖνος ὁδοῦ] τὸ γενικώτερον προέταξεν, ὅτι ἦν στενὴ ἡ ὁδός· εἶτα ἐπάγει "ῥωχμὸς ἔην" (420), ὅ ἐστι χάσμα ἐκ ῥύακος γενόμενον.

B= ἄλλως: στεῖνος ὁδοῦ κοίλης] στείνωμα κοιλάδας ἔχον παρακειμένας.

B= 420. ῥωχμὸς ἔην] ἔκρηξίς τις μικρὸν ἀνωτέρω τοῦ καμπτῆρος. ἐν δεξιᾷ ταύτης Μενέλαος ἤλαυνεν.

421. ἐξέρρηξεν ὁδοῖο] Ἀττικῶς, ἀντὶ τοῦ ὁδόν.

χῶρον ἅπαντα] Ἀριστοφάνης "χῶ⟨μ⟩α ἔνερθεν."

A+ 422. τῇ ῥ' εἶχεν] χωρὶς τοῦ τ̄ "ᾗ ⟨ῥ'⟩ εἶχεν." "ᾗ" ὅπου, ὑπὸ τῇ στενῇ ὁδῷ.

B= ἁματροχιάς] τὰς εἰς ταὐτὸ συνόδους τῶν τροχῶν.

B= 423. Ἀντίλοχος δὲ παρατρέψας] ἐκ τῆς ὁδοῦ εἰς τὰς ῥωγάδας ἑαυτὸν δούς.

B= παρατρέψας] ἵνα παρελάσῃ τὸν ἐντὸς ἔχων δρόμον ὀρθότερον καὶ φθάσῃ ἐπὶ τὸν καμπτῆρα. ὁ δὲ Μενέλαος ἐξωτέρω τὸν ἀσφαλέστερον ἤλαυνε δρόμον.

B= 426. ἀφραδέως] ἀπείρως· οὐ γὰρ οἶδεν, ὅτι κακουργεῖ.

B= ἄνεχε] ἄνω ἔχε, μὴ ἐπίκεισο.

B– 427. εὐρυτέρῃ παρελάσσεις] "παρελάσ⟨σ⟩αι·" λείπει τὸ ἔσται· ὅταν παρέλθῃς τὸ στενόν, ἔσται ταχέως εὐρυτέρα, ὥστε ⟨παρ⟩ελάσαι.

3. ἦ μ' ‖ 4. Ὀδυσσῆι ‖ 6. supplevi ex B ‖ 7. ἐφαμαρτεῖτον A: ἐφωμαρτεῖτον ‖ 10. τοῦ Ar. codd.: τοὺς ‖ 11. τὸ B: τοῦτο ‖ ἡ post στενὴ om. B ‖ 13. γεγενημένον B ‖ 14, 15. περικειμένας B ‖ 16. τις B: τῆς ‖ 19. suppl. Ludwich: χῶρον coni. Heyne ‖ 20. ῆ ῥ' A: ῆ ‖ ῆ ὅπ. scripsi: ᾗ ὅπ. ‖ 30, 31. suppl. Heyne

Digitized by Google

428. κύρσας] συρράξας, συμπεσών. B+

430. ὡς οὐκ αἰόντι ἐοικώς] προσποιούμενος μὴ ἀκούειν. B=

431. δίσκου—κατωμαδίοιο] τοῦ κατὰ τοῦ ὤμου βαλλομένου· ἄνωθεν γὰρ αὐτὸν ῥίπτουσιν. B=

οὖρα] ὁρμήματα, ὡς "ὅσσον τ' ἐν νειῷ οὖρον πέλει ἡμιόνοιιν" (Od. 8. 124).

433. αἳ δέ] "τοὶ δέ." θήλεια γὰρ καὶ ἄρσην.

ἠρώησαν] ὑπεχώρησαν. B=

440. ἔρρ', ἐπεὶ οὔ σ' ἔτυμόν γε φαμὲν πεπνῦσθαι] ὅτι ἀκολουθοῦσιν ἀλλήλαις αἱ ἀρεταί· οὐ γὰρ φρόνιμος ὁ ἀδικῶν. B−

445. ἀτέμβονται] στέρονται, οἱ δὲ γλωσσογράφοι μέμφονται. B−

451. ἧστο γὰρ ἐκτὸς ἀγῶνος] φιλικῶς ἄγαν· ἀγωνιᾷ γὰρ διὰ τὸν φίλον. B+

452. τοῖο δ' ἄνευθεν] χωρὶς ὄντος τοῦ ὁμοκλητῆρος, τουτέστι μακρὰν ἀπόντος τοῦ ἡνιόχου. B−

454. ὃς τὸ μὲν ἄλλο τόσον] "τόσον" ἀντὶ τοῦ ὅλον· οὕτω γάρ φησι πρὸς τὰ παρ' ὀλίγον τετελεσμένα· οἱ δὲ γλωσσογράφοι "τόσον" ἀντὶ τοῦ τὸ σῶμα. Χαμαιλέων δέ φησι τοὺς τοιούτους ἵππους ἀρίστους εἶναι. A~B=

455. * μήνη] ὅτι πάντων μήτηρ.

458. οἴος ἐγὼν—αὐγάζομαι] καὶ ταῦτα εἰωθότα ἐν τοῖς ἀγῶσιν· θρύπτονται γὰρ ὡς ἀκριβέστερον θεώμενοί τινες καὶ ἐν ἤθει καταλαζονεύονται τῶν πολλῶν. B=

ἠὲ καὶ ὑμεῖς] τοῦτο ἠθικῶς.

459. παροίτεροι] παρὰ τὸ πάρος καὶ πλεονασμῷ τοῦ ι, ὡς ἐν τῷ "μυχοίτατος" (Od. 21. 146). οἱ δὲ ἀπὸ τοῦ πάροιθεν τοπικοῦ. A~B=

461. κεῖσέ ⟨γε⟩] εἰς ἐκεῖνον τὸν τόπον πορευόμ⟨εν⟩αι· ἔστι δὲ ὡς τὸ "τηλόσε δοῦπον ἐν οὔρεσιν ἔκλυε ποιμήν" (Il. 4. 455) ἀντὶ τοῦ τηλόθι, καὶ "⟨πεύθετο γὰρ⟩ Κύπρονδε" (Il. 11. 21). §. Ζηνόδοτος δὲ γράφει "κεῖθί γε." A+

462. τὰς πρῶτα ἴδον] καμπτούσας μὲν γὰρ αὐτὰς εἶδεν, οὐκέτι δὲ μετὰ τὸ κάμψαι. ἐκεῖ γὰρ αὐτὸς ἔπεσεν. AB−

3. τῶν ὤμων B || φερομένου B || 7. sequitur schol. quod etiam ad v. 454 ut in B adscriptum est lemmate τόσσον ἐπιδραμέτην praefixo || 26. μυχοίτατοι || 32. πρῶτα B: πρώτας

Digitized by Google

B= 463. νῦν δ' οὔ πω] περισσὸν τὸ "πώ·" τὸ δὲ "πῄ" τὴν εἰς τόπον δηλοῖ σχέσιν.

A= 464. παπταίνετον] Ἀρίσταρχος "παπταίνεται."

465. ἠὲ τὸν ἡνίοχον] ἐρω⟨τη⟩ματικῶς· διὸ περισπᾶται.

* ἡνίοχον] τὸν ἱππέα.

B+ 466. καὶ οὐκ ἐτύχησεν ἑλίξας] ἀπέτυχε τοῦ ἑλίξαι.

B= 468. ἐξηρώησαν] ἔξω ὥρμησαν τοῦ δρόμου κουφισθεῖσαι τοῦ ἡνιόχου.

A= 471. Αἰτωλὸς γενεήν] ἀθετεῖται ὡς ληρώδης. καὶ ⟨πῶς⟩ πρὸς τέλει τῆς ποιήσεως γεγονὼς διασαφεῖν ἐθέλει τὸν προγνωσθέντα Διομήδην παρ' αὐτοῦ.

AB= 473. τὸν δ' αἰσχρῶς] πρόγλωσσος ἀεὶ καὶ θρασὺς Αἴας καὶ νῦν τὸ ἴδιον νόσημα φυσικῶς ἑτέρῳ ἐπιτίθησιν· διὸ ἐπὶ τῇ γλώσσῃ κολάζεται νῦν τε καὶ ἐν τῷ ναυαγίῳ (Od. 4. 504).

B= 474. τί πάρος λαβρεύεαι] λάβρως καὶ οὐ μετ' ἐπιστάσεως λαλεῖς.

475. * δίενται] ἐλαύνονται.

B= 476. οὔτε νεώτατός ἐσσι] ἀγροικώδης μὲν ἡ λοιδορία, ἀλλὰ μιμεῖται διαθέσεις θεατῶν· δέδοται τῷ ποιητῇ πᾶν εἶδος κινεῖν πρὸς ψυχαγωγίαν.

B= 477. ὀξύτατον] τμητικὴ γὰρ ἡ θέα τοῦ ὑποκειμένου ἀέρος.

478. μύθοις λαβρεύεαι] ἐμφαντικῶς μετήνεγκεν ἀπὸ τῶν λάβρως ἐσθιόντων.

479. πάρα γὰρ καὶ ἀμείνονες] εἰς τὸ λαβρεύεσθαι. §. τινὲς δὲ "οὔτε τοι ὀξύτερον κεφαλῆς—πάρα γὰρ καὶ ἀμείνονες" (477–9). καὶ πῶς δύναται ὑπερθετικῷ ἐπῆχθαι συγκριτικόν;

ἄλλως: πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι] ἀπὸ κοινοῦ τὸ λαβρεύεσθαι· ὃ μὴ νοήσας τις προσέθηκε τὸν ἑξῆς στίχον.

A+ 480. * παροίτεραι] τοπικῶς.

* "πάρος" χρονικῶς.

AB+ 481. εὔληρα] ἅπαξ χρῆται. ὁ δὲ Παριανός φησι καὶ ἐπὶ ἱματίων καὶ δεσμῶν τίθεσθαι τὴν λέξιν. ἔστι δὲ παρὰ τὸ εἰλῶ εἴληρα.

A= 483. νείκει ἄριστε] Ἀρίσταρχος "νεῖκος ἄριστε," ὡς "εἶδος ἄριστε" (Il. 3. 39).

B+ κακοφραδές] κακὰ ἐπιλογιζόμενε.

1. δὲ scripsi: γὰρ || 4. suppl. sec. || 7. ἐξερώησαν || 9. suppl. W || 13. τῆς γλώσσης || 18. δέδοκται B || 30. scil. Neoptolemus: Ἡρωδιανὸς B

Digitized by Google

485. δεῦρό νυν] "δεῦρο" καὶ εἰς τοῦτον τὸν τόπον—"ἢ δεῦρο μὲν ἕποντο" (Il. 3. 240)—καὶ ἐγκελευστικῶς, "δεῦρ' ἄγ' ἰών" (Od. 12. 184). §. συσταλτέον δὲ ἐνθάδε τὸ "νύν" διὰ τὸ μέτρον. B– AB=

περιδώμεθα] συνθώμεθα. καὶ λείπει ἡ περί, περὶ τρίποδος. A∼B=

486. * ἴστορα] συνθηκοφύλακα. AB+

487. ἵνα γνώῃς] γνῴῃς, πότεροι ἵπποι πρῶτοι. AB=

490. προτέρω ⟨ἔτ'⟩ ἔρις γένετο] εἰς τοὔμπροσθεν ἂν διέβη τὰ τῆς ἔριδος. B=

491. εἰ μὴ Ἀχιλλεύς] ὡς ἀγωνοθέτης γὰρ προΐσταται τῆς εὐκοσμίας. B=

493. κακοῖς] ἄμεινον ἀντ' αὐτοῦ γράφειν "ἄναξ·" προεῖπε γὰρ "χαλεποῖσι" (492).

497. τότε δὲ γνώσεσθε] τοιοῦτοι καὶ ἐν τοῖς νῦν ἀγῶσι τινὲς πρεσβυτικοὶ καὶ εὐσταθεῖς θεαταὶ μηδὲν πρὸ τοῦ καιροῦ προλαμβάνειν ἀξιοῦντες.

500. μάστι] ἀπὸ τῆς μάστιος Ἰωνικῶς, ὡς "Θέτι" καὶ "μάστι⟨ν⟩ βάλεν" φησιν (Od. 15. 182). A–

κατωμαδόν] κατὰ ⟨τῶν ὤμων⟩ τῶν ἰδίων ἵππων τὴν μάστιγα ἐπαίρων, ὡς τὸ "κατωμαδίοιο" (431). B–

501. ἀειρέσθην] τοῦτο πρὸς τὸ γαῦρον καὶ εὔρυθμον τῶν ποδῶν. B=

502. αἰεὶ δ' ἡνίοχον] "ἡνίοχον" τὸν Διομήδην, ὡς "θρασὺν ἡνίοχον φορέοντες Ἕκτορα" (Il. 8. 89)· τί οὖν ἄτοπον, εἰ καὶ τοὺς ἡνιόχους ἱππῆας ἐν τῇ Λ (52) καλεῖ; ἔστι δὲ τὸ "αἰεί" ὡς τὸ "αἰεὶ δὲ πυραὶ νεκύων καίοντο" (Il. 1. 52). B–

503. ἅρματα δὲ χρυσῷ] διὰ τῆς πολυτελείας θαυμαστὴν δείκνυσι τὴν θέαν· ψύχωσε δὲ αὐτά, ὡς καὶ αὐτῶν ὁρμώντων αὐτοκινήτως.

504. οὐδέ τι πολλὴ—ἁρματροχιὴ] ὡς μὴ πάνυ χαράσσειν τὴν γῆν. §. μέτρον δὲ ἔχουσα ἡ ὑπερβολὴ πιστεύεται. B=

506. ἐν λεπτῇ κονίῃ] μᾶλλον ἐμφαίνει τὴν κουφότητα.

507. στῆ δέ] ἀντὶ τοῦ τοῦ δρόμου ἐπαύσατο. B=

μέσσῳ ἐν ἀγῶνι] τῷ ἀθροίσματι. B=

509. ἐκ δίφροιο—παμφανόωντος] ὥστε καὶ ἐκεῖ τὸ "πρὸς ἐνώπια παμφανόωντα" (Il. 8. 435) τῶν ἁρμάτων ἐπίθετον. A+

6. γνῷς in lemmate ‖ 16. μάστιγ' in lemmate ‖ μάστιος A: -ιγος ‖ 18. supplevi ex B ‖ 19. κατωμαδίους ‖ 20. ἀβρὸν B pro γαῦρον

Digitized by Google

B= 510. οὐδ' ἐμάτησεν] οὐ μάταιον ἡγήσατο τὸ λαβεῖν τὸ ἄεθλον. ἐξ οὗ τὸ οὐκ ἠφροντίστησεν, ἀφ' οὗ τὸ οὐκ ἠμέλησε νοητέον.

A= 512, 513. δῶκε δ' ἄγειν—γυναῖκα καὶ τρίποδ' ὠτώεντα φέρειν] ὅτι διεσάφησε τὸ "ἄγειν" πρὸς τὸ "φέρειν."

A+ 514. Ἀντίλοχος Νηλήιος] ἀπὸ πάππου· Νηλεὺς γὰρ θεοῦ· τὸ οὖν "τίσις ἔσσεται Ἀτρείδαο" (Od. 1. 40) Ἀγαμέμνονος, οὐκ Ὀρέστου, καὶ τὸ "μέγ' ἄρισται ἔσαν Φηρητιάδαο" (Il. 2. 763) τοῦ Ἀδμήτου.

B= 515. κέρδεσιν, οὔ τι τάχει] Ἀντίλοχος μὲν διδαχθεὶς ἐκ Ποσειδῶνος παρατρέχει, ὁ δὲ ταχεῖς ἵππους ἔχων μέλλει παραδραμεῖν.

B= 517. τροχοῦ ἵππος ἀφίσταται] προσφυεστάτῃ εἰκόνι χρῆται· τὰ γὰρ διαστήματα τῶν ἁρμάτων ἀπὸ τῆς ὁμοίας χρείας δέχεται τὴν εἰκόνα.

B= 520. ἄγχι—τρέχει] ὅσον γὰρ διαβαίνει ὁ ἵππος τρέχων, τοσοῦτον ἕπεται ὁ τροχός.

A+B= 521. πεδίοιο θέοντος] λείπει ἡ διά.

A~B— 523. δίσκουρα] τινὲς δύο μέρη κατὰ συναλ⟨ο⟩ιφήν, ἐπειδή φησιν "ὅσ⟨σ⟩α δὲ δίσκου οὖρα" (431). ἄμεινον δὲ τὸ σύνθετον· καὶ γὰρ ἀπὸ τῶν κατὰ τῶν ὤμων φησὶ "κατωμαδίοιο" (ib.).

524. ὀφέλλετο γὰρ μένος ἠύ] ὡς τὸ "ἦ γάρ τε μάλιστά τε θυμὸν ὄφελλεν."

B+ 529. λείπετο—δουρὸς ἐρωήν] τὴν ἔκτασιν, ὡς τὸ "ἐρωήσει περὶ δουρί" (Il. 1. 303, Od. 16. 441).

A+B— 531. ἥκιστος] παρὰ τὸ ἧκα, ὃ δηλοῖ τὸ ἡσυχῇ. ἀφ' οὗ καὶ τὸ ἥκιστα, ὃ ἐναντίον ἐστὶ τῷ μάλιστα· οἱ δὲ παρὰ τὸ ἔχω, ὅ ἐστιν ἐπέχω· τινὲς δὲ ἀπὸ τοῦ ἧσσον, ἀμαθῶς.

AB= ἥκιστος δ' ἦν αὐτός] παρὰ τῷ ποιητῇ τὸ "ἥκιστος" ψιλοῦται καὶ δηλοῖ τὸ ἐλάσσων, παρὰ δὲ Ἀττικοῖς δασύνεται καὶ σημαίνει τὸ οὐδ' ὅλως.

A~B= 533. ἕλκων ἅρματα ⟨καλὰ ἐλαύνων πρόσσοθεν ἵππους⟩] ⟨ἐκ⟩ τῶν ἔμπροσθεν αὐτοὺς ἕλκων, ὅ ἐστι διὰ τῶν ἀγωγέων, καὶ τῇ μάστιγι τοὺς αὐχένας τύπτων.

AB= πρόσσοθεν] συστολή ἐστι τοῦ πρόσωθεν καὶ ὁ αὐτὸς τόνος.

B— 536. λοῖσθος ἀνὴρ ὤριστος] διδάσκει τοὺς παρὰ τὴν ἀξίαν ἀτυ-

3. ὠτώεντα textus: ὠτόεντα ‖ 13. διαβαίνει B: ἐπιβαίνει ‖ 19, 20. 'an τῇ γάρ ῥα μάλιστά γε θ. ὄφελλεν (Od. 4. 366), ubi traditur ὄρινα' W ‖ 29. supplevi ex A ‖ 30. αὐτοὺς ἕλκων post ἀγ. iteratum: omisi

Digitized by Google

χοῦντας ἐλεεῖν καὶ μὴ τῆς ἀρετῆς ἐᾶν ὑπερτερεῖν τὴν τύχην· ἄλλως τε καὶ Θεσσαλὸς ὁ Εὔμηλος.

537, 538. ἀέθλιον—δεύτερα] ἵνα μὴ δοκῇ ὕπουλος εἶναι Διομήδει B− διὰ τὴν ὑποψίαν τὴν φθάσασαν ἐγγενέσθαι αὐτοῖς· καὶ ἐν τῇ πρὸς Αἴαντα μάχῃ τοῦ πλήθους ἐπίσης ἀπαλλάξαντος αὐτοὺς δίδωσι τὸ ξίφος αὐτῷ (824).

538. δεύτερα] φιλτάτῳ γὰρ ὄντι Ἀντιλόχῳ οὐκ οἴεται λύπην παρέξειν ἐν τούτῳ. §. τινὰ δὲ τῶν ἀντιγράφων καὶ τούτους τοὺς A+ εὐτελεῖς φέρει β´ στίχους "⟨τὰ τρίτα δ' Ἀντίλοχος,⟩ τέτρατα ξανθὸς Μενέλαος, πέμπτα δὲ Μηριόνης θεράπων ἐὺς Ἰδομενῆος."

543. ὦ Ἀχιλεῦ] Νέστορος υἱός ἐστι λέγειν τε καὶ πράσσειν B= δυνατός· τὸ μὲν γὰρ "κεχολώσομαι" ἁπλουστάτης διαθέσεώς ἐστι καὶ φιλεταιρίας, τὸν δὲ Μενέλαον ἠπιότητι νικᾷ. καὶ μεμίμηται νέου χρηστὸν τρόπον ὁ ποιητής.

544. ἄεθλον] οὐδετέρως· εἴωθε δὲ καὶ ἀρσενικῶς λέγειν ὁ ποιητής. B=

546. ἀλλ' ὤφελεν ἀθανάτοισιν] ἐναντιώσῃ οὖν τοῖς θεοῖς, εἰ, ὃ ἀφῄρηνται ἐκεῖνοι, αὐτὸς δώσεις.

548. καί τοι φίλον] "φίλος" ὀφείλει. A−

549. ἔστι τοι] ἐπαγγελτικῶς τὸ "ἔστι·" διὸ ὀξέως.

556. χαίρων Ἀντιλόχῳ] λείπει ἡ ἐπί. ὅσῳ δὲ διατέταται πρὸς B= αὐτόν, τοσούτῳ πλέον δέδεικται τὸ γνήσιον τῆς εἰς αὐτὸν ἑταιρίας, καὶ οὐκ ἀναβάλλεται τὸ δῶρον.

561. ᾧ πέρι χεῦμα—κασσιτέροιο] ἐδήλωσε τὸν ἐπικεχυμένον τε A+B καὶ πεπηγμένον τῷ θώρακι κασσίτερον. ἴσως οὖν περισσεύει ἡ "περί·" διὸ οὐκ ἀναστρεπτέον αὐτήν.

566. θυμὸν ἀχεύων] οὐ διὰ σμικρολογίαν ἐφίεται τοῦ μείζονος A=B− ἄθλου, ἀλλὰ φύσει πάντες νικᾶν θέλομεν. φιλότιμος οὖν ἐστι περὶ τὴν νίκην. ὅτι δὲ οὐ δύσερις, ἔδειξε παραχρῆμα διαλυσάμενος. μέμφεται δὲ αὐτῷ ἀπατήσαντι καὶ παρὰ τὴν ἡρωικὴν ἁπλότητα κακουργήσαντι. καὶ Ἀχιλλεὺς "ἐκ—δή μ' ἀπάτησε καὶ ἤλιτεν" (Il. 9. 375).

1. τύχην sec. ut B: δίκην ‖ 3. δεύτερον ‖ 8. παρέξειν Bekker: ἕξειν ‖ τινὰ scripsi: τινὲς ‖ 9. φέρει scripsi: φασὶ ‖ supplevi ex A ‖ 11. Ἀχιλλεῦ ‖ πράσσειν scripsi: πρᾶξαι ‖ λόγῳ καὶ πράξει B ‖ 16. ἐναντιώσῃ B: -σει ‖ 19. ἐπαγγελματικῶς coni. Bekker ‖ sequitur schol. quod etiam ad v. 593 p. 430, 34 adscriptum est, eodem lemmate praefixo: omisi ‖ 20. διατέταται B: -ακται ‖ 23. ἐπικεχ. W: ἐκκεχ ut B ‖ 24. δόρατι B

Digitized by Google

B— 568. σκῆπτρον ἔθηκε] σκῆπτρον δέχεται διὰ τὸ δημηγορεῖν, "σκῆπτρον δέ οἱ ἔμβαλε χειρὶ κῆρυξ Πεισήνωρ" (Od. 2. 37, 8), ὁ δὲ Ἀντίλοχος πρὸς μόνον Μενέλαον διαλέγεται.

B= 570. πρόσθεν πεπνυμένε] φρόνιμον αὐτὸν εἰπὼν ἔδειξεν, ὡς ἑκὼν ἥμαρτεν. οὕτω δὲ καὶ τὸ ἔγκλημα μεῖζον ἀποφανεῖται.

B= 574. ἐς μέσον—δικάσ⟨σ⟩ατε] μέσοι γένεσθε, μὴ ἑτεροβαρεῖς.

B= ἄλλως: ἐς μέσον] ἐξ ἴσου καὶ ἐκ παραλλήλου· ἐπιφέρει "μηδ' ἐπ' ἀρωγῇ." καὶ ἔστιν ἡ διάνοια θαρροῦντος τῷ δικαίῳ· οὐδένα γὰρ αὐτῶν καταχαρίσασθαι ἀξιοῖ, ἵνα μὴ δόξῃ διὰ τὸ ἀξίωμα ⟨πλεονεκτεῖν⟩.

576. ψεύδεσσι] ὡς ψεύσμασιν.

B— 579. αὐτὸς δικάσω] ἔδειξεν, ὅτι τῷ εἰς ὅρκον προκαλουμένῳ οὐκέτι δεῖ ⟨ἀντειπεῖν· ἴσον γὰρ τῷ⟩ ἀπώσασθαι ἱκέτην.

581. διοτρεφές] περισσὸν τὸ ἐπίθετον, ὡς "δῖον Ἀλέξανδρον" (Il. 3. 352) "Ἀνδρομάχη λευκώλενος" (Il. 6. 377) "ὄρσεο, κυλλοπόδιον" (Il. 21. 331). §. ὁ δὲ στίχος περισσός· ἄλλοι φασί, 'θωπεύει Νέστορα·' ἀλλ' οὐ πρέπει τῷ φλεγμαίνοντι θωπεῦσαι.

B+ 582, 3. ἱμάσθλην—ῥαδινήν] λεπτήν, ἐπιμήκη.

B= 585. ὄμνυθι] εἰκότως ἐπὶ ὅρκον καταφεύγει· οὐ γὰρ ἐπὶ τοῦ πλήθους γενομένης τῆς ἐπιθέσεως, οὐδ' ὄντων μαρτύρων, ἐπὶ τὸ συνειδὸς ἔρχεται τοῦ Ἀντιλόχου.

587. ἄνσχεο] οὕτως Ἀρίσταρχος· ὁ δὲ Σιδώνιος διὰ β' σσ, ὡς τὸ "καδδραθέτην" (Od. 15. 494).

B= 589. ὑπερβασίαι] παραβάσεις τοῦ δέοντος. ἔγνω δέ, ὡς οἱ εἴκοντες νικῶσι τοὺς φίλους. τὸ δὲ συγγνώμην δεχόμενον εἰς ἀπολογίαν φέρει, τὴν ἡλικίαν.

B= 590. κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆνις] ὀξύτερος κατὰ κίνησιν καὶ πρᾶξιν· ἡ δὲ βουλὴ ἀσθενής.

B— 591, 2. ἵππον δέ τοι—δώσω] φιλοτίμως τὴν μὲν νίκην προσποιεῖται, τοῦ δὲ ἄθλου, φησίν, ἐξίσταται ἑκών· ὁ γὰρ λέγων "αὐτὸς δώσων" κατασκευάζει, ὅτι ἐμὴν οὖσαν λήψῃ αὐτὴν οὐκ ἐκ μέσου ἀλλὰ παρ' ἐμοῦ. τούτῳ συνᾴδει καὶ τὸ "εἰ καί νυ κεν οἴκοθεν ἄλλο" (592). διὰ γὰρ τοῦ "ἄλλο" διδάσκει, ὅτι καὶ τοῦτο οἴκοθέν ἐστι καὶ ἤδη ἐμὸν ἴδιον.

B= 593. μεῖζον ἐπαιτήσειας] ἐπὶ τῷ ἵππῳ αἰτήσειας μεῖζόν τι.

8. αὐτῶν B: -ῷ ‖ 9. suppl. W ex Eust. ‖ 12. suppl. W ‖ οὐκ ἔστιν ὁ ἀντερῶν B ‖ 16. θωπεῦσαι Heyne: θῦσαι ‖ 19. γινομένης B ‖ 29. ἐξίστασθαι coni. W

Digitized by Google

594. ἦ σοί γε, διοτρεφές] θεραπευτικῶς ἀγαθὸν ⟨καὶ⟩ θεοφιλῆ αὐτὸν καὶ ἰσόθεον ἀποδείκνυσιν. πρὸς μὲν οὖν Ἀχιλλέα τῇ δικαιολογικῇ στάσει ἐχρήσατο, νῦν δὲ τῇ παρορμητικῇ, ἀφιστάμενος μὲν τοῦ δικαιολογεῖν, θεραπείᾳ δὲ καὶ τιμῇ ὁμιλητικῶς ἀνακτώμενος. B=

595. ἐκ θυμοῦ πεσέειν] πιθανῶς τὴν ἔχθραν ἔκπτωσιν τῆς φιλίας φησίν. B=

596. καὶ ἵππον ἄγων] ἠθικὸν τὸ αὐτοχειρὶ ἄγοντα παραδοῦναι.

597, 8. θυμὸς ἰάνθη] ἐπὶ τῇ τιμῇ.

598. ἰάνθη] καὶ οἱ γεωργοὶ μεταφέροντες γελᾶν τὰ φυτὰ καὶ ἱλαρὰ εἶναι λέγουσιν. B=

ὡς εἴ τε περὶ σταχύεσσιν ἐέρση] ὥσπερ τὸ λήιον περιχυθὲν τῇ δρόσῳ φαιδρύνεται ἐκ τῆς πρωινῆς στυγνότητος μεταβαῖνον. B=

599. ὅτε φρίσσουσιν] ὅτε τελειοῦνται οἱ στάχυες· τότε γὰρ φανερὰ γίνεται ἡ δρόσος, οὐχ ὅτε εἰσὶ ταπεινοί. ἢ ἀνορθοῦνται, ἢ κινοῦνται. ἔστι δὲ καὶ πρὸς πολεμίους πρᾷος Μενέλαος. B–

603. ἀεσίφρων] ἀνεμώλια φρονῶν ἢ βλαψίφρων. B=

604. νεοίη] νεότης· οἱ δὲ περὶ Ἀντίμαχον γράφουσι "νόημα." A+

605. δεύτερον αὖτ' ἀλέασθαι] δείκνυσιν ὡς σκαιοῦ μὲν τὸ μὴ συγγνῶναι καθάπαξ ἁμαρτάνοντι, ἀσθενοῦς δὲ τὸ πολλάκις. B=

* δεύτερον] "ὕστερον." A=

608. σός τε πατήρ] διὰ τούτου καὶ τὴν πρὸς ἅπαντας ὁμολογεῖ χάριν. B=

610. ἐμήν περ ἐοῦσαν] ἄκρως ἐλέγχει Ὅμηρος τὰς φύσεις τῶν ἀνθρώπων, ὅτι καὶ νέοις καὶ πρεσβυτέροις ἐνέστακται τὸ φιλότιμον. ὅρα γὰρ ὅτι μεθ' ὅσους λόγους ἀντιποιεῖται τῆς νίκης, παραχωρεῖ⟨ν⟩ δὲ τοῦ ἰδίου ἄθλου φησὶν ἑκών. B=

612. Νοήμονι] ὄνομα· ὃ καὶ ἐν Ὀδυσσείᾳ (6. 630, 648) "υἱὸς Φρονίοιο Νοήμων." δεῖ δὲ τοιοῦτον εἶναι τὸν Ἀντιλόχου ἑταῖρον. B–

616. τὴν Νέστορι δῶκεν] ἀγαθός ἐστι νομοθέτης ἀξιῶν καὶ φρονήσεως ἆθλα τίθεσθαι. παρ' Ὁμήρου τοίνυν διδαχθεὶς Ἰσοκράτης (4. 1) ἐπιτιμᾷ τοῖς μὴ τιθεῖσιν ἆθλα συνέσεως. ὥσπερ δὲ τὸν βασιλέα, οὕτω καὶ τὸν συνετὸν ἀκονιτὶ στεφανοῖ (891). B=

617. φέρων] ηὔξησε τὴν φιλοτιμίαν οὐ διὰ θεράποντος διδούς. B=

619. Πατρόκλοιο τάφου] τῆς ταφῆς, ὡς ἕσπερον καὶ πύλον· ἢ τοῦ ἐπιταφίου, ὡς "ἐς τάφον· ἔνθα δὲ πάντας ἐνίκα" (680).

1. supplevi ex B ‖ 8. iteratur * * sine lemmate ‖ 14. ἀνορθοῦνται B: οὖν ὀρθοῦνται ‖ 24. supplevi ex B

Digitized by Google

A + B = 622. οὐδέ τ' ἀκοντιστὺν ἐνδύσεαι] "ἐσδύσεαι·" οὐδέποτε γὰρ Ὅμηρος τῇ ἐν ἀντὶ τῆς εἰς κέχρηται.

B = 624. ἐδέξατο χαίρων] ἐπὶ τῇ τιμῇ.

A + B = 627. οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα—πόδες, οὐδ' ἔτι χεῖρες] ἐξηγεῖται τί ἐστι "γυῖα."

B = 627, 8. οὐ γὰρ ἔτ'—αἴσσονται ἐλαφραί] ὅταν γὰρ ἐξασθενήσῃ τὸ κινοῦν πνεῦμα, βαρέα γίνεται τὰ μέλη.

B — 630. ὡς ὁπότε κρείοντα] ἀεὶ οἰκείοις παραδείγμασι χρῆται. ὅταν μὲν γάρ τινα ἐπὶ μονομάχιον ἐξαναστῆσαι θέλῃ, τὰ περὶ Ἐρευθαλίωνα λέγει (Il. 4. 319). ὅταν δὲ Ἀχιλλέα ἐπὶ τὴν μάχην (Il. 7. 136), τὰ περὶ τὸν Ἠλ[ει]ακὸν πόλεμον· καὶ ἐν τοῖς ἐπὶ Πατρόκλῳ ἄθλοις παλαιοῦ ἐπιταφίου μέμνηται ἀγῶνος.

B = 631. βασιλῆος] περὶ βασιλέως· ἢ οἱ τοῦ βασιλέως παῖδες.

633. οὔτ' Αἰτωλῶν] τινὲς τῶν Ἠλείων, ἀπὸ Ὀξύλου. ψευδὲς δέ· οὐ γὰρ ἐπὶ Νέστορος ἡ κάθοδος· ⟨διὰ δὲ⟩ τῶν Ἐπειῶν τοὺς Ἠλείους δηλοῖ (632) "Ἦλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί" (Od. 13. 275)· "Αἰτωλῶν" δὲ τῶν ἀγωνιζομένων· φησὶ γοῦν "Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον" (635).

B = 634. Κλυτομήδεα] οἰκεῖον πύκτῃ τὸ ὄνομα· δεῖ γὰρ αὐτὸν μηχανᾶσθαι.

B + 635. Ἀγκαῖον δὲ πάλῃ] παρὰ τὸ "ἀγκὰς ἀλλήλων λαβέτην" (711)· ἴσως δὲ καὶ παρὰ τὰς πλευρὰς Πλευρώνιος. ἴσως δὲ ἀπὸ τῆς θέας ἀναστὰς ἠγωνίσατο τοῦ κήρυκος βοήσαντος. καὶ ἐν Ὀδυσσείᾳ "μή τις τοι—ἀμείνων ἄλλος ἀναστῇ" (Od. 18. 334).

B — 636. Ἴφικλον] ἰφίκωλος· ἴσως δὲ τὸν Φυλακίδην φησίν (Il. 13. 698).

637. Φυλῆα] τὸν Αὐγέου φησὶν ἴσως υἱόν. §. ἄκραν δὲ εὐεξίαν σώματος ἔχει, εἴγε τὰ κοῦφά τε ἅμα καὶ βαρέα νικᾷ.

AB = 640. παρ' αὐτόφι] παρ' αὐτοῖς.

B + 641. δίδυμοι] συμφυεῖς, ὡς Ἀρίσταρχος· οὐκ ἔστι δέ.

643. ὥς ποτ' ἔον] ἀπὸ τοῦ ἔω.

644. ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ] ὅτι τὰ καθ' ἡλικίαν ἀεὶ ποιεῖν ἁρμόζει.

A — ἄλλως : ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ] ἐπιτέτευκται ὁ στίχος ταῖς

11. erasa suppl. sec. ‖ 15. suppl. W ‖ 17. ἀγωνιζομένων W ex Eust. παρατυχόντων τῷ ἀγῶνι : ἁρπαζομένων

Digitized by Google

*κοιναῖς, ὥστ' ἢν θέλωμεν καὶ ἴαμβος ἔσται, ὡς τὸ "σμύρνης ἀκράτου καὶ κέδρου νηλεῖ καπνῷ."* (cf. Schneider Callim. p. 477 fr. an. 343).

646. *κτερέιζε] γεραρὸν αὐτοῦ τὸν νέκυν ἄθλοις ποίει· παρὰ τὸ κτέρας, ὅ ἐστι κτῆμα. "τῇ μὲν κτέρας οὐδὲν ὁμοῖον"* (Il. 10. 216). B=

648. *ὥς μευ ἀεὶ μέμνησαι ἐνηέος] ἀντὶ τοῦ ἐνηῶς· ἢ ὡς τὸ "οἶκον ἄτιμον ἔδεις"* (Od. 16. 431) *μετὰ ἀτιμίας, οὕτω καὶ νῦν μετὰ προσηνείας.*

649. *τιμῆς, ἧς τέ μ' ἔοικε τετιμῆσθαι] ὕψωσεν ἑαυτὸν ὡς ὀφείλοντα τιμᾶσθαι, εὐλόγιστον ἀποδείξας τὸν τιμήσαντα· τίνος γὰρ ἄλλου ἐδεῖτο πρεσβύτης διηνυκὼς μὲν τοσαῦτα ἐπὶ νεότητος, εἰς χάριν δὲ φίλων στρατεύων νῦν, ἐπ' ἀξιώματος δὲ ὢν τοιούτου καὶ παίδων πατὴρ καὶ οἴκου εὐδαίμονος δεσπότης; ἴσως δὲ τὸ "τιμῆς" νῦν ὡς ἐπὶ ὠνίων.* B−

652. *ἐπεὶ πάντ' αἶνον ἐπέκλυε] εὖ τὸ ὑπομεῖναι τὴν φλυαρίαν τοῦ γέροντος εἰς τὴν ἐκείνου τιμήν.*

*αἶνον] τὸν ἀπόκρυφον καὶ ἐσχηματισμένον λόγον, ἐπεὶ ἐδόκει αὐτῷ ἐν ὑπονοίᾳ εἶναι· νυνὶ δὲ τεθεράπευκεν, ὡς τὸ "αἶνος μέν τοι ἀμύμων, ὃν κατέλεξας"* (Od. 14. 508). *οὐ γὰρ τὸν ἔπαινόν φησιν.* B=

653. *πυγμαχίης ἀλεγεινῆς] πολυφροντίδος καὶ ἐπισκέψεως δεομένη⟨ς⟩.* B=

654. *ἡμιόνον ταλαεργόν] πρὸς τὴν ὑπομονὴν τοῦ πύκτου καὶ ὁ ἆθλος.* B=

*ταλαεργόν] ὑπομένουσαν πρὸς τὰ ἔργα. διὸ καὶ τὸ "ἀλγίστη δαμάσασθαι"* (655)· *σφριγῶσα γὰρ οὐκ εἴκει τῷ ζυγῷ.*

656. *τῷ δ' ἄρα νικηθέντι—δέπας] οἰκείως τὸ "δέπας" τῷ νικωμένῳ πρὸς ἀνάκτησιν δίψους, ἀφ' οὗ μάλιστα νικῶνται· ἢ ὅτι οἱ πόται ἡσσῶνται ἔργων τοιούτων.* B=

658. *Ἀτρεΐδη τε καὶ ἄλλοι—ἄνδρε—ὥπερ ἀρίστω] τοὺς ἀρίστους καλεῖ διὰ τὸ ἐναγώνιον· οὐ τοσοῦτον ἐπὶ ἰδιώτῃ ὅσον ἐπὶ μεγάλῳ ἀγωνιῶμεν· ἴσους δὲ τῶν κειμένων καλεῖ, ὅπως μηδὲ εἷς ἀτιμάζηται δίχα ἐπάθλου ἀναχωρῶν.* A~B+

660. *πὺξ μάλ' ἀνασχομένω ⟨πεπληγέμεν⟩] δυνατωτέρα γὰρ ἡ πυγμὴ ἄνωθεν ἐπαγομένη· τὸ δὲ "πεπληγέμεν" πλήσσειν.*

6. *αἰεὶ* ‖ *ἐνηνέος* ‖ 21. supplevi ex B ‖ 24. *περὶ* D ‖ 25. cf. p. 434, 5 ‖ 27, 28. *οἱ πόται* B: *ὁπότε* ‖ 29. *ᾧπερ* ‖ 30. *ἐπὶ ἰδ.* scripsi: *ἐπε. ἰδ.* ‖ 32. *ἀτιμάζοιτο*



Digitized by Google

A+ 661. *καμμονίην*] *τὴν ἐκ καταμονῆς νίκην· οὐκ ἂν οὖν εἴποι αὐτὸ ἐπὶ δρομέων.*

664. *ἠΰς τε μέγας τε*] *τὸ γὰρ μῆκος συμβάλλεται πρὸς τὸ σφοδρὸν τῆς ἄνωθεν πληγῆς.*

665. *⟨Πανοπεὺς⟩ στρατεύσας σὺν Ἀμφιτρύωνι κατὰ Τηλεβοῶν ἐκ τῶν κοινῶν λαφύρων κεκλοφὼς Λαγαρίαν ἴσχει υἱὸν Ἐπειόν, ὃς ὑδροφόρει τοῖς Ἀχαιοῖς· ἐλεήσασα δὲ ἡ Ἀθηνᾶ . . . ἐν τοῖς χορευταῖς . . . "φημὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον" ἀντὶ τοῦ ὃς νίκην μὴ περιποιήσαι "τῷ Πανοπηιάδῃ δώσειν μέγα δεῖπνον Ἐπειῷ" ζημίαν* (Simonid. fr. 173).

B= *Ἐπειός*] *οὐκ ἄρα τῶν ἀρχόντων μόνων ὁ ἀγών. ἦν δὲ ὡς ἔοικεν καὶ τέχνη παρ' αὐτοῖς τῆς πυγμῆς, οὐ μόνον ἡ δύναμις.*

B− 666. *ἄψατο δ' ἡμιόνου*] *πολὺ τὸ ἦθος καὶ ἀγωνιστικόν. πάντας δὲ τοὺς μεγάλους ἡσσῶν τοῦτον στέφει, προδιατυπῶν ἡμῖν τὸ πρόσωπον πρὸς τὴν τοῦ ἵππου κατασκευήν· ἢ τάχα ὅτι αἱ χεῖρες τετυλωμέναι τῶν τοιούτων.*

AB= 670. *μάχης ἐπιδεύομαι*] *τὸ ὁμολογεῖν ἐφ' οἷς τις ἡσσᾶται πίστιν ἐμποιεῖ περὶ ὧν τις ἐπαγγέλλεται.*

B= 674. *κηδεμόνες*] *οἱ κηδόμενοι αὐτοῦ.*

B= 675. *ἐξοίσουσιν*] *φοράδην δηλονότι.*

B= 676. *ἀκὴν ἐγένοντο σιωπῇ*] *διὰ τὸ ὑπερήφανον τῆς ἀπειλῆς.*

B= 677. Εὐρύαλος] *τρίτος ἐστὶ βασιλεὺς Ἀργείων μετὰ Διομήδην καὶ* Σθένελον. *ἔστι γὰρ* Μηκιστέως, Μηκιστεὺς *δὲ καὶ* Ἄδραστος Ταλαοῦ *παῖδες γεγόνασιν.*

*οἷος ἀνίστατο*] *οὕτως ἔχει καὶ τὸ "Ἀγκαῖον δὲ πάλῃ* Πλευρώνιον, *ὅς μοι ἄνεστη"* (635).

A ~ 679. *ὅς ποτε Θήβασ⟨δ' ἦλθε δεδουπότος Οἰδιπόδαο⟩*] *ὅτι βασιλεύοντα ἐν Θήβαις φησὶν ἀπολέσθαι, οὐχ ὡς οἱ νεώτεροι· καὶ* Ἡσίοδος *δέ φησιν* (fr. 45 M.) *ἐν Θήβαις αὐτοῦ ἀποθανόντος Ἀργείαν τὴν Ἀδράστου σὺν ἄλλοις ἐλθεῖν ἐπὶ τὴν κηδείαν τοῦ Οἰδίποδος.*

A ~ *δεδουπότος* Οἰδιπόδαο] *ἢ ὡς ὑπερπαθήσαντος καὶ ῥίψαντος ἑαυτὸν*

4. *ἄνωθεν τῆς* ‖ 6. *Λαγαρίαν* Meineke ad Steph. Byz. s. v.: *Ἐλαγάρειαν* ‖ 5. schol. post *ζυγῷ* p. 433, 25 adiungitur: traiecit Bekker ‖ 7, 8. lacunas indicavi ex Athenaeo X 456e explendas ‖ 8. *φέρειν* Ath.: *φορεῖν* ‖ 9. *μὴ* W: *μοὶ* ‖ *Πανοπηιάδῃ δώσειν μέγα* Ath.: *Πανοπῆι δηλώσειν μετὰ* ‖ 13. *ἦθος* W: *ἦδος* B, *εἶδος* ‖ 23. *δὲ* B pro *γὰρ*

Digitized by Google

ἐξ ὕψους, ἢ καταχρηστικῶς ἀποθανόντος, ὡς τὸ "ὁ δ' Ἀτρείδην ἐναρίζοι" (Il. 1. 191) κυρίως δὲ τὸ σκυλεύοι.

ἄλλως: ὅς ποτε Θήβασδε] ὁ Μηκιστεύς· πρὸς γὰρ τὸ δεύτερον ὑπαντᾷ, καὶ συνᾴδει ἡ ἡλικία. A + B =

680. ἐς τάφον] ἐπιτάφιον. B =

πάντας ἐνίκα] ἢ τοὺς πύκτας ἢ τὸν ἄριστον νικήσας πάντων περιγέγονεν.

681. τὸν μὲν Τυδεΐδης] οἶδε καὶ τὰς παραινέσεις τῶν παιδοτριβῶν ὁ ποιητής.

ἄλλως: τὸν μὲν Τυδεΐδης] διὰ τὴν συγγένειαν· ἔστι γὰρ Δηιπύλης τῆς Ἀδράστου καὶ γαμεῖ Αἰγιάλειαν τὴν Ἀδράστου· ὁ δὲ Εὐρύαλος Μηκιστέως ἐστὶ τοῦ ἀδελφοῦ Ἀδράστου. B –

683. ζῶμα δέ οἱ πρῶτον] κατὰ τὴν ιδ' Ὀλυμπιάδα ἐφ' Ἱππομένους Ἀθήνησιν ἄρχοντος Ὀλυμπίασι στάδιον θεόντων ἐν περιζώμασι συνέβη ἕνα αὐτῶν Ὄρσιππον ἐμποδισθέντα ὑπὸ τοῦ περιζώματος πεσεῖν καὶ τελευτῆσαι. ὅθεν ἐθεσπίσθη γυμνοὺς ἀγωνίζεσθαι· ὅθεν καὶ γυμνάσια οἱ τόποι, ἐν οἷς διεπονοῦντο· νεώτερος οὖν Ἡσίοδος (fr. 27 M.), γυμνὸν εἰσάγων Ἱππομένη ἀγωνιζόμενον Ἀταλάντῃ. AB –

684. δῆσεν ἱμάντας] οὗτοι γὰρ οἱ ἱμάντες βαρεῖς καὶ ἐπιτήδειοι. . . .

686. ἀνασχομένω] ἀνατεινάμενοι. B +

χερσὶ στιβαρῇσιν] τοῦτο πλεονέκτημα πύκτου.

688. χρόμαδος] ὠνοματοποίησε τὸν ψόφον· ἅμα γὰρ καὶ τρίζουσιν οἱ πύκται ἐπάγοντες τὴν πληγήν. AB =

690. κόψε δὲ παπτήναντα] προδεδειχότος τὸ παρήιον Ἐπειοῦ περιεβλέψατο καὶ οὕτως ἐπλήγη· "ὤρνυτο" (689) οὖν ἐπῆρτο· καὶ Θεόκριτός φησιν (22. 102) "ἑτώσια χερσὶ προδεικνύς."

691. ὑπήριπε φαίδιμα γυῖα] εἰκότως· ὀστώδης γὰρ ὁ τόπος καὶ διασεῖσαι πᾶσαν τὴν κεφαλὴν δυνάμενος. B =

692. ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέω] ὅταν ἀρχομένου πνεῖν ἀνέμου ἐπιστίζηται τὸ πέλαγος, τότε ἅλλονται οἱ ἰχθύες· καὶ ἐκεῖ "μέ- B –

2. σκυλεύει ‖ 3. Θήβαις ‖ 4. τῇ ἡλικίᾳ B ‖ 11. Αἰγιάλειαν scripsi: Εὐρυάλειαν ‖ 13. κατὰ AD: μετὰ ‖ λ' καὶ δευτέραν D ‖ 15. Ὄρσιππον Eust.: Ὄριππον AD, Ἔρσιππον ‖ 19. Ἀταλάντῃ Eust.: ταλάντῳ ‖ 20. δῶκεν ἱμ. textus ‖ 21. lacunam indicavit W ‖ 24. ὠνοματοποίησε B: ὀνομ. ‖ 26. προδεδειχότι



Digitized by Google

λαινα⟨ν⟩ φρῖχ' ὑπαλύξει" (Il. 21. 126). ἐναργὲς δὲ τὸ τῆς εἰκόνος· ἀναπηδᾷ γὰρ ἑκάτερος καὶ πάλιν ἀναφέρεται.

οἱ δὲ γράφουσιν "ὑπαὶ ῥιπῆς."

693. θίν' ἐπί] τὸ τέλειον ἐπὶ θινί.

ἄλλως: θίν' ⟨ἐν φυκιόεντι⟩] τὸ τέλειον θινί· καὶ ὅτι ἀρσενικῶς.

B= 695. χερσὶ λαβὼν ὤρθωσε] καὶ ἄχρι νῦν τὸ ἔθος τὸ μὴ πεσόντα πλήσσειν πύκτην.

B– 697. αἷμα παχύ] πολύ· τὸ γὰρ ὀλίγον τῷ σιάλῳ λεπτύνεται. ἐναργῶς δὲ αὐτὸν παρέστησεν.

698. κὰδ δ' ἀλλοφρονέοντα—εἷσαν] ἡ "κατά" πρὸς τὸ "εἷσαν."

B= 701. δεικνύμενος Δαναοῖσι] φιλοτιμούμενος.

702. τρίποδ' ἐμπυριβήτην] οὐκ ἀναθεματικόν, ⟨ἀλλὰ⟩ πρὸς τὸ μετὰ τοὺς ἱδρῶτας ἀπολούσασθαι.

B= 704. νικηθέντι γυναῖκα] διὰ τὸ μαλακὸν καὶ ἀσθενές.

705. τίον] συνετίμων.

A~ 707. ὄρνυσθε] ἐοίκασι τὸ παλαιὸν δύο μόνοις προτίθεσθαι πυγμῆς καὶ πάλης ἀγῶνας· διὸ μόνοι δύο ἀνίστανται ἀγωνιούμενοι.

B= 708. Τελαμώνιος Αἴας] ὅτι ἐφάμιλλος ἀνδρ⟨ε⟩ία τέχνης.

709. ἂν δ' Ὀδυσεύς] ἴσως ὑπὸ Ἀθηνᾶς ἰάθησαν τὰ ἕλκη (cf. Il. 14. 379).

711. ἀγκὰς δ' ἀλλήλων] ἀντὶ τοῦ 'ἀλλήλω,' ὡς "ἄμφω δ' ἐζομένων" (Il. 3. 211) ἀντὶ τοῦ 'ἑζομένω.'

B– 712. ὡς δ' ὅτ' ἀμείβοντες] οἱ συστάται· ἀποτελοῦσι δὲ τὸ σχῆμα τοῦ Λ στοιχείου, οἱ δέ, ⟨ὅτι⟩ τιθεῖσι τὰς δοκοὺς τὰς παχείας πρὸς τὰς λεπτάς.

B= ἄλλως: ὡς δ' ὅτ' ἀμείβοντες] παλαιὸς καὶ ἀγροικώδης ὁ τρόπος· τὴν γὰρ εὐώνυμον ἑκάτερος ὑπὸ τὴν πλευρὰν ὑπέβαλε τοῦ ⟨ἀντ⟩αγωνιστοῦ, τῇ δὲ δεξιᾷ κρατῶν τὴν ὑποβεβλημένην ἑκάτερος τοῦ λαιοῦ ἀγκῶνος τοῦ ἐναντίου ἐλάβετο, τοῖς δὲ μετώποις ἀντηρείδοντο. ποτὲ δὲ τὸ "ἀγκάς" περιβολὴν χειρῶν δηλοῖ.

B= 714. τετρίγει δ' ἄρα νῶτα] τοῦτο πρὸς τὸ βίαιον τῆς διατάσεως καὶ τὸ τῶν σωμάτων στερεόν.

B= 716. πυκναὶ δὲ σμώδιγγες] τοσοῦτον ἦν βίαιος ἡ πρόστριψις. δεινὴ δὲ ἡ καρτερία καὶ τῶν ὑπομενόντων καὶ τῶν σφιγγόντων. δηλοῖ

1. φρίχ' ὑπαλύξαι ‖ 3. schol. l. 1 post ὑπ. insertum: discrevi ‖ 6. τὸ ante ἔθος om. B ‖ 8. σιέλῳ ut B ‖ 19. Ὀδυσσεὺς ‖ 23, 26. ἀμείνονες ‖ 24. suppl. W ‖ 28. κρατῶν scripsi: κρατεῖ

Digitized by Google

δὲ ὡς ἡ αὐτὴ μὲν ἦν αὐτοῖς τάσις, μετέστησαν δ' ἐπὶ πολλὰ μέρη τοῦ σώματος· ἐπεὶ πῶς ⟨ἂν⟩ ὁ πολὺς ἱδρὼς ἔρρει;

718. τρίποδος περὶ ποιητοῖο] οὐκ ἀναστρεπτέον τὴν "περί·" A+B∽ δύναται γὰρ ἰσοδυναμεῖν τῷ περισσῶς· ἀντὶ τοῦ ἐξαιρέτως πεποιημένου.

720. ἶς Ὀδυσῆος] ἡ μετὰ τέχνης· τούτῳ γὰρ ἐνίκα· ἔστι γὰρ ὁ B− Ὀδυσσεὺς παλαιστής, εἴγε καὶ τὸν Φιλομηλ⟨ε⟩ίδην κατεπάλαισεν (Od. 17. 134).

721. ἀλλ' ὅτε δή ῥ' ἀνίαζον] οὐδὲν γὰρ ἀηδέστερον θεαταῖς ἐστιν B= ἢ παλαισταὶ δι' ὅλης τῆς ἡμέρας ἐφαμίλλως ἰσορροποῦντες.

ἐυκνήμιδες Ἀχαιοί] ἡ γραφὴ "ἐυκνήμιδας Ἀχαιούς." καὶ τὸ A∼ "ἀνίαζον" εἰς ἀνίαν ἦγον, ὡς "Κίκονες κλῖναν δαμάσαντες Ἀχαιούς" (Od. 9. 59) εἰς κλίσιν ἦγον.

724. ἤ μ' ἀνάειρε] εἰκότως προκαλεῖται· πέποιθε γὰρ ἂν καταγω- B= νίσασθαι τῇ ἰσχύι. εἰώθασι δὲ ἐν τοῖς ἀγῶσι τοῦτο ποιεῖν ὃ καλεῖται λαβὴ καὶ ἀντιδιδόναι ἀλλήλοις ἢ τὸν νῶτον ἢ τὸν αὐχένα ἢ τὸν πόδα πολλάκις.

725. ὣς εἰπὼν ἀνάειρε] ὡς εἰωθότων τῶν πρώην ἰσχύι καταγωνίσασθαι καὶ οὐ δόλῳ.

726. κώληπα τυχών] "κώληπα" τὴν ἰγνύην. §. ὑπτιασθέντος δ' B+ Αἴαντος Ὀδυσσεὺς (726) ἐπὶ τὰ ἴδια στήθη πίπτει. δύναται δὲ καὶ B= ἐπὶ τὰ τοῦ Αἴαντος.

728. θάμβησάν τε] τὸν βουγάιον (Il. 13. 824) ὑπὸ τοῦ ὠμο- B= γέροντος (791) ὁρῶντες νικώμενον.

729. δεύτερος αὖτ' ἀνάειρε] τὸ σχῆμα πρῶτος εὗρε Κερκυών· καλεῖται δ' ἰγνυῶν ὑφαίρεσις, ὥς φησι Σώπατρος.

730. κίνησεν δ' ἄρα τυτθόν] εἰς ὕψος μὲν ἆραι διὰ τὸ μέγεθος B− οὐ δύναται καὶ ἵνα μὴ ὃ ἐποίησε πάθῃ, ἄρας δὲ τοσοῦτον ὅσον τῆς στάσεως παρακινῆσαι τῷ δεξιῷ γόνατι παρατρίψας τὸ ἀριστερὸν αὐτοῦ σκέλος ἔπεσεν· καὶ πλάγιοι πίπτουσιν· ἔστιν οὖν τὸ δεύτερον πτῶμα Ὀδυσσέως (cf. 727)· οἱ δέ, ὅτι καμὼν τῇ ἐντάσει τοῦ βάρους συναπεκύλισεν αὐτῷ τὸν ἀντίπαλον· εἰ δὲ εἰς ὕψος αὐτὸν ἦρεν, ἐδαπάνησεν ἂν τῷ βάρει τὴν ἑαυτοῦ δύναμιν· τὸ μέντοι σχῆμα οἱ μὲν παράπλαστον, οἱ δὲ παρακαταγωγὴν ὀνομάζουσιν.

1. τάσις W: στάσις || 4. τῷ B: τοῦ || 5. Ὀδυσσῆος || 13. ἂν καταγ. scripsi ex l. 17, 8: ἀγ. B, αὐτὸν ἀγ. || 25. δὲ ἰγνύων Eust., δὲ τοῦ ὢν || ἀφαίρεσις Eust. || 30. καμὼν B: κατ' ὤμων || 33. μεταπλασμόν Eust.; παραπλαγιασμόν coni. Heyne

Digitized by Google

A+ 731. ἐν δὲ γόνυ γνάμψεν] πάντες τὴν "ἐν" πρόθεσιν ἐδέξαντο· Λεπτίνης δὲ μόνος ἐπὶ ἀριθμοῦ.

735. ἐρίδεσθον] λείπει ἡ διά, οἷον 'διερίδεσθε.' §. "τρίβεσθε" B= δὲ καταπονεῖσθε κακοῦντες ἑαυτούς.

B− 736. νίκη δ' ἀμφοτέροισιν] τινές φασιν, ὅτι τὸ πρῶτον Ὀδυσσέως, τὸ δεύτερον κοινόν. ὃ δὲ χαρίζεται ὡς συγγενεῖ, καθὰ καὶ Εὐμήλῳ (536)· ἔστι δὲ ψεῦδος.

741. κρητῆρα τετυγμένον] ὡς "ξεστὴν—τράπεζαν" (Od. 1. 138) καὶ "τρίποδος περὶ ποιητοῖο" (718) "Τίρυνθά τε τειχήεσσαν" (Il. 2. 559).

ἓξ δ' ἄρα μέτρα] ὡρισμένον ἴσως ἦν τὸ μέτρον.

B= 742. ἐνίκα πᾶσαν ἐπ' αἶαν] ἐνίκησε τοὺς ἄλλους δηλονότι κρατῆρας.

B− 743. ἐπεὶ Σιδόνες] ἄριστοι τεχνῖται οἱ Σιδόνες· "ἔργα γυναικῶν Σιδονίων" (Il. 6. 289) καὶ "Σιδόνος πολυχάλκου εὔχομαι εἶναι" (Od. 15. 425)· τὸ δὲ εἶδος εἰπὼν τὸ γένος ἐπήγαγεν, ὡς τὸ "Δουλιχίοιο Ἐχινάων θ' ἱεράων νήσων" (Il. 2. 625)· πρῶτοι δὲ Φοίνικες τὰ μέγιστα διεπέρασαν πελάγη.

B+ 745. στῆσαν δ' ἐν λιμένεσσι] ὥρμισαν.

751. λοισθῆϊ'] ἡ συνήθεια "λοισθήιον ἔκφερ' ἄεθλον" (785)· οὐ γὰρ κλί⟨ετ⟩αι λοισθεύς, ὥς τινες· γέγονε δὲ παρὰ τὸ λείπω.

A− 757. στὰν δὲ μεταστοιχί] διπλῆ καὶ ἀστερίκος· πῶς γὰρ κλήρου μὴ βληθέντος ἵστανται "μεταστοιχί;" μετῆκται οὖν ἀπὸ τοῦ ἱπποδρομικοῦ ἀγῶνος ὁ στίχος (358). δόλιχος δὲ ἦν ὁ δρόμος καὶ ἡ ἄφεσις (758) ἀπὸ τῶν καμπτήρων.

B+ 758. τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος] ἐπεὶ μὴ κάμπτουσιν, οὐ ταμιεύουσιν εἰς τέλος τὸ τάχος ἀλλ' εὐθέως προπηδῶσιν.

B− 762. πηνίον] παρὰ τὸν Πᾶνα· οὗτος γὰρ εὑρέτης ὑφασμάτων. οἱ δὲ ὑφήνιον τὸ ὑπὸ τοὺς μίτους ὄν.

B− παρὲκ μίτον] ἀντὶ τοῦ παρὰ μίτον. οὐκ ὀκνεῖ δὲ καὶ τὴν γυναικωνῖτιν παραλαμβάνειν· "ἥ τε σταθμὸν ἔχουσα καὶ εἴριον" (Il. 12. 434).

B= 764. ἴχνια τύπτε] πολλὴ ⟨ἡ⟩ ἀγχιστεία, εἴγε φθάνει τὸ βῆμα τὴν καταφερομένην ἐπὶ τὸ ἴχνος κόνιν, ἣν ὁ προτρέχων ἀνέστησεν.

B− 765. ἀυτμένα] τὴν ἀναπνοὴν καὶ τὸ ἆσθμα· τοῦτο δὲ ὡς κολοβωτέρου ὄντος Αἴαντος.

A+ * ἀυτμένα] ὡς ποιμένα.

3. cf. p. 440, 3 ‖ 6. ὃ δὲ scripsi, cf. B: ὅπερ ‖ ἡ post χ. omisi ut B ‖ 15. Ἐχινάδων ‖ 17. προσώρμισαν B ‖ 20. στῆ δὲ ‖ 30. supplevi ex B ‖ 32. ἄδημα: corr. W

Digitized by Google

ἀυτμένα] παρὰ τὸ ἄνω, ὅ ἐστι φωνῶ· φωνῆς δὲ γένεσις πνοὴ καὶ ἀήρ· καὶ θηλυκῶς δὲ ἀυτμὴ ἡ πνοή. B—

767. μάλα δὲ σπεύδοντι κέλευον] πρὸς τὸ εὐνοϊκὸν τῶν Ἑλλήνων. χρειωδέστερος γάρ· ὁ δὲ πρὸς πάντας ἀπηνής· καλῶς δὲ προσέθηκε τὸ "μάλα δὲ σπεύδοντι κέλευον·" τοῖς γὰρ ἀμελοῦσιν ἄτοπον συναγωνίζεσθαι. B—

768. ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον] τὸ ἔσχατον τοῦ δρόμου. B=

770. κλῦθι, θεά] συντόμως καὶ ἁρμοδίως τῷ καιρῷ· ἀσθμαίνει γὰρ καὶ σπεύδει. B=

772. γυῖα δ' ἔθηκεν ἐλαφρά] φασὶ τοῖς προτρέχουσι δίκην πτερῶν εἶναι τὰς χεῖρας.

ἄλλως: γυῖα δ' ἔθηκεν ἐλαφρά] περισσὸς ὁ στίχος καὶ λύων τὸ ἐναγώνιον· οὐδὲ γὰρ βεβαρημένα ἦν αὐτῷ τὰ μέλη. ἄλλως τε ἤρκει πρὸς τὴν νίκην τὸ πεσεῖν Αἴαντα· εἰ γὰρ τοῦτο ἦν, καὶ προειλήφει ἂν αὐτόν· μετῆκται οὖν ἀπὸ τῶν περὶ Διομήδους (Il. 5. 122). A~B+

775. κέχυτ' ὄνθος] ὑπὸ Ὀδυσσέως συνεχόμενος καὶ ὑπεκβὰς τοῦ δέοντος δρόμου πίπτει. AB=

777. πλῆτο στόμα] κεχηνὼς οὖν ἔτρεχεν· ὁ δὲ τὸν πρεσβύτην λαβραγόραν εἰπὼν (474) κατὰ τοῦ στόματος κολάζεται. AB=

783. μήτηρ ὣς Ὀδυσῆι] διὰ τοῦτο ἴσως φησὶ "καὶ ἐχθόμενός περ Ἀθήνῃ" (Od. 4. 502), ὅτι τὴν παρθένον εἴκασε μητρί· ὁ δὲ Ἴστρος ἐκτεθῆναι ὑπὸ Ἀντικλείας Ὀδυσσέα φησὶν ἐν Ἀλαλκομεναῖς τῆς Βοιωτίας, ἥ ἐστιν ἱερὰ Ἀθηνᾶς.

785. Ἀντίλοχος δὲ—λοισθήιον] πάντας τοὺς διαφέροντας ποιεῖ ἡσσωμένους· διὸ καὶ Ἀντίλοχον. ἢ ὅτι νέων ἐστὶ ποδωκέστατος. B—

786. μειδιόων] προλαμβάνων τὸν κατάγελων καὶ ὑπεκλύων τὸ φιλότιμον τῶν νικησάντων. B=

789. προγενέστερος] τὰς ἡλικίας ἐσήμανε τῶν ἡρώων· ἔστι γὰρ Ἀντίλοχος νέος, μείζων Αἴας, εἶτα ὁ Τελαμώνιος, εἶτα Ὀδυσσεύς, εἶτα Ἰδομενεύς, εἶτα Νέστωρ. B=

791. ὠμογέροντα] τὸν μὴ καθηψημένον ὑπὸ τοῦ γήρως· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν κρεῶν· καὶ "ἐν ὠμῷ γήραϊ θῆκεν" (Od. 15, 357), ὡς καὶ ἐφθὸν τῷ γήρᾳ φασίν. A=B—

19. ad πρεσβύτην sec. superscripsit τὸν Ἰδομενέα ‖ 21. Ὀδυσσῆι ‖ 27. κατάγελον ‖ 34. φησίν A

ἀργαλέον δέ] φησὶν οὖν 'οὐχ ἥσσηται Ὀδυσσεῖ, ἀλλὰ τῇ Ἀθηνᾷ.'

792. ἐριδήσεσθαι] ἀπὸ τοῦ ἐρίδω, ὅθεν τὸ "ἐριδαίνετον ὧδε" (Il. 1. 574)· ἐν δέ τισι τῶν ὑπομνημάτων γράφεται "ἐριζήσασθαι."

εἰ μὴ Ἀχιλλεῖ] "Ἀχιλῆι," διὰ τοῦ η.

B− 793. κύδηνεν δὲ—Πηλείωνα] ὕψωσεν, γαῦρον ἐποίησεν. καὶ "ὑψοῦ δὲ κάρη ἔχει" (Il. 6. 509).

B= 794. τὸν δ' Ἀχιλεύς] ὅσον ἐπιδέξιος ὁμιλία δύναται, ἀπὸ τοῦ Ἀντιλόχου ἐδήλωσεν.

A∼ 795. οὐ μέν τοι ⟨μέλεος⟩] μάταιος, οὐκ οἰκτρός, ὡς οἱ τραγικοί.

796. ἀλλά τοι ἡμιτάλαντον] ἀλλὰ καίτοι ἐπιχειρήσαντι αὐτὸν ἀφελέσθαι τὸν ἆθλον πρώην οὐκ ἐμνησικάκησεν, ἀλλ' ηὔξησε . . . διὰ τὴν παροιμίαν φησίν· παροιμιῶδες γὰρ τὸ "ἀθάνατοι τιμῶσι" (788). ἢ ὅτι ἄριστος ὢν ἥττηται, ὡς Εὔμηλος (536).

A+ 800. Σαρπήδοντος] ὡς Χαλκώδοντος τῷ τόνῳ.

B+ 802. ἄνδρε δύω] ἔοικε σκιαμαχία εἶναι· ὅτι γὰρ οὐκ εἰς θάνατον, φησὶ "καί σφιν δαῖτ' ἀγαθὴν παραθήσομαι" (810). τὰ δὲ ἆθλα τῆς δόξης οὐ μεγάλα.

A=B− 805. ὀρεξάμενος] πατάξας, ἐκ τοῦ παρεπομένου· συμβαίνει γὰρ τοῖς πατάσσουσιν ἐκτείνεσθαι. ἢ ἀντὶ τοῦ ὀρέξαι.

A− 806. ψαύσῃ δ' ἐνδίνων] ἀθετεῖ τὸν στίχον Ἀρίσταρχος· οὐ γὰρ εἰς τ⟨οῦτο⟩ ὁ ἀγών. "ἐνδίνων" δὲ ἀκούει τῶν ἔνδον τοῦ χρωτός· τό τε "διά τ' ἔντεα καὶ μέλαν αἷμα" μετῆκται ἀπὸ τῆς Δολων⟨ε⟩ίας (Il. 10. 469)· οἱ δὲ "ἐνδίνων" τῶν ἐντὸς ὅπλων· Ἀριστοφάνης δὲ οὕτω γράφει "ὁππότερός κε πρόσθεν ἐπιγράψας χρόα καλὸν φθήῃ ἐπευξάμενος διά τ' ἔντεα καὶ φόνον ἀνδρῶν."

AB+ ἐνδίνων] παρὰ τὸ ἔνδον ὡς ἔντερον.

810. δαῖτ' ἀγαθήν] δεῖ γὰρ ἐπικυδέστερόν τι ἔχειν τὴν ὁπλομαχίαν.

815. θάμβος δ' ἔχεν] ἐν βραχεῖ τὴν διάθεσιν τῶν θεατῶν παρέστησεν.

817. τρὶς δὲ σχεδὸν ὡρμήθησαν] ὠρέχθη⟨σαν⟩ ἀντὶ τοῦ ἐπάταξαν.

3. ἐριδδήσεσθαι textus ‖ 5. Ἀχιλλῆι alterum: corr. Nauck ‖ 8. Ἀχιλλεὺς ‖ 11. 'ἀλλὰ aut delendum aut in Ἀχιλλεῖ mutandum' W ‖ ἐπιχειρήσαντα: corr. W ‖ 12. ηὔξη ‖ lacunam indicavit W ‖ 16. σκιομαχία ‖ 22. τὸ ἄγων: suppl. W ‖ 25. ὅτι πότερος ‖ πρῶτος pro πρόσθεν Eust. ‖ 26. ἀνδρὸς Eust. ‖ 27. ἔντερον A: ἑανόν ‖ 32. suppl. Bekker ‖ ἐπάταξαν Bekker: -εν

Digitized by Google

818. κατ' ἀσπίδα] ἀπλοϊκώτερον· ὁ δὲ κακοτεχνῶν ἐπὶ τὸν αὐχένα (21). τινὲς δὲ τὴν ὁπλομαχίαν Διομήδῃ εὑρεῖν φασιν. B−

821. ἐπ' αὐχένι κύρσε] κύρσων ἐτύγχανεν· διὸ δὴ καὶ "περιδείσαντες Ἀχαιοὶ—ἐκέλευσαν" (822, 3). ἢ ὅτι οἱ κρείττους ἡττῶνται· ἢ ἐπεὶ κέκμηκε τῇ ἐπὶ νηυσὶ μάχῃ, Διομήδης δὲ ἀναπέπαυται. B~

823. παυσαμένους ἐκέλευσαν] ἀνδρῶν ἀγαθῶν σωτηρίαν ἐπίπροσθεν τίθενται τῆς ἰδίας ἡδονῆς. B+

824, 5. αὐτὰρ Τυδείδῃ δῶκεν] ἀθετεῖ Ἀρίσταρχος, ἄτοπόν τε φησὶν ἰώμενον τὴν ἔχθραν Διομήδους ἑτέραν αἴρειν πρὸς Αἴαντα στάσιν· ἄλλως τε εἶπεν "ὁππότερός κε φθῇσιν" (805)· ὁ δὲ οὐκ ἔτρωσεν. οἱ δέ, διαλυομένων αὐτῶν ἴδια Ἀχιλλέως γενέσθαι τὰ ὅπλα, ὥσπερ ἐπὶ τῆς πάλης· ἐπειδὴ οὖν ἐκεῖσε (736) ἐδωρήσατο Αἴαντι, νῦν Διομήδει. A−

ἄλλως: αὐτὰρ Τυδείδῃ δῶκεν] καὶ Ἀριστοφάνης προηθέτει τοὺς β'. A=

825. ἐυτμήτῳ τελαμῶνι] "ἐυδμήτῳ" εὖ κατασκευασθέντι· οὐκ ἦσαν γὰρ δερμάτινοι παρὰ τοῖς παλαιοῖς. B−

826. θῆκεν σόλον] ὥσπερ τοῖς μονομαχοῦσιν ὅπλα, καὶ τοῖς δισκεύουσι τὸν σόλον· διὸ οὐδὲ δευτερεῖα τίθησιν· οὐ γὰρ ἦν αὐτὸν διαιρεῖν· ἢ ὡς καταφρονητοῦ ἀσκήματος καὶ μὴ ἔχοντος ἐνάρετον ἐπίδειξιν. B+

σόλον] παρὰ τὸ ὅλον σεύεσθαι· ἔστι δὲ χαλκοῦς· ὁ γὰρ σίδηρος οὐ χωνεύεται· καὶ ὅταν εἴπῃ "ποιμὴν οὐδ' ἀροτήρ" (835) σημαίνει, ὡς ἀλλάξει τοῦ χαλκοῦ τὸν σίδηρον. ὁ ⟨δὲ⟩ δίσκος λίθος ἦν κυκλοτερής, μεσόθεν ὀπὴν ἔχων ἐξ ἧς ἐχάλων καλῴδιον πρὸς τὸ μετεωρίζοντας ὀλίγον ῥίπτειν αὐτόν· καὶ ἐν Ὀδυσσείᾳ (8. 190) "βόμβησεν δὲ λίθος." B+

* αὐτοχόωνον] εἰκῇ κεχωνευμένον. B+

829. τὸν δ' ἄγετ' ἐν νήεσ⟨σ⟩ι] τὰ ἐπὶ νεὼς φερόμενα ἄγεσθαί φησιν· φιλόκαλος δὲ Ἠετίων, ὃς ζῆλον τῶν κτημάτων ⟨ἐν⟩έβαλεν Ἀχιλλεῖ.

833. ⟨πέντε⟩ περιπλομένους ἐνιαυτούς] οὐ σταθμῷ τὸ βάρος ἐνέφηνεν, ἀλλὰ χρήσει πολυχρονίῳ. B=

834. ἀτεμβόμενός γε σιδήρου ποιμήν] "ποιμήν" δεῖται σιδήρου B=

8. Τυδείδης ‖ 10. τε Bekker: δὲ ‖ 12. πάλης Bekker: πλάνης ‖ 14. Τυδείδης ‖ 21. σεύεσθαι Orion Et. M.: ἔχεσθαι ‖ 23. ἀλλάξει B: -ῃ ‖ supplevi ex B ‖ λίθος ἦν B: λίθινος ‖ 24. ἐχάλων B: ἐστὶν ἄλλο ‖ 27. post κεχ. add. sec. εἴτε εἶναι παίγνιον ‖ 30. Ἀχιλλέα ‖ 33. τε

Digitized by Google

πρὸς τὸ χειμῶνος κόπτειν θαλλοὺς καὶ ἀκάνθας εἰς φραγμοὺς καὶ ξύλα πρὸς κλισιῶν κατασκευήν.

ἄλλως: ἀτεμβόμενος] στερόμενος· εἰ δὲ μὴ καταδεχόμεθα τὸν σόλον χαλκοῦν εἶναι ἀλλὰ σιδηροῦν, ἔσται τὸ "αὐτοχόωνον" (826) καταχρηστικῶς τὸν εἰκῇ γεγονότα.

B+ 838. ἂν δ' Αἴας] δῆλον οὖν, ὡς ἐπίσης τοῖς ἄλλοις διελύθη ὁ Αἴας. ἢ ἐνδεικνύμενος τὴν ἐν ἄλλοις ἄσκησιν, ἢ ἰάσασθαι θέλων τὰ φθάσαντα.

B− 840. γέλασαν δ' ἐπὶ πάντες Ἀχαιοί] τοῦτο θέλει εἰπεῖν, ὅτι καταγελάστως ἔρριψεν ἐπ' ὀλίγον βαλών, ἢ εὐχερῶς τὴν χεῖρα σχηματίσας, ἢ μὴ διαστήσας τὼ πόδε.

843. πάντων] ἐπὶ δύο ἢ τριῶν.

A+ καὶ ὑπέρβαλε σήματα πάντων] μετενήνεκται ὁ στίχος ἀπὸ τῆς Φαιακίας (Od. 8. 192)· γελοῖον γὰρ τὸ "πάντων" ἐπὶ δύο. ἀλλὰ φέρουσι τὸ "εἰσέλθετε, μηδ' ἅμα πάντες" (Od. 21. 230)· ἀλλὰ καὶ ἑαυτὸν Ὀδυσσεὺς καταριθμεῖ· "πρῶτος ἐγώ, μετὰ δ' ὔμμες" (ib. 231).

B= 845. καλαύροπα] ῥέπω ῥέψω ῥέψ ῥόψ καὶ καλαῦροψ.

B= ἄλλως: καλαύροπα] ῥάβδον καλὴν ῥοπὴν ἔχουσαν. βάλλουσι δὲ αὐτήν, ὅτε συνελθούσας βούλονται διακρῖναι τὰς βοῦς. ἔχει δὲ ἐν τῷ κάτω μέρει δεσμόν, εἰς ὃν εἴρουσι τὴν χεῖρα. καὶ Ἀντίμαχος "πάντες δ' ἐν χείρεσσι καλαύροπας οὐατοέσσας" (fr. 61 K.). τῶν δὲ ἅπαξ εἰρημένων ἡ λέξις.

B= 846. πέτεται διὰ βοῦς] διὰ βοῶν, ὡς "διά τ' ἔντεα" (806).

A+B= 850. ἰόεντα σίδηρον] μέλανα, ὡς "ἰοειδέα πόντον" (Od. 11. 107). οἱ δὲ εἰς βελῶν ἐργασίαν ἐπιτήδειον, ἐξ οὗ τὸν καθαρόν· ἡ γὰρ εἰς λεπτὰ κατασκευὴ καθαροῦ δεῖται σιδήρου. §. ὡς τοῖς δισκεύουσι τὸν σόλον (826).

A+B= 851. πελέκεας] διστόμους πελέκεις, δίχα τῶν στελεῶν· οἱ δὲ ὄνομα σταθμοῦ ἐξάμνουν παρὰ τοῖς Βοιωτοῖς οὕτω λεγόμενον· οἱ δὲ κατά τινας τάλαντον σιδήρου, κατὰ δὲ ἐνίους ἑκατὸν μνᾶς· οἱ δὲ ἃ τιθέντες δι' αὐτῶν ἐτόξευον. καὶ ἔστι χαρίεν· ὡς γὰρ τοῖς μονομάχοις ἆθλον τέθεικε πανοπλίαν καὶ τοῖς δισκεύουσιν αὐτὸν τὸν δίσκον, οὕτω τοῖς τοξεύουσι πελέκεας, οἷς εἰώθασι χρῆσθαι. δύο δὲ τίθησι διὰ τὸ μὴ εἶναι πολλοὺς ἀρίστους τοξότας τοῖς Ἀχαιοῖς.

1. εἰς B: οἷς || 6. ἐν ante τοῖς del. Bekker || 11. πάντες || 16. ὑμμέες || 19. ὅτε B: ὅτι || συνεναθείσας B || 23. τέταται δ. || 29. iteratur * ὄνομα σταθμοῦ

Digitized by Google

ἡμιπέλει⟨κ⟩α] μονοστόμους πελέκεας. B=

854. μηρίνθῳ] τῇ σπάρτῳ· παρὰ τὸ μὴ ῥύεσθαι.

⟨δῆσεν ποδός⟩· ὡς ⟨ἄρ'⟩ ἀνώγει] "ἧς γάρ" καὶ "ὡς γάρ" A= διχῶς· ἔνιοι δὲ "δῆσεν ποδα."

855. ὅς μέν κε βάλῃ] λείπει τὸ 'τάδε λέγων.' εἴωθε δὲ μεταβαίνειν A~B= ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικόν. §. ἔστι δὲ δυσχερέστερον B— τὸ τῆς περιστερᾶς· τοῦ ἑνὸς γὰρ δέδεται ποδὸς καὶ πτερυσσομένη δυσχερής ἐστι πρὸς τὴν βολήν. ἔδει δὲ μὴ προειπεῖν τὸ τῆς μηρίνθου ἀλλ' ὕστερον ὡς ἐναγώνιον συμβεβηκὸς εἰπεῖν.

858. ἥσσων γὰρ δὴ κεῖνος] τοῦτο μεταξὺ κείμενον ἦθος ἔχει.

ὃ δ' οἴσεται] β' μέρη λόγου τὸ "ὃ δέ," ἵν' ᾖ 'οἴσεται δέ,' A+ ὡς "ἡ δὲ χιτῶν' ἐνδῦσα" (Π. 5. 736, 8. 387) ἐνδῦσα δέ.

859. βίῃ Τεύκροιο] καὶ πῶς φησιν "οἶος δή με Φιλοκτήτης B= ἀπεκαίνυτο τόξῳ" (Od. 8. 219); καυχᾶται δέ, ὡς καὶ τὸ "δουρὶ δ' ἀκοντίζω ὅσον οὐκ ἄλλος τις ὀιστῷ" (ib. 229).

861. κλήρους δ' ἐν κυνέῃ] ἴσως γὰρ ὁ πρῶτος φθάσας βαλεῖ τὴν B= ὄρνιν καὶ νικήσει.

862. Τεῦκρος δὲ πρῶτος] ἔδει πρότερος.

863. ἐπικρατέως] ἰσχυρῶς ὥστε κρατῆσαι. B=

οὐδ' ἠπείλησεν] ⟨οὐδ'⟩ ηὔξατο. A+B=

865. μέγηρε γάρ—'Απόλλων] ἐπὶ εὐσέβειαν τοῦτο προτρέπει. B=

868. ἡ μὲν ἔπειτ' ἤιξε πρὸς οὐρανόν] ἄνωθεν καὶ κάτωθεν ἐκίνησε τὴν ἐνέργειαν.

870. σπερχόμενος] ἐπειγόμενος ἀπέσπασε τῆς χειρὸς τοῦ Τεύκρου A+B— τὸ τόξον· ἑνὶ γὰρ ἠγωνίζοντο τόξῳ ὡς ἑνὶ δίσκῳ. ὀιστὸν γὰρ ἐξ ὅτου ἐκεῖνος ἴθυνεν ἐπὶ τὸν σκοπὸν καὶ οὗτος εἶχεν· οὕτως 'Αρίσταρχος· ἡ δὲ Μασσαλιωτικὴ οὕτω "σπερχόμενος δ' ἄρα Μηριόνης ἐπεθήκατ' ὀιστὸν τόξῳ· ἐν γὰρ χερσὶν ἔχεν πάλαι, ὡς ἴθυνεν·" 'Αντίμαχος δὲ "σπερχόμενος δ' ἄρα Μηριόνης ἐξείρυσε Τεύκρου τόξον· χερσὶ δ' ὀιστὸν ἔχε⟨ν⟩ πάλαι, ὡς ἴθυνεν."

871. ὀιστὸν ἔχεν] ἐν ὅσῳ ἐκεῖνος ἐτόξευεν, καὶ οὗτος κατεῖχε τὸν ὀιστόν.

876. ἀντικρὺ⟨ς⟩ δὲ διῆλθεν] τὰ πάντα θεματικῶς εἶπεν.

1. πελέκεις B ‖ 2. μήρινθα ‖ 4. διχῶς ἔνιοι W: δάκη ἔνι ἔνιοι ‖ 8. τὸ W: πρὸ ‖ 11. ἵν' ᾖ W: ἐν ᾗ ‖ 15. οἷον ‖ 25. ἐξ ὅτου B: ἐξότε ‖ 27. σπερχόμενος A Eust.: ἐπερχόμενος ‖ 27, 28. ἐπεθήκατο ἰστὸν A ‖ 28. χερσὶν Eust, πᾶσιν A: χείρεσσιν ‖ 29. Eust. ut T, ἐξείλετο τόξον χερσίν A

Digitized by Google

B= 877. πρόσθεν Μηριόναο ⟨πάγη ποδός⟩] τὸ εὔστοχον ἐδήλωσε τῆς βολῆς διὰ τοῦ 'πρόσθε τοῦ βαλόντος ἠνέχθη τὸ βέλος.'

A= 879. πτερὰ—λίασθεν] οὕτως Ἀρίσταρχος· ἡ Μασσαλιωτικὴ "λιάσθη."

λιάσθη] ἀπέκλινεν, ὡς "ὁ δὲ νόσφι λιασθείς" (Il. 11. 80).

A + B= 880. ὠκὺς δ' ἐκ μελέων θυμὸς πτάτο] "ὠκύς" ἀντὶ τοῦ ταχέως.

B= §. ἐπειδὴ ἐν τῇ ποιήσει πολλὰ κεχάρισται Τεύκρῳ, νῦν τοῦτο πορίζεται Μηριόνῃ.

AB– 885. λέβητα—ἀνθεμόεντα] ἀναθεματιαῖον ἢ ποικίλον, ἀπὸ τῶν ἐντετορευμένων ἀνθῶν, ἅπερ ἄνθεμα καλοῦσιν· καὶ Πίνδαρος "ἄνθεμα δὲ χρυσοῦ" (Ol. 2. 72).

886. ἀγῶνα] ὡς οἱ δισκευταὶ 'τίς πλέον ἥσει·' "δουρὶ δ' ὑπειρέβαλον Φυλῆά τε" (637). §. καλῶς δὲ τοῦτο ἀγωνί-

B– ζεται Ἀγαμέμνων, ἔνθα μὴ ἤμελλε γυμνωθῆναι τῆς βασιλικῆς στολῆς καὶ χρεωστῶν τῷ θανόντι—τιμὴν γὰρ ἀρνύμενος Μενελάῳ (cf. Il. 1. 159) ἀπώλετο—καὶ ἀνακτώμενος Ἀχιλλέα· πανταχοῦ δὲ εὔστοχός ἐστιν ἀκοντιστής (cf. Il. 3. 179).

A + B= καί ῥ' ἥμονες] τινὲς "ῥήμονες·" ἀλλὰ εἶπεν "καὶ ἥμασιν ἔπλευ ἄριστος" (891). ἔστιν οὖν παρὰ τὸ ἥσω· διὸ καὶ δασύνεται.

B= 892. τόδ' ἄεθλον ἔχων] ὡς βασιλέα ἀκονιτὶ στεφανοῖ, καὶ οὐ πρότερον, εἰ μὴ ἐκέλευσεν ὁ βασιλεύς.

B~ 897. Ταλθυβίῳ—δίδου] δῶρον δηλονότι· οὐ γὰρ ἐπὶ τῷ ἀπαγαγεῖν εἰς τὴν σκηνήν.

## ΕΙΣ ΤΗΝ Ω.

A=B– 1. λῦτο] εἰ μέν ἐστι μέσος δεύτερος ἀόριστος ἀπὸ τῶν εἰς $\overline{\mu\iota}$, ὥσπερ ἤδη ἐπίσταται λέγων "νῦν δ' ἐλύμην" (Il. 21. 80) καὶ "τῆς—αὐτοῦ λύτο γούνατα" (Il. 21. 425), ἔκτασις ἂν εἴη· εἰ δὲ παρατατικός, κρᾶσις, ἐλύετο "λῦτο" ὡς τὸ ῥύεσθαι ῥῦσθαι· "πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε" (Il. 15. 141). ἢ ἀπὸ τοῦ λέλυτο, ὡς "βλῆτο" (Il. 17. 598).

B– ἀγών] ἢ τὸ πλῆθος, "θεῖον δύσονται ἀγῶνα" (Il. 18. 376)· ἢ

2. διὰ τοῦ B: δι' οὗ ‖ 3. λίασσεν A ‖ 9. ἀπὸ B: ἀντὶ ‖ 10. ἐντετορευμένων B: ἐντετορνευμένων ‖ 12. schol. ad l. 19 adnexum: seiunxi et traieci ‖ ἀγῶνα scripsi et ad lemma traieci: ἄγων ‖ 13. ὑπέρβαλον ‖ 24. addidi: Ἰλιάδος ῶ Ὁμήρου ῥαψῳδίας textui inscriptum ‖ 26. 'an ὅνπερ?' W ‖ 26, 27. καὶ ἐκ τῆς, cf. A ‖ 27. αὐτοῦ scripsi: κλαιούσης A, υὔσης ‖ 28. ῥύσεσθαι ῥύσθαι

Digitized by Google

*αὐταὶ αἱ διαγωνίσεις. παρὰ δὲ* Βοιωτοῖς *ἀγὼν ⟨ἡ⟩ ἀγορά· καὶ τὸν ἀγορανόμον ἀγωνάρχην καλοῦσιν· καὶ "ἀγωνίους θεούς"* Αἰσχύλος (Ag. 491) *τοὺς ἀγοραίους. καὶ* Ἡσίοδος *"ἐρχόμενον δ' ἀν' ἀγῶνα"* (Th. 91). *"ἀγών" δὲ ὁ κυκλοτερὴς καὶ γωνίαν οὐκ ἔχων τόπος· οἱ δὲ ἀπὸ τοῦ* Πέλοπος *ἡνιόχου* Ἀγῶνος· *οἱ δὲ ἀπὸ τοῦ συνάγεσθαι· οἱ δὲ ἀπὸ ῥήματος τοῦ ἄγω ἀγὼν ὡς ἀείδω ἀηδών.*

*λαοὶ δὲ θοὰς ἐπὶ νῆας] τὸ ἑξῆς· ἕκαστοι δὲ τῶν λαῶν ἐσκίδναντο, ὥστε ἐπὶ τὰς ναῦς ἰέναι.*

2. *δόρποιο μέδοντο] προεν⟨ο⟩οῦντο, ἢ ἐφρόντιζον.* B=

*ἄλλως: δόρποιο] δ⟨αύ⟩ορπον, μεθ' ὃ ἐπὶ τὸ δαύειν ἕρπομεν, ὅ ἐστι κοιμᾶσθαι ἐπὶ δορῶν· ἢ ἀπὸ τοῦ δρέπεσθαι τοὺς πόνους· ἢ δόροπόν τι ὂν τὸ μετὰ τὴν παῦσιν τῶν δοράτων.* B=

3. *ὕπνου—ταρπήμεναι] τέρψιν λαβεῖν. ἀπὸ κοινοῦ δὲ τὸ "μέδοντο." λεληθότως δὲ δεδήλωκεν, ὅτι μέχρις ἑσπέρας παρέτεινεν ὁ ἀγών.* B=

3, 4. *αὐτὰρ Ἀχιλλεὺς κλαῖε] ἐπειδὴ ἀπὸ τῆς ἀνέσεως τοῦ ἀγῶνος ἐν ἄλλῃ καταστάσει πεποίηκε τὸν ἀκροατήν, ὥσθ' ὑπονοεῖν, μὴ καὶ ἀφῆκεν ἐκ τῆς ψυχῆς τὴν ἀνίαν ὁ Ἀχιλλεύς, πάλιν ἐπὶ τὸ συνεκτικὸν μεταβαίνει πρόσωπον· μονωθεὶς γὰρ πάλιν ὑπὸ τῆς λύπης κρατεῖται.* B=

5. *ᾕρει πανδαμάτωρ] ᾕρει μέν, οὐχ ὁλοτελῶς δὲ διὰ τὸ πένθος. ἢ καὶ πάντας δαμάζων αὐτὸν οὐχ ᾕρει, ὥστε ἀνωτέρω* (Π. 23. 62) *τὸ αἴτιον τοῦ ὕπνου ὁ κόπος ἦν.* B=

*πανδαμάτωρ]* Σιμωνίδης *δαμασίφωτα τὸν ὕπνον καλεῖ* (fr. 232 B.). B+

6. Πατρόκλου *ποθέων] δεξιῶς ὑπόκειται τίνα ἦν τὰ ἀναμιμνήσκοντα αὐτὸν πένθους. οὐ γὰρ ὅτι συνέπαιζεν, οὐδ' ὅτι αὐτὸν ἐκολάκευεν, οὐδ' ὅτι ἡδὺς συμπότης, ὡς ὁ τοῦ* Ἕκτορος *"ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής"* (Π. 17. 577), *ἀλλ' ὅτι κοινωνὸς ἀρετῆς καὶ γενναίων ἔργων. οἱ δὲ ἀθετοῦντες τοὺς στίχους* (6—9) *πῶς οὐκ ἐμβρόντητοι, ῥηματίων κακοσχόλως ἐχόμενοι καὶ τοιούτων ἐπῶν κατηγοροῦντες; ὅτι ὡς σύγκοιτον ποθεῖ, οὐχ οἷον ἡμιθέων ἀλλ' οὐδὲ ἡμιγυναίκων ἄξιον· εἰ γὰρ ὅλως τοῦτο ὑπονοεῖν δεῖ, ἐραστὴς ἂν εἴη* A~B+

1. *ἀγωνίσεις* B ‖ 2. *ἀγωνάρχην* Eust.: *ἀγῶν' ἀρχὸν* ‖ 4. *γωνίαν* Et. M.: *ἀγωνίαν* ‖ 5. *ἡνιόχου* Eust.: *ἡνιόχ'* ‖ *Ἀγώνου* Eust. ‖ 10. *δαύορπον* Apoll. Soph.: *δόρπος* B, *δόρπον* ‖ *δαύειν* etiam Et. M.: *ἰαύειν* B ‖ 11. *δρῶν* W, *δερμάτων* Et. M.: *δώρων* ‖ 14. *παρετάθη* B ‖ 18. *μονωθεὶς* B: *μονώσας* ‖ 27. *οὐδ'* sec. ut B: *ἢ* pr. ‖ 30. *κακοσχόλων* B

Digitized by Google

Πάτροκλος ὡς νεωτέρου καὶ περικαλλεστέρου· ἀθετοῦνται δὲ διὰ ταῦτα· ἀνδροτὴς γάρ ἐστιν ἡ τοῦ ἀνδρὸς φύσις. εἶπε δὲ "καὶ μένος ἠΰ." καὶ "τολύπευσε" (7) δ' οὐκ ἄκαιρον· ἄλλως τε σὺν αὐτῷ οὐχ ὑπέμεινέν τι, αὐτός τε ἐπὶ κουφοτέροις αὐτοῦ μέμνηται "ἦ ῥά νυ μοί ποτε καὶ σύ, δυσάμμορε" (Il. 19. 315).

A= ἄλλως: Πατρόκλου ποθέων] προηθετοῦντο οἱ δ' (6–9) καὶ παρὰ Ἀριστοφάνει.

καὶ μένος ἠΰ] προθυμίαν, ὁμόνοιαν· ποθεῖ οὖν αὐτοῦ ἀρετὴν καὶ ὁμονοίαν.

B= 7. τολύπευσε] εἰς τέλος ἤγαγεν, ἀπὸ τῶν ἐρίων· τολύπη γὰρ ἡ σφαῖρα τῶν ἐρίων· ἔνθεν τὸ ἐκ πολλῶν πραγμάτων εἰς ἕν τι κεφαλαιοῦν τολυπεύειν λέγεται.

B= καὶ πάθεν ἄλγεα] "ἐπεὶ ῥέζοντά τι καὶ παθεῖν ἔοικεν" (Pind. Nem. 4. 31). §. αἱ δημώδεις "καὶ πάθεν ἔργα."

A+ 8. κύματα πείρων] ὡς κείρων.

A+B– πείρων] βαρυτόνως· φησὶ γοῦν "καὶ ἠῶ πεῖρε κέλευθον" (Od. 2. 434). εἰ δὲ καὶ οὗτος ἀθετεῖται, ἄλλο φησὶν "ἄλλα τ' ἔπειρον" (Od. 3. 33) καὶ "περὶ δουρὶ πεπαρμένη" (Il. 21. 557). καὶ ὡς σπείρω σπόρος φθείρω φθόρος, οὕτω πείρω πόρος· "πόρους ἁλὸς ἐξερεείνων" (Od. 12. 259) "θαλάσσης εὐρυπόροιο" (Il. 15. 381 al.) "Ἀλφειοῖο πόρον" (Il. 2. 592)· καὶ "ἀκροπόρους" (Od. 3. 463) τοὺς πείροντας κρέα τοῖς ἄκροις. καὶ "ὠκύπορος νηῦς" (Od. 15. 473) ἡ περωμένη, "ποντοπόρος" δὲ ἡ περῶσα· καὶ ὡς κείρω κορμός, πείρω πορμός καὶ πορθμός.

B~ 11. πρηνής] οὐκ ἔχει πρόθεσιν ἡ λέξις· τί γάρ ἐστι τὸ "προπρηνέα τύψῃ" (Od. 22. 98);

B= τότε δ' ὀρθὸς ἀναστάς] ἀντὶ τοῦ ἄλλοτε.

B+ 12. δινεύεσκ' ἀλύων] περιήρχετο ἀλώμενος τὴν ψυχήν, ἀστατῶν.

A+ §. ψιλωτέον δὲ τὸ "ἀλύων."

12, 13. οὐδὲ μὲν ἠὼς φαινομένη] ἐμφαίνει ἀδημονεῖν αὐτὸν ἐπὶ τῷ μήκει τῆς νυκτός, ὡς καὶ ἡ Ἀνδρομέδα "ὦ νὺξ ἱερά" (Eur. Andr. fr. 114 N.).

13. ὑπεὶρ ἅλα] τὸν Ὠκεανόν φησιν.

1. περισαλλεστέρου ‖ 8. εὐμένειαν coni. W ‖ 13. ῥέξοντα B ‖ 18. πεπαρμένος ‖ 19. πείρω B: πόρθω ‖ 22. νηῦς scripsi: ἠὼς ‖ 23. ἡ prius W: καὶ ὡς ‖ 30. μιν textus ‖ ἀδημονεῖν αὐτὸν W: ἄδηλον εἶναι τὸν

Digitized by Google

15. Ἕκτορα δ' ἕλκεσθαι] περισσὸς ὁ "δέ," ὥστε καὶ ἐν τῷ "τοίῃδ' ἀμφὶ γυναικί" (Il. 3. 157) οὐ δεῖ προπερισπᾶν τὸ "τοίῃδε." A–B+

16. τρὶς δ' ἐρύσας] ἀντὶ τοῦ πολλάκις. ἔστι δὲ ὡς τὸ "οἳ δὲ τρὶς περὶ νεκρόν" (Il. 23. 13)· περὶ ἀνατολὰς δὲ εἷλκεν αὐτόν· φησὶ γοῦν "ἕλκε⟨ι⟩ ἀκηδέστως, ἠῶς ὅτε δῖα φανήῃ" (417). B–

17. ἐνὶ κλισίῃ παυέσκετο] παυόμενος ἐν τῇ κλισίᾳ ἐγίνετο, ἢ ἀνεπαύετο καὶ ἔκειτο. B~

τόνδε δ' ἔασκεν] ἕν ἐστι τὸ "τόνδε," ὡς "τόνδε δ' ἐγὼν ἐπιόντα δεδέξομαι" (Il. 5. 238). τινὲς δὲ "δέασκεν" ἀντὶ τοῦ ἐδέσμευεν. A+B=

18. ἐν κόνι] ὡς "Θέτι."

προπρηνέα] πλεονάζει ἡ "πρό," ὡς "νῆάς τε προπάσας" (Il. 2. 493). B=

τοῖο δ' Ἀπόλλων] καλῶς προτρέπει ἡμᾶς πρὸς τὴν τῶν νεκρῶν ἐπιμέλειαν, εἴγε καὶ ὁ Φοῖβος τοῦτο ποιεῖ (Il. 16. 679). B–

19. πᾶσαν ἀεικείην ἄπεχε χροΐ] χροός. B=

20. αἰγίδι—χρυσείῃ] "αἰγίδα χρυσείαν" κατ' αἰτιατικήν· καὶ ἔστιν ὁμηρικώτερον, ὡς τὸ "τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω" (Il. 14. 343) καὶ "τόσσην οἱ ἄσιν καθύπερθε καλύψω" (Il. 21. 321).

23. τὸν δ' ἐλεαίρεσκον] ἀπὸ τούτου ὀκτὼ (23–30) ἀθετοῦσι, καὶ τοὺς μὲν ἑξῆς οὐκ ἀλόγως, ὁ δὲ πρῶτος ἐμοὶ δοκεῖ δεόντως κεχρῆσθαι, ὥστε τὴν συναφὴν εἶναι "τὸνδ' ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες ⟨—ἀλλ' ὅτε δή⟩." A~B=

24. Ἀργειφόντην] κλέπτης γὰρ οὗτος καθ' Ὅμηρον.

27. ἀλλ' ἔχον] διέκειντο· ἀλλ' οὕτω, φησί, διέκειντο τῇ διαθέσει. B=

28. ἕνεκ' ἄτης] οὕτως Ἀρίσταρχος· τὸ γὰρ "ἕνεκα" τοῦ ἀπολογουμένου ἐστίν.

30. ἣ οἱ πόρε μαχλοσύνην] τὰ πρὸς πορνείαν, τὴν κόμην καὶ τὸ εἶδος (Il. 3. 55). B=

31. ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο] πιθανὸν γὰρ πάντων μὲν ἅπτεσθαι τὸν ἔλεον, ἄρξασθαι δὲ τῶν λόγων τὸν μᾶλλον κηδόμενον Ἕκτορος. οἱ ἑπτὰ οὖν (24–30) δεόντως ἀθετοῦνται, ὡς καὶ Ἀρίσταρχός φησιν· B–

6. διαφανῇ || 9, 10. ἐγὼν ἐπὶ νῆα δ. || 22. ἑξῆς B: ἑξ || 23. συναφὴν B: συναλιφὴν || 24. supplevi ex B || 26, 27. οὕτως διαθέσεως εἶχον καὶ διέκειντο B || 28. εἵνεκ' prius || 33. κηδόμενον bis scriptum

Digitized by Google

τό τε γὰρ κλέπτειν διὰ τοῦ Ἑρμοῦ θεοῖς ⟨οὐ⟩ πρέπον, ἄλογόν τε τὸ εἰπόντα τὴν γνώμην τῶν θεῶν τὴν περὶ τῆς κλοπῆς ἐπάγειν τοὺς λόγους τοῦ Ἀπόλλωνος κοινῇ κατηγοροῦντος τῶν θεῶν. οἳ δὲ ἄντικρυς ἐλέγχονται οὐκ ὄντες Ὁμήρου· οὐκ ἔδει γὰρ θεοὺς τὸν αὐτὸν θυμὸν ἔχειν Ἀχιλλεῖ, καὶ ὅτι Ποσειδῶν (26) οὐ διὰ χειρὸς Ἀχαιοῖς ἐπίκουρος. καὶ τὸ "νείκε⟨σ⟩σε" (29) ἄκυρον ἐπὶ δικαστοῦ· ἐπὶ γὰρ τῶν δικαζομένων αὐτὸ τίθησιν, "ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς" (Il. 18. 498) "κρίνων νείκεα πολλὰ δικαζομένων" (Od. 12. 440), οἱ δὲ νεώτεροι ἐπὶ τοῦ τὸ νεῖκος διαλύειν. Ἀντίμαχος "μετὰ δὲ εὐνείκες κρίνον" (fr. 75 K.) ἀντὶ τοῦ εὐδιάκριτον· καὶ ἡ μέσαυλος σημαίνουσα τὴν ἐν ἀγροῖς οἴκησιν, Ὁμήρου παραδεδωκότος ἐν ἄστει τεθράφθαι τὸν Ἀλέξανδρον καὶ μουσικὴν πεπαιδεῦσθαι· "οὐκ ἄν τοι χραίσμῃ κίθαρις τά τε δῶρ' Ἀφροδίτης ἥ τε κόμη τό τε εἶδος" (Il. 3. 54, 5), ἅπερ οὐδαμῶς ἀγροίκῳ ἁρμόζοντα. ἥ τε μαχλοσύνη νεωτέρα ἐστίν· ἀμέλει οὐδ' ἐπὶ τῶν θεραπαινῶν Πηνελόπης αὐτῇ κέχρηται, ἐπὶ ἀνδρῶν δὲ οὐ τίθεται ἡ λέξις· ἀλλ' οὐδὲ λαγνείαν αὐτῷ προσέβαλεν, ἀλλὰ καλλίστην γυναῖκα· τήν τε ἔριν τοῦ κάλλους οὐκ οἶδεν ὁ ποιητής· εἰ γὰρ ᾔδει τὴν κρίσιν, οὐκ ἂν εἶπε Ζεὺς "τί νυ σε Πρίαμος Πριάμοιό τε παῖδες τόσσα κακὰ ῥέζουσιν" (Il. 4. 31) φανερᾶς οὔσης τῆς αἰτίας· ἀλλὰ καὶ ὁ Πρίαμος θεοῖς ἀναφέρει τὴν αἰτίαν τοῦ πολέμου, ἀλλ' οὐ τῇ κρίσει. "θεοί νύ μοι αἴτιοί εἰσιν" (Il. 3. 164). ἥ τε Ἑλένη οὔτε ἐν τῷ πρὸς Ἕκτορα λόγῳ (Il. 6. 344 sqq.) οὔτε ἐν τοῖς θρήνοις (762 sqq.) οὔτε ἐν τῇ πρὸς Πρίαμον διαλέξει (Il. 3. 171 sqq.) τῆς κρίσεως ἐμνήσθη, τὸ πᾶν δὲ ἀναφέρει Ἀλεξάνδρῳ. πῶς δ' ἂν τὰς ναῦς "ἀρχεκάκους" (Il. 5. 63) εἶπε, καὶ οὐ τὴν κρίσιν; πῶς δὲ οὐκ ἄτοπον Ἀθηνᾶν, περὶ ἧς φησι "δεινὼ δέ οἱ ὄσσε φάανθεν" (Il. 1. 200), ἐρίζειν Ἀφροδίτῃ περὶ ἧς φησι "καὶ ὄμματα μαρμαίροντα" (Il. 3. 397), ὡς εἰ καὶ Ἡρακλῆς ἀγωνίζοιτο πρὸς Ἄδωνιν. οἶδέ τε ἡ Ἀθηνᾶ τὸ κάλλος μύρον αὐτῆς ὄν. πῶς τε Ἥρα ἤρισε μητρὸς ἔχουσα τάξιν; φησὶ γοῦν "ἦ ῥά νυ μοί τι πίθοιο, φίλον τέκος" (Il. 14. 190). οἶδέ τε ἡ Ἥρα τὰ πειθοῦς ὄργανα παρ' αὐτῇ ὄντα, οἷς πάντας θεοὺς καὶ ἀνθρώπους δαμάζει (ib. 199).

B— ἐκ τοῖο] ἐξ οὗ ἀπέθανεν Ἕκτωρ· ἐν μιᾷ γὰρ ἀπέθανεν, εἶτα ὑλοτόμησαν, τρίτη δὲ ἡ τοῦ ἀγῶνος, εἶτα μετὰ ταῦτα ἐννέα· φησὶ

1. supplevi ex B ‖ ἄλογόν τε τὸ B: ἃ λέγονται ‖ 4. μὴ ὄντες B ‖ 9. Ἀ. εὐνείκεστα δ' ἔσαν λόγια B ‖ 10. ἀγροῖς W: ἄκροις; ὄρει B ‖ 14. νεωτέρων B ‖ 30. ἦρα

Digitized by Google

γοῦν (107) "ἐννῆμαρ δὴ νεῖκος ἐν ἀθανάτοισιν ὀρώρει." καὶ ὁ Ἑρμῆς φησι "δυωδεκάτη δέ οἱ ἠὼς κειμένῳ" (413)· ἐπίτηδες δὲ ἀνοχὰς παρέχουσι Τρωσὶ γνωσιμαχῆσαι, ἢ ὅτι πενθεῖ Πάτροκλον ὁ στρατηγός.

33. σχέτλιοί ἐστε, θεοί, δηλήμονες] δυσανάσχετα πράσσοντες. λείπει δὲ ὁ καί, ἵν' ᾖ καὶ δηλήμονες, ὅ ἐστι φθαρτικοί. καὶ τοῖς μὲν Τρωικοῖς μέμφεται, ὅτι μετὰ θάνατον ἀμελοῦσι τῶν φίλων, τοῖς δέ, ὅτι πέρα τοῦ δέοντος θυμοῦνται. B=

36. ᾗ τ' ἀλόχῳ] οἰκτίζεται μνησθεὶς γονέων καὶ γαμετῆς καὶ παίδων εἰργομένων τῷ φιλτάτῳ τοῦ κοινοῦ μεταδοῦναι πυρός. B=

* ᾗ τ' ἀλόχῳ] τῇ αὐτοῦ, οὐχ ἑαυτοῦ.

37. λαοῖσί τε] ἀπὸ κοινοῦ τὸ "ὦκα."

38. κήαιεν] ἀπὸ τοῦ ἔκηα κήαιμι κήαιμεν, ὡς τύψαιμεν. §. σημειωτέον δέ, ὅτι καὶ ἐπὶ τῆς πατρίδος ἐκάοντο. A=

κτερίσαιεν] "κτερίσαιεν" διὰ τοῦ ᾱ ἡ παραλήγουσα. Ὁμηρικώτερον δὲ τὸ "κτερίσειαν," ὡς "τίσειαν Δαναοί" (Il. 1. 42). A—

39. ὀλοῷ Ἀχιλῆι] ὀλεθρευτικῷ ἢ ὀλέθρου ἀξίῳ. B=

βούλεσθ' ἐπαρήγειν] βούλεσθε προσεῖναι, προστίθεσθαι· παρ' Ἴωσιν. B—

40. φρένες—ἐναίσιμοι] φρόνημα καθῆκον.

41. γναπτόν] εὐπειθές. πιθανῶς δὲ τῇ εὐσεβείᾳ Ἕκτορος ἀντέθηκε τὴν ὠμότητα Ἀχιλλέως. B=

42. ἐπεὶ ἄρ] ἢ περισσόν ἐστι τὸ "ἐπεὶ ἄρ," ἢ ἀντὶ τοῦ "εἶξας" γραπτέον "εἴξῃσι," ἵν' ᾖ, ἐπὰν εἴξῃ, εἰσ' ἐπὶ μῆλα. AB+

43. βροτῶν] περισσόν ἐστιν, εἰ μὴ λείπει τὸ τινός.

44. οὐδέ οἱ αἰδώς] λείπει τὸ ἐστίν· τὸ δὲ ἑξῆς ἀθετητέον· ἁρμόζει γάρ τινι γνωμολογοῦντι· ἐρεῖ δὲ Ἀχιλλεύς, ὅτι νῦν ἐμὲ βλάπτει.

45. ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν] τινὲς ἐδάσυναν τὸ η, ἵνα εἶεν δύο αἰδοῖ, ὡς Εὐριπίδης "δισσαὶ—εἰσίν" (Hipp. 384)· οὔπω γὰρ αἰδὼς καὶ αἰσχύνη διεκέκριτο, ἀλλ' ἐπὶ διαφόροις πράγμασιν ἓν ἦν ὄνομα. πανταχοῦ δὲ τῶν ὑπομνημάτων οὕτως εὗρον πλὴν Ἡρακλέωνος. A+

46. μέλλει μέν που τις] ἔοικεν. A+B=

47. ὁμογάστριον] οὗτοι γὰρ ἐνδιάθετοι· "ἐπεὶ οὐχ ὁμογάστριος A+B—

1. ὀρώρει B: -ρεν ‖ 3. γνωσιμαχῆσαι B: βουλεύσασθαι γνωσιμαχῆσαι ‖ 5, 6. τοῖς μὲν Τρωικοῖς B: τοὺς μὲν Τρωικοὺς ‖ 6. τοῖς B: τοὺς ‖ 10. αὐτοῦ W: ἑαυτοῦ ‖ 12. τοῦ ἄκη ἀκήαιμι κῆμεν ὡς ‖ 14. ᾱ A: δ̄ ‖ 16. Ἀχιλλῆι ‖ 22. γραπτέον Bekker: γράφεται ‖ εἴξῃσι et εἴξῃ εἰσ' W: ἤξῃσι bis ‖ 32. ἀδελφοῖς supplet post ἐνδ. Eust., ἀδελφοί B



Digitized by Google

"Ἕκτορός εἰμι" (Il. 21. 95)· οὓς μὲν γὰρ ἴσασιν ὄντας ἀδελφούς, τοὺς δὲ ὁμοπατρίους οἴονται· καὶ Ἑλένη "τώ μοι μία γείνατο μήτηρ" (Il. 3. 238)· οὕτως, οὐχ ὡς ὁ κασίγνητος, ˌαὶ ὁμ γάστριος.

B— 49. τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισι] καὶ Ε ριπίδης (Or. 3) "ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις." τοῦτο δέ, ὅτι δεῖ τὰ συμβαίνοντα γενναίως φέρειν.

50. Ἕκτορα—ἦτορ ἀπηύρα] ἀντὶ τοῦ Ἕκτορος.

B— 52. οὐδέ τ' ἄμεινον] λείπει 'ἔσται,' τὰ δὲ συγκριτικὰ ἀντὶ ἁπλῶν· ἢ τοῦ παύσασθαι.

B= 53. μὴ ἀγαθῷ περ ἐόντι] ἀθετοῦσιν· πῶς γὰρ ὃν εἶπεν ὀλοὸν (39) νῦν ἀγαθόν φησιν; ἢ ἀντὶ τοῦ ἀνδρείῳ.

A+ * νεμεσσηθῶμεν] "νεμεσσηθέωμεν."

B= 54. κωφὴν γὰρ δὴ γαῖαν] καλῶς τὸ ἀναίσθητον γῇ παρείκασεν. ⟨ἢ⟩ ὅτι ἀπὸ γῆς τὸ σῶμα, ὡς καὶ Ἐμπεδοκλῆς (?) καὶ Ἡράκλειτος "νέκυες κοπρίων ἐκβλητότεροι" (fr. 85 Byw.).

B= ἄλλως: κωφὴν γὰρ δὴ γαῖαν] βαρὺ καὶ γεῶδες τὸ σῶμα.

B= ἄλλως: κωφὴν γὰρ δὴ γα ν] ἀν : τοῦ ἀναίσθητον. κέχρηται δὲ τῷ ⟨ε⟩ἰδικῷ ἀντὶ τοῦ γενικοῦ. κωφὸν δὲ καὶ τὸ μὴ προϊέμενον φωνήν· "κωφὸν γὰρ βέλος" (Il. 11. 390) καὶ "κύματι κωφῷ" (Il. 14. 16).

B= 55. τὸν δὲ χολωσαμένη] ἐπὶ τῇ κατηγορίᾳ Ἀχιλλέως ὤργισται. τὴν δὲ ἀπολογίαν πρὸς ἕτερα πεποίηται. οὐ γὰρ ὅτι οὐχ ἁμαρτάνει ἀπολογεῖται, ἀλλ' ὥσπερ λαβὴν εἴληφε τὸ ὑπὸ τοῦ Ἀπόλλωνος εἰρημένον "ἀλλ' ὀλοῷ Ἀχιλῆι θεοὶ βούλεσθ' ἐπαρήγειν" (39), καί φησιν ὅτι δεόντως οὗτος τιμᾶται διὰ τὴν ἀρετήν (59).

B= 56. εἴη κεν καὶ τοῦτο τεὸν ἔπος] πρέπον σεαυτῷ εἴρηκας· ἓν εἴη ⟨ἂν⟩ καὶ τοῦτο τῶν σῶν φλυαρημάτων.

B= 57. θήσετε τιμήν] ἀντὶ τοῦ θήσεις σὺ καὶ μόνος καὶ πρῶτος· οὐ γὰρ ἄλλος τις.

58. Ἕκτωρ μὲν θνητός] οὐδὲν πρὸς τὸ "θνητός" ἀντιδιέστειλεν.

AB+ γυναῖκά τε θήσατο μαζόν] ἀντὶ τοῦ γυναικός, ὡς τὸ "ὁ δ' ἐρινεὸν—τάμνε νέους ὄρπηκας" (Il. 21. 37)· ἢ γυναικεῖον· ἢ παρέλκει τὸ "μαζόν." τοὺς δὲ τοιούτους σολοικισμοὺς ἐπικυμισμοὺς οἱ στωικοὶ καλοῦσι διὰ τὴν ἀνισοσημίαν· οὕτω δὲ ἔλεγον 'ὁ παῖς θηλάζει.'

3. οὕτως eicit W || 14, 18. supplevi ex B || 22. ἥμαρτεν B || 26. εἴρηκε in lemmate || ἢ B pro ἓν || 27. supplevi ex B || 28. θήσεται in lemmate || 33. ἐπιχυμισμοὺς Bekker

Digitized by Google

59. θεᾶς γόνος] ἀντὶ τοῦ "γόνος" τινὲς γράφουσι "παῖς·" ὡς γὰρ ἀπὸ προγόνων ἐστὶ τὸ "γόνος."

60. ἀτίτηλα] ἐξ ἀταλῆς ἐπεμελησάμην. B=

61. φίλος—ἀθανάτοισιν] εἵμαρτο γὰρ θνητῷ αὐτὴν γαμηθῆναι· ἐγὼ δὲ τῷ ἰσοθέῳ δέδωκα.

62. ἀντιάασθε γάμου] μετελαμβάνετε· ἐγένετο δὲ ἐν τῷ ἄντρῳ τοῦ Χείρωνος.

ἐν δὲ σὺ τοῖσι δαίνυ'] ὅ ἐστι 'τί νῦν ἀτιμάζεις ἃ ἐτίμας πρώην;'

63. ἔχων φόρμιγγα] οἰωνίζονται τὸν Ἀπόλλωνα δαιτὶ σχολάζειν καὶ μὴ λοιμοῖς. διὸ κιθάραν αὐτῷ νέμουσιν "ἣν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρην" (Od. 17. 271).

κακῶν ἕταρε] Ἀλεξάνδρου καὶ Ἕκτορος. Ἡσίοδος "μηδὲ κακῶν ἕταρον" (Opp. 716).

αἰὲν ἄπιστε] ὡς ὑποσχομένου βοηθήσειν Ἀχαιοῖς· "ἐπέγναμψεν B= γὰρ ἅπαντας Ἥρη" (Il. 2. 31).

64. *τὴν δ' ἀπαμειβόμενος] τινὲς "τὴν δὲ μέγ' ὀχθήσας" ὡς δυσχεραίνων ἐπὶ τῇ ἀποδόσει.

65. Ἥρη] πιθανῶς ὁ Ζεὺς διαδέχεται τὴν δικαιολογίαν, τοῦ παι- B= δὸς οὐ θελήσαντος ἐπὶ τοῦ πατρὸς ἐρίζειν αὐτοῦ τῇ γυναικί.

ἀποσκύδμαινε] ὡς ἐρίζω ἐριδμαίνω, σκύζω σκυδμαίνω. ἢ ἀπὸ B− τῶν ὀργιζομένων λεαινῶν ἐπὶ τῇ ἀφαιρέσει τῶν σκύμνων. ἢ ἀπὸ τῆς περὶ τὸ πρόσωπον ⟨ἐν τῷ ὀργίζεσθαι⟩ συστολῆς τοῦ δέρματος, ὃ σκύτος καλεῖται· τινὲς δὲ οὐκ εὖ παρὰ τὸ ἐπισκύνιον.

66. οὐ μὲν γὰρ τιμή γε μί' ἔσσεται] οὐχ ἕνα μόνον τιμήσομεν· B= ἢ οὐχ ὁμοία ἐπὶ πάντων ἔσται τιμή.

67. οἳ ἐν Ἰλίῳ εἰσίν] ἀντὶ τοῦ τῶν ἐν Ἰλίῳ ὄντων.

68. ὡς γὰρ ἔμοιγε] λείπει τὸ δοκεῖν· ἤ, ὡς ἐμοὶ καὶ τοῖς ἄλλοις ἦν φίλος. B=

ἐπεὶ οὔ τι φίλων ἡμάρτανε δώρων] ἐπεὶ οὐχ ἡμάρτανεν ὁ Ἕκτωρ τοῦ ἐμοὶ τὰ προσηνῆ ποιεῖν.

69. ἐίσης] καὶ αὐτοῖς γὰρ ἀπέτεμνον μοῖραν, "τὴν—Νύμφῃσι" B+ (Od. 14. 435)· καὶ ἀπήρχοντο δὲ αὐτοῖς ἐξ ὅλων τῶν μελῶν. ἢ τῆς ἀγαθῆς, ὡς "καί σφιν δαῖτ' ἀγαθήν" (Il. 23. 810).

71. κλέψαι μὲν ἐάσομεν] τὴν περὶ τὴν κλοπὴν γνῶσιν ἐάσομεν. B=

2. ἀπὸ W: ἐπὶ B || 3. ἀνεθρεψάμην B pro ἐπεμελησάμην || 6. μεταλαμβάνετε || 10. κιθάρην || θεοὶ δαιτὶ || 16. ταύτην δέ: corr. Bekker || 20. σκύζω B: σκύδω || 21. λεόντων B || 22. supplevi ex B || 25. ὁ. ἡ ἐπὶ πάντας B || 27. δοκεῖ B || 30. ἀπένεμον B || νύμφῃσιν W: νῦν φησιν



Digitized by Google

72. θρασὺν Ἕκτορα] ἄμεινον δὲ γράφειν "νέκυν Ἕκτορος."

A+ * ἦ γάρ οἱ] ἔν τισιν "εὖ γάρ οἱ."

B− 73. μήτηρ παρμέμβλωκεν] ψευδές· ἴσως οὖν φησίν, 'ὡς μήτηρ συμπάρεστιν αὐτῷ τῷ νεκρῷ Ἀχιλλεύς.' ἢ ὑπερβολικῶς τοῦτο εἶπεν ἀπὸ τοῦ συνεχῶς αὐτὴν ἐκεῖσε φοιτᾶν.

νύκτας τε καὶ ἦμαρ] σολοικοφανές· ἔδει γὰρ ἤματα.

A+B= 74. ἀλλ' εἴ τις καλέσειε] ἀλλ' εἴθε τις. §. ὥσπερ δὲ εἰπόντος B= "ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν" (Π. 1. 62) ἀνέστη Κάλχας, οὕτω καὶ νῦν ἡ Ἶρις.

A∼ καλέσειε θεῶν] τὸ "θεῶν" ὄνομά ἐστιν ἢ μετοχή.

75. ὄφρα τί οἱ εἴπω] ἅμα ἵνα καὶ νουθετήσῃ αὐτὸν ἡ μήτηρ.

77. ἀελλόπος] Εὐφορίων "ἀελλόποδος αἰθαρύταο" (fr. 163 M.).

A+B= 78. Σάμοιο] τῆς νῦν Σαμοθρᾴκης. σάμους δὲ τοὺς λόφους ἔλεγον. ἐκαλεῖτο δὲ Λευκωνία· εἶτα ὑπὸ Σαμίων οἰκισθεῖσα, ὧν τὰ σκάφη αἰχμάλωτοι Θρῇσσαι κατέκαυσαν, Σαμοθρᾴκη ὠνόμασται.

79. μείλανι πόντῳ] ἀντὶ τοῦ 'μέλανι κόλπῳ,' ὃς ἀπὸ Μέλανος ποταμοῦ καταφερομένου εἰς αὐτὸν ὠνόμασται· οἱ δὲ ἀπὸ τοῦ Φριξίδου Μέλανος ἐκεῖ ναυαγήσαντος· ἢ ὅτι ἐκ μελαγγείων ὁ ποταμὸς κατιὼν μελαίνει αὐτόν· ἐκεῖ δέ ἐστι καὶ ἡ Σαρπηδονία ἄκρα· τάχα δὲ τοῦτο τοῦ ὕδατός ἐστιν ἐπίθετον, ὡς "μέλαν δέ ἑ κῦμα" (Od. 5. 353)· νῦν δὲ Καρδιανὸς ὁ κόλπος ὀνομάζεται.

ἐπεστενάχησε] ἀεὶ βαρυτόνως φησὶ "στενάχων."

B− 80. ἡ δὲ μολυβδαίνῃ ἰκέλη] τῷ μολυβδ⟨ί⟩ῳ, ὃ πρὸς τῇ ὁρμιᾷ καὶ τῷ ἀγκίστρῳ ἐστὶ πρὸς τὸ θᾶττον καθικνεῖσθαι τοῦ βυθοῦ· οἱ δὲ τὴν βολίδα· ἢ μόλιβον δέ φησιν (Il. 11. 237) ἢ μόλυβδον.

A∼B− 81. βοὸς κέρας] ὃ προσάπτουσι τῇ ὁρμιᾷ πρὸς τὸ μὴ ἐσθίεσθαι καὶ ⟨τὸ⟩ ὁμόχροον εἶναι τῇ θαλάσσῃ. οὐ γὰρ τὴν τρίχα, ἐπεί φησι "λίνῳ καὶ ἤνοπι χάλκῳ" (Il. 16. 408)· οἱ δὲ τὸ κέρσιμον, ὃ πρὸς τοῖς ἄκροις τῶν καλάμων βάλλουσι πρὸς τὸ καταδύεσθαι τῷ βάρει τῶν ἰχθύων. οἱ δὲ νεώτεροι "κέρας" τὴν συμπλοκὴν τῶν τριχῶν ὁμοίαν κέρατι· "τὸν κεροπλάστην ἄειδε Γλαῦκον" Ἀρχίλοχος (fr. 57 B.).

82. ὠμηστῇσιν ἐπ' ἰχθύσι] τοῖς ὠμοῖς ἐσθιομένοις· νῦν γὰρ περὶ τῶν μικρῶν ὁ λόγος ἐστίν.

12. ἀελλόπους in lemmate ‖ αἰθαρύτας coni. Bekker, θ' ἁρπυίας Oder de Anton. Lib. p. 62 ‖ 15. Θρῇσσαι Eust.: Θρᾷκες et ante αἰχμ. addit οἱ B, Θρῇκαι ‖ κατέκαυσαν Eust.: κατέδυσαν ‖ 16. ὃς Bekker: ὡς ‖ 17. Φρυξίδου ‖ 18. μελαγγείων etiam Eust. ‖ 23. suppl. W ‖ 29. καταδύεσθαι scripsi: καταμίγνυσθαι

Digitized by Google

84. εἵατο] δασέως· Ἀρίσταρχος δὲ ψιλοῖ. A+

85. κλαῖε μόρον] ἐπειδὴ μέλλει καταστρέφειν τὸν λόγον εἰς τὰς B=
Ἕκτορος ταφάς, προλαβεῖν τι ἐπιχειρεῖ τῶν ἑξῆς καὶ τὸ κέντρον ἐγκαταλιπεῖν, ὡς ὁ κομικός (Eup. Dem. fr. 94 K.), τοῖς ἀκροωμένοις, ὥστε ποθῆσαί τι καὶ περὶ τῆς Ἀχιλλέως ἀναιρέσεως ἀκοῦσαι καὶ ἐννοεῖν παρ' ἑαυτοῖς, οἷος ἂν ἐγένετο ὁ ποιητὴς διατιθέμενος ταῦτα· καὶ ἔστι περιπαθὲς τὸ κλαίειν τὸν ζῶντα.

⟨ὅς οἱ⟩ ἔμελλε] ἐῴκει, ἀντὶ τοῦ ὃς τῷ υἱῷ ἥρμοστο· περισσὸς AB+
οὖν ὁ ἑξῆς. §. Ῥιανὸς δὲ γράφει "ὅς τάχ' ἔμελλεν." A=

88. ἄφθιτα μήδεα εἰδώς] ἀμετάβλητα. B+

90. τίπτε μ' ἐκεῖνος] τὸ ἑξῆς, τίπτε μ' ἄνωγε μίσγεσθ' ἀθανά- B=
τοισιν. ἢ λείπει τὸ ἐλθεῖν.

91. ἔχω δέ] ὁ "δέ" ἀντὶ τοῦ γάρ. B=

ἄχε' ἄκριτα] ἀναρίθμητα. B=

92. οὐδ' ἅλιον ἔπος ἔσσεται] οὐ ματαιώσω τὴν κέλευσιν αὐτοῦ. B=

94. ⟨κυάνεον—⟩ ἔσθος] παρὰ τὸ ἕω· παρὰ τοῦτο δὲ ἡ ἐσθής. οἰ- B=
κεῖον δὲ θαλασσίᾳ καὶ πενθούσῃ θεῷ.

96. ἀμφὶ δ' ἄρα σφι λιάζετο] ὑπεχωρίζετο, διίστατο, ὥσπερ B=
ὁδὸν παρέχον, τὸ κῦμα.

97. ἐς οὐρανὸν αἰχθήτην] "οὐρανόν" τὸν ὑπερνέφιον τοῦ Ὀλύμπου A~B—
τόπον· φησὶ γοῦν "ἤλυθες Οὔλυμπόνδε, θεὰ Θέτι" (104). §. "ἀκτήν" B=
δὲ τὴν τοῦ μέλανος κόλπου.

100. ἡ δ' ἄρα παρ Διὶ πατρί] ἐκ δεξιῶν, ὥς φησι Πίνδαρος "πῦρ πνέοντος ἅ τε κεραυνοῦ ἄγχιστα δεξιὰν κατὰ χεῖρα πατρὸς ἵζεαι" (fr. 146 B.)· καὶ ἐν τῷ Καπετωλίῳ δὲ οὕτως ἵδρυται ἡ Ἀθηνᾶ.

εἶξε δ' Ἀθήνη] ὡς νεωτέρα· ἡ δὲ βασιλὶς τῇ δεξιώσει φιλοτιμεῖται. B=

108. Ἕκτορος ἀμφὶ νέκυι] Ἕκτορος νέκυα. ἀλλὰ καὶ "οἰσέ- A+
μεναι νεκρὸν Ἐλπήνορα" (Od. 12. 10).

109. ὀτρύνεσκον] ἡ Μασσαλιωτικὴ "ὀτρύνουσιν." A+

*ἐύσκοπον Ἀργεϊφόντην] συνετόν, κατὰ ⟨τοῦ⟩ σκοποῦ φέροντα B—
⟨τὴν⟩ γνώμην. ἐντεῦθεν δὲ τὰ ἄνω διεσκεύαστ[αι] περὶ κλοπῆς (71–3).

110. τόδε κῦδος Ἀχιλλῆι προτιάπτω] προσάπτω· τινὲς δὲ "προϊ- A+B—
άπτω" προπέμπω δίδωμι· τὸ δὲ ἰάπτω βλάπτω.

4. κωμικοῖς ‖ 5. ποθῆσαι B: πορθῆσαι ‖ 14. ἄχεα ‖ τὰ ante ἀν. ut B: omisi ‖ 20. εἰς ‖ 24. ἅ τε Plut. Quaest. Symp. I 2, 4: ἀτὰρ ‖ ἵζεαι coni. Bergk ‖ 26. νεωτέρας ‖ 27. ἀλλαχοῦ A pro ἀλλὰ καὶ ‖ 30, 31. suppl. W ex B: κατασκόπου φ. γν. ‖ 33. τὸ δὲ ῥάπτω

Digitized by Google

A+ προτιάπτω] "προϊάπτω" χωρὶς τοῦ τ̄· καὶ ἔστιν ὅμοιον τῷ ἰάλλω· τινὲς δὲ μετὰ τοῦ τ̄, καὶ ἐδάσυναν τὸ ᾱ.

B— 111. μετόπισθε] λείπει ὁ καί, ἵν' ᾖ 'καὶ εἰς ὕστερον θέλων τὴν πρὸς σὲ φιλίαν τηρῆσαι ἕνεκα τῶν δεσμῶν' (Il. 1. 401)· τινὲς δὲ διὰ τὴν μῖξιν· ὅπερ ἄτοπον.

B= 114. φρεσὶ μαινομένῃσιν] μανίας γὰρ ἐγγὺς αἰκίζεσθαι τὰ ἀναίσθητα.

116. ἐμέ τε δείσῃ ⟨ἀπό θ' Ἕκτορα λύσῃ⟩] συνδέσμοις διέστειλε, δέον εἰπεῖν 'δείσας λύσῃ.'

B= 117. ἐφήσω] ἐντελουμένην πέμψω.

B+ 123. ἁδινὰ στενάχοντα] ἀθρόως, παρὰ τὸ ἄδην· ἀδιαλείπτως.

A+ 124. καὶ ἐντύνοντο ἄριστον] νῦν ἅπαξ· καὶ ἐν Ὀδυσσείᾳ (16. 2) "ἐντύνοντο ἄριστον."

AB= 129. ἔδεαι κραδίην] καὶ Πυθαγόρας παραινεῖ καρδίαν μὴ ἐσθίειν, ὅ ἐστιν ἄλυπον καὶ ἀτάραχον διάγειν τὸν ἄνθρωπον.

οὔτε τι σίτου] διὰ τὸ "λισσόμενος δειπνῆσαι· ὁ δ' ἠρνεῖτο στεναχίζων" (Il. 19. 304).

A+ 130—2. ἀγαθὸν δὲ γυναικί περ—μίσγεσθαι ⟨—κραταιή⟩] ἀθετεῖται· ἀνοίκειον γὰρ ἥρωι καὶ θεᾷ. ἴσως διὰ τὸ ἄλλους ἀντ' αὐτοῦ κτήσασθαι ἐκγόνους ἢ τάχα ὑποκλέπτουσα αὐτὸν τοῦ πένθους ταῦτά φησιν· συγκοιμᾶται οὖν Βρισηΐδι μετὰ ταῦτα (676).

A+B= 134. ἐὲ δ' ἔξοχα πάντων] δασυντέον τὸ πρῶτον ε̄ τῆς "ἐέ." τῷ δὲ τόνῳ ὡς καλέ.

B+ 137. νεκροῖο δὲ δέξαι ἄποινα] ὑπὲρ τοῦ νεκροῦ, ὡσεὶ ἔλεγεν 'καίτοι ἀχρήστου ὄντος.'

138. τὴν δ' ἀπαμειβόμενος] τινὲς "τὴν δὲ μέγ' ὀχθήσας," ὡς δυσχεραίνων ἐπὶ τῇ ἀποδόσει.

B= 139. τῇδ' εἴη] "τῇδε" ἐνθάδε, ὡς "τῇδε γὰρ ἔβρισαν" (Il. 17. 512). "εἴη" δὲ ἀντὶ τοῦ ἴοι ἢ παραγένοιτο. ὁ δὲ Ζώπυρος ἀντὶ τοῦ ἔστω.

140. εἰ δὴ πρόφρονι] αὐτός φησιν "ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ" (Il. 1. 218).

1. ἰάλλω W: προϊάλλω A, ἄλλῳ || 2. ᾱ A: τ̄ || 4. ἕνεκα scripsi: εἵνεκε || 19. ἀνοίκειον W: -εως || ἄλλους W: πολλοὺς || 20. ὑποκλέπτουσα Bekker: -βλέπουσα || 24. νεκροῦ scripsi, cf. BD: κοινοῦ || 29. Ζώπυρος B: τοῦ Ζωπύρου

Digitized by Google

141. ἐν νηῶν ἀγύρει] ὡς τὸ "νεῶν ἐν ἀγῶνι" (Il. 15. 428 al.). A=

144. Ἶρι ταχεῖα] ἀντὶ τοῦ ταχέως. AB=

148. οἷον] οἶδε γὰρ ἡνιοχεῖν ὁ Πρίαμος. §. "οἷον" δὲ γραπτέον, οὐχ "οἷος." A=

μηδέ τις ἄλλος] ὑπὲρ τοῦ λαθεῖν. ἅμα δὲ καὶ ἔλεον ⟨ἡ μόνωσις⟩ ἐργάζεται. B=

149. κῆρύξ τις τοι] μόνον ἀπελθεῖν μετὰ τοσούτων λύτρων ἀδύνατον διὰ γῆρας, ἐπάγεσθαι δέ τινα τῶν νέων εἰς πολέμιον στρατὸν ἀπίθανον. οὐ μόνον οὖν κῆρυξ ἕπεται, ὅπερ ἐστὶ πίστεως καὶ σπονδῶν σύμβολον, ἀλλὰ καὶ οὗτος γέρων. B=

γεραίτερος] ὡς δικαιότερος παλαιότερος, οὕτω γεραιότερος καὶ κατὰ συγκοπὴν "γεραίτερος," ὡς "θερείταταί εἰσι κέλευθοι" (Arat. Ph. 148).

151. νεκρὸν—τὸν ἔκτανε] ὃν κτείνας ἐποίησεν, ὡς "ἕλκος—ὅ μιν βάλε Πάνδαρος" (Il. 5. 795) ὃ βαλὼν ἐποίησεν. A+

152. μηδέ τι τάρβος] τείρω τάρος καὶ πλεονασμῷ τάρβος. B=

ἄλλως: μηδέ τι τάρβος] ἐν ἐπιτάσει· οὐχ ὅτι θάνατος, ἀλλὰ μηδὲ τάρβος. B=

154. εἷος] ἕως, τοπικῶς· χρονικῶς δὲ "ἕως ὁ ταῦθ' ὥρμαινε" (Il. 1. 193)· αἰτιωδῶς δὲ "εἷος Πηνελόπειαν ὀδυρομένην" (Od. 4. 800).

155. ἔσω κλισίην] εἰς κλισίην.

156. οὔτ' αὐτὸς κτενέει] διὰ πάντων ἀσφαλῆ τὴν ἔξοδον αὐτῷ κατασκευάζει. B+

157. οὔτε γάρ ἐστ' ἄφρων] τάχιστα συνέλαβε πόθεν ἴασιν ἄνθρωποι ἐπὶ τὸ ἀδικεῖν. ἢ δι' ἀσυνεσίαν—ὃ διὰ τοῦ "ἄφρων"—ἢ ἀκόντως—ὃ διὰ τοῦ "ἄσκοπος"—ἢ ἑκουσίως—ὃ διὰ τοῦ "ἀλιτήμων" παρέστησεν, ὃ δηλοῖ τὸν ἑκουσίως ἁμαρτάνοντα. B=

ἄσκοπος] μὴ προορῶν τὸ συμφέρον. B=

* ἀλιτήμων] ἀλιτάνευτος ἢ ἁμαρτάνων τοῦ δέοντος. §. ἠθικῶς δὲ ἀπολογεῖται ὑπὲρ Ἀχιλλέως δι' ἃ εἶπεν Ἀπόλλων "ᾧ οὔτ' ἂρ φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα" (40). B= B=

158. ἐνδυκέως] ἐπιμελῶς, ἢ διηνεκῶς καὶ ὁλοτελῶς. B=

3. οἷον bis ‖ 4. οἷος ‖ 5. supplevi ex B ‖ 8. πολεμίων B ‖ 12. θερειτάταται ‖ 20. δεῖ ὡς Π. ‖ 25. οὔτε textus: οὐδὲ ‖ διέλαβε B ‖ 32. ἐναίσιμοι textus Iliadis: ἔμπεδοι

Digitized by Google

*πεφιδήσεται*] *μετ' ὀλίγον μέλλων, ἀπὸ τοῦ φιδῶ.*

160. *ἶξεν δ' ἐς Πριάμοιο*] *ὅμοιόν ἐστι τῷ 'ἐς διδασκάλου.'*

B= *ἐνοπήν*] *θρῆνον θορυβώδη.*

162. *δάκρυσιν εἵματ' ἔφυρον*] *ἄξιον ἡρωικῆς σεμνότητος τὸ πένθος.*

163. *ἐντυπὰς ἐν χλαίνῃ*] *τινὲς γράφουσιν "ᾗ χλαίνῃ·" καὶ ἄμεινον.*

B— *ἄλλως: ἐντυπάς*] *ἐντυπωδῶς, ὡς διὰ τῆς σκέπης ὁρᾶσθαι τὸν τύπον. ἔστι δὲ ποιότητος ἐπίρρημα. ὑπερβολὴν δὲ πένθους ἀξίαν οὐχ εὑρίσκων αὐτῷ περιθεῖναι ἐκάλυψεν αὐτόν, ὑπονοεῖν ἡμῖν καταλιμπάνων οἷον ἄρα ἦν αὐτῷ τὸ πένθος, ἄλλως τε καὶ ἄυπνος ἦν, ἀφ' οὗ Ἕκτωρ ἐτεθνήκει· ἐντεῦθεν ὁ Σικυώνιος γραφεὺς μαθητευθεὶς τῆς ἐν Αὐλίδι Ἰφιγεν⟨ε⟩ίας γράφων τὴν σφαγὴν ἐκάλυψε τὸν Ἀγαμέμνονα.*

164. *κόπρος*] *Ἀρίσταρχος σποδός, τινὲς δὲ κόπρια. "αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον"* (640). *σημαίνει δὲ καὶ τὴν βούστασιν.*

A+B= *τοῖο*] *τοῦ γέροντος. οἱ δὲ τοιούτου, θαυμαστικῶς.*

B— 165. *καταμήσατο*] *ἄθρουν ἐπεσπάσατο, ὅθεν καὶ ἀμητός· καὶ "ἄφαρ δ' εὐνὴν ἐπαμήσατο χερσὶ φίλῃσιν"* (Od. 5. 482). *τὸ δὲ "ἀμητῆρ⟨ες⟩"* (Il. 11. 67) *διὰ μακροῦ τοῦ ᾱ φησίν· καὶ "λειμωνόθεν ἀμήσαντες"* (451). *"τέκνον, μή σύ γε μητρὸς ἀπ' ἀνθερεῶνας ἀμήσῃς"* Εὐφορίων (fr. 51 M.).

B— 168. *κέατο*] *τινὲς κεκαυμένοι ἦσαν. ὅθεν τὸ "κέδρου—εὐκεάτοιο"* (Od. 5. 60).

B= 170. *τυτθὸν φθεγξαμένη*] *πρὸς τὸ μὴ καταπλῆξαι τὸν γέροντα. ὁ δὲ ὅμως οὐδὲ τοῦτο ὑποφέρει· προπεπονθυῖα γὰρ ψυχὴ πᾶν τὸ μέλλον τοῦ παρόντος χεῖρον λογίζεται.*

B— 172. *ὀσσομένη*] *προορωμένη· οἱ δὲ προαγγέλλουσα, παρὰ τὴν ὄσσαν, ἣν ἀεὶ ἐπὶ θείας φωνῆς λέγει.*

B= 173. *ἀλλ' ἀγαθὰ φρονέουσα*] *φρονῆσαί σε ποιήσουσα ἀγαθὰ ἦλθον.*

B= *Διός δέ τοι ἄγγελός εἰμι*] *ὑπὸ Διὸς ἥκω σοι ἄγγελος.*

A+ 174. *ὅς σευ ἄνευθεν ἐών*] *μᾶλλον ὧδε οἰκεῖος ἢ ἐκεῖ ὁ στίχος* (Il. 2. 27, 64)

5. *ᾗ χλαίνῃ* Nauck: *ἡ χλαίνη* ‖ 16. *βούστ*$^{a}$) ‖ 18. *ἀθρόως* B ‖ 21, 22. *ἀνθερεῶνας* Meineke: *-ος* ‖ 23. *κεκαυμένοι* scripsi, cf. Et. M. s.v. *κείω*: *κεκαμένοι* B, *κεκακωμένοι* ‖ 30. *ποιοῦσα* B ‖ 33. *οἰκεῖοι*

Digitized by Google

189. ἅμαξαν—ὁπλίσαι] εὐτρεπίσαι· ἰσοδυναμοῦν καὶ τὸ ἐντῦναι παρὰ τὰ ἔντεα. B=

ἅμαξαν] τὴν ἀπήνην οὕτως εἶπεν· φησὶ γοῦν "ἡμίονοι ἕλκον τετράκυκλον ἀπήνην" (324).

190. πείρινθα] κατὰ μετάθεσιν, οἱονεὶ ῥίπινθα τὴν ἐκ ῥιπῶν πλακεῖσαν. ῥίπη δὲ λέγονται τὰ ἐκ τῆς οἰσύας πλέγματα. B—

ἄλλως: πείρινθα] τὸ τετράγωνον πλινθίον ἄνωθεν περιδούμενον ταῖς ἁμάξαις· οἱ δὲ ἐκ ῥιπῶν φασιν αὐτὸ πλέκεσθαι καὶ εἶναι τουτὶ ῥίπινθα, ὅπερ ὁ Ξενοφῶν κάνναθρον (Ag. 8. 7). κάννη γὰρ ἡ ψίαθος, ἵν' ᾖ πλέγμα ψιαθῶδες συνέχειν τὸν φόρτον δυνάμενον. A—B=

191. κατεβήσετο] κατέβαινεν.

κηώεντα] ἐν ᾧ ἐκοιμᾶτο· ἢ εὐώδη διὰ τὴν κέδρον. B=

192. γλήνεα] χρήματα κατὰ Ἠλείους· οἱ δὲ ἀξιοθέατα· γλήνη δὲ παρὰ τὸ γλάμυρον, ὅ ἐστι δίυγρον· ὅθεν καὶ "Ἀρχέδημος ὁ Γλάμων" (Aristoph. Ran. 588)· καὶ παροιμία "ἐν τυφλῶν πόλει Γλάμυρος βασιλεύει·" ἢ ἀπὸ μέρους εἴρηκεν· γλήνας γὰρ κυρίως τὰ κοροκόσμια λέγουσιν. B—

κεχάνδει] οὕτως Ἀρίσταρχος· ἔνιοι γράφουσι "κεκεύθει." A+

193. ἐς δ' ἄλοχον—ἐκαλέσ⟨σ⟩ατο] τὸ ἑξῆς ἐσεκαλέσατο.

194. Διόθεν μοι—ἄγγελος] ἀνθρώπινον τὸ ἀνατίθεσθαι τὸ πρᾶγμα γυναικὶ κοινωνῷ τῶν παθημάτων. καὶ κέκρικε μέν, ἐρωτᾷ δὲ εἰ σύμψηφος ἔσται αὐτῷ. ὅτι γὰρ τοῦτο ἤθελε, δῆλον· οὐ γὰρ πρὶν καταβῆναι (191) συμβουλεύεται τῇ γυναικί, ἀλλ' ἐπὶ δεδογμένοις ἀναφέρει τὴν γνώμην τῇ γυναικί. B=

199. ἔσω στρατόν] ⟨ἀν⟩τὶ ⟨τοῦ⟩ ἐς στρατόν.

200. ἀμείβετο] Ἀρίσταρχος "ἀνήρετο." A=

201. ὤ μοι] γυναικεία ἡ ἀναφώνησις ἐξισταμένης ἐπὶ τῷ τηλικαῦτα τολμᾶν.

ἧς τὸ πάρος περ] ἐφ' αἷς πρώην.

202. ἔκλεο] ἐκλεόμην ἐκλέεο καὶ κατὰ συγκοπὴν "ἔκλεο," προπαροξυτόνως. AB+

205. ἐξενάριξε] τινὲς "ἐξήναξε" τῆς ἀρχῆς ἐξέβαλεν.

σιδήρειόν νυ τοι ἦτορ] τινὲς μετὰ τοῦτον γράφουσιν "ἀθάνατοι ποίησαν, οἱ οὐρανὸν εὐρὺν ἔχουσιν." A+

3. καὶ ante ἅμ. omisi || 9. ἐς post τ. omisi, ὡς coni. W || 18. κεκεύθει A: κελεύθει || 23. ἐ. τοῖς δ. B || 27. τῷ W: τῶν || 28. τολμᾶν scripsi: τολμῶν || 27, 28. ἐπὶ τῶν τηλικούτων τολμῶν coni. Bekker

Digitized by Google

AB= 206. εἰ γάρ σ' αἱρήσει καὶ ἐσόψεται] ἀντιστρόφως. εἰ γάρ σε ὄψεται καὶ αἱρήσει, ἀντὶ τοῦ 'μόνον εἰ θεάσεται εὐθὺς αἱρήσει.'

B+ 207. ὠμηστής] ὠμός, ἄγριος. ταῦτα δὲ ἀπολύτως.

A+B= 208. οὐδέ τι σ' αἰδέσεται] οὐχ ὡς ἱκέτην σε δέξεται· αἰδοῖοι γὰρ οἱ ἱκέται.

B= νῦν δὲ κλαίωμεν] εἰ τῆς σωτηρίας τοῦ γέροντος προνοουμένη μόνον ἐφαίνετο, ἀπρεπὴς ἦν παντελῶς ὁ λόγος, ⟨ὅτι⟩ κατεφρόνει υἱοῦ τοιούτου ὑπὲρ ἀσφαλείας πρεσβύτου δυστυχοῦς. νῦν δὲ ὡς ἀδύνατος κομίσασθαι τὸν υἱὸν οὐ βούλεται προσαποβαλεῖν καὶ Πρίαμον.

208, 9. ἄνευθεν ἥμενοι] ὡς οὐδὲ ἐλπίδα ἔχοντές ποτε θάψαι τὸν υἱόν.

209. ὥς ποθι μοῖρα] μέμικται τούτοις λογισμὸς καὶ πάθος· "ὥς ποθι" δὲ οὕτω που.

B= 212. μέσον ἧπαρ ἔχοιμι] δαιμονίως τῇ ἐμφάσει ⟨χρῆται⟩· τόπος γὰρ λύπης τὸ ἧπαρ καὶ "μέσον," οὗ ἡ χολὴ καὶ πολὺ τὸ ἐσθιόμενον. καὶ ἐν παρατάσει τὸ ἐσθίειν (213). τό τε "ἐμφῦσα" ἐμφαντικώτατον· οὐ γὰρ λαβοῦσα τῇ χειρί, ἀλλ' αὐτῷ προσφῦσα τῷ ἥπατι τὸ στόμα, ὡς ἐπὶ σαρκοφάγου θηρίου.

B= ἄλλως: μέσον ἧπαρ] εἴγε μὴ προειλήφειμεν τὸ περὶ αὐτὴν πάθος, ἀπαράδεκτον ⟨ἂν⟩ ἦν τὸ μέγεθος τῆς ὑπερβολῆς. νυνὶ δὲ οἰκεῖα ταῦτα μητρὶ καὶ πρεσβύτιδι ὑπὲρ τέκνου οὐκ ἀναιρεθέντος μόνον, ἀλλὰ καὶ αἰκιζομένου ἀτάφου.

B− 213. τότ' ἄντιτα] ἀντιτιμώρητα. καὶ ἔστιν ὅμοιον τῷ "τρεῖς ἑνὸς ἀντὶ πεφάσθαι" (Il. 13. 447). λείπει δὲ ὁ ἄν. οὐκ ἀξιόχρεων δὲ ἡγεῖται τὸν θάνατον τοῦ πολεμίου, εἰ μὴ καὶ τῶν σαρκῶν αὐτοῦ ἐμφάγοι.

A+B= ἄντιτα] τὸ τέλειον ἀντίτιτα· συγκέκοπται δὲ ἡ τι συλλαβή.

B− 214. ἐπεὶ οὔ ἑ κακιζόμενον] ἀντὶ τοῦ ἐπεὶ οὐχ ὁ τυχὼν ἦν οὐδὲ γύννις. τοιοῦτον δὲ καὶ τὸ "ἀνδρὶ πάρα κρατερῷ" (212)· ὃ πρὸς σύστασιν Ἕκτορος. αὔξεται οὖν τὸ πάθος ἐπὶ τῷ ἀναξίως ὑβριζομένῳ. τοιαῦτα καὶ ὁ Πρίαμος ἐρεῖ πρὸς Ἀχιλλέα, ἀλλὰ πεφεισμέ-

2. εἰ μόνον B || 4. αἰδέσσεται || 7. supplevi ex B || καταφρονεῖ ut B || 8. ἀδύνατον || 9. οὐ βούλεται B: προβάλλεται || προσαποβαλέσθαι B || 14. supplevi ex B || τόπος scripsi: τρόπος || 16. ἐμφυσᾶ || 20. μέγεθος B: πάθος

νως· "τὸν δὲ σὺ πρώην κτεῖνας ἀμυνόμενον περὶ πάτρης" (500). §. αἱ A=
κοιναὶ δὲ "ἐπεὶ οὔτι κακιζόμενον."

215. ἀλλὰ πρὸς Τρώων] "πρὸ Τρώων" δίχα τοῦ σ̄, ὡς τὸ "προστή- A–B=
σας πρὸ Ἀχαιῶν Τρωσὶ μάχεσθαι" (Il. 4. 156).

216. οὔτε φόβου μεμνημένον] φιλοστόργως ταῦτα, ἐπεί τοι φεύ- B=
γοντα ἀνεῖλεν.

ἀλεωρῆς] φυλακῆς.

219. * οὐδέ] ἀντὶ τοῦ 'οὐ γάρ.' B=

220. * ἄλλος ἐπιχθονίων] καὶ μὴ θεός. B=

221. θυοσκόοι] οἱ ἐμπυροσκόποι· καλοῦσι δὲ αὐτοὺς λιβανομάν- A+B=
τεις.

ἱερῆες] οἱ διὰ τῶν σπλάγχνων μαντευόμενοι. τὰ μὲν γὰρ AB=
θυμιάματα θύη καλεῖ, τὰ δὲ σπλάγχνα ἱερά. §. κοινὸν δὲ τὸ A=
"μάντεις."

222. ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον] ἢ παρέλκει B=
τὸ "μᾶλλον" Ἀττικῶς, ἢ μᾶλλον τοῦ ποιεῖν ἐχωριζόμεθα καὶ τοῦ
βαδίζειν ἐπὶ τὰς ναῦς.

223. καὶ ἐσέδρακον] ἐνῆν καὶ οὕτως εἰπεῖν 'νῦν δὲ θεὸς ὁ εἰπών·'
ὃ δὲ ἐμφαντικῶς τὴν αὐτοῦ αὐτοψίαν προβάλλεται· ἐνήλλαξε δὲ τὴν
τάξιν.

226. αὐτίκα γάρ με κατακτείνειεν] τῆς τῶν ἀκουόντων διανοίας B=
ἥψατο ταῦτα λέγων.

227. ἐπὴν γόου ἐξ ἔρον εἵην] ἐπὰν κορεσθείην τῆς τοῦ πένθους B=
ἐπιθυμίας.

228. καὶ φωριαμῶν] φωριαμός· ἔχει γὰρ ἃ φοροῦμεν· οἱ δὲ B–
παρὰ τὰ φάρη ἢ τοὺς φῶρας· Ἀρίσταρχος δέ φησι τὴν κιβωτὸν
λέξιν νεωτέραν εἶναι· ἀγνοεῖ δέ, ὅτι καὶ Σιμωνίδης (fr. 239 B.) καὶ
Ἑκαταῖος (fr. 368 Müller) μέμνηται αὐτῆς.

ἐπιθήματα] πώματα· καὶ ἐπιθεῖναι τὸ κλεῖσαι λέγουσιν. A–B+

229. * πέπλους] πέπλος πεποιημένον ἱμάτιον γυναικεῖον. A+

231. χιτῶνας] ὅτι διάφορα ταῦτα, νῦν ἐδήλωσεν· πέπλοι γάρ, A+B=
οὓς περονῶνται μόναι γυναῖκες, οἳ καὶ ἑανοὶ καλοῦνται—φησὶ γοῦν
"πορφυρέοις πέπλοισι καλύψαντες" (796) τὰ ὀστᾶ Ἕκτορος, καὶ

1. κτείνας ‖ 3. δίχα B: διὰ ‖ 13. καλεῖται B ‖ 25. δὲ W cf. Et. M. s. v.: γὰρ ‖ 26. παρὰ scripsi cf. Apoll. Soph. Orion. Et. M. s. v.: περὶ ‖ 31. ἐξεσίην (235) ante χιτών (sic) pro lemmate scriptum delevi et schol. ad v. 231 traieci ‖ 32. οὓς Bekker: ἃ B, ἃς ‖ περιεβάλλοντο B

Digitized by Google

τὰ Πατρόκλου "ἐν κλισίῃσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν" (Il. 18. 352)—χιτὼν δὲ ἀνδρεῖον ἔνδυμα, φᾶρος ἱμάτιον ἀνδρῶν καὶ γυναικῶν, χλαῖνα τὸ περίβλημα τῆς κλίνης.

A– 232. δέκα πάντα τάλαντα] παρέλκει τὸ "πάντα·" ἢ τὰ πάντα δέκα.

234. ὅ οἱ Θρῇκες] ὡς φιλοπόται οἱ Θρᾷκες ποτήρια χαρίζονται.

236. φείσατο] ἢ ὡς πολυτελοῦς, ἢ ὡς φυλασσομένων τῶν ξενίων.

B= 238. αἴθουσαι ⟨αἱ⟩ στοαὶ παρὰ τὸ πῦρ ἐν αὐταῖς κάεσθαι.

* ἐνίσσων] Αἰολεῖς, ἀπὸ τοῦ ἐνίπτων.

B= ἔπεσ⟨σ'⟩ αἰσχροῖσ⟨ιν⟩] κακοῖς. καὶ "αἴσχιστος δὲ ἀνήρ" (Il. 2. 216) ἀντὶ τοῦ κάκιστος.

239. * ἔρρετε] ἀπέρρετε.

B– λωβητῆρες] ψεῦσται· "οὔτι σε λωβεύω τέκνον φίλον" (Od. 23. 26). οἱ δὲ ἐκ τῶν δύο 'ἐπονείδιστοι.' λώβη γὰρ ἡ ὕβρις.

B= 239,40. οὔ νυ καὶ ὑμῖν οἴκοι ἔνεστι γόος] ὡς οὐκ ἔχοντες πένθος ἐμὲ παραμυθεῖσθε. ἐμοί φησι συμπαθήσοντες ἥκετε, οὐχὶ δὲ ἕκαστος ἴδιον ὁρίζετε πένθος τὸν θάνατον Ἕκτορος. βούλεται δὲ λέγειν, ὅτι δεῖ ἕκαστον οἴκοι μένοντα πενθεῖν τὸν Ἕκτορα.

240. κηδήσοντες] βαρήσοντες τὸν ἐν κήδει ὄντα παραμυθησάμενοι.

A+B= 241. ἦ ὀνόσασθε] ἐκφαυλίζετε καὶ δοκεῖτε αὐτοὶ οὐδὲν ἔχειν, οὐδὲ κοινὸν εἶναι τὸ κακόν.

B+ 242. ἀτὰρ γνώσεσθε] μαθήσεσθε γε μήν.

B~ 243. ῥηΐτεροι γὰρ μᾶλλον] "ῥηΐτεροι" μὲν ἦτε, νῦν δὲ μᾶλλον. ἢ ἀντὶ ἁπλοῦ τὸ "ῥηΐτεροι."

B+ 247. * σκιπανίῳ] σκήπτρῳ.

A~B– δίεπ' ἀνέρας] διὰ τῶν ἀνδρῶν ᾔει· καὶ δασύνεται ἡ β' συλλαβή· οἱ δέ, διεῖργε διίστα τοὺς ἄνδρας. οἱ δὲ "δί' ἐπ' ἀνέρας," ἵν' ᾖ "δίε" ἐδίωκεν, ὅ ἐστιν ἐπεδίωκεν.

B= 248. σπερχομένοιο] ἐπειγομένου ἐν τῷ διώκειν ἢ σπέρχοντος. τοῦτο δὲ πρὸς τὸ θυμῶδες καὶ ἀπειθὲς τῶν ἀστιζομένων εἰς τὰ βασίλεια.

1. λεχέεσσι codd. Il. || 2. ἀνδρῷον B || 10. iteratur * κακοῖς || 21. αὐτοὶ B: ἑαυτοὺς || 26. σκηπανίῳ B || 28. δί' ἐπ' scripsi: δίε διὼν ἔνεπ' || 29. δίε scripsi: δίεπεν || 31, 32. ὡ. τῶν βασιλείων B || τῶν ante εἰς et οἰκημάτων post β. del. Bekker

Digitized by Google

*υἱάσι*] *τινὲς ἀπὸ τοῦ υἱάς, ὡς* Ἀρκάς.

*ὁμόκλα*] *ἤπιος μέν ἐστιν, ὥς που φησὶν* "*οἷς δ' ὁ γέρων μετέῃσι*" B– (Il. 3. 109) *καὶ* "*ἑκυρὸς δὲ πατὴρ ὣς ἤπιος ἦεν*" (770). *δύσκολον δὲ νῦν αὐτὸν εἴργασται τὸ πένθος.*

250. Πάμμονά τε] *οἰκεῖον μὲν τῷ πάθει τὸ δυσχεραίνειν πρὸς* B= *πάντας, λεληθότως δὲ* Ὅμηρος *κατάλογον πεποίηται τῶν ὑπολειφθέντων* Πριάμῳ *παίδων.*

251. *καὶ* Δῖον ⟨*ἀγαυόν*⟩] Φερεκύδης *τὸν* Δῖον *νόθον υἱὸν* Πριάμου *φησίν· ἔστιν οὖν τὸ* "*ἀγαυόν*" *ἐπίθετον.*

252. *ἐννέα τοῖς*] *ἢ τῶν ἐξ* Ἑκάβης *ιθ´ οὗτοι ὑπελείποντο, ἢ τῶν πεντήκοντα.*

253. *σπεύσατε*] *πᾶν γὰρ αὐτῷ βραδὺ φαίνεται πρὸς τὰ λύτρα,* B= *κἂν ᾖ ταχύ.*

*κατηφόνες*] *ὡς κηληδόνες σειρηδόνες· ἔστιν οὖν μᾶλλον θηλυκά,* A~B– *εἰς μαλακίαν αὐτοὺς ἐπισκώπτοντος τοῦ πατρὸς ὡς στυγνίας αἰτίους.* §. *ἀπὸ τοῦ κατηφῶ κατηφών—ὅθεν φησὶ* "*στῇ δὲ κατηφήσας*" (Il. 22. 293)—*ὡς εἰκῶ ε⟨ἰ⟩κών· οἱ δέ, ἄξιοι τοῦ φονεύεσθαι· ὁ δὲ* Νέστωρ *ἐπὶ τῆς θυσίας εἶπεν* '*ἄγε δή μοι φίλα τέκνα*' (Od. 3. 418).

*ἄλλως: κατηφών, παρὰ τὸ φῶ, οὗ παραγωγὸν φάω, ὁ κάτω* B+ *ἔχων τὰ φάη δι' αἰσχύνην ἢ δι' ὀνειδισμόν.*

254. *ὠφέλετε*] *καὶ* Καλλίμαχος (fr. 470) "*μὴ ὀφέλετ' ἀλλήλοισιν ἐπὶ πλέον ὄμματα δῦναι.*"

255. *ὤ μοι ἐγώ*] *ἠθικὴ ἡ μεταξὺ* ⟨*ἀναφώνησις*⟩. *ὀργιζόμενος* B= *δὲ τοῖς λελειμμένοις ἀφορμὴν εἶχεν ἀποδύρεσθαι τοὺς τετελευτηκότας. ἐλεεινὸν δὲ καὶ τὸ* "*ἐπ⟨ε⟩ὶ τέκον*"· *οὐ γὰρ δεινὸν τὸ μὴ γεννῆσαι ὡς τὸ γενομένους ἀπολέσαι. πάντα δὲ κινητικά· στενάζει, προστάσσει, λοιδορεῖ.*

* *πανάποτμος*] *περὶ πάντα δυστυχής.*

257. *ἱππιοχάρμην*] *ἐντεῦθεν* Σοφοκλῆς *ἐν* Τρωίλῳ (p. 212 N.) A+ *φησὶν αὐτὸν λοχηθῆναι ὑπὸ* Ἀχιλλέως *ἵππους γυμνάζοντα παρὰ τὸ* Θυμβραῖον *καὶ ἀποθανεῖν· ὑπονοήσειε δ' ἂν τις τὸν* Μήστορα

3. *ἑκυρὸς* textus Iliadis: *ἕκτορος* ‖ 9. *ἔσται* ‖ *ἀγαθὸν* ‖ 10. *ἐξ -ης* Bekker: *εἰς -ην* ‖ 14. 'siredones etiam Ausonius 26, 2, 20' W ‖ 15. *αἰτίους* B: *αἴτιοι* ‖ 18. *καρπαλίμως μοι φ. τ.* codd. Od. ‖ 19. *κατηφῶν* pro lemmate scriptum ‖ *οὐ* ‖ 21. *ὠφέλετ'* coni. Naeke ‖ 23. supplevi ex B ‖ 24. *ἔσχεν ὀδύρεσθαι* B ‖ 25. *ἐπεὶ τέκον* Bekker: *ἐπὶ τέκνων* B, *ἐπὶ τέκνῳ* ‖ 26. *γεννηθέντας* B ‖ *ἀπολέσαι* B: *-έσθαι* ‖ 30. *λοχηθῆναι* scripsi, *λογχευθῆναι* coni. Welcker: *ὀχευθῆναι*

Digitized by Google

πρεσβύτατον εἶναι τῶν Πριαμιδῶν καὶ τὸν Τρωίλον οὐ παῖδα, δι' ὧν τοῖς ἀρίστοις ⟨συγ⟩καταλέγεται.

B= 258. ὃς θεὸς ἔσκε] οὐ μόνον δι' ἀρετὴν ἐξαίρετος ὁ τοῦ Ἕκτορος ἔπαινος, ἀλλὰ καὶ διὰ τὸ πρόσφατον τῆς συμφορᾶς. ἠθικῶς δὲ κρείττονά φησι ὁ Πρίαμος τὸν παῖδα τοῦ δοκεῖν ἐξ ἑαυτοῦ γεγενῆσθαι.

οὐδ⟨ὲ⟩ ἐῴκει ἀνδρός γε] Στησίχορος Ἀπόλλωνος αὐτόν φησιν, οὐ νοήσας τὴν ὑπερβολήν (fr. 69 B.).

261. ⟨ὀρχησταί τε⟩ χοροιτυπίῃσιν ⟨ὁμοῖοι⟩] οὐκ ἐν πολέμοις· ἐκείνην γὰρ τὴν ὄρχησιν σεμνύνει—"καὶ ὀρχηστήν περ ἐόντα" (Π. 16. 617)—τὴν δὲ ἁπαλὴν ἀποδοκιμάζει.

B= 262. ἐπιδήμιοι ἁρπακτῆρες] ἐν τῷ ἰδίῳ δήμῳ πρὸς τὸ ἀδικεῖν γενναῖοι· ἔνθεν τὸ "οἴκοι μὲν λέοντες, ἐν μάχῃ δ' ἀλώπεκες" (Ar. Pac. 1189).

A= 264. ἐπιθεῖτε] ὡς "διακρι⟨ν⟩θεῖτε τάχιστα" (Il. 3. 102).

* ἐπιθεῖτε] ἐπιθείητε.

B= 265. ὑποδδείσαντες] δεόντως σιωπῶσιν. οὐ γὰρ ἀντιλέγειν ἔδει πατρὶ πενθοῦντι.

B= 266. ἐκ μὲν ἅμαξαν] "ἐκ μέν" ἔξω μέν. πρᾶγμα δὲ βιωτικὸν καὶ κοινὸν ἐκόσμησε ποιητικῶν λέξεων ποικιλίᾳ.

B= 267. πρωτοπαγέα] πρώτως παγεῖσαν, ὅ ἐστιν ἐξόχως· ἢ πρῶτον πεπηγυῖαν, ὅ ἐστι καινήν. ἔστι γὰρ τὸ μὲν τάξεως, τὸ δὲ ποιότητος.

A= 269. πύξινον ὀμφαλόεν] οὐκ ἦν παρὰ Ζηνοδότῳ ὁ στίχος. §. "ὀμ-
A~B= φαλόεν" δὲ ὑπεροχὰς ἔχον ἐν μέσῳ τινάς, αἷς περιειλοῦνται οἱ ἱμάντες. οἱ δέ, ἐν μέσῳ ὀμφαλὸν ἔχον, ᾧ προσδεῖται ἱμᾶσιν ὁ ῥυμός.

B= οἰήκεσσιν] κρίκοις, δι' ὧν ἐνειρόμεναι αἱ ἡνίαι τοὺς ἵππους οἰακίζουσιν. ἡ γὰρ ἡνία τρόπον τινὰ οἴηξ ἐστὶ τοῦ ἅρματος.

B+ 270. * ζυγόδεσμον] ἱμάντα ἢ σχοινίον.

B= 271. * τὸ] τὸ ζυγόδεσμον.

B+ 272. πέζα τὸ ἄκρον καὶ ἐπὶ γῆς, ἣν λυθῇ ὁ ῥυμός, φερόμενον. καὶ ἐπὶ ἱματίου πέζα τὸ πρὸς τῇ γῇ μέρος.

1, 2. διὸ ἐν τοῖς coni. W ‖ 4. ἀλλὰ καὶ B: ὅλον ‖ πρόσφατον Bekker: πρόσφορον ut B ‖ 5, 6. γεγεννῆσθαι B ‖ 10. ὀρχηστύν ‖ 11. ἁπαλὴν W: ἀπαλλαγὴν ‖ 19. ἐκ μ. ἔ. scripsi: οὐ μ. ἔ. ‖ 21. πρωτοπαγῆ B ‖ 30. σχοῖνον B ‖ 32. ἣν λυθῇ scripsi, ὅτε λυθῇ Eust.: ἣν ῥύθη

Digitized by Google

ἕστορι] τῷ κατὰ τὸ ἄκρον τοῦ ῥυμοῦ ἐμπεπηγότι πασσάλῳ, περὶ ὃν ὁ κρίκος ἐνηλωμένος τῷ ζυγῷ ἐντίθεται, ὃς καλεῖται ἕστωρ. δασύνεται δὲ ἀπὸ τῆς ἕσεως. AB=

273. τρὶς δ' ἑκάτερθεν ἔδησαν] ἑκατέρωθεν ἔδησαν ἀμφαλλάσσοντες τὸν ἐν μέσῳ τοῦ ζυγοῦ ὀμφαλόν, ἵνα μὴ ἑτεροκλινὴς ᾖ. B=

274. ὑπὸ γλωχῖνα δ' ἔκαμψαν] ἔκοψαν ὑπέκοψαν ἀπετερμάτισαν, ἵνα μὴ κρέμηται ὁ ἱμάς. B+

277. ἡμιόνους—ἐντεσιουργούς] μὴ τοὺς νωτοφόρους ἢ τὸ νωτοφόρον φέροντας κανθήλιον, ἀλλ' ἅμαξαν· καὶ Πίνδαρος (Ol. 13. 20) τὰ ἅρματα ἔντεά φησιν "ἱππείοις ἔντεσι μέτρα·" ἢ τοὺς ἑτοίμους πρὸς τὰ ἔργα. A+B−

* ἡμιόνους] ὁ ἡμίονος καὶ ἡ ἡμίονος, διχῶς.

278. ⟨τοὺς—⟩ Μυσοὶ δόσαν] Μυσοὶ πλησίον ὄντες Ἐνετῶν· ὅθεν ἡμιόνων γένος (Il. 2. 852)· ἢ ὡς καὶ παρὰ Μυσοῖς διαφόρων ὄντων· Ἀνακρέων "ἱπποθόρον δὲ Μυσοὶ εὑρεῖν μῖξιν ὄνων" [πρὸς ἵππους] (fr. 35 B.), ἐξ ὧν ἡμίονοι· καὶ νῦν μὲν ἀρσενικῶς εἶπεν, ἑξῆς δὲ "τὰς Ἰδαῖος ἔλαυνε δαΐφρων" (325).

281. τὼ μὲν ζευγνύσθην] τούτοις γὰρ διὰ τῶν Πριαμιδῶν τὸ ζεῦγμα παρεσκευάζετο. καὶ οἰκοδομεῖ μὲν ὁ ἐργάτης, οἰκοδομεῖται δὲ ὁ χορηγός· καὶ γλύφει μὲν ὁ γλυφεύς, γλύφεται δὲ ὁ δεσπότης· ζεύγνυσι μὲν ὁ ὑπηρετῶν, ζεύγνυται δὲ ὁ προστάσσων. B=

ζευγνύσθην] ζευγνύναι προσέτασσον. B=

283. * τετιηότι] περιλύπῳ. B=

285. ὄφρα λείψαντε] συλληπτικῶς· μόνος γὰρ σπένδει ὁ Πρίαμος. B=

292. ταχὺν ἄγγελον] "ἑόν" ἀγαθόν, οἱ δὲ τὸν αὐτοῦ. §. γυναικεῖον δὲ τὸ ἦθος τὸ ἐπὶ μαντείας καταφεύγειν, εἴ τι που περίφοβον σχοῖεν. A− B=

* ἐγκλιτέον τὴν "οἷ." A+

293. φίλτατος οἰωνῶν] ἢ ὅτι τῇ αὐτῇ ἡμέρᾳ αὐτῷ ἐγεννήθη, ἢ ὅτι ὁρμῶντι αὐτῷ ἐπὶ τὴν βασιλείαν ἐφάνη καὶ ἐνεφάνισεν αὐτῷ τὰ μέλλοντα· τινὲς δέ φασιν, ὅτε γεννηθέντα Δία εἰς οὐρανὸν B−

5. ἑτεροκλινήσῃ B || 6. χλωχῖνα || 8. ἐντελεσιουργούς || νωταφόρον || 10. ἱππείοις ἐν ἔντεσσιν vel ἔντεσι μέτρα Pindari codd. || μεταΐσσων pro μέτρα B || 15. δὲ Bekker: καὶ || εὗρον coni. Bergk || inclusa del. Hartung || 26. ἑόν scripsi: ἐόν || 27. περίφοβον B: περίφοιβον

Digitized by Google

ἐκόμισεν· οἱ δέ, ὅτι Μέροψ ὁ Κῷος ἀπαύστως ἐπένθει τὴν γυναῖκα· ξενίσας δὲ τὴν Ἥραν μετεβλήθη καὶ συμπάρεστιν ἀεὶ τῷ Διί.

B= 297. οὐκ ἂν—ἔπειτα ἐποτρύνουσα] ἐξ ἀντικειμένου φησίν, ὅτι κωλύσω σε.

B= 300. οὐ μέν τοι—ἀπειθήσω] πείθεται Πρίαμος οὐκ ἀπιστῶν Ἴριδι, ἀλλὰ θαρρῦναι αὐτὴν θέλων.

B+ 303. ὕδωρ—ἀκήρατον] ἀθόλωτον χέρνιβον.

A+B~ 304. ⟨χέρνιβον⟩] τινὲς ἀθετοῦσιν, ὅτι τὸ χειρόνιπτρον νῦν δηλοῖ· ἀεὶ δὲ τὸ ὕδωρ παρὰ τῷ ποιητῇ.

χέρνιβον ἀμφίπολος πρόχοόν θ' ἅμα χερσὶν ἔχουσα] ἡ Μασσαλιωτικὴ "ταμίη μετὰ χερσὶν ἔχουσα" διὰ τὸ μὴ εἰρῆσθαι νῦν συνήθως αὐτῷ ἐπὶ τῶν ὑδάτων ἀλλ' ἐπὶ τοῦ σκεύους τὰ "χέρνιβα," εἰ μὴ ἀρσενικῶς ἐνθάδε γραπτέον "χέρνιβον ἀμφίπολος."

B= 306. μέσῳ ἕρκεϊ] ἐν μέσῳ τῆς αὐλῆς ἑρκ⟨ε⟩ίου Διὸς ἦν βωμός, πρὸς ὃν καταφυγὼν ἔσφακται Πρίαμος.

A+ * μέσῳ] λείπει ἡ ἐν.

B= 309. δός με—φίλον ἐλθεῖν] ὡς μὴ ἐχθρῶς προσδεχθῆναι. §. "ἐλεεινόν" δὲ ἐλέου ἄξιον.

B= καὶ ὡς ἐχθρὸς μὲν τῆς ἔχθρας αἰτεῖται λύσιν, ὡς δὲ δυστυχὴς ἐλέου τυχεῖν.

B− ἐς Ἀχιλλῆος] πρὸς Ἀχιλλέα. ἤμελλε γὰρ αὐτὸν ἔνδον εὑρήσειν.

B− 315. αὐτίκα δ' αἰετὸν ἧκε] ὁ μὲν Ἀχιλλεύς ἐστιν ἐπὶ τοῦ κρείττονος προσχήματος. πιθανῶς δὲ οὐδὲν ἔχει ὁ ἀετός, ὅπως σημαίνῃ Πριάμῳ ὅτι οὐ μὴ συλληφθῇ ὑπὸ τῶν φυλάκων. μέλας δὲ ὢν τῆς εἰσόδου ἐδήλου τὸ λαθρίδιον, ὁ δὲ θηρητὴρ τὸ ἐπιτευκτικόν. οὐδὲν δὲ κτείνων οὐδὲ ἁρπάζων φαίνεται ἀλλ' ἥμερος, τοιοῦτον δηλῶν ἔσεσθαι Ἀχιλλέα.

B− τελειότατον πετεηνῶν] ἐπιτελεστικὸν εἰς ἃ ἂν ὀφθείη, ἢ τὸν ἀξιώματι ὑπερέχοντα, ὡσεὶ καὶ λέοντα ἔφη τελειότατον θηρῶν, τουτέστι βασιλικώτατον· ἢ τὸν αἰετῶν τελειότατον τὸν πύγαργόν φησιν.

B= 316. μόρφνον] ἀπὸ τοῦ μεμοιρῆσθαι περὶ τὸν φόνον ἢ μόρον

2. Ἥραν Robert Erat. Cat. 233: ῥέαν ‖ 8. seiunxi scholion a l. 7 et lemma supplevi ex textu codicis ‖ 10. χέρνιβα legit scholiasta ‖ 12. αὐτῷ Bekker: -ὸ ‖ 14. ἐν τῷ μέσῳ τῆς αὐλῆς B, ἐν μεσάταις ταῖς αὐλαῖς ‖ supplevi ex B ‖ 24. ὅτι οὐ B: ὅπως ‖ συλληφθῇ B: -είη ‖ ὢν B: ἦν ‖ 28. ὃ ἂν B ‖ 29. ἐν ante ἀξ. omisi ut B ‖ 30. ἢ τῶν ‖ αἰετῶν scripsi: αἰτιῶν ‖ πύγαργον scripsi cf. B²: πύργαμον ‖ 31. μεμοιρῆσθαι B: μεμαρῆσθαι

Digitized by Google

ἐπάγειν· οἱ δὲ εὔμορφον, οἱ δὲ μάρπτοντα. §. "περκνόν" δὲ μέλανα ὡς βότρυν, ὃν καὶ περκάζειν φασίν. B=

* μόρφνον] μόρφνος ὡς ὕπνος. A+

περκνός ὡς πυκνός. A+

317, 8. ὑψορόφοιο θύρη ⟨θαλάμοιο—ἀνέρος ἀφνειοῖο⟩] τῶν γὰρ τοιούτων καὶ μέγισται αἱ θύραι, μάλιστα καὶ φιλοτίμου ὄντος τοῦ κατασκευάσαντος. B=

319. πτερά] καταχρηστικῶς αἱ πτέρυγες. κυρίως δὲ πτερά εἰσι τὰ πτίλα. AB=

εἴσατο δέ σφιν] ἐφάνη. B=

323. αἰθούσας τινὲς τὰ τῆς αὐλῆς τειχία· Σικελοὶ δὲ τὴν αὔλειον θύραν, Κύπριοι δὲ παστάδα ἀμφίθυρον. B−

αἰθούσης ἐριδούπου] μεγαλοήχου· καὶ ἀλλαχοῦ "κατὰ δώματα ἠχήεντα" (Od. 4. 72).

326. ἐφέπων] ἔμπειρος γὰρ ἡνιοχείας.

330. οἱ μέν] τούτῳ συναπτέον τὸ "παῖδες καὶ γαμβροί" (331).

332. προφανέντε] "καταβάντε" ἡ Χία. A=

334. Ἑρμεία· σοὶ γάρ] ἀπήλλαξεν ὁ ποιητὴς ζητήσεως ἡμᾶς, προσθεὶς τὴν αἰτίαν διὰ τί νῦν τῷ Ἑρμῇ χρῆται διακόνῳ καὶ οὐ τῇ Ἴριδι· οὐ γὰρ ἀγγελίας μόνης ἔδει ψιλῆς, ὅπου γε οὐδὲ ἐκ τοῦ προφανοῦς ἑαυτὸν ὁμολογεῖ Πριάμῳ, ἀλλ' ἐπὶ τῷ φιλοποιῆσαι αὐτὸν Ἀχιλλεῖ καὶ κλέψαι τὴν πορείαν. διὸ καὶ τὴν ῥάβδον ἔχει, ὥστε κοιμίσαι τοὺς φύλακας (445) καὶ ἐπεγεῖραι τὸν Πρίαμον (682)· ἐν δὲ Ὀδυσσείᾳ (5. 47, 24. 3) ἀλόγως. B−

335. ἑτα⟨ι⟩ρίσσαι] συνεργῆσαι. οἱ δὲ συμπαραγενέσθαι· ὅθεν καὶ ἑταίρα ἡ συμπαραγινομένη ἄλλοτε ἄλλῳ εἰς μῖξιν. ἢ φιλο[ποιήσασθαι· πρὸς γὰρ τὸ] φίλον αὐτὸν ποιήσασθαι Ἀχιλλεῖ πέμπεται. B−

καί τ' ἔκλυες] τινὲς "καί τε κλύες," καὶ λείπειν φασὶ τὸ 'ἀεί,' ἀντὶ τοῦ [κλύεις].

337. ἴδῃ καὶ νοήσῃ ἐκ παραλλήλου. AB=

2. φησίν, Et. M. λέγουσιν ‖ 3, 4. coniuncta in A ‖ 4. περκνὸς pro lemmate scriptum ‖ 6. φιλοτιμουμένου τοῦ B ‖ 7. κατασκευάζοντος B ‖ 8. iteratur * αἱ πτέρυγες ‖ 11. αἰθούσας pro lemmate scriptum ‖ 24. ὀλίγως: corr. W, cf. Eust. ‖ 27. ποιήσασθαι nov. sec., cetera itidem evanida supplevi ex B ‖ 29. τε κλύες Ludwich: τ' ἔκλυες ‖ 30. evanida nov. sec. ‖ 31. ἴδῃ κ. ν. pro lemmate scriptum



Digitized by Google

AB— 338. Πηλείωνάδε] εἰς Πηλείωνα, ἀντὶ τοῦ πρὸς Πηλείωνα, ὁμοίως τῷ "εἰς Ἀγαμέμνονα δῖον ἄγον" (Il. 7. 312).

340. καλὰ πέδιλα] Ἀριστοτέλης αὐτὰ πτερωτὰ οἴεται, ψευδῶς.

A+ 341. ἀμβρόσια χρύσεια] ἀστερίσκοι παράκεινται, ὡς ἐνθένδε μετενηνεγμένων τῶν ἐν Ὀδυσσείᾳ (ι. 97).

343. εἵλετο δὲ ῥάβδον] ταύτην Ἀπόλλων αὐτῷ δέδωκεν, ὡς τὰς βοῦς ἐβουκόλει Ἀδμήτου, ὥς φησιν Φερεκύδης· καὶ οἱ μὲν παρὰ τὸ ῥᾳδίως βαδίζειν ἐκτείνουσιν, οἱ δὲ παρὰ τὸ ῥαπίζειν συστέλλουσιν, ὃ καὶ ἄμεινον· τὸ γὰρ ᾱ πρὸ τοῦ β̄ συστέλλεσθαι θέλει, εἰ μὴ κατὰ διάλεκτον ἐκ τροπῆς τοῦ η̄ εἴη.

B— τῇ τ' ἀνδρῶν ὄμματα θέλγει] ὕπνου γὰρ καὶ ἐγέρσεως δεσπόζει· ὁ γὰρ λόγος κηλεῖ τε καὶ ἀναπτεροῖ· καὶ τὴν εὐαρμοστοτάτην λύραν ἐξεῦρεν, ᾗ κηλεῖ τε καὶ κινεῖ τοὺς πολέμους.

A+B— 347. αἰσυητῆρι] οἱ μὲν ὄνομα ἡλικίας, οἱ δὲ ἐρρωμένῳ παρὰ τὴν εὔσοιαν, οἱ δὲ εὐδαίμονι, οἱ δὲ ἐπιτελεστικῷ παρὰ τὴν αἶσαν, οἱ δὲ εὐμοίρῳ καὶ σεμνῷ ἵνα ἐκπλήξῃ Πρίαμον, οἱ δὲ κοσμίῳ πρὸς τὸ μὴ δέξασθαι δῶρα παρὰ Πριάμου, οἱ δὲ κεκινημένῳ παρὰ τὸ ἀίσσειν, οἱ δὲ νομίῳ. Ἀρίσταρχος δὲ γράφει "αἰσυμνητῆρι," ὅ ἐστι βασιλεῖ κατὰ τὴν μορφὴν ὁμοιούμενος οἱονεὶ 'αἰσιονομητῆρι'· οἱ γὰρ βασιλεῖς τὸ αἴσιον ἑκάστῳ νέμουσιν. §. "κούρῳ" δέ, ὅπως

B= αἰδεσθῇ τὸ γῆρας Πριάμου.

AB+ 348. πρῶτον ὑπηνήτῃ] μεθόριον ἡλικίας ἀνδρὸς καὶ παιδός, ἁβρότερον μὲν ἢ κατ' ἄνδρα, γενναιότερον δὲ ἢ κατὰ παῖδα. περὶ τοὺς τοιούτους ἦν καὶ ὁ Σωκρατικὸς ἔρως (Plat. Prot. 309b). καὶ μύσταξ μὲν αἱ ἐπὶ τοῦ ἄνω χείλους τρίχες, τὸ δὲ κάτω πάππος, τὸ δὲ ἐξ ἀμφοῖν ὑπήνη, "καὶ μολύνων τὴν ὑπήνην" (Aristoph. Equ. 1286).

τῆς περ χαριεστάτη ἥβη] "χαριεστάτη" πρὸς τὰς πράξεις· ἢ μίξεως ἀντιποιουμένη· χάριν γὰρ ταύτην καὶ Πίνδαρος εἶπεν (? Scol. fr. 128).

B= 350. ὄφρα πίοιεν] διὰ γὰρ τὸ πένθος τοῖς κτήνεσιν οἶκοι ποτὸν οὐκ ἔδοσαν.

B= 351. ἐν ποταμῷ] ἀντὶ τῆς παρά.

3. fragm. editori ignotum ‖ post ψ. add. sec. οὐ ψευδῶς· πτερόεις γὰρ ὁ λόγος ‖ 8. ῥᾷον β. Eust. ‖ 9. β̄. Eust. : ῑ ‖ 10. διάλεκτον Bekker : διάμετρον ‖ τροπῆς ego conieceram, ἐκ τροπῆς W : ἐκτροπῇ ‖ 13. πόλεμον Eust., τοὺς πολεμίους ‖ 14. αἰσυντῆρι ‖ 23. ἢ—ἢ B: ἡ—ἡ ‖ 25. τρ. τὸ etiam A : τρ. τοῦ B ‖ τὸ alt. etiam A : αἱ B ‖ 28. ἀντιποιουμένης ‖ 31. ἔδοσαν B : ἐδίδοσαν

Digitized by Google

δὴ γὰρ καὶ ἐπὶ κνέφας ἤλυθε] ἀόριστος ἀντὶ τοῦ ὑπερσυντελικοῦ.

352. ἐξ ἀγχιμόλοιο] ἐκ τοῦ σύνεγγυς γεγονότα.

ἐφράσ⟨σ⟩ατο] ἔγνω συνεῖδε. Πρίαμος δὲ ὅλος ἐστὶ περὶ τὸ B– πῶς παρακαλέσει Ἀχιλλέα· διὸ οὐχ ὁρᾷ. ὁ δὲ κῆρυξ μᾶλλον τῆς ἰδίας σωτηρίας ἢ τῆς τοῦ νεκροῦ λυτρώσεως φροντίζει· τῷ δὴ τοιούτῳ ἤθει καὶ τὰ ἑξῆς ἀκολουθεῖ· φεύγειν γοῦν συμβουλεύει.

354. φραδέος] συνετοῦ· ὅθεν καὶ "ἀφραδέες" (Od. 11. 476) οἱ B= ἀσύνετοι.

355. διαρραίσεσθαι] ἀντὶ τοῦ διαρραισθήσεσθαι. §. ἴδιον δὲ τῶν B= βαρβάρων αἰεὶ τὰ χείρω προσδοκᾶν καὶ πρὸς φυγὴν ἑτοίμους εἶναι. B–

356. φεύγωμεν ἐφ' ἵππων] καταλείψαντες αὐτῷ τὰ τῆς ἀπήνης, B= ἵνα σχολῇ τῇ περὶ αὐτὰ ὑπερίδῃ ἡμῶν.

ἤ μιν ἔπειτα] δεῖ ἢ ἐν δευτέρᾳ τάξει τοῦτο γιγνέσθω.

358. σὺν δὲ γέροντι νόος χύτο] ἄκρως μεμέρισται ὁ λόγος περὶ B– μὲν τοῦ φυγεῖν καὶ τοῦ δεῖν ἱκετεύειν τῷ ταπεινοτέρῳ προσώπῳ, τὸν δὲ Πρίαμον συγχυθῆναι μὲν τὸν νοῦν καὶ ὀρθὰς αὐτῷ τὰς τρίχας στῆναι καὶ ἐκπλαγῆναι οὐ μέντοι ἀγενές τι προϊέμενον πεποίηκεν· τὴν δὲ ταραχὴν τῆς διανοίας μεμίμηται διὰ τοῦ ὑπερβατοῦ.

361. χεῖρα—ἑλών] πρὸς πίστιν ἡ δεξιά.

362. πῇ πάτερ] "πῇ" εἰς τόπον καὶ τὸ ποῖ, τὸ δὲ πόθι ἐν τόπῳ, τὸ δὲ ποῦ ἄμφω.

πάτερ] δεύτερον τῆς δεξιᾶς αὐτὸν τοῦτο θαρσύνει.

363. νύκτα δι' ἀμβροσίην] διὰ τῆς νυκτός.

364. οὐδὲ σύ γ' ἔδδεισας] αὔξει τὴν χάριν τῷ καιρῷ, τῷ τῶν πολεμίων εὐεπηρεάστῳ, τῷ ἰδίῳ δυνατῷ, ὅτι ἐκ τοσούτων αὐτὸν δεινῶν ῥύεται.

365. ἀνάρσιοι] ἐναντίοι τῶν ἐριήρων.

367. ὀνείατα] χρήματα, παρὰ τὴν ὄνησιν. οἱ δὲ γλωσσογράφοι A+B– βρώματα. καὶ "ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα" (Il. 9. 91 al.).

τίς ἂν δή τοι νόος εἴη] τίνα ἕξεις νοῦν; τί ἐργάσῃ; §. τριὰς B= ἀγαθῶν ἀπὸ ψυχῆς σώματος τύχης.

369. ἄνδρ' ἐπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ] παροιμιακὸς γέγονεν ὁ στίχος.

1. τοῦ ὑ (π superscr.) (sic) ‖ 12. ἵν' ἀσχοληθῇ π. B ‖ 13. pro δεῖ coni. W δηλονότι ‖ 15. φεύγειν B ‖ 15–18. τῷ δὲ Πριάμῳ—πεποιηκέναι B ‖ 17. ἀγενέσστι ‖ 31. σώματος expunctum



Digitized by Google

A + 370. *οὐδέν σε ῥέξω κακά*] *πλεονάζει τὸ* “ *δεν,*” *ὡς τὸ* “ *ἔργον δ' οὐδὲν ὄνειδος*” (Hes. Opp. 311).

B − 371. *φίλῳ δέ σε πατρὶ ἐίσκω*] *διδάσκει φιλοπάτορας εἶναι καὶ σῴζειν τοὺς ἡλικιώτας τῶν πατέρων· καὶ* “ *μνῆσαι πατρὸς σεῖο*” (486). *καὶ* Πλάτων (de Rep. V c. 7 sqq.) *κοινὰς εἶναι τὰς γυναῖκας ἐκέλευσεν ὅπως οἱ γέροντες ὡς πατέρες τιμῶνται.*

374. *ὑπερέσχεθε*] *ὑπερμαχεῖ.*

A = 376. *οἷος δὴ σὺ δέμας*] *οἱ γὰρ εὔμορφοι βασιλικοί τε καὶ θεῶν ἐνομίζοντο παῖδες.*

AB − 377. *ἔξεσσι*] *ἐκγέγονας ἢ ἐκ μακάρων ἐσσί. ἐκ γὰρ τῆς ὄψεως στοχάζεται,* “ *βασιλῆι γὰρ ἀνδρὶ ἔοικεν*” (Il. 3. 170)· *ἢ πῶς οὐ δεῖ τοιούτου παιδὸς τοὺς γονέας ἀνακαλεῖν, ὥς που φησί,* “ *τρὶς μάκαρες μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ*” (Od. 6. 154);

B = 381. *ἠέ πῃ ἐκπέμπεις*] *τοῦτο γὰρ ἔθος τοῖς πολεμουμένοις, ὥς που καὶ* Πρίαμος Πολυμήστορι Πολύδωρον *ἐξέθηκεν* (Eur. Hec. 10 sqq.).

B = 385. *οὐ μὲν γάρ τι μάχης ἐπεδεύετ'* Ἀχαιῶν] *οὐχ ὑστέριζε τῶν* Ἑλλήνων.

A + B − 388. *ἀπότμου παιδὸς ἔνισπες*] *ὡς ἔδραμες· ὁριστικὸν γάρ ἐστι τοῦτο, ἀπὸ τοῦ ἤνισπες· τὸ δὲ παροξυνόμενον προστακτικόν ἐστιν,* “ *ὦ* Νέστορ Νηληιάδη, *σὺ δ' ἀληθὲς ἐνίσπες*” (Od. 3. 247), *ὡς* “ *ἐπίθες*” (Od. 22. 157)· *τὸ μέντοι ἄνευ τοῦ* ς̄ *προστακτικὸν προπαροξύνεται,* “ *νημερτές μοι ἔνισπε*” (Od. 4. 642).

390. *πειρᾷ ἐμεῖο, γεραιέ*] *πειρώμενός μου ἐρωτᾷς περὶ* Ἕκτορος. *καὶ εἴρεαι* Ἕκτορα *δῖον*] *ὡς* “ *εἰρόμεναι παῖδάς τε κασιγνήτους τε*” (Il. 6. 239).

A + B = 394. *θαυμάζομεν*] *ἀντὶ τοῦ μετ' ἐκπλήξεως ἐθεώμεθα.*

A = 395. *κεχολωμένος* Ἀτρείωνι] *ὅτι τὴν μῆνιν διὰ τοῦ χόλος ἀντέφρασεν.*

B − 397. Μυρμιδόνων *δ' ἔξειμι*] *οὐκ ἀναστρέφεται ἡ* “ *ἐξ*” *ὡς μονοσύλλαβος· τὸ γὰρ ἑξῆς* ‘ *ἐκ* Μυρμιδόνων.’

B = 398. *ἀφνειός*] *ἀναγκαίως, ἵνα μὴ ὡς ἄδοξος καὶ πένης εἰς τὴν*

B ≟ *τοῦ ἀδικεῖν ὑποψίαν κατενεχθῇ.* §. *τὸ δὲ* “ *γέρων,*” *ὅτι ἐλεήσει ὡς ἐοικότα τῷ πατρί.*

399. *ὅτι τὸ ἕβδομον τῶν* Ἑλλήνων *ἐστράτευσεν εἰς* Τροίαν.

11. *βασιλεῖ* ‖ 13. *σοί τε* ‖ 15. ‘debebat *πολὺν χρυσὸν μετὰ* Πολυδώρου’ W ‖ 18. *ἔδρομες* ‖ 21. ς̄ B: ῑ ‖ 22. cf. ad l. 34 ‖ 34. schol. lineae 22 adhaeret: distinxi et traieci

Digitized by Google

ἓξ δέ οἱ υἷες ἔασιν, ἐγὼ δέ τοι ἕβδομός εἰμι] ἀπὸ τούτου στοχάζονται, ὅτι τὸ ἕβδομον τῶν Ἑλλήνων ἧκεν εἰς Τροίαν, κλήρῳ λαχόν.

400. τῶν μέτα παλλόμενος ⟨κλήρῳ⟩] ἀναστρεπτέον τὴν "μετά." §. γράφεται "τοῖσι δὲ πρῶτον ὑπηνήτης·" ἔστι τοίνυν 'δεκαέτης ὢν ἐκλήρωσα.' AB=

401. νῦν δ' ἦλθον πεδίονδε] κατασκοπήσων μή τις ἐξ ὑμῶν ᾖ ἐνέδρα, ὡς ἑταῖρος ὢν Ἀχιλλέως ὃς ἄρχει τῆς ὑπαίθρου στρατιᾶς. B=

406. εἰ μὲν δὴ θεράπων] πρὸ πάντων πεύθεται περὶ τοῦ σώματος· ἄτοπον γὰρ ἀπιέναι, τοῦ σώματος οὐκέτ' ὄντος. B=

409. μελεϊστί] τινὲς οἰκτρῶς, οὐκ εὖ· μέλεον γὰρ ὁ ποιητὴς τὸ μάταιόν φησιν, οὐκ οἰκτρόν· ἔστιν οὖν κατὰ μέλος. B=

411. οὔ πω τόν γε κύνες φάγον] παρέλκει τὸ "πώ·" οὐδὲ γὰρ μέλλουσι φαγεῖν. B=

413. αὔτως ἐν κλισίῃσι] ὁμοίως τῷ ὅτε μετήλλαξεν.

ἐν κλισίῃσι] ἐν τῷ περιβόλῳ τοῦ ναυστάθμου. B=

414. οὐδέ μιν εὐλαί] πάντα μὲν διεξέρχεται ὅσα συμβαίνει περὶ τοὺς χρονίους νεκρούς, οὐδὲν δὲ τούτων φησὶ πεπονθέναι τὸν Ἕκτορα, παραμυθούμενος τὸν γέροντα· τί μέντοι τῆς αἰτίας οὐ παρῆκεν; κἂν τούτῳ ἀξιοπιστίαν τῷ λόγῳ προσάπτων. B—

418. θηεῖο] δι' ὄψεως θαυμάσειας, ὡς καὶ τὸ "οἳ καὶ θηήσαντο" (Il. 22. 370)· ἔστι δὲ διὰ τοῦ η· οἱ δὲ "θειοῖο."

419. ἐερσήεις] δεδροσισμένος, ὑγρότητα ἔχων, οὐ κατεσκελετευμένος. τοῦτο γὰρ διὰ τὴν νεφέλην Ἀπόλλων⟨ος⟩ (19), ὥς που φησὶν "ἐπὶ δὲ νεφέλην ἕσσαντο—στιλπναὶ δ' ἀπέπιπτον ἐέρσαι" (Il. 14. 350, 1). B—

420. οὐδέ ποθι ⟨μιαρός⟩] οὐδὲ ἔν τινι μέρει μύσος ἔχων. B=

σὺν δ' ἕλκεα πάντα μέμυκεν] παράδοξον· τὰ μὲν γὰρ τῶν ζώντων ἕλκη μετὰ θάνατον μύει, τὰ δὲ μετὰ θάνατον γινόμενα σήπεται. §. ἀδύνατον νεκρῶν τραύματα μύειν, ὥς φησιν Ἀριστοτέλης (fr. 167 R.) εἰρηκέναι Ὅμηρον "μῦσεν δὲ περὶ βροτόεσσ' ὠτειλή·" τοῦτο δὲ τὸ ἡμιστίχιον οὐδὲ φέρεται.

421. χαλκὸν ἔλασσαν] "οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη" (Il. 22. 371).

423. καὶ νέκυός περ ἐόντος] ὡς περισσὸς ὁ στίχος ἀθετεῖται.

2. λαχόν Bekker: λαχών ‖ 4. δ' ἑκάστης ὢν: corr. Bekker ‖ 5. ἐκλήρωσα Bekker: -εν ‖ 6. εἴη ut B ‖ 9. κατιέναι coni. W ‖ 20, 21. θείοιο ‖ 30. βροτόεσσ

Digitized by Google

ἐπεί σφι φίλος] οὐχ Ὁμηρικῶς κεῖται ἡ ἀντωνυμία· διὸ καὶ προηθετεῖτο.

B- 425. ἦ ῥ' ἀγαθόν] λείπει 'ἦν.'

B= δῶρα διδοῦναι] ἐπλεόνασε τὸ $\bar{υ}$ διὰ τὸ μέτρον· ἢ τὸ διδόμεναι καθ' ὑποστολὴν τοῦ $\bar{μ}$ συνήλειψεν.

B= 426. εἴ ποτ' ἔην γε] καθ' ὃν ἦν χρόνον.

B= 428. τῷ οἱ] τινὲς "τῶν οἱ" τῶν θυσιῶν δηλονότι.

καὶ ἐν θανάτοιό περ αἴσῃ] καὶ Θεόπομπός φησιν Ἀλέξανδρον Φεραῖον Διόνυσον τὸν ἐν Παγασαῖς, ὃς ἐκαλεῖτο Πελάγιος, εὐσεβεῖν διαφόρως· καταποντωθέντος δὲ Ἀλεξάνδρου Διόνυσος ὄναρ ἐπιστάς τινι τῶν ἁλιέων ἐκέλευσεν ἀναλαβεῖν τὸν φορμὸν τῶν ὀστῶν· ὁ δὲ ἀπελθὼν ἐς Κραννῶνα τοῖς οἰκείοις ἀπέδωκεν· οἱ δὲ ἔθαψαν.

B= 429. ἄλεισον] ποτήριον δίδωσιν, ὡς εὐφρανθεὶς παρ' αὐτοῦ τῷ

B= περὶ τοῦ παιδὸς λόγῳ. §. "καλόν" δέ, ἵνα πείσῃ τὸν λαμβάνοντα.

B- 434. ὅς με κέλῃ] οὐ δι' ὑπερηφανίαν ἀπωθεῖται τὴν δόσιν ὡς πλούσιος, ἀλλὰ διὰ τὸ δέος Ἀχιλλέως· ἀπροφασίστως γὰρ ἀπωθεῖσθαι τὴν χάριν ἄτοπον καὶ δωροδοκεῖν θεῷ ⟨ἀτοπώτερον⟩· ἄλλως τε καὶ παραιρεῖσθαι ἔμελλε τὸ μέγιστον τῶν κομιζομένων Ἀχιλλεῖ· ἀδωροδοκήτως δὲ ὁδηγήσειν αὐτόν φησι διὰ τὸ "φίλῳ δέ σε πατρὶ ἐίσκω" (371).

B- παρὲξ Ἀχιλῆα] ἐκτὸς Ἀχιλλέως ἢ χωρίς, ὡς τὸ "μή με παρὲξ ἄγε νῆα" (Od. 15. 200) καὶ "παρὲξ ἅλα φῦκος ἔχευαν" (Il. 9. 7).

B+ 435. δείδοικα καὶ αἰδέομαι] "ἵνα περ δέος, ἔνθα καὶ αἰδώς" (Cypr. fr. 20 K.).

B= 436. συλεύειν] ἀληθῶς, εἰ τῶν ἐκείνῳ φερομένων ὑφῃρεῖτο.

437. Ἄργος] τὸ Θεσσαλικόν. §. οὐ μόνον ἄχρι τῆς σκηνῆς

B= Ἀχιλλέως, ἀλλὰ καὶ τῆς πατρίδος αὐτοῦ.

438. ἢ πεζός] ὑπερβολή· ἢ ἀντὶ τοῦ 'καὶ ἐν νηί, πῇ δὲ καὶ πεζός' ἢ ὡς ἂν εἴποις 'πῇ δὲ καὶ πετόμενος, οὐ μόνον συμπλέων.'

439. * ὀνοσσάμενος] εὐτελίσας.

B= 440. καὶ ἀναΐξας—ἅρμα] αἴξας ἀνὰ τὸ ἅρμα καὶ τοὺς ἵππους.

444. οἱ δὲ νέον περὶ δόρπα] καὶ πῶς ἄνω (363) Ἑρμῆς φησι "νύκτα δι' ἀμβροσίην;" αὔξειν θέλων τὴν χάριν.

2. προηθέτητο coni. W ‖ 5. $\bar{μ}$ B: $\bar{ν}$ ‖ συνήλειψεν B: συνείληφεν ‖ 7. τῶν in lemmate ‖ 8. cf. Hermae Berol. vol. XXIII p. 70 ‖ 17. supplevi ex B ‖ 17, 18. παραινεῖσθαι, cf. l. 25 ‖ 25. ἀληθῶς B: -ῆς ‖ τι post εἰ addit B

Digitized by Google

*ἄλλως: οἱ δὲ νέον] ὡς "κεῖνος γὰρ νέον ἄλλοθεν εἰλήλουθεν"* (Od. 3. 318) *καὶ "θήσειν νέον ἡβώωντα"* (Il. 9. 446).

*δόρπα] ὡς λύχνα. τινὲς δὲ ἀπὸ τοῦ δρόψ, κακῶς.*

446. *ὦιξε θύρας καὶ ἀπῶσεν ὀχῆας] ἤλλαξε τὴν τάξιν.*

*ὤιξε θύρας] πύλας· οἱ μὲν παραπυλίδα, οἱ δὲ τὴν ἱππήλατον ἐξ ἀριστερῶν τοῦ ναυστάθμου.*

450. *δοῦρ' ἐλάτης] κλάδους ἐλάτης.* B=

451. *λαχνήεντ' ὄροφον] τινὲς ὀξυτόνως. ἔστι δὲ εἶδος καλάμου.* B+ *ἄλλως: λαχνήεντα] τινὲς δασύσκιον.*

452. *ἀμφὶ δέ οἱ μεγάλην αὐλήν] περὶ τὴν σκηνήν.* B=

453. *ἐπιβλής] ὡς προβλής. §. μοχλὸς δέ ἐστιν ἐπιβαλλόμενος* B= *ἀπὸ τοίχου εἰς τοῖχον.* B=

454. *ἐπιρρήσεσκον] ἐπέκλειον, ἀπὸ τοῦ γινομένου ⟨κατὰ⟩ τὴν* B= *κλεῖ⟨σι⟩ν ἦχον.*

* *ἐπιρρήσεσκον] οὕτω, δι' ἑνὸς σ̄.*

455. *κληῖδα θυράων] τὸν μοχλόν· τὰ γὰρ συνέχοντα ἐπικεκλεισ-* B– *μένην θύραν κληῖδας καλεῖν εἴωθεν· καὶ ἐν Ὀδυσσείᾳ τὸ κλεῖθρον οὕτως ὠνόμασεν "ἐπὶ δὲ κληῖδ' ἐτάνυσσεν ἱμάντι"* (Od. 1. 442).

456. *Ἀχιλεὺς δ' ἄρ' ἐπιρρήσεσκε καὶ οἶος] μεγάλην τινὰ τὴν* B= *Ἀχιλλέως ὑπεροχὴν ἐμφανίζει, εἴγε ὁ Διομήδης "χερμάδιον λάβε χειρὶ—ὃ οὐ δύο ἄνδρε φέροιεν, οἷοι νῦν βροτοί εἰσι"* (Il. 5. 302–4), *ὁ δὲ Ἀχιλλεὺς ὃν τρεῖς Ἕλληνες ἀνέῳγον τοῦτον μόνος ἀνέῳγεν. ὡς ἔοικεν οὖν, ἑξαπλάσιον τῶν νῦν ἐδύνατο, εἴγε οἱ μὲν κατὰ τοὺς αὐτοῦ χρόνους πρὸς δύο τῶν νῦν ἰσχύουσιν, αὐτὸς δὲ τῶν τότε πρὸς τρεῖς.*

*ἐπι⟨ρ⟩ρήσεσκε] προσδεκτέον, ὅτι καὶ ἤνοιγεν.* B=

458. *ἐς δ' ἄγαγεν] ἐπὶ ἀψύχων τὸ ἄγειν, εἰ μὴ ἄρα ἐπὶ τῇ ἁμάξῃ φησίν.*

460. *ἤτοι ἐγὼ θεός] ἀναγκαίως ἑαυτὸν ἐμφανίζει ἀπαλλαττό-* B= *μενος, ἵνα εἰς τὸ ἑξῆς εὐθαρσέστερον καταστήσῃ. τὸ γὰρ παρεῖναι τοῖς οἴκτοις καὶ ἐσθίουσιν αὐτοῖς τὸν θεὸν οὐκ εὐπρεπές· ἄλλως τε ὑπηνήτης ὢν ὑπόνοιαν ἐπιβουλῆς παρέσχεν ἂν Ἀχιλλεῖ.*

*ἄμβροτος] ὁ μὴ ἔχων βρότον ὅ ἐστιν αἷμα· "ἀναίμονές εἰσι καὶ* B+

1. *ἐκεῖνος* ‖ 2. *ἡβώωντα* etiam schol. Eur. Andr. 553 ‖ 4. *ὀχῆα* textus ‖ 5. *παρὰ πυλίδα* ‖ 14. supplevi ex B ‖ 15. σ̄ scripsi: ρ̄ ‖ 16. iteratur * *τὸν μοχλόν* ‖ 19. *Ἀχιλλεὺς* ‖ *ἐπιρρήσεσκε* B: *-ασκε* ‖ 20. *ἐμφαίνει* B ‖ 21. *ὃν* B ‖ 25. schol. post l. 14 iteratur *ἄλλως ἐπιρρήσεσκον* lemmate praefixo ‖ 29. *δὲ* pro *γὰρ* B

Digitized by Google

ἀθάνατοι καλέονται" (Il. 5. 342). ἀεὶ δὲ τὸ βροτός συντιθέμενον τῷ μ̄ πλεονάζει πλὴν τοῦ "νὺξ ἀβρότη" (Il. 14. 78) καὶ "ἀβροτάξομεν" (Il. 10. 65).

B= 462. πάλιν εἴσομαι] εἰς τοὐπίσω.

462, 3. οὐδ' Ἀχιλῆος ὀφθαλμοὺς εἴσειμι] ἀντὶ τοῦ οὐχ ἥξω εἰς οἶκον Ἀχιλλεῖ.

469. Πρίαμος ⟨δ'⟩ ἐξ ἵππων ἆλτο] ἄμεινον "βαῖνε" γράφεται ἐπὶ τοῦ γέροντος. ἡ τῆς περιστάσεως οἰκεῖον τὸ "ἆλτο."

B= 471. ἰθὺς κίεν οἴκου] εὐθεῖαν ὡς ἐπὶ τὸν οἶκον.

472. ἐν δέ μιν αὐτόν] τὸ "μίν" κοινόν. τινὲς δὲ τὸ "ἐν" ἀντὶ τοῦ ἔνδον, ὡς "Ἴλιον εἴσω" (Il. 18. 439) ἀντὶ τοῦ εἰς.

B= 474. Ἄλκιμος] κατὰ μεταπλασμὸν ὁ Ἀλκιμέδων, ὡς Μελάνθιος καὶ Μελανθεύς.

476. ἔσθων καὶ πίνων] τὸ 'ἐσθίων' οὐχ ὑποπίπτει μέτρῳ ἡρωικῷ· φησὶ δὲ καὶ "ἔσθειν καὶ πίνειν" (Od. 5. 197) καὶ "ἔσθοντες κρέα πολλά" (Il. 8. 231). ∮. εἰ δὲ εὐτελεῖς οἱ στίχοι, καὶ ἄλλοι· "τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ" (Il. 18. 385)· "οὐδέ κεν ἀμβαίη βροτὸς ἀνήρ, οὐ καταβαίη" (Od. 12. 77)· "ἡ δὲ τετάρτη ὕδωρ ἐφόρει" (Od. 10. 358)· "τῷ δ' ἄρα πέμπτῳ πέμπ' ἀπὸ νήσου" (Od. 5. 263)· "ἵππους δὲ ξανθὰς ἑκατόν" (Il. 11. 680). "ἔνθα μὲν οὔτε βοῶν" (Od. 10. 98). οὗτοι γὰρ πάντες, ὡς Σέλευκος, ἔμμετρον λαλιὰν ἔχουσιν.

ἔτι καὶ παρέκειτο τράπεζα] ἀθετεῖται· οὐ γὰρ ἀφῃροῦντο αἱ τράπεζαι παρ' αὐτοῖς, ἀλλὰ μέχρι ⟨ἂν⟩ ἀναστῶσιν ἔκειντο· φησὶ γὰρ "αἱ δ' ἀπὸ μὲν σῖτον πολὺν ᾕρεον ἠδὲ τραπέζας" (Od. 19. 61). ἢ τούτου ὡς πενθοῦντος ᾕρετο.

477. Πρίαμος μέγας] οὐ πρὸς ἔπαινον τὸ "μέγας," ἀλλ' ὅτι καὶ μέγας ὢν ἔλαθεν.

B− 480. ὡς δ' ὅταν ἄνδρα] ὡς εἰ φυγάς τις φονεὺς πάντας λαθὼν εἰσέρχεται καθαρθησόμενος καὶ παρακάθηται τῇ ἑστίᾳ καὶ πάντες ὁρῶντες καταπλήσσονται. ἴσως δὲ ἀναχρονισμός ἐστιν ὡς καὶ τὸ "ἴαχε σάλπιγξ" (Il. 18. 219). τὸν δὲ καθαίροντα καὶ ἁγνίτην ἔλεγον· ἡ δὲ παραβολὴ πρὸς τὸ αἰφνίδιον τῆς εἰσόδου.

B= 484. ἐς ἀλλήλους δὲ ἴδοντο] τὸ παράδοξον τῆς εἰσόδου ἔδειξε διὰ τῶν ἀλλήλοις διανευόντων πόθεν καὶ τίς ὁ ξένος.

5. Ἀχιλλῆος ‖ 6. οἶκτον cf. l. 9; ὄψιν coni. W ‖ 24. αὐτοῖς W: αὐτῶν

Digitized by Google

485. τὸν καὶ λισσόμενος] περισσὸς ὁ "καί·" τὸ δὲ ἑξῆς 'πρὸς τόν.' B=

486. μνῆσαι πατρός] πολεμίῳ διαλεγόμενος καὶ τῶν παίδων B= αὐθέντῃ καὶ μισοῦντι ἐξαιρέτως αὐτόν τε καὶ τοὺς ἐκείνου διὰ τὴν τοῦ φίλου ἀποβολὴν ἄλλην ἀρχὴν οἰκειοτέραν οὐκ εἶχεν ἢ τὴν τοῦ πατρὸς ὑπόμνησιν.

πατρὸς σοῖο] Ζηνόδοτος "σεῖο," κακῶς.

θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ] ἀποτρέπει τῆς περὶ τὸν ἱκέτην ἀτιμίας· B+ "αἰδοῖός τε γάρ ἐστι καὶ ἀθανάτοισι θεοῖσιν, ἀνδρῶν ὅστις ἵκηται ἀλώμενος" (Od. 5. 447).

487. τηλίκου, ὥσπερ ἐγώ] ἔδει ἐπαγαγεῖν 'ἡλίκος ἐγώ.' ἔστι δὲ ὡς τὸ "ὅσσον Φαίηκες περὶ πάντων ἴδριες—ὣς δὲ γυναῖκες ἱστῷ τεχνῆσ⟨σ⟩αι" (Od. 7. 108–110)· τινὲς δὲ λείπειν φασὶ τὸν καί, ἵν' ᾖ 'ὥσπερ καὶ ἡμεῖς.'

ὥσπερ ἐγώ] Ζηνόδοτος πρεσβύτερον Πηλέα φησίν, εἴγε συστρατεύσας Πηλεῖ Ἡρακλῆς ἀπέδοτο Ἡσιόνῃ μικρὸν ὄντα τὸν Πρίαμον.

488. καὶ μέν που κεῖνον] ἢ παρὰ τῶν Εὐρωπαίων τοῦτο μαθών φησιν, ἢ οἰκτιζόμενος· λέγει δὲ Ἄκαστον καὶ τοὺς υἱοὺς Ἄρχανδρον καὶ Ἀρχιτέλην· ἴσως δὲ παρὰ Ἀστεροπαίου πέπυσται νεωστὶ ἥκοντος ἐκ Παιονίας (Il. 17. 350), ἥτις ἐστὶ πλησίον Θετταλίας.

* καὶ μέν] ὁ "μέν" ἀντὶ τοῦ μήν.

ἀμφὶς ἐόντες] τινὲς "ἐόντος" ἀντὶ τοῦ χωρὶς σοῦ ὄντος. §. B= ἐντέχνως δὲ πρὸ τῶν ἰδίων τῶν τοῦ Πηλέως ἐμνήσθη, ὅπως αὐτὸν ἡ B= τῶν οἰκείων κακῶν οἰκτίσῃ μνήμη.

490. σέθεν ζώοντος] ηὔξησε τὸν ἔλεον, εἴγε ὃ μὲν τὸν ἕνα ἔχει, B= ὃ δὲ ⟨τῶν⟩ ν' ἀφῄρηται.

495. * πεντήκοντα] Ἑλ⟨λ⟩άνικος νς'.

496. ἐννεακαίδεκα] πιθανὸν μιᾷ τεκεῖν ιθ', οὐχ ὡς Βακχυλίδης (fr. 59 B.) ν' τῆς Θεανοῦς ὑπογράφει παῖδας.

ἄλλως: ἐννεακαίδεκα] λέγοντος Ἀχιλλέως "ὅς τοι πολέας τε καὶ ἐσθλούς" (520).

497. ἔτικτον] καλὴ ἡ παράτασις· οὐ γὰρ εἶπεν ἔτεκον. ἔθος δὲ B− τοῖς βαρβάροις βασιλεῦσι παιδοποιεῖν ἐκ πλειόνων. ἔσχε δὲ καὶ Ἀρίσβην τὴν Μέροπος τοῦ Περκωσίου, ἐξ ἧς Αἴσακος, Ἀλεξιρόην τὴν Ἀντάνδρου, Λαοθόην τὴν Ἄλτου (Il. 21. 85)· τῶν δὲ Πριαμιδῶν πρεσβύτατον Πολίτην φασίν.

10. τηλίκον ‖ 11. ἱστῷ ‖ 21. σοῦ B: τοῦ ‖ 25. supplevi ex B ‖ 34. Ἀρτάνδρου: corr. et Schwartz et ego ‖ 35. πρεσβύτατον Eust.: -ερον

B— 499. ὃς δέ μοι οἶος ἔην, ⟨εἴρυτο δὲ ἄστυ καὶ αὐτούς⟩] πρὸς τὸ σῴζειν τὴν πόλιν καὶ ἓν πρᾶγμα δυσὶ περικοπαῖς πέφρασται, ὡς "τὸ μὲν ἕλκος ἐτέρσετο, παύσατο δ' αἷμα" (Il. 11. 267) ἀντὶ τοῦ παυσαμένου τοῦ αἵματος ἐτέρσετο τὸ ἕλκος· "ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον" (Il. 3. 318), ἀνασχόντες ηὔξαντο. ἢ ὅτι εἶπεν "αἳ θ' ἅμα πάντες Ἕκτορος ὠφέλετ' ἀντί" (253)· καὶ ἡμεῖς φαμεν ἕνα τὴν πόλιν πολίτην ἔχειν.

500. ἀμυνόμενον περὶ πάτρης] οὐ προκατάρξαντα πολέμου.

B— 504. μνησάμενος σοῦ πατρός] ὡς ἱκανοῦ εἰς ἔλεον ἀπ' αὐτοῦ ἤρξατο καὶ εἰς αὐτὸν ἔληξεν. οὐκ ἀκριβολογεῖ δὲ περὶ τῶν δώρων· ἢ γὰρ ἂν ἔλυσε τὸ πάθος.

B— ἐλεεινότερος] καὶ ἐκεῖνος γὰρ καταπονεῖται· ἢ ἀντὶ ἁπλοῦ.

B= 506. ἀνδρὸς παιδοφόνοιο] ταῦτα μὲν εἰς ὀργὴν ἄγοντα Ἀχιλλέα ἔδει κρύπτεσθαι, ἐκ δὲ τοῦ πάθους παρεσύρη εἰς τοῦτο.

χεῖρ' ὀρέγεσθαι] "χεῖρε" δυϊκῶς· εἶπε γὰρ "καὶ λάβε χεῖρας, δεινὰς ἀνδροφόνους" (478)· θέλει δὲ εἰπεῖν, ὅτι ᾧ στόματι τὸν υἱὸν ἐφίλουν, τούτῳ νῦν τὸν ἐκείνου φονέα· "ὀρεγέσθαι" δὲ ἀντὶ τοῦ ἐκτείνειν πρὸς τὸ στόμα τὰς χεῖρας.

B— 510. προπάροιθε ποδῶν—ἐλυσθείς] παρεθεὶς ἢ συνειληθεὶς ἢ κυλισθείς. ὅθεν καὶ "προελυσθείς" (?).

B= 511. Ἀχιλλεὺς κλαῖεν] αὐτῷ γὰρ ἀναδιπλασιασθεὶς ὁ θρῆνος ἀντισηκωθήσεται τοῖς δάκρυσι Πριάμου· ἐποίει δὲ αὐτῷ τὴν ἑκατέρου μνήμην ἡ Ἕκτορος καὶ Πριάμου.

ἑὸν πατέρα] λείπει τὸ 'ἄλλοτε μέν' ⟨τῷ⟩ "ἄλλοτε δὲ—Πάτροκλον.'

A+ 512. * δώματα] τὴν σκηνήν.

A+ 514. καί οἱ ἀπὸ πραπίδων ἦλθ' ἵμερος ἠδ' ἀπὸ γυ⟨ί⟩ων] ἀθετεῖ ὁ Θρᾷξ· ὁ γὰρ ἵμερος περὶ μόνην τὴν ψυχήν, γυῖα δὲ οὐχ ὅλα τὰ μέλη φησίν. εἰ μὴ λέγοι τις, ⟨ὅτι⟩ στερνοτυπεῖ. τοῦτο ⟨δ'⟩ οὐ γράφει.

B+ 515. χειρὸς ἀνίστη] παράδοξον τὸ τὸν ἐχθρὸν οὕτω χειραγωγεῖν τὸν θυμὸν ἀνέντα.

B= 523. κατακεῖσθαι] ἀποβάλλεσθαι μὲν γὰρ ἀδύνατον, δεῖ δὲ μὴ ῥιπίζειν τοῖς κλαυθμοῖς τὸ παθός.

B— 524. οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο] "πρῆξις"

5. ἀνάσχον prius B ‖ 7. πολίτην scripsi: πόλις ‖ 9. ἱκανοῦ B: -ὸν ‖ 10. ἢ scripsi, καὶ coni. W: ἡ ‖ 14. ἔδει B: ἐδόκει ‖ 15. καὶ κύσε codd. Il. ‖ 21. ἂν διπλασιασθεὶς ‖ 29. μὴ δέ τις: corr. et suppl. W

Digitized by Google

ἄνυσις, διὰ θρήνου. λείπει δὲ ἡ ἕξ. ὅτι δὲ ἄπρακτον ἡ ἀνία, καὶ οἱ φιλόσοφοί φασιν. καθ᾽ ὃ μὴ διορθοῦταί τι τῶν ἠτυχημένων.

526. ἀκηδέες] νῦν τὸ φύσει θεῖόν φησι, τοὺς δὲ ποιητικοὺς λυπουμένους εἰσάγει· καὶ Ἐπίκουρος ἐντεῦθέν φησιν (cf. fr. 352 Us.), ὅτι τὸ ἀθάνατον καὶ ἄφθαρτον οὔτ᾽ αὐτὸ πρᾶγμ᾽ ἔχει οὔτ᾽ ἄλλοις παρέχει· διὸ οὔτε ὀργαῖς οὔτε λύπαις συνέχεται. δηλοῖ δὲ καὶ τὸ ἀθεράπευτον.

527. δοιοὶ γάρ τε πίθοι] τοῦτο πρὸς παραμυθίαν τοῦ λέγοντος, A+B– ἐπεί τοι τὸ ἀληθὲς "θεοὶ δωτῆρες ἐάων" (Od. 8. 325)· καὶ Ἡσίοδος (Opp. 96) ἐντεῦθεν τὴν Ἐλπίδα τῶν κακῶν φησιν εἶναι ἐν τῷ πίθῳ. μέμφεται δὲ τὴν δόξαν Πλάτων ἐν β′ Πολιτείας (p. 379) λέγων, ὡς ὁ θεὸς ἀγαθόν, οὐδὲν δὲ ἀγαθὸν βλαβερόν· ὃ δὲ μὴ βλαβερόν, οὐδὲ βλάπτει. ἔπλασεν οὖν ταῦτα ὁ ἥρως πρὸς παραμυθίαν Πριάμου. πρὸς ταῦτά φησι Ζεὺς "ἐξ ἡμέων γάρ φασι κάκ᾽ ἔμμεναι· οἱ δὲ καὶ αὐτοί" (Od. 1. 33).

* οὔδει] ἀπὸ μέρους τῷ οἴκῳ.

528. ἀδιαφόρως τῷ "ἕτερος" ποτὲ μὲν τὸ ἄλλος ἐπιφέρει, ὡς τὸ "ὅς χ᾽ ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ" (Il. 9. 313), ποτὲ δὲ τὸ "ἕτερος·" "ἕτερον λευκόν, ἑτέρην δὲ μέλαιναν" (Il. 3. 103).

530. κακῷ—κύρεται] ὑπὸ κακοῦ κύρεται, ὡς "Τρωσὶ δαμείς," ἢ κακῷ συντυγχάνει, ὡς τὸ "αἰὲν ἐπ᾽ αὐχένι κῦρε" (Il. 23. 821).

532. κακὴ βούβρωστις] σύντονος ὀδύνη μεγάλως ἀναλίσκουσα· A–B– ἐν γὰρ ταῖς ἀτυχίαις ὑπὸ λύπης ἑαυτοὺς ἐσθίομεν, ὥσπερ καὶ Βελλεροφόντης (Il. 6. 202). οἱ δὲ ἀποδιδόντες λιμὸν ἀγνοοῦσιν, ὅτι οὐ λιμώττει Πρίαμος ἀλλ᾽ ὀδυνᾶται. οἱ δὲ δαίμονα ἥνπερ κατηρῶντο τοῖς πολεμίοις, εἶναι δὲ αὐτῆς τὸ ἱερὸν ἐν Σμύρνῃ.

535. πάντας γὰρ ἐπ᾽ ἀνθρώπους ἐκέκαστο] παρὰ πάντας ἀνθρώπους.

536. ὄλβῳ] δύναται τῇ φρονήσει, εἴγε καὶ ἄνολβος ὁ ἀπαίδευτος. A=B– οἱ δὲ τῇ τῶν ἀγρῶν κτήσει, παρὰ τὰς ὀλάς.

541. γηράσκοντα κομίζω] ἀντὶ τοῦ γηροκομῶ. B=

544. ὅσσον Λέσβος ἄνω] ἀντὶ τοῦ ἀνά· τὸ δὲ ἑξῆς, ὅσσον Λέσβος A+B= ἀνείργει καὶ διορίζει. περιορίζει γὰρ τὴν ἀρχὴν Πριάμου ἀπὸ μεσημβρίας τῇ Λέσβῳ, ἀπὸ ἀνατολῆς Φρυγίᾳ, ἀπὸ ἄρκτου Ἑλλησπόντῳ.

2. διορθοῦνται: corr. Bekker ‖ 8. δοτῆρες ‖ 13. πρὸς W: ποῖα ‖ 16. schol. v. 538 adscriptum lemmate κακόν praefixo; v. 528 deest in textu ‖ τὸ ἕ. ‖ 17. κεύθει ‖ 19. κακῷ textus, quod legit etiam scholiasta: κακῶν ‖ 28. ἐν post δὲ omisi ‖ ὀλάς A: ὃλας ‖ 29. γηρωκομῶ ut B ‖ 30. iteratur *ἄνω] ἀντὶ τοῦ ἀν⟨ά⟩

Digitized by Google

AB− Μάκαρος] Ἡλίου καὶ Ῥόδου. φονεύσας τὸν ἀδελφὸν Τενάγην ᾤκει αὐτοῦ καὶ πόλιν ἀπὸ τῆς γυναικὸς Ἄντισσαν ὠνόμασεν. τινὲς δὲ (Hesiod. fr. 91 M.) αὐτὸν Κρινάκου τοῦ Ὑρ⟨ι⟩έως τοῦ Ποσειδῶνος καὶ Ἀλκυόνης, οἱ δὲ μητέρα αὐτοῦ Μιτυλήνην καὶ γυναῖκα Λέσβον.

A~B− 545. καὶ Φρυγίη καθύπερθε] ἐξ ἀνατολῆς, ἐπεὶ ἔστιν ἄλλη Φρυγία μικρὰ ἀμπελόεσσα (Π. 3. 184) ἡ ἐπὶ Σαγγαρ⟨ί⟩ῳ· καὶ παρ' Ἀθηναίοις γάρ εἰσι δύο δῆμοι Ποτάμιοι, ὧν ὁ μὲν καθύπερθεν, ὁ δὲ ὑπένερθεν ὀνομάζεται.

A+B= 546. τῶν σε] οὕτω διὰ τοῦ ν̄, ἵν' ᾖ τῶν οἰκούντων τὰς προειρημένας πόλεις.

B= 549. μηδ' ἀλίαστον ὀδύρεο] ἀλύτως ἢ ἀνεκχωρήτως.

B= 554. ἀκηδής] ἠμελημένος. ἢ κηδείας παρ' ἐμοῦ μὴ τυχών.

A+ 557. ἐπεί με πρῶτον ἔασας] ηὔφρανας ὡς "ἥσατο δ' αἰνῶς" (Od. 9. 353)· δασέως· ἔνιοι δέ φασιν ἐλλιπῆ εἶναι τὸν λόγον, τὸ δὲ λεῖπον εἶναι ἐπεί με ἔασας 'ἐς λόγους σοι ἐλθεῖν.'

B− 559. ὑπόδρα ἰδών] ἀγριαίνεται, ὅτι νῦν αὐτὸν θέλει λαβεῖν, ὁ δὲ θεραπεῦσαι τὰ αἰκίσματα βούλεται, ⟨ἢ⟩ μὴ εἰς θρῆνον ἐλθὼν Πρίαμος ταράξῃ αὐτόν· ἢ ὅτι ὑπομιμνήσκει αὐτὸν συνεχῶς Ἕκτορος καὶ τῆς ἔχθρας αὐτοῦ.

566. φυλακούς] ὡς μαλακούς· τινὲς δὲ ὡς ἀπὸ γενικῆς βαρύνουσιν· στρατηγικῶς δὲ ἀπολογεῖται ὑπὲρ τῶν φυλάκων.

A+ ⟨φυλακούς⟩] τὰ εἰς κος καθαρὸν ὑπὲρ δύο συλλαβὰς τῷ ᾱ παραληγόμενα προσηγορικὰ ἢ ἐπίθετα ὀξύνεται, ἀνακός φαρμακός φυλακός. τὰ γὰρ κύρια βαρύνεται Φύλακος Αὔλακος.

A+ 569. μή σε, γέρον] ἐγκλιτέον τὴν "σέ."

B− ἄλλως: μή σε, γέρον] Ἀριστοτέλης (fr. 168 R.), φησὶν ἀνώμαλον εἶναι τὸ ἦθος Ἀχιλλέως, οἱ δέ, ὡς ἀποστῆσαι τοῦ οἴκτου τῇ καταπλήξει αὐτὸν θέλει, μὴ ἰδὼν Ἕκτορα θρηνήσῃ ἀκωλύτως καὶ ταράξῃ αὐτόν.

B= 570. Διὸς δ' ἀλίτωμαι ἐφετμάς] λείπει ἡ παρά, ἵν' ᾖ τὰς παρὰ Διός.

571. ἔδδεισεν δ' ὁ γέρων ⟨καὶ ἐπείθετο⟩] ἐξ ἀμφοῖν ἕν, δείσας ἐπείσθη.

1. Μάκαρ ὁ Ἴλου B ‖ 3. δὲ scripsi: γὰρ ‖ κρινάκου etiam Diodorus V 81: κριάσου D ‖ supplevi ex Apoll. III 10, 1 ‖ 6. iteratur καθύπερθε] ἐξ ἀνατολῆς ‖ 12. ἀσυγχωρήτως B ‖ 14. ἔασας ‖ 17. λύτρα pro νῦν coni. W ‖ 18. suppl. W ‖ 23. signo eodem ex textu in scholion relegatum ‖ καθαρὰ ‖ τῷ A: τὸ ‖ 25. Ὕλακος pro Αὔλ. coni. Lobeck, Ἄνακος W

Digitized by Google

572. οἴκοιο] καταχρηστικῶς τὴν κλισίαν δῶμα (512) οἶκον (470) δόμον (673) εἶπεν.

λέων ὥς] πρὸς τὸ εὐκίνητον, ὅπως καταπλήξῃ Πρίαμον. B+

577. * τοῖο] τούτου. ⟨λείπει⟩ δὲ τὸ 'τοῦ' ἄρθρον. B=

578. δίφρου] εὐτελοῦς· ὁ γὰρ πολυτελὴς θρόνος· καὶ "δίφρον ἀεικέλιον καταθείς" (Od. 20. 259).

ἐυσ⟨σ⟩ώτρου] ἀντὶ τοῦ εὐξέστου, εὖ σευομένης, οἱ δὲ εὐτρόχου, ἀπὸ τῶν εὖ σευομένων.

579. ἥρεον] δασέως, ἵν' ᾖ ἀφῄρουν· τὸ δὲ ψιλὸν ἤειρον. A~

580. δύο φάρεα] ἔθος τοὺς νεκροὺς δυσὶν καλύπτειν ἐσθῆσιν, ὅπως τὸ μὲν ἄνω τὸ δὲ κάτω σχῆμα. §. λαμβάνει (579) δὲ δῶρα B+ ἢ ἐξιλεούμενος Πάτροκλον, ἢ ἵνα εἰς τὸν ἐπιτάφιον αὐτοῦ ἔχωσιν οἱ φίλοι, ἢ ὅτι ὁ Ζεὺς ἐκέλευσεν (580).

581. νέκυν πυκάσας] ὥστε ἀθεώρητον εἶναι τῷ πατρί.

584. χόλον οὐκ ἐρύσαιτο] Ῥιανὸς "κόλον," οἱ δὲ "κόπον," A–B+ ἄμεινον δὲ "γόον," ἵνα μὴ ὑπερπαθήσας καταράσηται Ἀχιλλεῖ.

589. λεχέων ἐπέθηκεν ἀείρας] ἐμεμάρα⟨ν⟩το γὰρ ὁ θυμός. οὐκ B= ἄτοπος δὲ ἡ μεταβολή, Διὸς καὶ μητρὸς καὶ τοῦ ἱκέτου μεταβαλλόντων.

592. μή μοι, Πάτροκλε] ὡς πρὸς παρόντα διαλέγεται τὸν Πάτροκλον οἰκτιζόμενος.

σκυδμαινέμεν] τοῦτο σκυδάζειν Σοφοκλῆς φησιν ἐν τῷ Αἴαντι (722).

594. ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα] τινὲς ἀθετοῦσιν· τὴν AB– γὰρ Διὸς κέλευσιν αἰτίαν ὁμολογεῖν τῆς λύσεως ἔδει. πῶς δὲ δώσει τῷ ἀποθανόντι (595); τινὲς δὲ οὐκ ἀνάξια τῆς σῆς αἰκίας, ἄλλως τε ἔθος τοὺς φόνους ἐπὶ χρήμασι λύειν, "καί ῥ' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ' ἀποτίσας" (Il. 9. 634), "καὶ μέν τις τε κασιγνήτοιο φόνοιο ποινήν" (ib. 632).

595. καὶ τῶνδ' ἀποδάσσομαι] ὅτι καὶ μετὰ ταφὴν ἀπένεμον χρήματα.

598. τοίχου τοῦ ἑτέρου] τοῦ ἐναντίου. B=

601. ὄψεαι αὐτὸς ἄγων] οὐκ ἐν τῇ σκηνῇ, ἀλλὰ καθ' ὁδόν· B– παραμυθητικὸν δὲ τὸ τῆς διηγήσεως μῆκος· ἐπικουφίζεται γὰρ τὰ πάθη πρὸς ἀλλοτρίας συμφορὰς κουφιζόμενα.

4. supplevi ex B ‖ 10. καταλύπτειν ‖ 11. σχῇ τὸ σῶμα coni. W, an σχῇ? ‖ 13. ὁ Ζεὺς W: οὕτως ‖ 15. Ῥιανὸς Heyne, ἔνιοι coni. Ludwich: ἑανοὶ ‖ pro κόλον Heyne coni. χόλον, Spitzner κότον ‖ 18. μεταπειθόντων vel tale quid coni. W ‖ 21. κυδάζεται cod. Soph. l. l. ‖ 24. κακίας B ‖ 26. καὶ κὲν ‖ 30. τῇ σκηνῇ B: τῷ πένθει ‖ ὁδόν B: ὅλου ‖ 32. παραβαλλόμενα vel tale quid corrigendum

Digitized by Google

A ~ B + 602. ** τὴν Νιόβην οἱ μὲν Πέλοπος, οἱ δὲ Ταντάλου. γυναῖκα δὲ οἱ μὲν Ἀμφίονος, οἱ δὲ Ζήθου, οἱ δὲ Ἀλαλκομενέω⟨ς⟩. ἐκαλεῖτο δὲ παρὰ Λυδοῖς Ἐλύμην. ἡ δὲ συμφορὰ αὐτῆς, ὡς μέν τινες, ἐν Λυδίᾳ, ὡς δὲ ἔνιοι, ἐν Θήβαις· Σοφοκλῆς [δὲ] (p. 181 N.) τοὺς μὲν παῖδας ἐν Θήβαις ἀπολέσθαι, νοστῆσαι ⟨δὲ⟩ αὐτὴν εἰς Λυδίαν. ἀπώλετο [δέ], ὥς τινες, συνεπι[ορ]κήσασα Πανδάρ[ῳ] περὶ τοῦ κυνός, ὡς δὲ ἔνιοι, ἐνεδρευθεῖσα ὑπὸ τῶν Σπαρτῶν ἐν Κιθαιρῶ[νι]. οἱ δὲ

B = δύο Νιόβας Πέλοπος καὶ Ταντάλου. §. ὡς Θηβαῖον ὄντα τὸν μῦθον καὶ ἀγνοούμενον Πριάμῳ [ἐπ]εξεργάζεται.

καὶ γάρ τ' ἠύκομος Νιόβη] τινὲς ἧττον τὸ κατὰ Νιόβην φασίν· οὗτος γὰρ ν' ἀπώλεσεν. ἀλλ' οὐχ ἅμα πάντας· ἐκείνη δὲ ἄρδην.

A = 604. * υἱέες] "υἱέες" καὶ "υἱεῖς," διχῶς.

B = 605. τοὺς μὲν Ἀπόλλων] ῥητορικῶς ἀνέστρεψε τὴν διήγησιν. ⟨ἔ⟩φαγε γὰρ καὶ Νιόβη. τίς αὕτη; ἀπολέσασα δώδεκα παῖδας. ὑπὸ τίνος; ὑπὸ Ἀπόλλωνος. διὰ τί; δι' ὑπερηφανίαν.

B – τοὺς μὲν Ἀπόλλων] ἴσως ὑπὸ λοιμοῦ ἀπολόμενοι ἐνομίσθησαν οὕτω τεθνάναι. Ἱπποκράτης δὲ ἐν τῷ περὶ ὀξέων παθῶν (π. διαίτης ὀξέων c. 17) φησιν ὡς τοὺς ⟨ὑπὸ⟩ ὀρθοπνοίας καὶ ῥέγκους ἀπολλυμένους ᾤοντο βλητοὺς εἶναι, καθὸ τούτων μετὰ θάνατον ἡ πλευρὰ ⟨πελιὰ⟩ εὑρίσκεται διὰ τὸ μὴ ἀπηλλαγμένους τῶν ὀδυνῶν τελευτᾶν.

B – 608. ἡ δ' αὐτή] αὐτὴ δέ, ὡς "ὁ δ' ἐρεύγετο" (Od. 9. 374) ἐρεύγετο δέ. ἰδίᾳ δὲ ἡ μεταστροφή· οὐκ εἶπε γὰρ 'ἑαυτὴν δὲ τετοκέναι πολλούς.'

B = 610. κέατ' ἐν φόνῳ] τῷ τόπῳ οὗ ἐφονεύθησαν.

A ~ B = 611. λαοὺς δὲ λίθους ποίησε] ἀσυμπαθεῖς· ὠργίζοντο γὰρ αὐτῇ, ἐπεὶ διὰ τὴν αὐτῆς ἀσέβειαν ἀπώλοντο ἄν. πολλάκις γὰρ καὶ σύμπασα πόλις.

B = 612. θάψαν θεοί] ταῦτα πρὸς τὸ μὴ ἀμελεῖν κηδείας, εἴγε καὶ θεομισεῖς ὄντας ἔθαψαν.

A ~ B + 613. ἡ δ' ἄρα σίτου μνήσατο] οὐκ ἄρα ἐλιθώθη καθ' Ὅμηρον· Λυδοὶ δέ φασιν, ὅτι Ἀσσωνίδης ἐρασθεὶς αὐτῆς καὶ μὴ πεισθείσης

2, 5.8 upplevi ex Eust. ‖ 3. 'an Ἐλυμηνή' W ‖ 6. evanida [ορ] suppl. W, cf. schol. Od. 20. 66 ‖ 14. γὰρ καὶ B: καὶ γὰρ ‖ 17. παθῶν om. Eust. ‖ 18. supplevi ex B Eust. Hipp. ‖ ὀρθοπνοίας Eust.: ὀρθοπνοίης B Hipp. qui τῆς add., -οιεῖς ‖ τοῦ ῥέγκους Hipp., κυνάγχης B Eust. ‖ 20. supplevi ex Hipp. ‖ εὑρίσκεται Hipp.: -ετο ‖ 25. confusa; ἀσ. ὀλίγου δεῖν ἡ σύμπασα πόλις ἀπώλετο ἂν B ‖ 31. Ἀσωνίδης B Eust., Ἀσσάων Parthenius XXXIII, Ἀσσονίδης

Digitized by Google

*ἐπ' ἄριστον τοὺς παῖδας καλέσας ἐνέπρησεν· ἡ δὲ φυγοῦσα ηὔξατο λιθωθῆναι· τινὲς δὲ εἰς κρύσταλλον αὐτὴν μεταβεβλῆσθαί φασιν.*

614—617. *νῦν δέ που ἐν πέτρῃσιν*—] *ἀθετοῦνται δ'· πῶς γὰρ ἡ λίθος τροφῆς ἐγεύσατο* (602); *τί δὲ ὁ Αἰτωλῶν ποταμὸς ἐν Σιπύλῳ ποιεῖ; πῶς τε λίθος οὖσα κήδεα πέσσει;* A+B=

615. *Σιπύλῳ*] *πόλις Λυδίας ἐστίν· καὶ Πίνδαρος* (Ol. 1. 24) "*Λυδοῦ Πέλοπος*" *φησίν· οἱ δὲ Θηβῶν τὴν Σίπυλον, ἐπεὶ καὶ ἐκεῖ τὰ περὶ Νιόβην φασίν· θεῶν δὲ* "*εὐνάς,*" *ὅτι πατρὶς θεῶν· καὶ Πίνδαρος* (Nem. 1. 3) "*δέμνιον Ἀρτέμιδος*" *τὴν Ὀρτυγίαν φησίν. Ῥέα γὰρ φοβηθεῖσα τὰς ἀπειλὰς Κρόνου σὺν ταῖς θυγατράσιν ᾤκισε Σίπυλον κρυφίως, καὶ ἱερὸν αὐτῆς ἐκεῖ.* B–

616. *αἵ τ' ἀμφ' Ἀχελώιον ἐρρώσαντο*] *φιλοσόφως· ἐρρωμένην δεῖ καὶ τὴν τῶν θηλειῶν ὄρχησιν γίνεσθαι, ὃ καὶ Ἡσίοδος* (Theog. 4) *ἐπὶ τῶν Μουσῶν.* B–

*ἄλλως: αἵ τ' ἀμφ' Ἀχελώιον*] *τινὲς* "*αἵ τ' ἀμφ' Ἀχελήσιον*" —*ποταμὸς δὲ Λυδίας, ἐξ οὗ πληροῦται Ὕλλος—καὶ Ἡρακλέα νοσήσαντα ἐπὶ τῶν τόπων, ἀναδόντων αὐτῷ θερμὰ λουτρὰ τῶν ποταμῶν, τοὺς παῖδας Ὕλλον καλέσαι καὶ τὸν ἐξ Ὀμφάλης Ἀχέλητα, ὃς Λυδῶν ἐβασίλευεν. εἰσὶ δὲ καὶ* "*νύμφαι Ἀχελήτιδες,*" *ὥς φησι Πανύασσις* (fr. 17 K.). *Οἱ δὲ* "*Ἀχελώιον*" *ὁμώνυμον τῷ Αἰτωλῷ, εἶναι δὲ καὶ ἄλλον περὶ Δύμην τῆς Ἀχαΐας, καὶ ἄλλον περὶ Λάρισσαν τῆς Τρῳάδος. καὶ πᾶν ὕδωρ Ἀχελῷόν φασιν· ὁ γὰρ ἐν Δωδώνῃ θεὸς παρῄνεσεν Ἀχελῴῳ θύειν· ὅθεν καὶ Ἀθηναῖοι καὶ Διδυμαῖοι καὶ Ῥόδιοι καὶ Σικελιῶται αὐτὸν τιμῶσιν. Ἀκαρνᾶνες δὲ καὶ ἀγῶνα αὐτῷ ἐπιτελοῦσιν.* AB+

617. *κήδεα πέσσει*] *ἀκύρως· πῶς γὰρ ἡ λίθος* "*πέσσει;*" *καί, ὡς Φιλήμων ὁ κωμικός* (fr. 16 M., 101 K.) B–

*ἐγὼ λίθον μὲν τὴν Νιόβην, μὰ τοὺς θεούς,*
*οὐδέποτ' ἐπείσθην, οὐδὲ νῦν πεισθήσομαι*
*ὡς τοῦτ' ἐγένετ' ἄνθρωπος· ὑπὸ δὲ τῶν κακῶν*
*τῶν συμπεσόντων τοῦ τε συμβάντος πάθους*

6. *ἐστί* B: *εἴτε* ‖ *Πίνδαρος* ante *πόλις* scriptum: traieci ‖ 11. *ᾤκησε* ‖ *αὐτῷ*: corr. W ‖ 15. *Ἀχελήιον* alt. AB ‖ 16, 17. *Ἡρακλεανὸς ἦσαν τὰ ἑ.*: corr. W ‖ 18. *ἐκάλεσσεν*: corr. W ‖ 21. *τὲ καὶ* ‖ 24. *Δυμαῖοι* coni. Bekker ‖ 29. *πεισθήσομαι* Eust.: *πείθομαι* ut B ‖ 30. *ὡς τοῦτ'* B Eust.: *ὥστ' οὔτ'* ‖ *ἐγένετο* ut B ‖ 30, 31. *ἐγ. καὶ κήδεα πέσσει ἀλλ' ὑπὸ τῶν συμπ. καὶ τοῦ* B Eust.

Digitized by Google

οὐδὲν λαλῆσαι δυναμένη πρὸς οὐδένα
προσηγορεύθη διὰ τὸ μὴ φωνεῖν λίθος.

Φερεκύδης δὲ ἐν ή́ "ἡ δὲ Νιόβη ὑπὸ τοῦ ἄχεος ἀναχωρεῖ εἰς Σίπυλον καὶ ὁρᾷ τὴν πόλιν ἀνεστραμμένην [καὶ] Ταντάλῳ λίθον ἐπικρεμάμενον· ἀρᾶται δὲ τῷ Διὶ λίθος γενέσθαι· ῥεῖ δὲ ἐξ αὐτῆς δάκρυα καὶ πρὸς ἄρκτον ὁρᾷ."

B= 618, 19. μεδώμεθα—σίτου] χαρίεις ὁ συνδειπνῶν πρὸς ἀνάκτησιν τοῦ γέροντος, καίτοι προδειπνήσας.

B= 619. σίτου] ἐκ τοῦ ποιοῦντος τὸ ποιούμενον.

A+ 628. αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον] ἰδίως χρῆται τῷ στίχῳ· καὶ γὰρ ὃ μὲν ἐκεκόρεστο, Πρίαμον δὲ οὐκ εἰκὸς ἦν εἰς κόρον δειπνεῖν.

B= 630. ὅσσος ἔην οἷός τε] "ὅσ⟨σ⟩ος" ἐπὶ μεγέθει, "οἷος" ἐπὶ κάλ⟨λ⟩ει. ταῦτα δὲ πρὸς ἔκπληξιν τῶν ἀκροατῶν.

B= 632. καὶ μῦθον ἀκούων] ἀπὸ κοινοῦ 'ἀγαθόν.' φησὶ γοῦν περὶ αὐτοῦ "θεόφιν μήστωρ ἀτάλαντος" (Il. 7. 366).

B= 635. λέξον δή με] κλῖνον, κοίμισον· ἡ γὰρ διὰ χρόνου τροφὴ εἰς ὕπνον αὐτὸν καλεῖ.

A=B− 636. ὕπνῳ—ταρπώμεθα] Ἀρίσταρχος "παυσώμεθα" ἀναπαυσώμεθα· οὐ γὰρ εὔκαιρον τὸ "ταρπώμεθα·" ἢ ἐπεὶ μετὰ ιβ´ ἀύπνους ἡμέρας τέρψιν αὐτῷ μέλλει ἐπαγαγεῖν ἡ νύξ.

637. ⟨οὐ γάρ πω⟩ μύσαν ὄσσε] "οὐ γάρ" ὑπερβολικῶς· οὐ γὰρ ἔνδεκτον· λείπει οὖν τὸ 'ὡς πάλαι·' ἢ διάφορα ἦν τὰ πάλαι σώματα· καὶ Ὀδυσσεὺς κυβερνῶν τὴν σχεδίαν ιζ´ ἡμέρας ἀγρυπνεῖ (Od. 5. 278) καὶ ἄλλας τρεῖς (ib. 388) νήχεται.

B= 639. κήδεα μυρία πέσσω] ὑπὸ πολλῶν κακῶν ἀναλίσκομαι.

640. αὐλῆς ἐν χόρτοισι] Δίδυμός φησιν, ὅτι χόρτῳ ἀντὶ τειχίων ἐχρῶντο.

B− 648. ἐγκονέουσαι] τὸ πονεῖν Ἰακῶς κονεῖν φησιν, ὡς πόθεν κόθεν.

B− 650. ἐκτὸς μὲν δὴ λέξο] ἀφίστησιν αὐτὸν ἀμάρτυρον θέλων ἔχειν τὴν νυκτερινὴν παρρησίαν πρὸς συνουσίαν, καθάπερ ἡ μήτηρ παρῄνεσεν

10. 'an κυκλικῶς χρ.' W, κατακέχρηται A ‖ 11. δὲ Bekker: τε ‖ 13. ἐπὶ scripsi bis: ἐν bis ‖ 23. ἔνδεκτον Bekker: ἐνίδεκτον ‖ 31. μὲν δὴ vel μέν τοι codd. Iliadis: νῦν ‖ 32. 'an εὐκαιρίαν cf. B' W

Digitized by Google

αἰδεῖται γὰρ εἰσφέρειν Βρισηΐδα παρόντος Πριάμου· ἢ ὑπὲρ τοῦ πολλαπλασιάσαι τὴν χάριν καὶ βεβαιῶσαι τὰς ἐπαγγελίας τῆς ἀνοχῆς, ὡς πάντων δι' αὐτοῦ γινομένων· ἢ ἴσως οἶδεν Ἀγαμέμνονος τὸ πρὸς τοὺς πολεμίους σκληρόν· οἰκονομεῖται γὰρ ⟨τὸ⟩ νυκτὸς ἀπελθεῖν.

657. ποσσῆμαρ μέμονας] ἅπαξ πεισθεὶς δίδωσι τὸν νεκρὸν καὶ B— τῆς κηδείας προνοεῖ δικαίως· δίχα δὲ Ἀγαμέμνονος δίδωσιν· ἄρχει γὰρ τῆς ὑπαίθρου, "ὅπῃ ἄρξειεν Ἀχιλλεύς" (Od. 3. 106). §. ὑφ' ἓν τὸ "ποσσῆμαρ, ὡς "ἐννῆμαρ." ποσότητος γάρ ἐστι, ἀντὶ A+B= τοῦ ποσσήμερον.

* ποσσῆμαρ] ἐπίρρημα ποσότητος

660. * τάφον] τὴν κηδείαν.

663. ἀξέμεν] λείπει τὸ ὥστε. §. καὶ ἐπὶ ξύλων δὲ τὸ ἄγειν. B= ἴσως δὲ διὰ τὰς ἡμιόνους.

μάλα δὲ Τρῶες] Δίδυμος "μάλα γάρ" οὐ "δέ." A—

664. ἐννῆμαρ—γοάοιμεν] φιλοπενθὲς γὰρ τὸ βάρβαρον· ἢ ἅμα AB— τῇ προφάσει τῆς κηδείας τὰ πρὸς πολιορκίαν ἑτοιμάζεται, καὶ ὅτι προπέπεισται ὡς προνοίᾳ θεῶν ἄσηπτον ἔχει τὸ σῶμα. §. "θάπτοι- B= μεν" δὲ τὸν τάφον ποιοῖμεν, ὅ ἐστι περίδειπνον.

665. δαίνυτο] τινὲς προπερισπῶσιν ἐκ τοῦ δαινύοιτο. A+

667. εἴ περ ἀνάγκη] ὡς ἀπειρηκὼς τῷ χρόνῳ καὶ ταῖς συμφοραῖς· B= ἐθεράπευσε δὲ τὸ φιλότιμον Ἀχιλλέως τῷ δέει τῶν πολεμίων.

671. * καρπῷ] πρὸς πίστιν ἡ δεξιά. B=

673. * προδόμῳ] τῇ αἰθούσῃ.

674. πυκινὰ—μῆδε' ἔχοντες] τοῦτο ἐν τῷ καθόλου, οὐ τότε μόνον.

680. ὅπως Πρίαμον βασιλῆα] δεῖ οὖν καὶ ἡμᾶς δεομένους τοῦ B= θεοῦ μὴ εἰκῇ τι πράσσειν.

681. ἱεροὺς πυλαωρούς] πιστούς, ἢ σωτῆρας· καὶ "φυλάκων B— ἱερὸν τέλος" (Il. 10. 56). §. καὶ ὑπὲρ τὴν πρόσταξιν δὲ Διὸς ποιεῖ ἐλεῶν τὸν γέροντα, ὥς που φησὶν "ἀνδρὶ ἑτα⟨ι⟩ρίσσαι" (335).

686. σεῖο δέ κεν ζωοῦ] ταῦτα ἐπίτηδες πρὸς ἀποτροπὴν τοῦ B= κοιμᾶσθαι αὐτόν.

699. ἀλλ' ἄρα Κασάνδρη] διὰ τὴν συμπάθειαν, ὡς Νέστωρ ⟨οὐ⟩ B=

1. παρόντος dubitanter W: ὑπὲρ τοῦ ‖ 2. καὶ W: ἢ ‖ 8. τῆς W: τοῦ ‖ 9. μεσότητος ut B, cf. l. 11 ‖ 15. Ἀρίσταρχος A pro Δίδυμος ‖ 18. ἔχων ‖ 25. οὐ τότε Bekker: ἄτοτε ‖ 34. suppl. W



Digitized by Google

διὰ τὴν μαντείαν (Il. 10. 534)· οὐ γὰρ οἶδεν αὐτὴν μάντιν ὁ ποιητής· ἀγωνιᾷ δὲ περὶ ἀδελφοῦ καὶ πατρός.

B– ἰκέλη—Ἀφρο⟨δί⟩τῃ] κατ' ἐπιφορὰν εἴρηται· ἔδει γὰρ παρθένον Ἀρτέμιδι εἰκάζειν, ὡς Ναυσικάαν (Od. 6. 102).

A– 701. ἑσταότα] Ἀρίσταρχος "ἑστεῶτα·" διχῶς δὲ ὁ ποιητής φησιν.

B= 703. πᾶν κατὰ ἄστυ] ἡ χαρὰ γὰρ ἰσχὺν δίδωσιν· ἐχάρη δὲ ἰδοῦσα τὸν νεκρὸν ἀπροσδοκήτως ἀγόμενον.

704. ὄψεσθε] ὡς "ἄξετε δὲ Πριάμοιο βίην" (Il. 3. 105) καὶ "οἴσετε δ' ἄρνε" (ib. 103).

B– 706. χαίρετε] συγχαίρετε· ἢ τὸ "ζώοντι" (705) ἀντὶ τοῦ ζώοντος.

B= 707. οὐδέ τις αὐτόθι—λίπετο] ἐναργῶς συγχαίρουσαν ἐποίησεν ἐπὶ ⟨τῇ⟩ παραδόξῳ θέᾳ τοῦ νεκροῦ καὶ σωτηρίᾳ τοῦ βασιλέως.

B= 711. τιλλέσθην] ἑαυτὰς καὶ τὰς ἰδίας κεφαλάς.

A+ 720. ἀοιδούς] θρήνων, θρηνῳδούς· δεινοπενθεῖς γὰρ βάρβαροι. §. ἀθετητέος δὲ ὁ Μουσῶν ἐπ' Ἀχιλλεῖ θρῆνος.

B= 721. ἐξάρχουσ'] ἐπιλεγόντων δηλονότι τῶν ἄλλων.

B= 725. ἀπ' αἰῶνος νέος ὤλεο] νέος ἐξεκόπης τῆς ζωῆς.

A= ἄλλως: νέος ὤλεο] οὕτως· Ζηνόδοτος δὲ "νέον."

B+ ἄλλως: νέος ὤλεο] ἀπὸ οἰκτροῦ ἤρξατο· τοὺς γὰρ ἀποθανόντας ἐν γήρᾳ τοὐναντίον καὶ εὐδαιμονίζομεν.

730. ἕ⟨χε⟩ς δ' ἀλόχους] ἠτυμολόγηκε τὸ ὄνομα Ἕκτορος.

B= 731. νηυσὶν ὀχήσονται] ἐπὶ νηῶν ο⟨ἰ⟩χήσονται.

732. * καὶ μὲν ἐγώ] καὶ μὴν ἐγώ.

B= 734. ἀεθλεύων πρὸ ἄνακτος] κακοπαθῶν ὑπὲρ δεσπότου. καὶ Πίνδαρος (Pyth. 4. 41) 'λυσίπονοι θεράποντες·' ὑπὲρ ἐκείνων γὰρ
B= πλέουσι γεωργοῦσιν ἀχθοφοροῦσιν. §. ἐκ τοῦ περὶ αὐτοῦ εἰς τὸ πρὸς αὐτόν.

B– 735. ῥίψει χειρὸς ἑλών] ἢ στοχάζεται, ἢ ὡς ἔθους ὄντος τοὺς μὴ δυναμένους δουλεύειν παῖδας ῥίπτεσθαι. οἱ δὲ νεώτεροί φασιν αὐτὸν οἰκιστὴν ὕστερον γεγενῆσθαι Τροίας καὶ ἄλλων πόλεων.

* λυγρὸν ὄλεθρον] ἀντὶ τοῦ λυγρῷ.

3. ἐπιφορὰν Bekker: ἐπιφθορὰν ut B ‖ 9. αὔξετε ‖ 11. ζώοντι textus: ἰόντι ‖ ζώοντος W: ἰόντος ‖ 12. λείπετο ‖ συνεργοῦσαν ‖ 13. supplevi ex B ‖ 15. θρήνους; om. A ‖ 26. λ. δεσποτῶν θερ. B; λυσιπόνοις θεραπόντεσσι Pind. codd. ‖ 27. τὸ B: τὸν ‖ 29. supra στοχάζεται add. sec. οὕτως γὰρ ἐγενετο

Digitized by Google

739. πατὴρ τεός] νῦν περὶ αὐτοῦ, εἶτα ἀποστρέφει τὸν λόγον πρὸς αὐτὸν ἐν τῷ "ἀρητὸν δὲ τοκεῦσι νόον καὶ πένθος ἔθηκας" (741). B−

741. ἀρητὸν δὲ γόον] ἐπικατάρατον ἢ ἐπιβλαβῆ ἢ ἀείρρητον. B=

744. οὐδέ τι μοι εἶπες—ἔπος] ταῦτα βιωτικά· γλυκὺ γὰρ ἐν πένθεσιν αἱ τελευταῖαι τῶν φίλων φωναὶ πρὸς παραμυθίαν. B=

ἄλλως: οὐδέ τι μοι εἶπες πυκινὸν ἔπος] τὸ πρὸς τὴν βιωτικὴν παραίνεσιν λυσιτελοῦν ἔπος. B=

746. ἐπὶ δὲ στενάχοντο γυναῖκες] οὐ μετὰ τὸ θρηνῆσαι, ἀλλὰ σὺν αὐτῇ. οὐκ ἠδύνατο δὲ πάντα ὑφ' ἓν εἰπεῖν. B=

ἄλλως: ἐπὶ δὲ στενάχοντο γυναῖκες] οὐ μόνον αἱ γυναῖκες· πλείονα γὰρ ἐκίνησεν οἶκτον· ἐπὶ πλείστῳ δὲ ἐλέῳ καταστρέφει τὴν Ἰλιάδα· ὅθεν καὶ οἱ ῥήτορες ἐν τοῖς δικανικοῖς ἔσχατον τιθέασι τὸν οἶκτον ὡς κινοῦντα τὸν ἀκροατήν.

749. ἢ μέν μοι] περισπαστέον τὸν "ἦ."

ἄλλως: ἦ μέν μοι] τῷ "μέν" ἀποδίδωσι τὸν "δέ" (750).

750. οἳ δ' ἄρα σεῦ κήδοντο] οὐ πρὸς τὸ ῥητὸν ὑπήντησεν, ἀλλὰ πρὸς τὴν διάνοιαν· οὐ γὰρ εἶπε τὸ 'καὶ τεθνηκὼς πάλιν αὐτοῖς φίλος εἶ.' περισσὸς ὁ "πέρ."

752. πέρνασχ'] ἐξηγεῖται τὸ "πέρνασκε" διὰ τοῦ "πέρην ἁλὸς ἀτρυγέτοιο." B=

753. ἀμιχθαλόεσσαν] κατὰ Κυπρίους εὐδαίμονα. οἱ δὲ πετρώδη καὶ τὰ κύκλῳ ἀπόκρημνα· διὸ οὐκ ἐπιμίγνυσθαι τῇ γῇ θάλασσαν· οἱ δὲ ἄμικτον, διὰ τὸ ἐκ θαλάσσης δυσπρόσιτον καὶ τὴν τραχύτητα· ἢ ἄμικτον Τρωσὶ διὰ τὸ Εὔνεω (Il. 7. 468) εἶναι· οἱ δὲ ὁμιχλώδη καὶ ἀπροόρατον τοῖς πλέουσι διὰ τὰ ἐργαστήρια Ἡφαίστου· "εἴ κεν ἀμιχθαλόεσσαν ἀπ' ἠέρος ἠὲ θαλάσσης" (fr. an. 345 apud Schneider. Call. II p. 777). A+B−

ἄλλως: ἀμιχθαλόεσσαν] Ἀντίμαχος "μιχθαλόεσσαν."

757. νῦν δέ μοι ἑρσήεις] ὅσῳ εὐσεβὴς ὁ τεθνεὼς δείκνυται, τοσούτῳ ὁ θρῆνος αὔξε⟨τα⟩ι.

πρόσφατος] νεωστὶ πεφονευμένος. ἄμεινον δὲ τὸ νεωστὶ πεφασμένον ἐκ γῆς φυτόν, διὰ τὸ "ἑρσήεις," ὡσεὶ ἔλεγε 'χλωρός.' B−

759. ἀγανοῖσι βέλεσ⟨σ⟩ιν] πράοις διὰ τὸ ἀνώδυνον. ἢ παρὰ τὸ B−

4. ἐπάρατον B ‖ 19. εἴη ‖ 23. ἀπόκρημνον ‖ 25. ἢ W: καὶ ‖ Εὔνεω W: εὔνεων ‖ 26. ἴκεν coni. W ‖ 27. ἀπ' ἠέρος scripsi: ἀπηέρα ‖ ἠδὲ coni. W

ἀγάσασθαι, ὅ ἐστιν ἐκπλαγῆναι. γυναικείως δὲ μακαρίζει τὸ ἑστηκέναι αὐτῷ τὸ σῶμα.

A— 764. ὤφελλ' ἀπολέσθαι] "ὤφελλον ὀλέσθαι" οὕτως, ἵν' ᾖ ὅμοιον τῷ "ὡς μ' ὄφελ' ἤματι τῷ" (Il. 6. 345).

A— 765. εἰκοστὸν ἔτος ἐστί] δέκα γὰρ ἔτη ἐστρατολόγουν, "καμέτην δέ μοι ἵπποι λαὸν ἀγειρούσῃ" (Il. 4. 27)· καὶ γὰρ ἤκουον τὴν ἰσχὺν τῶν Τρώων—"καὶ γὰρ Τρῶάς φασι μαχητάς" (Od. 18. 261)—καὶ πλοῦτον "καὶ σέ, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι" (543). τὰ δὲ δέκα ταῦτα ἔτη παρεχείμαζον. ὅθεν πού φησιν "ἐεικοστῷ ἐνιαυτῷ" (Od. 2. 175), ἴσως Ἁλιθέρσου τῇ ὑστάτῃ παραχειμάσει τοῦτο εἰπόντος. διὰ τοῦτο οἳ μὲν μόγις ἐστράτευον, ὡς Ὀδυσσεύς, οἳ δὲ παρῃτοῦντο, ὡς Ἐχέπωλος (Il. 23. 296). οἵ τε Ἀτρεῖδαι δι' ἑαυτῶν ἐπρέσβευον, τῇ δὲ τοὺς περὶ Νέστορα ἔπεμπον. γεγέννηται οὖν ὁ Νεοπτόλεμος περὶ τὴν πρώτην ἔξοδον, ὡς εἶναι αὐτὸν ιη' ἐνιαυτῶν· ⟨ὁμοίως⟩ Τηλέμαχος Πεισίστρατος Μεγαπένθης Ὀρέστης. παρεχείμαζον οὖν ἐν ταῖς ἰδίαις καὶ θέρους εἰς Αὐλίδα ἀφικνοῦντο. τότε ἴσως καὶ Σκῦρον ἑλὼν Νεοπτόλεμον ἐποίησεν Ἀχιλλεύς.

AB+ ἄλλως: εἰκοστὸν ἔτος] ψευδές· οὐ γὰρ εἰκοστὸν ἔτος δύναται εἶναι ἐξ οὗ εἰς τὸ Ἴλιον ἦλθεν Ἑλένη, εἴγε δεκαετὴς μὲν ἡ τοῦ πολέμου παρασκευὴ ὁμολογεῖται γεγονέναι, εἰκοστῷ δὲ Ὀδυσσεὺς ἐνιαυτῷ εἰς τὴν Ἰθάκην ἐπανελήλυθε πολὺν ἐν τῇ πλάνῃ ἐνδιατρίψας χρόνον· ῥητέον δὲ ὅτι δέκα ἔτη ἐστρατολόγουν, χειμάζοντες ἐν ταῖς ἰδίαις καὶ θέρους εἰς Αὐλίδα ἀφικνούμενοι, νῦν ⟨δ'⟩ εἰκοστὸν ἔτος ἐστὶν ἀπὸ τῆς ἁρπαγῆς Ἑλένης. ἐπὶ δὲ Ὀδυσσέως τὰ δέκα ἔτη τῆς στρατολογίας οὐκ ἀριθμητέον.

766. καὶ ἐμῆς ἀπελήλυθα πάτρης] ἔδει 'ἀπὸ τῆς ἐμῆς ἤλυθον πατρίδος.'

767. ἀλλ' οὔ πω σεῦ ἄκουσα κακὸν ἔπος] φησὶ γὰρ "οὔ τι μοι αἰτίη ἐσσί" (Il. 3. 164)· ἄτοπόν τε ἐῶντα τὸν αἴτιον τὴν ἀναίτιον
B= μέμφεσθαι. §. λεληθότως δὲ ἐσήμανεν, ὡς οἱ φρόνιμοι Τρώων πρὸς τιμῆς ἔχειν ἡγοῦντο τὴν Ἑλένην καὶ διὰ τοῦτο οὐκ ἀπεδίδοσαν.

773. καὶ ἔμ' ἄμμορον] ἐμαυτήν· οἱ δὲ γράφουσι "καὶ ἐμὸν μόρον."

3. ὤφελον textus ‖ 4. ὄφελ' ‖ ἡματισμῷ ‖ 10. ὑστάτῃ W: ὑστεραίᾳ ‖ 15. suppl. W

Digitized by Google

777. λαοῖσιν δ' ὁ γέρων] διὰ τὸ ἔντιμον, ὡς "Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν" (Il. 11. 637). B+

784. ἀγείνεον ἄσπετον ὕλην] ἅμα καὶ εἰς πολιορκίαν αὐτὴν ταμιεύοντες.

793. ὀστέα] ὡς "χάλκεα" τινές· ἄμεινον δὲ παροξύνειν. A=

795. ἐς λάρνακα θῆκαν] τὴν σορὸν λάρνακα εἶπεν. A=

796. καλύψαντες] τινὲς "καθάψαντες."

799. σκοποὶ εἵατο] στρατηγικὸν τὸ μὴ ταῖς σπονδαῖς πιστεύσαντας ἀστρατηγήτους ἑαυτοὺς παραδοῦναι τοῖς πολεμίοις. B=

804. ὣς οἵ γ' ἀμφίεπον] Μενεκράτης φησὶν αἰσθόμενον ἑαυτοῦ ἀσθενείας καὶ τοῦ μὴ ὁμοίως δύνασθαι φράζειν ⟨τὸν ποιητὴν⟩ σιωπῆσαι τὰ μεθ' Ἕκτορα. καλῶς δὲ ἐταμιεύσατο τὰ λοιπὰ ἑαυτῷ τῶν διηγημάτων εἰς τὴν Ὀδύσσειαν· μικρὰ γὰρ ἦν ἡ ὑπόθεσις περὶ τῆς οἰκίας Ὀδυσσέως μόνον· τὰ γὰρ λείψανα ἐκεῖ ἃ μὲν Ὀδυσσεύς, ἃ δὲ Νέστωρ καὶ Μενέλαος, ἃ δὲ Δημόδοκος κιθαρίζων, φησίν, ἄλλως τε πολιορκίαν μακρὰν οὐκ ἄξιον διηγεῖσθαι. §. τινὲς γράφουσιν "ὣς οἵ γ' ἀμφίεπον τάφον Ἕκτορος· ἦλθε δ' Ἀμαζών, Ἄρηος θυγάτηρ μεγαλήτορος ἀνδροφόνοιο." B+

ὣς οἵ γ' ἀμφίεπον τάφον] Ἀττικοὶ τὸ περίδειπνον "τάφον" λέγουσιν· Πολύιδος δὲ τὸ μνημεῖον (cf. fr. lyr. gr. III p. 632 B.).

1. ἔκτιμον B ‖ 11. supplevi ex B ‖ 13. ζητημάτων, cf. l. 16 ‖ 20. Πολυρρήνιοι δὲ coni. Bergk ‖ in fine add. pr. καὶ μὴ λαλῶν Ὅμηρε πάντας αἰσχύνεις, et inferius Ὅμηρε Μουσῶν χαῖρε χρύσεον στόμα, infra denique haec ἐτελειώθη μηνὶ σεπτεμβρίῳ ιη ἡμέρα ζ ἰνδικτι ιγ, cf. I p. vii.

Digitized by Google

# SCHOLIA AB ALTERA MANU SCRIPTA.

## ΙΛΙΑΔΟΣ Α. (1)

Ὅμηρος διαλέκτῳ κέχρηται Ἰάδι, καθάπερ καὶ πάντες ἢ οἱ πλείους τῶν ποιητῶν

1. ** ἄειδε] [ἀπὸ τοῦ εἴδω τοῦ σημαίνοντος] ἐπίσταμαι, καὶ μετὰ τοῦ ⟨ᾱ⟩ ἐπιτατικοῦ ἀείδω, τὸ λίαν γινώσκω

** Πηληιάδεω] Ἰωνικῶς

3. τὸ "Ἄιδι" κατὰ μεταπλασμόν· Ἀΐδης Ἀΐδῃ, ὥς φησιν Ἡρωδιανός

προΐαψεν] ἴπτω καὶ κατὰ πλεονασμὸν ἰάπτω

4. τεῦχε] ἀφῃρέθη τὸ ε̄ κατὰ Ἴωνας

5. οἰωνοῖσι] [κόραξιν] ἢ γυψίν Α= 8. σφῶε] προσώπου τρίτου

ξυνέηκε] Ἀττικῶς τὸ σ̄ εἰς ξ̄

9. προσωπ[οποιία· ἡ Μοῦσα ἀπεκρίν]ατο

10. ἀνὰ στρατὸν ὦρσε] ἔπεμψεν εἰς στρατόν

ὀλέκοντο] Ἴωνες οὐκ αὔξουσιν

11. ἀρητῆρα] παρὰ τὸ ἀρὰ ἡ [βλάβη], ἢ παρὰ τὸ [αἴρειν] τὰς χεῖρας ἄνω

13. ἀπερείσια] ἄπειρα ἄπερα, καὶ κατὰ Ἀττικὴν ἐπαύ[ξησιν]

16. δύω] Ἀττικόν ἐστι δύο

21. ἁζόμενοι] ἅζω δὲ τὸ ξηραίνω ψιλοῦται

23. ἀγλαά] εἰς [ἃ] ἀγάλλεταί τις

δέχθαι] [ἀπὸ τοῦ] δέχεσθαι "δέχθαι"

24. ἥνδανε] ἐκ τοῦ ἥδω τὸ εὐφραίνομαι· ὅθεν καὶ δασυντέον. πλεονασμὸς ἁνδάνω Α—

26. κίχω "κιχείω" 28. μή νυ τοι οὐ] μὴ οὐκ ἄν σοι

χραίσμῃ] ἀπὸ τοῦ χρήσιμος γέγονε, καὶ συστολῇ τοῦ η̄ εἰς ᾱ καὶ μεταθέσει τοῦ ῑ χραισμῶ

στέμμα] δάφνινον.

29. καὶ γῆρας] τὸ "καί" παρέλκει κατὰ Ἀττικούς

30. πάτρης] τῆς ἰδίου

31. ἀντιόωνται] πλεονάζουσι τῷ ο̄ οἱ ποιηταί

3. ἀ. τ. εἴδω novavit rec. || τὸ σημαίνω nov. rec., at cf. Et. M. || 6. Ἀΐδῃ Epimerismi Hom. Cr. I 65, 11 : Ἄιδις || 10. supplevi ex A || προσώπου τρίτου W : ὁρωτῖ ὁ τη (τ supra) detrita admodum || 13. quod post στρ. sequitur τὰς σω .... τὸ γὰρ κορερότατον non intellego || 15. supplevi ex L et Et. M. || 23. add. sec. atramento diverso || 28. τὸ scripsi : legi λ^οι || 30. τὸ ο̄

Digitized by Google

32. σαώτερος] ἤτοι σῶος. συγκριτικὸν ἀντὶ ἁπλοῦ Α +
νέηαι] συστολῇ τοῦ ῑ 33. ἔδδεισεν] Αἰολικόν
34. βῆ] ἀφαίρεσις· καὶ ἔστι τῶν Ἰώνων
35. ἀπάνευθε] ἰωνίζον 39. χαρίεντα] τὸν εὔχρουν, τὸν καλόν
ἔρεψα] ἐστεφάνωσα
41. ⟨ἐέλδωρ⟩ [παρὰ] τὸ ἔρδειν πρὸς ἑαυτὸν καὶ ἕλκειν, ἢ παρὰ τὸ ἔλδω
42. τὰ ἐμὰ δάκρυα οὕτω [τίσαι]εν τοῖς σοῖς βέλεσσιν
56. ** κήδετο ἡ Ἥρα τῶν Δαναῶν, ὅτι τὸ Ἄργος ὅλον ἱερὸν αὐτῆς, ἄλλως τε καὶ ἦν ὑβρισθεῖσα ὑπὸ Ἀλεξάνδρου, ὡς καὶ ἡ Ἀθηνᾶ ἐν τῇ τοῦ μήλου κρίσει Α +
ὁρᾶτο] Ἰωνικῶς
57. ** ἤγερθεν] ἐγείρω ἐγερῶ, ὁ παρακείμενος ἤγερκα, ὁ παθητικὸς ἤγερμαι, ὁ ἀόριστος ἠγέρθην, τὸ τρίτον τῶν πληθυντικῶν ἤγερθεν Αἰολικῶς ἢ Δωρικῶς
58. τοῖσι] ἐν αὐτοῖς
62. μάντι] ἀπὸ τοῦ μῶ τὸ ζητῶ· ἃ . . μν. γὰρ ἦμ . . τοῦτον λέγει
63. καὶ γάρ τ' ὄναρ] ἤ τι ὄναρ—οὐ γὰρ πᾶν—ἢ τὸ ὄναρ τὸ ἐμφαινόμενον τῷ ὀνειροπόλῳ
64. ἐχώσατο] ἀπὸ τοῦ χέω χώω ὁ μέλλων χώσω
66. τελείων] ἤτοι τῶν ἡλικίᾳ ὁλοκλήρων· λελωβημένον γὰρ οὐ θύεται Α ‒
70. * ἀπὸ τοῦ ᾔδεα "ᾔδη" ὃς ᾔδη] τὸ ο̅ς̅ κοινὴ συλλαβή
τὰ νῦν, τὰ μέλλοντα, τὰ παρῳχηκότα Α =
72. ἐυφρονέων] ἤτοι μάντις
ἢ ἐκ παραλλήλου τὸ αὐτό, ἢ τὸ "ἀγορήσατο" ἀντὶ τοῦ ἁπλῶς εἶπεν, τὸ δὲ "μετέειπεν" κατὰ λεπτὸν ἐξηγήσατο. ὁ δὲ Πορφύριος τὸ μὲν "ἀγορήσατο" ὅτι εἶπεν [ἃ ἐγέν]ετο, τὸ δὲ "μετέειπεν" [ἃ] μετὰ ταῦτα ὤφειλε γενέσθαι
75. τοίγαρ] δή
78. **χολωσέμεν] τῶν Δωριέων· ἐκεῖνοι γὰρ τὰ εἰς ε̅ι̅ν̅ [εἰς ε̅μ̅]ε̅ν̅ μεταποιοῦσι, τύψειν τυψέμεν· οἱ δὲ Αἰολεῖς ε̅μ̅ε̅ν̅α̅ι̅ λέγουσιν
80. ⟨χέρηι⟩] χερείων χερεί[ονος] χερείονι χερ[ίι· δι'] οὖν ἐπαλληλίαν τῶν δύο ι̅ι̅ τροπῇ τοῦ [ἑνὸς εἰς η "χέρηι"]

2. του τ̄ ‖ 9. sequitur Ἥρῃ] γυνὴ καὶ θυ | Διὸς ἡ Ἥρα ἁ | δάναρον . . . . | εὐθὺς αὐτ . . | . . . . . . . . | μα ἀποτῆς· ης | ἐκείνου αὐτῇ τι . . | μη . . ἡ γεγόνασιν | ἐκτὸς ἐπὶ τὰς αὐτὰς νέ | . νεῖσα γὰρ εἰς λ . . | ἡ οὐσία τό τε πῦρ | καὶ τὸν ἀλλ' ὑφίστη . | καὶ διὰ τοῦτο Ῥέαν . . | λ. γᾶ αὐτῷ ἐ. | θυσ. π ρυ. ι | Κρόνον διὰ . . . . | ταμίας $\overset{\iota}{\chi}$ με . . | γ . . . . . ναυ | ubi hastulam posui, margo a bibliopega circumcisus; agi videtur de allegorica loci interpretatione, cf. Eust. ‖ 17. 'an ἄμεινον γὰρ ἢ μανικὸν τοῦτον λέγειν cf. Et. M.' W ‖ 20. χῶ alt. ‖ 21. ad 65 κνίσσα ἐστὶ καὶ ἡ λι, ceterae 20 fere litterae detritae ‖ 23. ο̅ς̅ scripsi: legi τὸ ι̅γ̅ ‖ 28. suppl. rec. ‖ 34. supplevi ex L

88. *δερκομένοιο*] *βλεπομένου* 90. *'Αγαμέμνων*] *ὁ τρίτος ἔξοχος*

98. *“ἕλι” κατὰ διάλεκτον καλεῖ τὸ μέλαν*

100. *μὶν πεπίθοιμεν*] *τὸν 'Απόλλωνα πείσαιμεν*

103. *ἐκ τοῦ ἄχος ἄχω ἀχύω, καὶ κατὰ πλεονασμὸν τοῦ ν̄ ἀχύνω, καὶ ἐν ὑπερθέσει ἀχνύω, καὶ ὁ μ̅ι̅ ἐνεστὼς ἄχνυμι καὶ τὸ παθητικὸν ἄχνυμαι*

*μένος σημαίνει τρία, τὸν θυμόν, ὡς ἐπὶ τούτου, τὴν ἰσχύν, ὡς τὸ “δῶκε μένος καὶ θάρσος”* (Od. 1. 321), *τὴν ψυχήν, ὡς τὸ “μένος Ἄρηος”* (Il. 18. 264)

104. *ἀπὸ τοῦ λάμπω [ἐγέ]νετο λαμπετῶ, τὸ οὐδέτερον τὸ λαμπετῶν, ἡ γενικὴ τοῦ λαμπετῶντος, ἡ δοτικὴ λαμπετῶντι, καὶ πλεονασμῷ τοῦ ο̄ “λαμπετόωντι”*

112. *ἐπειδή*] *ἐπεί* 114. *οὔ ἔθεν*] *οὐδαμῶς αὐτῆς*

118. *ὄφρα*] *τὸ ε̄ ⟨καὶ⟩ ο̄ πρὸ δασέος ψιλοῦται*

120. *ἄλλῃ*] *ἀλλαχοῦ* A=

121. *ποδάρκης*] *ὁ ἐπαρκεῖν ἑαυτῷ δυνάμενος διὰ τῆς ὀξύτητος τῶν ποδῶν καὶ ἀποφεύγειν τοὺς πολεμίους* B+

123. *μεγάθυμοι*] *ἐπαίρει τοὺς Ἕλληνας εἰς ἑαυτόν*

124. *⟨ἴδμεν⟩*] *οἴδαμεν ἢν ἀφαιρέσει τοῦ ο̄ καὶ συγκοπῇ τοῦ ᾱ ἴδμεν· ὁ δεύτερος ἀόριστος ⟨ἴδον⟩, τὸ πρῶτον τῶν πληθυντικῶν ἴδομεν, καὶ κατὰ συγκοπὴν τοῦ ο̄ “ἴδμεν”*

125. *⟨δέδασται⟩*] *δαίω τὸ κόπτω καὶ τὸ μερίζω, ὁ μέλλων δαίσω καὶ ἐξ αὐτοῦ δέδαικα καὶ ἀποβολῇ τοῦ ῑ δέδακα, ὁ παθητικὸς παρακείμενος δέδασμαι “δέδασται”*

129. *λάπαθος βοτάνη καθαρτική· καὶ γίνεται ἐξ αὐτοῦ λαπάζω καὶ κατὰ πλεονασμὸν τοῦ ᾱ ἀλαπάζω*

134. *⟨ἧσθαι⟩*] *παρὰ τὸ ἕω τὸ καθέζομαι· τούτου τὸ παραγωγὸν ἕημι καὶ ὁ παθητικὸς ἕεμαι καὶ κράσει ἧμαι καὶ ἧσται καὶ “ἧσθαι”*

136. *ἔσται*] *λείπει καλόν· ἢ ὅπως ἴσον τῇ ἐμῇ ἀξίᾳ γένηται· ἢ μεθ' ὑποστολῆς, εἶτα τὸ “ἔσται”*

143. *ἐπίτηδες*] *ἐπιτηδείως*

144. *καλλιπάρῃον*] *διὰ τοῦ η̄ Δωρικῶς*

147. *ἐκπαγλότατα*] *μεταθέσει τοῦ η̄ εἰς ᾱ· παρὰ γὰρ τὸ πλήσσω· ἐπὶ μὲν ψυχικοῦ πάθους διὰ τοῦ ᾱ, ἐπὶ δὲ τοῦ σωματικοῦ πλήγματος διὰ τοῦ η̄· ἐπλάγην γὰρ καὶ ἐξεπλάγην ἐπὶ τῆς ψυχῆς*

150. *ὑπόδρα ἰδών*] *δεινὸν ὑποβλεψάμενος* A=

*ὑπόδρα*] *ἐπίρρημα. γίνεται δὲ ὥσπερ ἀπὸ τοῦ ἠρεμῶ ἠρέμα*

6. sequitur schol. rec. eadem de re, at fere evanidum ‖ 7. supra *μέγα* v. 103] scriptum *μένη* ‖ 20. *οἶδμεν ὁ δ.* ‖ 27. *ἕω* ‖ 28. *ἕημι* ‖ *ἕεμαι* ‖ 29. ad 135 ut videtur schol. extat in margine evanidum

Digitized by Google

*καὶ σιγῶ σῖγα οὕτως ἐκ τοῦ δρῶ δρα, καὶ μετὰ τῆς ὑπό ὑπόρα καὶ πλεονασμῷ τοῦ δ̄ "ὑπόδρα," τὸ ὑφορᾶσθαι*

*καὶ ἄλλως: ἔστιν δρῶ καὶ σημαίνει τὸ βλέπω, ἐξ οὗ δρᾶσις καὶ δρᾶμα· ἐκ τοῦ οὖν δρῶ γίνεται δρᾶ, καὶ μετὰ τῆς ὑπό "ὑπόδρα," τὸ ὑποβλέπειν· καὶ δραπετεύειν*

162. *ᾧ ἔπι*] *ἀναστραφέν* A=

171. *πλοῦτον*] *συνεξάκουε τὸν τῶν* Τρώων

173. *παρὰ τῷ ποιητῇ πέντε σημαίνει ὁ θυμός· τὴν ὀργήν, ὡς τὸ "θυμὸς δὲ μέγας—διοτρεφέων βασιλήων"* (Il. 2. 196), *τὴν ψυχήν, ὡς τὸ "μελιηδέα θυμὸν ἀπηύρα"* (Il. 10. 495 al.), *τὴν ἐπιθυμίαν, "ᾧ θυμῷ εἴξασα μίγη φιλότητι καὶ εὐνῇ"* (Od. 5. 126), *τὸν ἐπιλογισμόν, ὡς τὸ "ἕτερος δέ τε θυμὸς ἀνῆκεν"* (Od. 9. 302), *τὴν ὁμόνοιαν, ὡς τὸ "ἕνα θυμὸν ἔχοντε"* (Od. 3. 128) A=

174. ⟨*μητιέτα*⟩] *μητιέτης ἐστίν· ὁ δὲ τοιοῦτος σχηματισμὸς τῶν* Βοιωτῶν *καὶ* Αἰολέων *ἐστίν, ὡς τὸ* "Θύεστα" (Il. 2. 107) *ἀντὶ τοῦ* Θυέστης *καὶ "νεφεληγερέτα" ἀντὶ τοῦ νεφεληγερέτης· παρ' ἡμῖν δὲ οὐδὲν ὄνομα ἀρσενικὸν ἐπὶ τῆς εὐθείας εἰς ᾱ λήγει* A+

176. ⟨*ἐσσί*⟩] *ἔω τὸ ὑπάρχω ἐσμί ἐμ*⟨*μ*⟩*ί* ⟨*ἐμσί*⟩*—ὅπερ οὐχ εὕρηται—καὶ τροπῇ τοῦ μ̄ εἰς σ̄ "ἐσσί"*

178. *θεός*] *ἡ εἱμαρμένη*    182. *ὡς ἐμέ*] *ὥσπερ ἐμέ*

187. *ἶσον*] *ἰσήγορον*    190. *παρά*] *ἐπί*

191. *ἀναστήσειεν*] *ἀναστατώσειε, θορυβήσειεν*

194. *κολεοῖο*] *τῆς ξιφοθήκης τῆς τὸ κολοβοποιὸν φερούσης ξίφος. κόλον γὰρ τὸ κολοβόν*

195. *οὐρανὸν τὴν κεφαλήν φησι διὰ τὸ σφαιροειδές*

*Ἀθηνᾶ ἐστιν ἡ τοῦ* Διὸς *σύνεσις, ἡ αὐτὴ οὖσα τῇ ἐν αὐτῷ προνοίᾳ· διὸ καὶ* Προνοίας *Ἀθηνᾶς ἵδρυται ναός. λέγεται δὲ γεννηθῆναι ἐκ τῆς κεφαλῆς τοῦ* Διός, *ὡς τῶν ἀρχαίων ὑπολαβόντων τὸ ἡγεμονικὸν τῆς ψυχῆς ἡμῶν ἐνταῦθα εἶναι, ὡς καὶ ἕτεροι μετὰ ταῦτα ἐδόξασαν. ἀμήτωρ δέ ἐστιν ἡ Ἀθηνᾶ διὰ τὸ ἀλλοίαν εἶναι τὴν τῆς ἀρετῆς γένεσιν καὶ οὐχ οἷα τῶν ἐκ συνδυασμοῦ γενομένων. λέγεται δὲ ὡς τὴν* Μῆτιν *καταπιὼν ὁ* Ζεὺς *ταύτην ἐγέννησεν· μητιέτης γὰρ καὶ συνετὸς ὢν οὐδαμόθεν ἄλλοθεν ἢ ἐκ τῆς καθ' αὑτὸν βουλῆς τὴν ἀρχὴν τοῦ φρονεῖν ἔσχεν. ἐτυμολογεῖται δὲ Ἀθηνᾶ ἢ ἀπὸ τοῦ ἀθρεῖν πάντα, ἤτοι Ἀθρηνᾶ τις οὖσα, ἢ Ἀθηλᾶ τις οὖσα διὰ τὸ καίπερ θήλεια οὖσα ἥκιστα θηλύτητος καὶ ἐκλύσεως μετέχειν· τοιοῦτοι γὰρ οἱ φρόνιμοι, ἀθροῦντες ἤτοι προβλέποντες τὰ μέλλοντα καὶ ἥκιστα χαυνότητος μετέχοντες. παρθενεία δέ ἐστι*

9. *βασιλέων* ‖ 12. *δέ με* codd. Od. ‖ 18. *ἐσμί* scripsi: *εἰμί* ‖ 20. post *εἱμ.* scriptum *δήσεις* ‖ 26. evanida in hoc scholio multa: supplementa fere ex L sumpta, quia certa coram codice videbantur, indicare nolui ‖ 31. *οἵαν* Cornuti codicum pars ‖ *γενομένων* etiam Cornutus

Digitized by Google

*σύμβολον τοῦ καθαροῦ καὶ ἀμιάντου ἤτοι τῆς ἀρετῆς. ὡπλισμένη δὲ πλάττεται, καὶ οὕτως ἱστοροῦσιν αὐτὴν γεγονέναι, παριστάντες ἐκ τούτου ὅτι αὐτάρκης καὶ ὡπλισμένη ἐστὶν ἡ φρόνησις πρὸς τὰς μεγίστας καὶ δυσχερεστάτας πράξεις. διὰ ταύτην τὴν αἰτίαν καὶ τὸ γοργωπὸν ἔχει καὶ τὸ ἀνδρεῖον καὶ τὸ γλαυκῶπις λέγεσθαι· τῶν γὰρ θηρίων τὰ ἀλκιμώτατα, ὡς λέοντες καὶ παρδάλεις, τοιαῦτά εἰσιν. ἱστόρηται δὲ ἔχουσα προτομὴν* Γοργόνος *κατὰ τὸ μέσον στῆθος διὰ τὸ γοργὸν τῆς φρονήσεως ἔξω προβεβληκυῖαν τὴν γλῶσσαν, ὡς ἂν ἐκφανεστάτου ὄντος ἐν τῇ τῶν πάντων οἰκονομίᾳ τοῦ λόγου. ἀνατίθεται δὲ αὐτῇ καὶ ἡ γλαῦκα διὰ τὸ ἐμφερὲς τῶν ὀμμάτων καὶ οἱ δράκοντες· σμερδαλέον γὰρ ὁ δράκων δέδορκε καὶ τὸ φυλακτικὸν ἔχει, τοιοῦτος δὲ καὶ ὁ φρόνιμος. ἀλλὰ καὶ ἄγρυπνος ὁ δράκων καὶ οὐκ εὐθήρατός ἐστιν· τοιοῦτος δὲ καὶ ὁ φρόνιμος· "οὐ χρὴ" γὰρ "παννύχιον εὕδειν βουληφόρον ἄνδρα"* (Il. 2. 24). *λέγεται δὲ καὶ* Ἀτρυτώνη *ὡς μὴ τρυομένη καὶ καταπονουμένη ὑπ' οὐδενὸς πόνου· ἀκαταπόνητος γὰρ ὁ φρόνιμος. ἀλλὰ καὶ* Τριτογένεια *λέγεται ὡς τοῖς κακοῖς ἐγγεννῶσα τὸ τρεῖν καὶ φοβεῖσθαι—ἀεὶ γὰρ πολέμιός ἐστι πρὸς τὴν κακίαν—ἢ ὡς τὰ τρία γένη τῶν σκεμμάτων τῆς κατὰ φιλοσοφίαν θεωρίας γεννῶσα, τὸ φυσιολογικόν, τὸ θεολογικὸν καὶ μαθηματικόν. ἀλλὰ καὶ ἡ ἐλαία ταύτῃ ἀνάκειται διὰ τὸ ἀεὶ θάλλειν* (Cornut. Theol. c. 20 p. 35 L.)

196. *ἄμφω] καὶ τὸν* Ἀγαμέμνονα *καὶ τὸν* Ἀχιλλέα

197. *κόμης ἕλε] ὅπου τὸ λογιστικόν, διδάσκει*

*ξανθῆς δὲ κόμης] τουτέστιν ἐπελάβετο ἡ φρόνησις αὐτοῦ τοῦ ξανθοκόμου* Ἀχιλλέως *καὶ κατέπαυσεν αὐτόν. ὑπογράφει δὲ ἡμῖν τὸν* Ἀχιλλέα *ἐν τούτοις ψυχῇ τε καὶ σώματι, ψυχῇ μέν, ὅτι θυμοειδής, ἐκ τοῦ εἰπεῖν αὐτὸν ξανθόκομον· οἱ γὰρ ξανθόκομοι ὀξύχολοι ὡς ὑπερωπτημένον ἔχοντες τὸ αἷμα καὶ τὴν χολήν, πρὸς ἧς ποιούμεναι αἵ τε κόμαι καὶ τὰ σώματα χρώζονται, καὶ ⟨τὰ⟩ τῶν ἐκ τῆς μελαίνης χολῆς ὁμοίως πρὸς τὸ μελάντερον· κἀκεῖνοι δὲ ἄγριοί εἰσι καὶ βαρύθυμοι. καὶ ψυχικῶς μὲν οὕτω χαρακτηρίζει· σωματικῶς δὲ ἐκ τοῦ λέγειν, ὅτι ἁπλῶς ξανθὸς καὶ πυρρός. τοιοῦτος γὰρ ἦν* Ἀχιλλεύς, *μακροσκελής τε καὶ ὀξὺς καὶ εὐμήκης λευκός τε καὶ ὑπεσπανισμένος τὸ γένειον*

199. *μετὰ δ' ἔτραπετο] ἤτοι περιεστράφη* A=

200. Ἀθηναίην] Ἰωνικῶς    *οἷ] τὰ αὐτῆς*

*⟨φάανθεν⟩] φαίνω, ἀόριστος ἐφάνθην, τὸ τρίτον πρόσωπον*

7, 8. *τὸ μέσον τῆς θεᾶς διὰ τὸ γ. τ. φρ. καὶ τὸ στῆθος ἔχουσα ἔξω καὶ προβ.*, cf. Corn. || 10. *γλαύξ* Corn. || *ὀμμάτων* Corn.: *ὀνομάτων* || 11. *γὰρ* Corn.: *δὲ* || *φυλ. τι* Corn. || 24–34. margo circumcisus: supplevi tacite ex L || 28. *ὑπεροπτημένον* || 29. suppl. W || *ὡς καὶ τῶν ἐκ* L || 36. *τῆς αὐτῆς*

Digitized by Google

τῶν πληθυντικῶν ἐφάνθησαν καὶ κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ ᾱ καὶ ἀφαιρέσει τοῦ ε̄ “ φάανθεν ”

202. ⟨αἰγιόχοιο⟩] τὴν αἰγίδα ἀνατιθέασι τῷ Διὶ καὶ αἰγίοχος καλεῖται διὰ τὸ τὰς καταιγίδας ἄνω ἡμῶν γίνεσθαι καὶ τὰς βροντὰς καὶ τοὺς κεραυνούς· αἰγίδες γὰρ ἀπὸ τοῦ ἀίσσειν τὸ ὄνομα ἔσχον (Cornut. Theol. c. 9 p. 9 L.)

207. τὸ σὸν μένος] τὴν σὴν ὀργήν

208. ἧκε] ἔπεμψε Δωρικῶς· ἐκεῖνοι γὰρ τὴν ⟨ε̅ι̅⟩ δίφθογγον ὡς ἐπὶ τὸ πλεῖστον η γράφουσιν, ὡς τὸ πλῆον μῆον

213. τόσσα] ἤτοι πολλά

216. ⟨χρή⟩] ἔστι χρῆμι, τὸ δεύτερον χρῄς, τὸ τρίτον χρησί καὶ κατὰ ἀποκοπὴν τῆς σ̅ι̅ συλλαβῆς χρή

219. ἦ] [ἀντὶ τοῦ ἔφη, γενόμενον ἀπὸ τοῦ φημί, καὶ κατὰ ἀφαίρεσιν τοῦ φ̅ ἡμί]· ὁ μέλλων ἥσω, ὁ δεύτερος ἀόριστος ἦν, τὸ τρίτον ἦ

220. ἀπίθησεν] ἀπὸ τοῦ πίθω πιθήσω

223. ἐξαῦτις] ἐκ δευτέρου A +

228. τὸ ἐν τῷ πολέμῳ ἢ λόχῳ εὑρεθῆναι θάνατός σοι φαίνεται A =

231. βασιλεύς] σύ  ἐπεί] ὅτι

οὐτιδανούς φησι τοὺς Ἕλληνας οὐχ ὡς ὑβρίζων αὐτούς, ἀλλὰ παροτρύνων κατ' αὐτοῦ  232. Ἀτρείδη] ὦ

235. τομήν] ῥίζαν A +  236. ἕ] αὐτὸ τὸ σκῆπτρον

ἔλεψεν] ἢ ἐλέπισεν, ὅ ἐστιν ἔγλυψεν  237. τὲ καί] ἤτοι

μίν] αὐτό

239. ⟨εἰρύαται⟩] ῥύω τὸ φυλάττω, καὶ Ἀττικῶς ἐπενθέσει τοῦ ε̄ ἐρύω, ὡς τὸ θέλω ἐθέλω· ὅθεν εἶρυον ὁ παρατατικὸς διὰ τῆς ε̅ι̅ διφθόγγου πρὸς ἀντιδιαστολὴν τοῦ ἀρύω ἤρυον· κανονίζεται δὲ οὕτως· ἐρύω, ὁ μέλλων ἐρύσω, ὁ παρακείμενος εἴρυκα, ὁ παθητικὸς εἴρυμαι εἴρυσαι εἴρυται εἰρύμεθα εἴρυσθε εἴρυνται καὶ Ἰωνικῶς “ εἰρύαται ”

ὅ] οὗτος A =  245. βάλε] διὰ τὴν ὀργήν A +

249. τροπικὴ ἡ λέξις, ἐκ μεταφορᾶς τοῦ ὕδατος

250. μερόπων] τῶν ἐχόντων τὴν φωνὴν με[ρι]ζομένην εἰς συλλαβάς, ἤτοι ἔναρθρον, καὶ πρὸς σύγκρισιν τῶν ἄλλων ζῴων A +

251. τράφεν] Ἴωνες καὶ ὑπερσυντελίκως

254. πόποι] φεῦ, παπαί A —  262. ἴδον] Ἰωνικὸν καὶ Ἀττικόν

271. κατ' ἔμ' αὐτόν] κατὰ τὴν ἐμὴν δύναμιν

273. τὸ θέμα ξυνίω ἐξύνιον καὶ συστολῇ “ ξύνιον ”

274. ὔμμες] Αἰολικόν A =

278. μείρω τὸ μερίζω, ὁ μέλλων μερῶ, ὁ μέσος παρακείμενος μέμορα καὶ καθ' ὑπερβιβασμὸν ἔμμορα

8. τὴν ε̅ι̅ δίφθογγον scripsi : τὰ δίφθογγα ‖ 13, 14. a bibliopega resecta supplevi ex L ‖ 14. ὁ τρίτος ‖ 25. τὸν θ. ‖ 33. ὑπερσυντέλικος ‖ 36. debebat ἀφαιρέσει

Digitized by Google

282. παῦε] ἀποστροφὴ τὸ σχῆμα

289. σημαίνειν] προστάσσειν A=

ἅτινα] εἰς  * πείσεσθαι] πεισθῆναι

ib. τὸ "πείσεσθμι" ἐνταῦθα ἑρμηνεύεται κατὰ μὲν τὴν πρώτην ἐπιβολήν, ⟨ἐν τῷ⟩ "ἅτινα" τοῦ τινά πληθυντικῶς ἐκλαμβανομένου καὶ πρὸς τὸ ἅ συναρτωμένου, ἅτινα οὐ πείσεσθαι καὶ σχεῖν καὶ εὑρεῖν τὸν Ἀχιλλέα ὀίω καὶ οἶμαι. τίνα ταῦτα; τὸ "πάντων μὲν κρατέειν," "πᾶσιν δὲ ἀνάσσειν" καὶ "πᾶσι σημαίνειν." διαφέρει ταῦτα. "κρατέειν" τὸ κράτος ἔχειν πάντων. καὶ κατὰ τοῦτο διαφέρει τοῦ βασιλεύειν, κατὰ τὴν ἐνέργειαν καὶ τὴν πρᾶξιν· πολλάκις γὰρ βασιλεῖς εἰσιν ἀνενέργητοι, καὶ οἱ ἐνεργεῖς ἀντὶ τούτων πράττουσιν. οἱ δὲ σημαίνοντες παρὰ τούτους ἄλλοι εἰσίν, οἱ τῇ βουλῇ καὶ τῷ λόγῳ τῶν ἄλλων προηγούμενοι. καὶ τρία ταῦτά εἰσι τὰ μέγιστα, βασιλεία—ἢ καὶ ἐξουσία—καὶ κράτος χειρῶν καὶ λόγου καὶ βουλῆς σχέσις. ταῦτα ⟨οὐ⟩ φησιν Ἀγαμέμνων πάντα πείσεσθαι τὸν Ἀχιλλέα ἔχειν· ἀδύνατον γάρ φησι τὸν αὐτὸν τοῖς τρισὶ τιμηθῆναι ἐκ θεοῦ· ἄλλῳ γὰρ ἄλλο ἀγαθὸν ἐκ θεοῦ ἀπομεριζόμενον δίδοται, καὶ οὐ πάντα τῷ αὐτῷ. καὶ τοῦτο μὲν τὸ κατὰ πρώτην ἐπιβολήν. οἱ δὲ τὸ "τινά" ἑνικῶς ἐκλαμβάνονται καὶ λέγουσιν, ἃ οὐκ οἶμαί τινα ἕνα ἄνθρωπον πείσεσθαι καὶ παθεῖν καὶ σχεῖν ἐν ταὐτῷ, ὡς ἄλλῳ ἄλλο διδόμενον παρὰ θεοῦ. ἢ οὕτως· οὐκ οἶμαι τὸν Ἀχιλλέα πείσεσθαι καὶ πείσειν τινὰ ὥστε ἔχειν αὐτὰ τὸν Ἀχιλλέα. τρόπον δέ τινα ἐνταῦθα Ἀγαμέμνων ἑαυτοῦ καὶ τοῦ Ἀχιλλέως καὶ τοῦ Νέστορος τὰς ἐκ θεοῦ δωρεὰς διέγραψεν, ὅτι Ἀχιλλεὺς μὲν ἔχει κράτος χειρός, ἐγὼ δὲ βασιλείαν, σὺ δὲ βουλήν· αὐτὸς δὲ ὁ Ἀχιλλεὺς βούλεται καὶ τὰ τρία ἔχειν

290. ὁ λόγος τοιοῦτος· εἰ πολεμιστής ἐστιν Ἀχιλλεὺς γνώμῃ τῶν θεῶν, διὰ τοῦτο προπετής ἐστιν ἐπὶ τὸ ὀνειδίζειν καὶ κακῶς λέγειν ἡμᾶς τοὺς βασιλεῖς;

305. ἀνστήτην] ἀνέστησαν

309. ἔκρινεν] κατηρίθμησεν ἐπελέξατο A—

310. βῆσε] ἐπεβίβασεν  καλλιπάρηον] Δωρικῶς

311. εἷσεν] ἐκάθισεν A=

316. ἀτρυγέτοιο] τῆς ἀκάρπου ἢ τῆς ἀκαταπονήτου ἢ τῆς ἐχούσης πολλὴν τρύγα ἤτοι ὑποστάθμην A—

317. δ' σημαίνει τὸ λίπος, τὸν ἐπίπλουν, τὸ κρέας καὶ τὴν ἀναθυμίασιν, ὅπερ νῦν φησιν A+

322. ὀτρηρὸς ὁ ἐνεργός, ὁ μὴ ἀναμένων παροτρυνθῆναι παρά τινος· γέγονε δὲ παρὰ τὸ τρέω τὸ σημαῖνον τὸ φοβοῦμαι ὄνομα ῥηματικὸν τρεερός, ὡς φαίνω φανερός, καὶ κατὰ κρᾶσιν τῶν δύο $\overline{εε}$ εἰς $\overline{η}$ τρηρός

15. suppl. Bekker

Digitized by Google

ὁ δειλός—ἐξ οὗ καὶ τρήρων παρωνύμως—καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀτρηρός ὁ δραστικὸς καὶ μὴ δειλός, καὶ μεταβολῇ τοῦ ᾱ εἰς ō ὀτρηρός

326. ἐπὶ μῦθον ἔτελλεν] προσέταξεν ἐκείνοις

338. μάρτυροι] Ἰωνικῶς

339. πρός τε] ἔμπροσθεν· ὁ δὲ σύνδεσμος παρέλκει Ἀττικῶς

342. θύει] ἐνθουσιᾷ, μέμηνεν

345. φίλος μὲν ὁ συγγενή, ἑταῖρος δὲ ὁ συμπολίτης, παρὰ τὸ ἔτης ὁ πολίτης καὶ τὸ ἄρω τὸ ἁρμόζω

347. τώ] οἱ κήρυκες 349. ἄφαρ] ταχέως

351. ὀρέγνυμι καὶ ἡ μετοχὴ "ὀρεγνύς"

553. ἐγγυαλίξαι] τὸ εἰς τὰ γυῖα ἤτοι εἰς τὰς χεῖρας τιθέναι

358. Νηρεὺς ἡ θάλασσα λέγεται ἀπὸ τοῦ νεῖσθαι δι' αὐτῆς· καλοῦσι δὲ τὸν Νηρέα καὶ 'ἅλιον γέροντα' διὰ τὸ ὥσπερ πολιὰν ἐπανθεῖν τοῖς κύμασι τὸν ἀφρόν· καὶ γὰρ ἡ Λευκόθεα τοιοῦτόν τι ἐμφαίνει (Cornut. Theol. c. 23 p. 44 L.). ἢ καὶ ὅτι τὸ ὕδωρ πρῶτον τῶν ἄλλων στοιχείων, ὡς ἐδόξασεν ὁ Θαλῆς

359. καρπαλίμως] ἐν κινήσει κεφαλῆς, ἀπὸ τοῦ κάρα καὶ τοῦ πάλλω τὸ κινῶ

361. ὀνόμαζεν] Ἀχιλλέα ἐκάλεσεν

363. εἴδομεν] γνῶμεν· Ἰωνικῶς

366. ὁ τρόπος καὶ ὑπεροχὴ καὶ συνεκδοχή· ὑπεροχὴ μέν, καθὸ τὴν Θήβην μόνην ἐξέλαβε τὴν μεγίστην πόλιν, συνεκδοχὴ ⟨δέ⟩, καθὸ καὶ τὰς ἄλλας συνεδέξατο, τὴν Χρῦσαν καὶ τὴν Βρῖσαν καὶ τὰς ἄλλας

τρεῖς δέ εἰσι Θῆβαι, Καδμεῖαι αἱ Βοιωτικαί, αἱ Αἰγύπτιαι αἳ καὶ ἑκατόμπυλοι καὶ αἱ Ὑποπλάκιαι, τὸ λεγόμενον Ἀδραμύττιον A +

Ἠετίωνος] τοῦ πατρὸς τῆς Ἀνδρομάχης τῆς γυναικὸς τοῦ Ἕκτορος

369. ἐκ δ' ἕλον] ὡς ἐξαίρετόν τι ἔδωκαν

385. ἑκάτοιο] Ἀπόλλωνος 388. ὃ δή] ὅστις, Αἰολικῶς

389. τήν] τὴν Χρυσηΐδα 390. ἄνακτι] τῷ Ἀπόλλωνι

393. περίσχεο] περίσχου, φρόντισον A =

⟨ἑῆος⟩] ἀπὸ τοῦ ἔω ῥήματος τοῦ σημαίνοντος τὸ ὑπάρχω ὄνομα ῥηματικὸν ἐύς—σημαίνει δὲ τὸν ἀγαθόν—ὡς ἥδω ἡδύς, καὶ τροπῇ τοῦ ε̄ εἰς η̄ ἠύς ἠέος καὶ ἐν ὑπερθέσει τοῦ ε̄ ἑῆος

397. ὅτε] ἡνίκα 406. ἔδησαν] Δία

408. αἴ] Δωρικόν 409. ἔλσαι] συνελάσαι, συγκλεῖσαι

414. αἰνά] αἰνῶς 425. δωδεκάτῃ] ἡμέρᾳ

426. τοί] δή δῶ] ἀποκοπῇ 433. ἱστία] τὰς [ὀθ]όνα[ς]

435. ὅρμον] λιμένα 436. εὐνάς] τὰς ἀγκύρας

449. οὐλοχύτας] ὄνομα θηλυκόν· οὐλαὶ αἱ κριθαί, παρὰ τὸ ὅλον, ὡς πρὸς τὰς ἀληλεσμένας AB +

7. an συνήθης? ‖ 14. ἐμφαίνει :— ‖ 23. βρῦσαν, cf. Wilamowitz Phil. Unt. VII 411 ‖ 32. ἐὺς post ἡδὺς omisi

Digitized by Google

455. ἐέλδωρ] παρὰ τὸ ἔλ[δειν] αὐτὸ καὶ ἕλκειν

458. οὐλοχύτας] κριθαὶ μετὰ ἁλῶν μεμιγμέναι, ἃς ἐπέχεον τοῦ ἱερουργουμένου ζῴου A—

459. αὐέρυσαν] εἰς τοὐπίσω τοὺς τραχήλους τῶν ζῴων A+

461. ⟨δίπτυχα ποιήσαντες⟩] [δι]πλώσαντες [τὴν] κνίσσαν· νῦν δὲ [λέ]γει τὸν ἐπίπλουν

ἐπ' αὐτῶν δ' ὠμοθέτησαν] ἐπ' αὐτῶν δὲ ὠμῶν τῶν ἱερείων ἀπαρξάμενοι ἔκοψαν μικρὸν ἀπὸ παντὸς μέλους καὶ ἐπέθηκαν [ἐπὶ τὰ μηρία ὡς δοκεῖν ὅλα τὰ μέλη τοῦ ἱερείου καρποῦσθαι] A+

462. ἐπὶ σχίζῃσι] ἤτοι ἐπὶ σχιζῶν A=

ὁ γέρων] ὁ Ὀδυσσεὺς ἢ ὁ ἱερεύς

463. πεμπώβολα] ὀβελίσκους

πεμποόβολα [ἦ]ν, καὶ κιρνῶνται [τὰ] δύο ο̅ο̅ εἰς ω̅ μέγα

•466. ἐρύσαντο] ἔξωθεν      469. ἔρος τοῦ ἔρου τὸν ἔρον

ἵημι, ὁ μέλλων ἥσω, ὁ ἀόριστος ἧν, ὁ μέσος ἔμην, τὸ πληθυντικὸν ἔμεθα ἔσθε "ἕντο" A+

482. στείρῃ] τρόπιδι A=B+

ἤτοι τὴν στερεὰν καὶ ἄτονον. στέρρα, καὶ κατὰ ἀποβολὴν τοῦ ἑνὸς ρ̅ καὶ προσθέσει τοῦ ι̅ στεῖρα. ἢ ἐν ᾗ στηρίζονται τὰ λοιπὰ πάντα τῆς νηός, ἢ τὴν στεῖραν οὖσαν ὡς μὴ ἔχουσαν ἕτερον ξύλον ὅμοιον ταύτῃ

πορφύρεον] μέλαν      ἴαχε] ἦχει

483. διαπρήσσουσα] διαπερῶσα A+

491. φθινύθεσκε] διέφθειρεν      497. ἠερίη] δι' ἀέρος

501. ἀνθερεῶνος] τοῦ ὑπογενείου, διὰ τὴν ἐξάνθησιν τῶν τριχῶν

509. τόφρα] ἐπὶ τοσοῦτον A=      518. ἔργα] ἔσται

ἐφήσεις] ἐποτρυνεῖς      524. ὄφρα] ὅπως

ἐὰν πεποίθω, ἐὰν πεποίθῃς

526. "[τέ]κμωρ" [τὸ ἀποτέ]λεσμα· [τέκμ]αρ τὸ [τεκ]μήριον τὸ [σημεῖ]ον

530. ἐπερρώσαντο] ἐσείσθησαν A=

ῥῶ τὸ κινῶ καὶ σείω, ὁ μέλλων ῥώσω, ὁ ἀόριστος ἔρρωσα

531. τμήγω, ὁ μέλλων τμήξω, ὁ μέσος παρακείμενος ἔτμηγα, ὁ δεύτερος ἀόριστος ἔτμαγον, ὁ παθητικὸς ἐτμάγην καὶ τὸ τρίτον τῶν πληθυντικῶν κατὰ συγκοπὴν "ἔτμαγεν"

538. ἁλίοιο γέροντος] Νηρέως      543. νοήσῃς] μάθῃς

546. χαλεποί] δυσχερεῖς      547. ὅν] μῦθον

548. πρότερος] σοῦ      553. μεταλλῶ] ἐπιζητῶ πολυπραγμονῶ

562. "ἀπὸ θυμοῦ" τὰ ἐχθρά

2. repetitur κριθάς || 3. ἱερουργημένον || 8, 9. recisa supplevi ex L || 18. ἄτ. στερρεά || 24. ἢ ante δι' omisi || 29, 30. recisa supplevi ex L

Digitized by Google

569. *ἐπιγνάμψασα*] *ἐπικάμψασα ἤτοι πραΰνασα* Α—

570. *ὤχθησαν*] *ἠγανάκτησαν*

571. *ὁ αἰθήρ, τὸ καθαρὸν καὶ διαυγὲς πῦρ, Ζεύς ἐστι, τὸ δὲ ἐν χρήσει καὶ ἀερομιγὲς Ἥφαιστος, ἀπὸ τοῦ ἧφθαι ὠνομασμένος. διὰ τοῦτο καὶ ἐκ Διὸς καὶ Ἥρας ἔφασαν αὐτόν τινες γενέσθαι, οἱ δὲ ἐκ μόνης τῆς Ἥρας, διότι αἱ φλόγες παχυμερέστεραί πως οὖσαι ἐκ μόνου τοῦ ἀέρος διακαιομένου τὴν ὑπόστασιν λαμβάνουσιν. λέγεται δὲ "κλυτοτέχνης" οἱ γὰρ πλείους τῇ Ἀθηνᾷ καὶ τῷ Ἡφαίστῳ τὰς τέχνας ἀνατιθέασι, τῇ μὲν Ἀθηνᾷ, ἐπεὶ φρόνησις καὶ ἀγχίνοια εἶναι δοκεῖ, τῷ δὲ Ἡφαίστῳ διὰ τὸ τὰς πλείστας τῶν τεχνῶν διὰ πυρὸς τὰ ἑαυτῶν ἔργα ἀποδιδόναι* (Cornut. Theol. c. 19 p. 33 L.)

577. *παράφημι*] *παραινῶ* Α+ 591. *τεταγών*] *τινάξας*

*τάζω τὸ τείνω, ὁ μέλλων τάξω, ὁ μέσος παρακείμενος τέταγα, ὁ δεύτερος ἀόριστος ἔταγον, ἡ μετοχὴ ταγὼν καὶ κατὰ ἀναδιπλασιασμὸν "τεταγών"*

*ῥιφῆναι ὑπὸ τοῦ Διὸς εἰς γῆν ὁ Ἥφαιστος λέγεται ἐξ οὐρανοῦ διὰ τὸ τοὺς πρώτους ἴσως ἀρξαμένους χρῆσθαι πυ[ρὶ] ἐκ κεραυνοβολίου καιο[μένῳ]* (Cornut. l. c. p. 34)

606. *χωλὸς ὁ Ἥφαιστος λέγεται διὰ τὸ μὴ δύνασθαι προβαίνειν δίχα ξυλώδους τινὸς βάκτρου. τινὲς δέ φασι, διότι τὴν ἄνω κίνησιν τῆς κάτω πρὸς τὴν τροφὴν ἄνισον καὶ ἀνώμαλον ποιεῖται· βραδυτέρας δὲ αὐτῆς οὔσης χωλαίνειν αὐτὸν ἔφασαν* (Cornut. l. c. p. 33 sq.)

*κακκείοντες*] *κατακοιμηθησόμενοι.*

## Β.

1. ** *⟨ἱπποκορυσταί⟩*] *οἱ ἐφ' ἵππων ὁπλιζόμενοι ἢ ἵππους κορύσσοντες—τουτέστι πολεμικοί—ἢ ἀπὸ τῶν ἵππων μαχόμενοι*

8. *οὖλος σημαίνει δ'· τὸν ὁλόκληρον "ἄρτον—οὖλον ἑλὼν [ἐπένειμε τραπέζῃ]"* (Od. 17. 343) *καὶ τὸν μαλακόν, ὡς τὸ "οὔλων τε ταπήτων"* (Il. 16. 224) *καὶ τὸν ὀλέθριον, ὡς τὸ "οὖλος Ἄρης ὤτρυνε μετελθών"* (Il. 5. 461) *καὶ τὸν συνεστραμμένον, ὡς τὸ "γυρὸς ἐν ὤμοισιν μελανόχροος οὐλοκάρηνος"* (Od. 19. 246) Α+

11. *ἕ*] *αὐτόν* 12. *πανσυδίῃ*] *πανστρατιᾷ*

** *τὸ "νῦν" δηλοῖ χρόνους τρεῖς· ἐνεστῶτα, ὡς τὸ "νῦν μὲν πειρᾶται, τάχα δ' ἴψεται υἷας Ἀχαιῶν"* (Il. 2. 193)· *δηλοῖ καὶ τὸν ἐληλυθότα, ὡς τὸ "νῦν μὲν—Μενέλαος ἐνίκησεν σὺν Ἀθήνῃ"* (Il. 3. 439)· *σημαίνει καὶ τὸν μέλλοντα, ὡς τὸ "νῦν μὲν ἐγχεί⟨ῃ⟩ πειρήσομαι"* (Il. 5. 279) ΑΒ+

14. *ἀθάνατοι φράζονται*] *οἱ μὲν ὑπὲρ Ἑλλήνων, οἱ δὲ ὑπὲρ τῶν* Τρώων Α+

14. *ὁ* ante *ταγών* omisi || 21. *τῇ κ.* coni. Studemund || 27, 28. inclusi: om. A, *περικαλλέος ἐκ κανέοιο* codd. Od. || 36. *νῦν αὖτ'* codd. Il.

ἐπέγναψεν] ἔπεισεν 20. Νηληΐῳ υἷι] τῷ Νέστορι

22. ἐεισάμενος] ὁμοιωθείς 44. λιπαροῖσιν] λευκοῖς, εὐτραφέσιν

45. ξίφος] σπάθη A=

58. "εἶδος" ἐπὶ τοῦ προσώπου, "μέγεθος" ἐπὶ τοῦ σώματος, "φυήν" δὲ τὸ ὅλον κάλλος ἤτοι τὴν τοῦ ὅλου σώματος εὐπρέπειαν

77. ἠμαθόεντος] τῆς ψα[μμ]ώδους A+

84. βουλῆς ἐξ ἦρχε νέεσθαι] τῆς τοῦ βουλευτηρίου ἐξόδου προηγεῖτο A=B+

87. ἀδινάων] τῶν ἄδην καὶ ἀθρόως πετομένων A=

[παραβολὴ παραδείγματος διαφέρει, καθὸ ἡ μὲν ἀπὸ τῶν καθ' ἑκάστην γινομένων λαμβάνεται, ὡς ἔχει τὸ "ὥσπερ γὰρ οἱ τὴν γῆν ἐργαζόμενοι," τὸ δὲ ἀπὸ τῶν ἅπαξ γεγονότων, ὡς ἔχει τὸ "τὸν Δημοσθένους ὅρα μοι βίον·" ἔτι δια]φέρουσι τῷ τὸ μὲν [παράδει]γμα ἀπὸ [μόνων] τῶν λογικῶν [ζῴων] παραλαμβά[νεσθαι], τὴν δὲ παραβολὴν [ἀπὸ τῶν] ἀλόγων καὶ ἀπὸ [τῶν ἀψύ]χων ἐνίοτε (Doxopater in Aphthon. II 273 Walz)

93. ⟨δεδήει⟩] ἤτοι ἐφρυκτώρει ἐλαμπαδούχει ⟨ἢ⟩ ἐπυρσοβόλει· τινὲς δέ φασι τὸ "δεδήει" ἀντὶ τοῦ διήει, ἤτοι διήρχετο, καὶ ἐν συγκοπῇ δῄει καὶ ἀναδιπλασιασμῷ "δεδήει"

[δα]ίω τὸ καίω, [ὁ μέ]λλων δαίσω, [ὁ παρακείμενος] δέδαικα, [ὁ μέσος] δέδαια, [καὶ τρο]πῇ τοῦ ā εἰς η [δέ]δηα, ὁ μέσος [ὑπερ]συντέλικος [ἐδε]δήειν ἐδε[δήεις] ἐδεδήει, [καὶ τὸ] Ἰωνικὸν δε[δήει]

99. ἐρήτυθεν δὲ καθ' ἕδρας] κατεῖχον δὲ ἕκαστος τὰς ἑαυτοῦ καθέδρας

103. διακτόρῳ] διάκτορι ὤφειλεν ἀπὸ τοῦ διάκτωρ· ἔστι δὲ μεταπλασμός

104. τὸν Ἑρμῆν ἡγεμόνα τῶν Χαρίτων παραδιδόασιν, ἐμφαίνοντες ὅτι εὐλόγως χαρίζεσθαι δεῖ, καὶ μὴ εἰκῇ ἀλλὰ τοῖς ἀξίοις· ὁ γὰρ ἀχαριστηθεὶς ὀκνηρότερος γίνεται πρὸς τὸ εὐεργετεῖν. τυγχάνει δὲ ὁ Ἑρμῆς ὁ λόγ[ος ὤν], ὃν ἀπέστειλαν πρὸς ἡμᾶς ἐξ οὐρανοῦ οἱ θεοί, μόνον τὸν ἄνθρωπον τῶν ἐπὶ γῆς ζῴων λογικὸν ποιήσαντες, ὃ παρὰ τὰ ἄλλα ἐξοχώτατον εἶχον αὐτοί. ὠνόμασται δὲ ἀπὸ τοῦ ἐρεῖν μήσασθαι, ὅπερ ἐστὶ λέγειν, ἢ ἀπὸ τοῦ ἔρυμα ἡμ[ῶν εἶναι] καὶ οἷον ὀχύρωμα. διάκτορος δὲ κέκληται ἀπὸ τοῦ διάτορος εἶναι καὶ τρανός, ἢ ἀπὸ τοῦ διάγειν τὰ διανοήματα ἡμῶν εἰς τὰς τῶν πλησίον ψυχάς. καθιεροῦσι δὲ αὐτῷ καὶ τὰς γλώσσας. λέγεται δὲ καὶ ἐριούνιος ἀπὸ τοῦ [μεγ]αλωφελής τις εἶναι, καὶ σῶκος ὡς σωτὴρ τῶν οἴκων. Ἀργειφόντης δὲ λέγεται οἱονεὶ ἀργεφάντης, ἀπὸ τοῦ λευκῶς πάντα

10 sqq. recisa supplevi ex L || 15. in fine add. rec. ἐπανέστησαν a L omissum || 18. καὶ scripsi: ἢ || 28 sqq. recisa et evanida omnia in hoc scholio supplevi ex L et Corn. || 36. νοήματα Corn.

Digitized by Google

φαίνειν καὶ σαφηνίζειν—τὸ γὰρ λευκὸν ἀργὸν ἐκάλουν οἱ παλαιοί—ἢ ἀπὸ τῆς κατὰ [τὴν φωνὴν ταχυτ]ῆτο[ς]· καὶ γὰρ τὸ ταχὺ ἀργὸν λέγεται. χρυσόρραπις δὲ λέγεται, ὅτι πολύτιμός ἐστιν ὁ ἐξ αὐτοῦ ῥαπισμός· αἱ γὰρ εὔκαιροι νουθεσίαι πολλοῦ ἄξιαί εἰσιν. λέγεται δὲ καὶ κῆρυξ θεῶν, καὶ διαγγέλλειν αὐτὸν [ἔφασαν τὰ παρ' ἐκείνων τοῖς] ἀνθρώποις, κῆρυξ μὲν ὅτι διὰ φωνῆς μεγίστης παριστᾷ τὰ κατὰ τὸν λόγον σημαινόμενα ταῖς ἀκοαῖς, ἄγγελος δὲ τῶν θεῶν ἐπεὶ τὸ βούλημα τῶν θεῶν γινώσκομεν ἐκ τῶν ἐνδεδομένων ἡμῖν κατὰ [τὸν λόγον ἐννοιῶν. φορεῖ δὲ πέδιλα πτερω]τὰ καὶ δι' ἀέρος φέρεται· πτερόεις γὰρ ὁ λόγος. διδόασι δὲ αὐτῷ καὶ ῥάβδον, 'ᾗ θέλγει τὰ ὄμματα τῶν ἀνθρώπων' ἢ τὰς διανοίας. πλάττεται δὲ καὶ ἄπους καὶ ἄχειρ καὶ τετράγωνος, τετράγωνος μὲν [ὅτι ἑδραῖος καὶ ἀσφαλής, ἄχειρ δὲ] καὶ ἄπους ὅτι οὔτε χειρῶν οὔτε ποδῶν δεῖται εἰς τὸ ἀνύειν τὸ ἔργον. ἱδρύεται δὲ καὶ ἐν ταῖς ὁδοῖς, ἐπεὶ πρὸς πᾶσαν πρᾶξιν ἡγεμόνι αὐτῷ χρώμεθα. ἐπεὶ δὲ κοινὸς καὶ ἀνθρώπων καὶ θεῶν, καὶ κοινὸν ἕρμαιον λέγετ[αι. προσάπτουσι δὲ κ]αὶ λίθους [τῷ] τούτου ἀγάλματι, δηλοῦντες ὡς ἐκ μικρῶν μερῶν συνίσταται ὁ προφορικὸς λόγος (Cornut. Th. c. 16 p. 20 sqq. L.)

106. πολύαρνι] πολυάρνῳ ὤφειλεν ἀπὸ τοῦ πολύαρνος· καὶ ἔστι καὶ τοῦτο μεταπλασμός

112. ⟨σχέτλιος⟩] ὁ τοῦ σχετλιάζειν καὶ δυσφημεῖν τοὺς ἀνθρώπους αἴτιος, ὁ λύπας αὐτοῖς διδούς A—

122. ⟨παυροτέροισι⟩] οἱ μὲν γὰρ Τρῶες χωρὶς τῶν ἐπικούρων ἦσαν ἀριθμῷ μυριάδες πέντε (Il. 8. 562), τὸ δὲ τῶν Ἑλλήνων πλῆθός τινες μέν φασι μυριάδας ιβ', ἄλλοι δὲ ιδ' A=

129. ταμόντες] δι' ἐντομῶν ποιησάμενοι

131. ⟨ἐγχέσπαλοι⟩] οἱ πάλλοντες καὶ κινοῦντες τὰ δόρατα, πολεμικοί· ἔσειον δὲ αὐτὰ πρὸ τῆς ἀφέσεως, μή ποτε ἄρα εἶεν κλασθέντα A=

145. "εὖρος" ὁ ἀπὸ ἀνατολῆς πνέων, ὁ καὶ ἀπηλιώτης, "νότος" ὁ ἀπὸ μεσημβρίας, "βορρᾶς" ὁ ἀπὸ ἄρκτου

153. ⟨οὐρούς⟩] ταφροειδῆ ὀρύγματα, δι' ὧν αἱ νῆες καθέλκονται εἰς τὴν θάλατταν, ἢ τὰς ἀντλίας A—

154. ὑπὸ δ' ᾕρεον] ὑφῄρουν A= ἕρματα] ἐρείσματα A+

155. ⟨ὑπέρμορα⟩] ὑπὲρ τὸ προσῆκον, ὑπὲρ τὸ εἱμαρμένον· ὀνοματικὸν ἐπίρρημα, ὥσπερ καὶ τὸ δέον οὐδέτερον ἀντὶ τοῦ δεόντως Ἀττικῶς παραλαμβάνεται A—

169. ἀτάλαντον] ἰσοτάλαντον

1. ἀργεννόν, cf. l. 3 || 10. δὲ Bekker: γὰρ || 19. ἢ ante πολυάρνῳ omisi || 23. Τρ. οἱ χ. || 34. ἐρείσματα non certum



Digitized by Google

175. κληῖδες αἱ καθέδραι παρὰ τὸ ἐγκλᾶν καὶ κάμπτειν τὰ γόνατα, ἤτοι παρὰ τὴν κλάσιν τῶν γονάτων

183. ἀπὸ—βάλε] ἀπεδύσατο

διὰ τὸ μὴ ἐμποδίζεσθαι αὐτὸν σπεύδοντα ὑπὸ τοῦ πλήθους τῶν ἱματίων A=

ἐκόμισσεν] ἔλαβεν

190. δαιμόνιε] ἡ λέξις τῶν μέσων ἐστί, ποτὲ μὲν ἐπὶ ἐπαίνῳ λεγομένη, οἷον θεῖε μακάριε μέγιστε, ὅτὲ καὶ ἐπὶ ψόγῳ, οἷον ἄφιλε καὶ μάταιε καὶ χείριστε καὶ φαῦλε A+

199. ἐλάσασκεν] ἔπληττεν A= ὁμοκλήσασκε] ἠπείλει A+

211. ἐρήτυθεν] κατέσχον 212. ἐκολῴα] ἐθορύβει A=

214. [ἀπὸ κοινοῦ τὸ] "ᾔδει" 215. οἷ εἴσαιτο] ἐγίνωσκεν

216. ἔμμεναι] ἐδόκει 219. ψοξός] ὀξυκέφαλος A=

ψεδνή] ἀραιὰ μαδαρά A=

παρὰ τὸ ψῶ ὁ μέλλων ψήσω ὄνομα σημαντικὸν ψεδνός ὁ μαδαρός· ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ ψῶ τὸ εἰς ἐλάχιστον καὶ μικρὸν ἔκ τινος οὐσίας καθιστάμενον

226. [διὰ τί] ἀπὸ τῶν [ἄλλων] τοῦ χαλκοῦ ἐμνήσθη; διότι τίμιον ἦν τοῖς ἀρχαίοις

230. ⟨υἷος⟩] ἀπὸ τοῦ υἷις ἡ γενικὴ υἷιος ὡς ὄφιος, καὶ συναιρέσει τοῦ ῡ καὶ ῑ "υἷος"

υἷος] ὑπέρ 234. ἐπιβασκέμεν] ἐπιβαίνειν ποιεῖν

235. ⟨πέπονες⟩] ἐκ μεταφορᾶς τῶν πεπόνων, ἃ τῇ μὲν γεύσει ἐστὶν ἡδέα, τῇ δὲ θίξει καὶ τῇ ἀφῇ μαλακὰ καὶ εὐένδοτα. ἢ "πέπονες" ἤγουν ταλαίπωροι καὶ μάτην πονοῦντες ἀίδια, ἐκ τοῦ πονῶ, καὶ κατὰ ἀναδιπλασιασμὸν τῆς πε συλλαβῆς

ἐλέγχεα] ἀντικρὺς ὀνείδη

⟨πεσσέμεν⟩] ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τῇ γαστρὶ σίτων· καὶ γὰρ αὐτά, ἂν μὴ κρατηθῇ τὸν ὡρισμένον χρόνον, ἀσθενούσης τῆς καθεκτικῆς δυνάμεως οὐ πέπτεται

238. ἦ ρα] ἄρα

241. μεθήμων] πραΰς, ἐνδόσιμος μὴ τῷ θυμῷ ἀλλὰ ἄθυμος

242. Ἀτρείδη] ὦ

265. μετάφρενον] τὸν μεταξὺ τῶν ὤμων τόπον

266. ⟨ἰδνώθη⟩] ἐπεκάμφθη, παρὰ τὸ ἵζω· καὶ γίνεται ἰδνῶ τραπέντος τοῦ ζ εἰς δ Δωρικῶς καὶ πλεονασμῷ τοῦ ν. τὸ ἰδνῶ ψιλοῦται, τὸ ἵζω δασύνεται

267. ⟨σμῶδιξ⟩] παρὰ τὸ σμῶξαι· οὕτω δὲ ἔλεγον οἱ Ἴωνες τὸ πατάξαι B+

17. καθιστῶ Et. M. ‖ 18. supplevi ex L ‖ 20. υἷις ἡ scripsi: ὑίς καὶ ‖ 25. ἀΐδ$^{a}$ legi ‖ τῶν πόνων legi ‖ 30. πέπτεται AD: πέττεται ‖ 37. τὸ ἵζω δ. l. 35 post ἵζω scriptum: traiecit W

Digitized by Google

272. ῥέζω, ὁ μέλλων ῥέξω, ὁ μέσος παρακείμενος ἔροyα καὶ καθ' ὑπερβιβασμὸν τῶν στοιχείων ἔοργα "ἔοργεν"

278. ὣς φάσαν ἡ πληθύς] κατὰ σύνεσιν τὸ σχῆμα A+

285. ἐλέγχιστον] ἐπονείδιστον

291. ⟨πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι⟩] καίτοι λύπης γε οὔσης οὐδὲ μικρᾶς πονήσαντά τινα καὶ μοχθήσαντα ἐπὶ πράγματι ἐπανελθεῖν ἄπρακτον καὶ μὴ ἐκτελέσαντα

297. κορωνίσιν] ἢ ταῖς μελαίναις—κόρη γὰρ τὸ μέλαν—ἢ ταῖς ἐοικυίαις κορωνίσι κατὰ τὸ ἐπικαμπὲς τοῦ ξύλου

303. χθιζά τε καὶ πρωιζά] χθὲς καὶ πρώην. §. κατεσμίκρυνε δὲ τὸν ἐνναετῆ χρόνον, ἵνα μὴ διὰ τῆς ἀναμνήσεως πλέον ποιήσῃ ἀγωνιᾶσαι τοὺς Ἕλληνας A=

308. δράκων] ὅντινά φησιν ὁ Πορφύριος Σθένιον ὀνομάζεσθαι A+

ἐπὶ νῶτα] κατά    δαφοινός] πυρρός

310. ὑπαΐξας] ὁ δράκων

311. στρουθοῖο] τοῦ τρωγλίτου

312. 'ὑποπεπτηκότες' ὑποκείμενοι

314. τετριγῶτας] τρίζοντας, κράζοντας, ποιὰν φωνὴν ἀποτελοῦντας

325. ὄψιμον] βραδύν, βραδὺ τελεσθησόμενον

334. σμερδαλέον] ἐκ τοῦ σμῶ καὶ ἔρδω καὶ τοῦ λίαν

341. ἄκρητοι] αἱ δίχα κρατῆρος οἴνου γινόμεναι θυσίαι

344. ⟨ἀστεμφέα⟩] παρὰ τὸ στρέφω ῥηματικὸν ὄνομα στρεφής καὶ ὑπερβιβασμῷ τοῦ ε̄ καὶ τροπῇ τοῦ ρ̄ εἰς μ̄ μετὰ τοῦ ᾱ στερητικοῦ ἀστεμφής

346. ⟨ἕνα καὶ δύο⟩] ἀφυέστερον αἰνίττεται Ἀχιλλέα καὶ Πάτροκλον ἢ Θερσίτην καὶ εἴ τις ἕτερος τοιοῦτος A=

348. πρὶν—πρίν] πρότερον—πρὸ τοῦ

353. ⟨ἀστράπτων⟩] τὸ σχῆμα ὅμοιον τῷ "ἐξὸν καθεύδ[ων] τὴν ἐρωμένην ἔχ[ειν]" (fr. com. adesp. 83 IV p. 625 M. 282 K)· ἔστι δὲ τὸ σχῆμα Ἀττικόν, οἷον "λέγεται τὸν Ἀλέξανδρον τὸν Μακεδόνα τρῶσαι τοὺς Πέρσας ἐλθὼν εἰς [χ]ωρί[ον] τῆς Περσίδος" (cf. Lesbon. de fig. p. 188 Valck.)

363. φατρία ἐστὶ καὶ πλεονασμῷ τοῦ ρ̄ φρατρία καὶ "φρήτρη·" τὸ δὲ φατρία ἀπὸ τοῦ πατήρ πατρός πατρία καὶ φατρία

376. μετά] εἰς

388. ⟨τελαμών⟩] ὁ ἀναφορεύς, νῦν τῆς ἀσπίδος, ὅ ἐστι πλατὺς ἱμάς, ἀφ' οὗ ἡ ἀσπὶς ἤρτηται· ἔστι δὲ ἕτερος τελαμὼν τοῦ ξίφους A=

1. ἔρρογα ‖ 3. κατὰ σύνεσιν non certum ‖ 8. κοῤ ‖ 14. legi πυρὸς ἦρι ‖ 21. καὶ prius W: τὸ ‖ 22. δίχα W, cf. Et. M.: διὰ ‖ 23. ῥῆμα μὲν δ. ‖ 26. εὐφυέστερον A ‖ 32. στρῶσαι coni. Valck. ad Eur. Phoen. 481 ‖ supplevi evanida ex Lesb. ‖ 35. φατρία bis W: φρατρία bis ‖ 38. ἕτερον



Digitized by Google

389. ἀμφιβρότης] τῆς πανταχόθεν τὸν βροτὸν περισκεπούσης

390. ἐύξοον] τὸν καλῶς κατεσκευασμένον

391. ὃν δέ κ' ἐγών] τῷ δὲ θέλοντι φεύγειν τὸν πόλεμον οὐχ ἱκανὸν οὐδὲ αὔταρκες γενήσεται πρὸς τὸ μὴ ὑπὸ κυνῶν καὶ σαρκοφάγων ὄρνεων διασπασθῆναι

398. κεδασθέντες] σκεδασθέντες

400. ἔρεζε] δύναται ἀπὸ τοῦ ἐπαρκοῦς τὸ βοη[θ]

421. οὐλοχύτας] κριθάς

422. αὐέρυσαν] εἰς τοὐπίσω εἵλκυσαν τοὺς τραχήλους τῶν ζῴων A +

424. δίπτυχα] διπλοῦν τὸν ἐπίπλουν

ἐπ' αὐτῶν] τῶν βωμῶν 425. ἀφύλλοισι] ξηροῖς

426. ὑπείρεχον Ἡφαίστοιο] ὑπεράνω εἶχον πυρός

435. δῆτ' αὖθι] πολὺν χρόνον A= λεγώμεθα] διαλεγώμεθα

436. ἔργον] τὸν πόλεμον 448. ἠερέθοντο] ἐκρέμαντο

449. ἑκατόμβοιος] ἑκατὸν βοῶν ἤτοι [πλείστων] ἄξιος A +

ἕκαστος] [θυσάνων] 450. τῇ] τῇ αἰγίδι

454. γλαφυρῇσι] κοίλαις βαθείαις 455. ἀίδηλον] ἀφανιστικόν

457. χαλκοῦ] τῆς πανοπλίας

461. Ἀσίῳ] ἐν τῷ τῆς Ἀσίας συμφύτῳ τόπῳ

469. ἀδινάων] τῶν ἄδην καὶ δαψιλῶς πετομένων· ὅθεν καὶ δασύνεται

474. αἰπόλια] αἰγονόμια μεγάλα, ὅτι ἐν διαστήματι καὶ πλάτει πλείονες νέμονται αἱ αἶγες A=

αἰπόλιον λέγεται τὸ τῶν αἰγῶν πλῆθος, ποίμνιον τὸ τῶν προβάτων, συβόσιον τὸ τῶν χοίρων, βουκόλιον τὸ τῶν βοῶν, ἱπποφόρβιον τὸ τῶν ἵππων AB=

## Γ.

1. "αὐτάρ" σύνδεσμος συμπλεκτικὸς ἰσοδυναμῶν τῷ δέ, ταύτῃ δὲ διαφέρων αὐτοῦ, ᾗ ὁ μὲν "αὐτάρ" προτάσσεται ὁ δὲ δέ ὑποτάσσεται A=

κόσμηθεν] Δωρικῶς A +

ἅμ' ἡγεμόνεσσιν] ἤτοι ὑπὸ τῶν ἡγεμόνων ἢ σὺν τοῖς

3. οὐρανόθι πρό] πρὸ τοῦ ἀέρος

4. χειμῶνα] τὸν χειμερινὸν τόπον ἤτοι τὴν Θρᾴκην A +

6. Πυγμαίοισι] πυγονιαίοις πηχέοις, ἤτοι ἀπὸ Πυγμαίου βασιλέως οὕτω κεκλημένοις· πυγὼν δὲ καλεῖται ὁ πῆχυς, τὸ ἀπὸ ἀγκῶνος ἕως δακτύλων τῆς χειρὸς διάστημα. ἔστι δὲ ἔθνος γεωργικῶν ἀνθρώπων μικρῶν κατοικούντων εἰς τὰ ἀνωτάτω μέρη τῆς Αἰγύπτου

4. πρὸς τὸ AD: πρὸ ‖ 7. corrupta ‖ 20, 21. δασύνονται ‖ 29. αὐτῷ ‖ 35. πυγονιμαίοις ut D

πλησίον τοῦ Ὠκεανοῦ, ὅπερ πολεμεῖν ταῖς γεράνοις φασὶν ἀποβλαπτούσας αὐτῶν τὰ σπέρματα

11. ⟨νυκτὸς ἀμείνω⟩] τὴν ὀμίχλην φησὶ τοῖς μὲν ποιμέσιν ἀσύμφορον εἶναι, τοῖς δὲ κλέπταις καὶ νυκτὸς ὠφελιμωτέραν, ἐπεὶ τῆς μὲν νυκτὸς ὡρισμένον ἐχούσης καιρὸν ἐν ἀσφαλείᾳ φυλάσσεται τὰ βοσκήματα, τῆς δὲ ἡμέρας ἐσκεδασμένοις αὐτοῖς κατὰ τὰς νομὰς ὁπόταν ἐξαίφνης ἐπέλθῃ ὀμίχλη [εὐκ]όλως αὐτὰ ἀφαιροῦνται

18. ξίφος] σπάθη

24. κεραόν] ζῳόν· νεκροῦ γάρ φασι μὴ ἅπτεσθαι τὸν λέοντα A=

39. γυναιμανές] ἐπὶ γυναιξὶ μαινόμενος, ἢ γυναῖκας εἰς μανίαν φέρων διὰ τὸ κάλλος A+

τὸ "γυναιμανές" ἀπὸ τῆς γυναικός γενικῆς συνεκόπη γυναικομανές, καὶ οὐχὶ ἀπὸ τῆς κλητικῆς· οὐδέποτε γὰρ ἀπὸ κλητικῆς σύνθετον ὄνομα συντίθεται, ἀπὸ δὲ ἄλλων πτώσεων

ἠπεροπευτής ἐκ τοῦ ἥμερος καὶ τοῦ ὄψ, ὃ σ[ημαίνει] τὴν φωνήν, ὁ ἡμέρῳ ὀπ[ὶ] χρώμενος· ἤ, ὥσπερ παρὰ [τὸ] ἔχω ὀχεύς καὶ ἔπω, [ὅ ἐστι] λέγω, ὀπεύς, πλεο[νασμῷ] τοῦ πέρ συνδέσμου περοπεύς καὶ μετὰ τοῦ ā τοῦ σημαίνοντος [τὸ] κακὸν ἀπεροπευ[τής] καὶ τροπῇ ἠπεροπ[ευτής] οἱονεὶ ὁ κακῷ λόγ[ῳ] χρώμενος καὶ ἀπάτῃ

56. δειλήμονες] γράφεται καὶ "δειδήμονες·" ἀμφότερα δὲ δηλοῦσι τοὺς εὐλαβεῖς

57. ἕσσο] ἐνδέδυσο 60. ἀτειρής] ἀκαταπόνητος

61. ὅς τ' εἶσιν] προσληπτέον τὸ καταφερόμενον

63. ὥς τοι] οὕτω σοι

64. "χρυσέης" καλῆς. §. Ἑστιαία δὲ ἡ γραμματική φησιν, ὅτι πεδίον ἐστὶ χρυσοῦν καλούμενον, ἐν ᾧ Ἀφροδίτην τιμᾶσθαι, καὶ εἶναι οὕτω χρυσῆς Ἀφροδίτης ἱερόν. καὶ οἱ μὲν ἀπὸ τῆς Πάφου, οἱ δὲ τὴν καλήν· Κλεάνθης δὲ (fr. 3 W.) καὶ ἐν Λέσβῳ οὕτω τιμᾶσθαι Ἀφροδίτην χρυσῆν B=

65. ἀπόβλητα] ἀποβολῆς ἄξια

66. ἑκών] οἰκείᾳ σπουδῇ, μὴ διδόντων αὐτῶν

73. ταμόντες] δι' ἐντομῶν ποιησάμενοι B+

80. τιτυσκόμενοι] καταστοχαζόμενοι A=

83. στεῦται] παρὰ τὸ στῆθος οἷον ἐν τοῖς στήθεσι διανοεῖται—ἐκεῖ γὰρ τὸ λογικόν, ὥς φησιν Ὅμηρος "στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ" (Od. 20. 17)—ἢ παρὰ τὸ ⟨στῶ⟩ στεύω, ὡς ἀθλῶ ἀθλεύω, στεύεται καὶ κατὰ συγκοπὴν "στεῦται"

84. ἄνεῳ] ἄνευ ἰωῆς ἤτοι φωνῆς καὶ θορύβου

95. ἀκήν] ἐπ' ἄκρας ἡσυχίας ἐγένοντο· ἀκὴ γὰρ ἡ ὀξύτης

1, 2. βλαπτούσας D ‖ 11. φέρων Et. M.: ῥέζων ‖ 18. περιπεύς ‖ 26. χρυσῆν ante Ἀφρ. ut B: del. W ‖ 28. Κλεάνθης B D: ἀπλεάνθης ‖ 36. suppl. W ‖ 38. θορύβου D: -ῆς

Digitized by Google

99. *πέποσθε*] *πεπόνθατε*

100. *ἀρχῆς*] *ἤτοι τῆς ὑπὸ Ἀλεξάνδρου γενομένης ἁρπαγῆς· αὕτη γὰρ ἀρχὴ κακοῦ*

103. *οἴσετε*] *οἱ Τρῶες* 104. *ἡμεῖς*] *οἱ Ἕλληνες*

107. *ὑπερβασίῃ*] *παραβάσει, ἀδικίᾳ*

108. *ἠερέθονται*] *ἤτοι ἀπαιωροῦνται κρέμανται, οἷον οὐκ εἰσὶ σταθεραὶ ἀλλ' ἀβέβαιοι, ἢ μετάβλητοί εἰσι διὰ τὸ τὸν ἀέρα ἀεὶ μεταβάλλεσθαι* 113. *ἐκ δ' ἔβαν*] *κατέβησαν δέ*

115. *ἀμφὶς ἄρουρα*] *τὸ μεταίχμιον δηλονότι* 119. *ἄρν'*] *ἕνα*

121. *Ἶρις*] *σημαίνει δύο, τὴν σωματοειδῆ θεὰν καὶ τὸ νεφελῶδες σύστημα*

122. *γαλόῳ*] *ἡ γάλως τῆς γάλω καὶ πλεονασμῷ τοῦ ō γαλόω*

*Ἀντηνορίδαο*] *τοῦ υἱοῦ τοῦ Ἀντήνορος Ἑλικάονος*

126. *ἐνέπασσεν*] *ἐνεποίκιλλεν· ὅθεν καὶ τὰ ποικίλα παραπετάσματα παστοὶ καλοῦνται*

135. *παρὰ—πέπηγεν*] *παράκειται αὐτοῖς*

160. *τεκέεσσι*] *τοῖς τέκνοις*

166. *ἀπορία. ἐζήτηται πῶς Πρίαμος ἐν τῷ ι' ἔτει πυνθάνεται περὶ τῶν ἀρίστων. ἐπειδὴ πρότερον περὶ τὰς ἀστυγείτονας πόλεις ἐπλανῶντο, νῦν δὲ προ[σ]κάθηνται τῇ Ἰλίῳ. ἢ ὅτι πρῶτον μὲν οὐκ ἦγε σχολὴν πυθέσθαι περὶ αὐτῶν, τοῦ Ἀχιλλέως ἰσχυρῶς αὐτοῖς ἐγκειμένου καὶ μόνον ἑαυτὸν αὐτοῖς ἐπιδεικνύντος καὶ τῷ φόβῳ κατακλείστους ποιοῦντος—ἐφρόντιζε γὰρ τὸ τηνικαῦτα ὁ Πρίαμος οὐ περὶ τούτων, ἀλλὰ περὶ τοῦ σῴζεσθαι τὴν πόλιν—νῦν δὲ μηνιῶντος ἐκείνου καὶ ἰσορρόπου τῆς μάχης γεγενημένης, ὡς καὶ τοῦ τείχους χωρὶς πολεμεῖν τοὺς Τρῶας, εἰκότως περὶ αὐτῶν πυνθάνεται. ἕτεροι δέ φασιν, ὅτι ἀπὸ τῆς πανοπλίας καὶ τῶν ἵππων αὐτοὺς ἐγνώριζον, πρότερον δὲ οὐ τεθέατο οὕτω πάντας ἀόπλους ὡς νῦν* A+

172. *ἑκυρέ*] *ἑκυρὸς παρὰ τοῖς ἀρχαίοις ὁ τοῦ ἀνδρὸς πατήρ*

175. *τηλυγέτην*] *μονογενῆ. ἀγαπητὴν μονογενῆ* [*κα*]*ταχρηστικῶς δὲ εἶπεν·* [*κυρί*]*ως γὰρ τηλύγετοι καλοῦνται οἱ τῆλε τῆς γονῆς* [*ὄν*]*τες παῖδες, ὅ ἐστιν οἱ* [*ἐκ*] *γεροντικῆς ἡλικίας* [*σπ*]*αρέντες· δοκεῖ γὰρ* [*τὰ*] *μετὰ ἀπόγνωσιν* [*τῆς*] *παιδοποιίας γεννώμενα μᾶλλον ἀγαπᾶσθαι* A=

176. *τέτηκα*] *ἤτοι ἐκτέτηκα* 180. *δαήρ*] *ἀνδρὸς ἀδελφός*

183. *δεδμήατο*] *ἤτοι ὑποτεταγμένοι εἰσίν*

186. *Ὀτρεὺς καὶ Μυγδὼν παραδίδονται ἡμῖν παῖδες Δύμαντος, ἀδελφοὶ τῆς Ἑκάβης, βασιλεῖς Φρυγίας*

187. *παρ' ὄχθας*] *παρὰ τὰ χείλη* 196. *κτίλος*] *κριός*

13. *Ἑλικάωνος* || 24. *μηνιῶντος* etiam A: *μηνίοντος* B || 28. *ἀόπλους* etiam D: *ἐνόπλους* AB² || 30–33. recisa supplevi ex L || 34. add. rec. *σχῆμα.ιοπτῶ . ζημ κατὰ . . λαβών*

Digitized by Google

197. πηγεσιμάλλῳ] εὐπαγεῖς μαλλοὺς ἔχοντι

205. ⟨ἤδη γάρ⟩] πρὸ γὰρ τοῦ στρατεῦσαι τοὺς Ἕλληνας εἰς Τροίαν ἦλθον πρέσβεις Ὀδυσσεὺς καὶ Μενέλαος ἀπαιτοῦντες τὴν Ἑλένην· ἐν ᾧ τῶν ἄλλων αὐτοὺς μεθ' ὕβρεως διωξάντων μόνος Ἀντήνωρ ξενίζει φιλοφρόνως

215. γένει ὕστερος] τὴν ἡλικίαν νεώτερος

217. στάσκεν] ἵστατο

ὑπαὶ δὲ ἴδεσκε] ὑπέβλεπεν

218. σημειωτέον, ὅτι ἕκαστος τῶν ἡγεμόνων σκῆπτρον εἶχεν ἴδιον, καὶ Ἀχιλλεὺς ἐν τῷ Α (234) ὄμνυσι κατ' αὐτό Α=

προπρηνές] εἰς τὸ ἔμπροσθεν

220. ζάκοτον] πάνυ ὀργίλον

242. ἅ μοι ἐστίν] ἃ δι' ἐμὲ αὐτοῖς ἐστιν

246. ἐύφρονα] τὸν εὐφραίνοντα

250. Λαομεδοντιάδη] Λαομέδοντος παῖ Πρίαμος, μητρὸς δὲ Ζευξίππης rec. Α+

262. οἱ] αὐτῷ περικαλλέα] εἰς

263. τὼ δέ] οὗτοι δέ Σκαιῶν] πυλῶν

269. οἶνον] τὸν ⟨ἐξ⟩ ἀμφοτέρων τῶν μερῶν κεκερασμένον

272. ἀπεκρέματο ἠώρητο ⟨τὸ⟩ "ἄωρτο"

273. τάμνεν τρίχας] τῶν ἀρνῶν τοὺς κορυφαίους μαλλοὺς ἀπέτεμνεν

278. καμόντας] τοὺς τελευτήσαντας

292. στομάχους] φάρυγγας λαιμούς, ἐπεὶ συνέζευκται ὁ στόμαχος τῷ λαιμῷ

νηλέι] ἀνηλεῖ 300. σφ'] αὐτῶν Β+

301. ἄλοχοι] αὐτῶν αἰχμαλωτισθεῖσαι δαμεῖεν] "μιγεῖεν"

325. Πάριος] Ἰωνικῶς· ἡμεῖς δὲ Πάριδος

331. ἐπισφυρίοις] τοῖς τῶν σφυρῶν καλύμμασιν

333. οἷο] αὐτοῦ

335. σάκος] ὅτι παρὰ πρώτοις Σάκαις εὕρηται· Σάκαι ἐστὶ μέρος Θρᾴκης

337. ἵππουριν] ἐξ ἱππείων τριχῶν τὸν λόφον ἔχουσιν. λόφος δέ ἐστι τὸ τῆς περικεφαλαίας ἀνάστημα

347. παντόσ' ἐίσην] κυκλοτερῆ 351. ὅ με] ὅς με

354. ὅ κεν] ὅς κεν 359. λαπάρην] λαγόνα

360. ἐκλίνθη] ἐνέκλινε τὸ πλευρόν

362. ἀνασχόμενος] ἀνατείνας

'φάλον' τὸ προμετωπίδιον ἀνάστημα τῆς περικεφαλαίας· ἔστι

4. ἐν ᾧ scripsi, οἷς D: ἐν οἷς ‖ 12. ad 238 τώ μοι] νέας τινάς scriptum ‖ 24. λαιμοὺς D: -ὰ ‖ συνέζευκται D: -ο ‖ 31. εὕρηται D: εἴρηται

Digitized by Google

δὲ προκόσμημα· γίνονται γὰρ ἐπὶ τῶν περικεφαλαίων λαμπροί τινες ἧλοι ἕνεκα προκοσμήματος. "φάλον" δὲ τὸ λαμπρόν· ἐντεῦθεν φαλακρὸς ὁ ἔχων φαλιὸν τὸ κάρα A=

365. ὀλοώτερος] ἐμοί

368. ἠίχθη] διέδραμεν ἔβαλον] ἀπέκτεινα

371. μίν] τὸν Ἀλέξανδρον 372. ὀχεύς] σύνδεσμος

376. κεινή] κενὴ Ἰακῶς παχείῃ] τῇ ἰσχυρᾷ

384. Τρῳαί] Τρωικαὶ γυναῖκες 385. νεκταρέου] θείου

ἑανοῦ] λευκοῦ, παρὰ τὸ ἕννυσθαι ὅ ἐστιν ἐνδύεσθαι

387. εἰροπόκῳ] γράφεται "εἰροκόμῳ"

388. ἤσκειν] εἰργάζετο τὸ ῥῆμα ἀσκῶ σημαίνει τὸ μετὰ πολλοῦ πόνου καὶ κόπου ἐργάζεσθαι. παρατατικὸς ἤσκεον ἤσκουν ἤσκεεν· καὶ τὸ ν̄ ἐφελκυστικὸν γίνεται ἐν τῷ τρίτῳ προσώπῳ, ἔτυπτεν ἔλεγεν, οὕτως ἤσκεεν καὶ κατὰ συναίρεσιν "ἤσκειν"

399. δαιμονίη] μακαρία 400. προτέρω] πορρωτέρω

401. Μηονίης] Λυδίας· Μαίονες γὰρ ἐκαλοῦντο οἱ Λυδοί A+

406. ἀπόειπε] ἀπάρνησαι κελεύθους] τὰς μετὰ θεῶν

408. ὀίζυε] κακοπάθει 415. ἀπεχθήρω] μισήσω

419. κατασχομένη] κατακαλυψαμένη ἀργῆτι] λαμπρῷ λευκῷ

420. ἦρχε] προηγεῖτο 427. ἠνίπαπε] ἐκακολόγησεν rec.

438. ἔνιπτε] ἐπίπλεττε

447. ἄρχε λέχοσδε ἰών] προηγεῖτο τῆς ἐπὶ κοίτην ὁδοῦ

457. φαίνετ'] ὡμολόγηται 459. τιμήν] πρόστιμον

## Δ.

5. ἐζήτηται δι' ἣν αἰτίαν οὐ πάρεστι Γανυμήδης, ὢν οἰνοχόος τοῦ Διός. ἔνιοι μὲν οὖν φασιν, ὅτι Διὸς μόνου ὢν διάκονος οὐκ ἐξῆν αὐτὸν κοινῶς πᾶσιν οἰνοχοεῖν· ἡ δὲ Ἥβη εὐλόγως, ὅτι κοινὴ πᾶσίν ἐστιν. ἔνιοι δέ φασιν, ὅτι σκέψεως περὶ τῆς Ἰλίου πορθήσεως γινομένης εὐοικονομήτως ἄπεστι τοῦ συνεδρίου, ἵνα μηδὲν ἐναντίον γένηται, ⟨εἰ⟩ διὰ τὴν πρὸς αὐτὸν χάριν μόνον δόξειεν οἰκτίζεσθαι A—

διὰ τί δὲ μόνῳ τῷ Διὶ Γανυμήδης ὑπηρετεῖ; καί φαμεν, ὅτι ἅπασιν Ἥβη διακονεῖ, ἐπεὶ τὸ θεῖον ἀεὶ νεάζει τε καὶ ἡβᾷ· τοῦτο γὰρ βούλεται αὐτοῖς ἥ τε ἀμβροσία ⟨ἀβροσία⟩ τις οὖσα καὶ τὸ νέκταρ παρὰ τὸ νεάζειν γεγενημένον· Γανυμήδης δὲ ὑπηρετεῖ μόνῳ τῷ Διί, ὅτι ὁ μὲν Ζεὺς ὁ πρῶτός ἐστι νοῦς, μόνος δὲ νοῦς οἰκεῖον ἔχει τὸ τοῖς μήδεσι γάνυσθαι· τοῦτο γὰρ ὁ Γανυμήδης A=

3. φαλὸν A, φάλειον || 4. διατρυφθέν ad διατρυφθέν (sic) 363 adscriptum omisi || 16. Λυδίης || 17. ἀπάρνησαι D : ἀπείργασαι || 18. κακοπαθεῖς || 25. Γαννυμήδης, ut infra || 29. ἄπεστι AD : ἀπέστη || 30. μόνον W : μόνος D, μόνῳ || δόξειεν suppleto εἰ W, δόξῃ D : δείξῃ || ὅτι omisi ante οἰκτ. : τι D || 33. supplevi ex AB²D || 34. γεγεννημένον || 36. γάννυσθαι

8. ἀλαλκομενηΐς] ἡ ἀλάλκουσα τῷ μένει ὅ ἐστι βοηθοῦσα, ἢ ἡ ἐν Ἀλαλκομεναῖς πόλει παρὰ Βοιωτοῖς τιμωμένη, ἔνθα καὶ Ἀλαλκομένιον Ἀθηνᾶς ἱερόν, ἢ ἀπὸ Ἀλαλκομεν⟨ί⟩ου ὄρους τῆς Ἀττικῆς, ἢ παρ' Ἀλαλκομένει τραφεῖσα ⟨τῷ⟩ Βοιωτῷ

11. παρμέμβλωκε] παραμένει 15. αὖτις] ἐκ δευτέρου

16. ἀμφοτέροισι] Τρωσὶ καὶ Ἕλλησιν

43. ζητεῖται πῶς ὁ Ζεὺς τῇ Ἥρᾳ ἅμα μὲν ἑκὼν δίδωσιν, ἅμα δὲ ἄκων. ἔστιν οὖν εἰπεῖν, ὅτι ἑκὼν μὲν δίδωσιν ὡς ἂν ἀδελφῇ καὶ γυναικί, ἄκων δέ, ὅτι τοὺς φιλτάτους π[ρὸς] ἀπώλειαν ἐκδίδωσιν· καὶ γὰρ οἱ ἐν θαλάσσῃ πλέοντες, ὁπόταν περιπέσωσι κινδύνῳ, ἐκβάλλουσι τὸν φόρτον εἰς τὴν θάλασσαν ἑκόντες τε καὶ ἄκοντες, ἑκόντες, ἵνα σωθῆναι δυνηθῶσιν, ἄκοντες δέ, ὅτι τὸν φόρτον ἀπο⟨λ⟩λύουσι δι' ὃν πλέουσιν

49. λοιβῆς] σπονδῆς 60. γενεῇ] τῇ ἡλικίᾳ ἢ τῇ εὐγενείᾳ B +

62. ὑποείξομεν] συγχωρήσομεν

68. φασίν τινες, ὡς οὐκ ἀσεβεῖ ὁ Πάνδαρος, εἰ ἡ Ἀθηνᾶ συνεβούλευσε καὶ ὁ Ζεὺς ἀπέσταλκεν. ῥητέον δέ, ὅτι ὁ μὲν Ζεὺς εἰδὼς τοὺς ὅρκους κακῶς γεγενημένους—οὐδὲν γὰρ ἕτερον Τρῶες ἢ ἐπὶ τοῖς ἀλλοτρίοις ὤμοσαν—διὰ τοῦτο ἐσπούδασε λυθῆναι τὰς ἀδίκους συνθήκας· Ἀθηνᾶν δὲ νῦν ὑποληπτέον τὸν λογισμὸν τοῦ Πανδάρου· καὶ αὐτὸς πρὸς ἑαυτὸν ταῦτα διελογίζετο· ἄπιστοι γὰρ Λυκάονες (Aristot. fr. 151 R.). ἄλλοι δὲ καὶ αὐτοῖς ⟨τοῖς⟩ Ὁμήρου λύοντές φασι προειρηκέναι τὸν ποιητὴν "πειρᾶν, εἴ κε θέλῃσιν" (66, 71), οὐχὶ πείθειν A =

88. διὰ τί ἡ Ἀθηνᾶ εἰς σύγχυσιν τῶν ὅρκων οὐ τῶν Τρώων τινὰ ἐπελέξατο ἀλλὰ τῶν ἐπικούρων—καίτοι κεχαρισμένος ἄν τις ἐγένετο Ἀλεξάνδρῳ μᾶλλον, εἰ τῶν οἰκείων ἦν—καὶ διὰ τί τῶν ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο; καί φησιν Ἀριστοτέλης (fr. 151 R.), ὅτι τῶν μὲν Τρώων οὐδένα, διότι πάντες αὐτὸν ἐμίσουν, ὡς ὁ ποιητής φησιν "ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ" (Il. 3. 454), τῶν δὲ ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο ὡς φιλοχρήματον—σημεῖον δὲ ἡ τῶν ἵππων αὐτοῦ ἐπὶ οἴκου κατάλειψις, ἵνα μὴ δαπανᾷ (Il. 5. 192)—καὶ ὅτι φύσει ἐπίορκος· τὸ γοῦν ἔθνος ἔτι καὶ νῦν δοκεῖ εἶναι ἐπίορκον, ὅθεν ἐκεῖνος ἦν· οἱ δέ φασιν, ὅτι ἀρίστου ἦν χρεία τοῦ δυναμένου καταστοχάσασθαι καὶ τρῶσαι, οὐκ ἦν δέ τις ἐν τῷ Τρωικῷ μέρει τοξότης εὐφυὴς ἢ Ἀλέξανδρος καὶ Πάνδαρος· καὶ διὰ τοῦτο ἐπελέξατο αὐτόν A +

91. Αἰσήποιο] Αἴσηπος ποταμὸς τῆς ὑπὸ τῇ Ἴδῃ Λυκίας

103. Ζελείης] ἡ γὰρ ὑπὸ τῇ Ἴδῃ Λυκία Ζέλεια ἐκαλεῖτο A +

105. ἐσύλα] ἐγύμνου, ἐξέβαλε τῆς θήκης

2. πόλεσι || 2, 3. Ἀλαλκομένειον D || 3. supplevi ex D || 4. παρ' Ἀλαλκομένει D: παρὰ Ἀλκομένει || supplevi ex D || 5. δευτέρου non certum || 16–23. quae ex $B^3$ coram T supplevi, quia certa sunt, non enotavi || 33, 34. τρῶσαι καὶ καταστ. ut A, cf. $B^3$

Digitized by Google

109. *ἑκκαιδεκάδωρα*] *ιϛʹ παλαιστῶν· δῶρον γὰρ καλεῖται ὁ παλαιστής, ἥ ἐστιν ἔκτασις τῆς χειρὸς τῶν δʹ δακτύλων* A +

111. *κορώνην*] *τὸ ἐπικαμπὲς ἄκρον τοῦ τόξου, ὅθεν ἀπ[ήρ]τητο ἡ νευρά*

113. *ἀγκλίνας*] *ἑαυτόν, ὡς μὴ ὁρ[ῷτο] ὑπὸ τῶν Ἑλλήνων* A =

117. ⟨*ἀβλῆτα*⟩] *μὴ ἐπιβεβλημένον, καινόν, ἢ ταχέως βαλλόμενον* *μελαινάων*] *εἰς βάθος διηκουσῶν*

128. *ἀγελείη*] *ἡ ἄγουσα λείαν ἀπὸ τῶν πολεμίων, ὅ ἐστι λαφυραγωγός*

131. *λέξεται*] *κοιμηθῇ* 133. *ἤντετο*] *ἀπήντα ὑπέκειτο*

138. *ἔρυτο*] *ἐβοήθησεν* 141. *ἐλέφαντα*] *ἐλεφάντινον ὀστοῦν*

*φοίνικι μιήνῃ*] *φοινικῷ χρώματι χρίσει, βάψει*

142. ⟨Κάειρα⟩] Καρία, *ἀπὸ* Καρίας, *ὡς τῶν χωρίων τούτων τὸ παλαιὸν καλαῖς βαφαῖς χρωμένων* A +

*παρήιον*] *περιγναθίδιον, τὸ νῦν χαλινάριον*

151. "*νεῦρον*" *ᾧ δέδεται τὸ σιδηροῦν τοῦ βέλους πρὸς τὸν κάλαμον.* §. "*ὄγκους*" *δὲ τὰς ἀκίδας καὶ ἐξοχὰς τοῦ βέλους*

155. *θάνατον*] *εἰς* 156. *οἶον*] *μόνον*

157. *ὡς*] *κατὰ ποῖον τρόπον*

159. *ἄκρητοι*] *ἀτελ[εῖς] ἢ δι' ἀκρήτου οἴνου γινόμεναι*

161. *μεγάλῳ*] *χόλῳ* *ἀπέτισαν*] *ἀποτίσουσιν*

170. *ἀναπλήσῃς*] *πληρώσῃς* 174. *πύσει*] *σήψει*

175. *ἔργῳ*] *πολέμῳ* rec.

184. *δειδίσσεο*] *ἐς δέος καὶ φόβον ἄγε*

186. *εἰρύσατο*] *ἐφύλαξεν*

190. *ἐπιμάσσεται ἠδ' ἐπιθήσει*] *ἐφάψεται καὶ ἐπιψηλαφήσει* A =

197. *τῷ μὲν κλέος*] *ἑαυτῷ ἐμποιήσας* rec.

202. Τρικῆς] *πόλις* Θετταλικῆς

218. *ἐκμυζήσας*] *ἐκπιέσας, ἐκθλίψας*

219. *τά οἱ ποτὲ πατρί*] *αὐτοῦ, τῷ* Ἀσκληπιῷ

223. ⟨*βρίζοντα*⟩] *νυστάζοντα καὶ ἠρεμοῦντα, ἐξ οὗ ἀμελοῦ[ντα]· βρίξαι γὰρ κυρίως ἐστὶ τὸ μετὰ βάρους τροφῆς ἀπονυστάξαι* A —

227. *φυσιόωντας*] *πνευστιῶντας*

229. *παρισχέμεν*] *παρέχειν*

230. *διακοιρανέοντα*] *διατάσσοντα*

235. *ὁ νοῦς· οὐ γὰρ ἐπιβοηθήσει τοῖς ψεύσταις ὁ* Ζεύς

240. *μεθιέντας*] *ἀμελοῦντας* rec.

242. *σέβεσθε*] *ἐντρέπεσθε* A =

248. *εἰρύατ'*] *εἱλκυσμέναι εἰσίν*

3. *τόξου* D : *ξύλου* || *ἀπήρτηται* D, *ἀπ . . τιστο* || 6. *κενόν* || 13. Καρίνη *ἀπὸ* AD || 16. *ἐν ᾧ* D || 28. add. rec. *τὰ κοινῶς λεγόμενα* Τρικαλαί || 29. *ἐκπιέσας* D : *ἐκπιν///σας* || 32. *κυρίως* A : *κύριον*

Digitized by Google

250. κοιρανέων] διατάσσων rec.

251. οὐλαμὸς τάξις συνεστηκυῖα ἐκ μ' ἀνδρῶν. ἦν δὲ φάλαγξ τάξις ἀπὸ ρκ' ἀνδρῶν A+

253. εἴκελος] διφορεῖται τὸ ἁπλοῦν, τὸ δὲ σύνθετον ἀεὶ διὰ διφθόγγου

258. ἔργῳ] ἤ τῇ ἐνέδρᾳ

259. γερούσιον] κατὰ τιμὴν διδόμενον

262. πλεῖον] πλῆρες 264. πάρος] πρότερον

266. ἐρίηρος] εὐάρεστος

276. Ζεφύροιο] ἤ ἀπὸ τοῦ ζόφου καὶ τῆς δύσεως πνέων A+

279. σπέος] σπήλαιον

290. τῷ κε τάχ' ἠμύσειε] οὕτως ἂν ταχέως πορθηθείη rec.

294. στέλλοντα] ἑτοιμάζοντα

295. Πελάγοντα—] οὗτοι ταξίαρχοι ὑπῆρχον. βασιλεὺς ⟨δέ⟩ ἐστι πάντων τῶν Πυλίων ὁ Νέστωρ A=

303. ἱπποσύνῃ] τῇ ἱππικῇ ἐμπειρίᾳ

305. ἀλαπαδνότεροι] ἀσθενέστεροι

306. ὃς δέ κ' ἀνήρ] οἱ μὲν τοῦτό φασι παραγγέλλειν αὐτόν, ἵνα, ὃς ἂν πολεμίου ἅρματος κρατήσας ἐπιβῇ, μάχηται καὶ μὴ ἐξελαύνειν σπουδάζῃ· οἱ δὲ οὕτως· ὅστις δ' ἂν φησιν ἀποπέσῃ τοῦ ἰδίου ἅρματος καὶ ἐπὶ τοῦ πλησίον παραγένηται, μὴ ἡνιοχείτω διὰ τὸ εἶναι αὐτὸν ἐν ἀγνοίᾳ τοῦ ἤθους τῶν ἵππων, δόρατι δὲ μᾶλλον ἀμυνάσθω τοὺς πολεμίους A=

314. βίη] οὕτως δύναμις 321. ἔα] ἀντὶ τοῦ ἦν

327. ἡ εὐθεῖα ὁ Πετεός τοῦ Πετεοῦ, ὡς ἐνεός ἐνεοῦ, καὶ Ἀττικῶς κατ' ἐπέκτασιν τοῦ ο εἰς ω γέγονε Πετεώς· ὡς ἀπὸ τοῦ Μενέλαος Μενελάου Μενέλεως γίνεται κατὰ Ἀττικοὺς καὶ ἀπὸ τοῦ λαός λεώς, οὕτω καὶ ἀπὸ τοῦ Πετεός Πετεώς, εἶτα ἡ γενικὴ τοῦ Πετεῶ καὶ κατὰ πλεονασμὸν τοῦ ο γέγονε "Πετεῶο" A—

328. μήστωρες ἀυτῆς] δυνάμενοι κατὰ μάχην βουλεύσασθαι A+

334. πύργος] τάξις A= 335. Τρώων] κατά

343. ἀκουάζεσθον] καλεῖσθε rec.

346. ὄφρ' ἐθέλητον] ἕως οὗ θέλητε rec.

347. ὀρόφτε] ὀρῷτε 363. μεταμώλια] μάταια

372. πτωσκαζέμεν] καταπτήσσειν, δειλιᾶν

376. ⟨ἄτερ πολέμου⟩] πέμψας γὰρ εἰς Μυκήνας συμμαχίαν ᾔτει ἐπὶ Θηβαίους. Θυέστης μὲν οὖν ἑτοίμως ἐδίδου, σημεῖα δὲ αὐτὸν ἐκώλυσε φαῦλα· ἐπελθόντες οὖν εἰς τὰς Θήβας οἱ Ἀργεῖοι πέμπουσι πρεσβευτὴν Τυδέα, ὃς καὶ καταλαβὼν γυμνικὸν ἀγῶνα συμμαχούσης

2. συνεστηκυῖα D: συντετακυῖα ‖ 6. ἤτοι ἐνέδρᾳ coni. W ‖ 14. supplevi ex D ‖ 34. ὁρᾶτε alterum ‖ 38. εἰς τὰς Θήβας D: ἐν ταῖς Θήβαις ut A ‖ 39. καὶ post ἀγ. ut AD: omisi

Digitized by Google

Ἀθηνᾶς νικᾷ τὰ πάντα· ὑποστρέφων δὲ πεντήκοντα νεανίας ἐνεδρεύοντας αὐτὸν συλλαβὼν ἀπέκτεινεν A+

379. λίσσοντο] τοὺς Μυκηναίους ἐπικούρους] ἤτοι συμμαχίαν

384. Τυδῆ] ἤτοι τὸν Τυδέα

387. οὐδὲ ξεῖνός περ ἐών] καίπερ πολέμιος ὑπάρχων rec.

391. κέντορες ἵππων] ἱππικοί 394. Αἱμονίδης] υἱὸς Αἵμονος

404. σάφα] ἀκριβῶς

412. τέττα] προσφώνησις τιμητικὴ νεωτέρου φίλου πρὸς παλαιότερον

421. ὑπό] ὑφ' οὗ ἤχου καί

424. κορύσσεται] κορυφοῦται αὔξεται

425. ἄκρας] ἤτοι τὰ ἀκρότατα

431. σημάντορας] τοὺς ἡγεμόνας

435. μεμακυῖαι] μηκώμεναι· μηκὴ γάρ ἐστιν αἰγῶν βοή A—

439. τοὺς μέν—τοὺς δέ] τοὺς Τρῶας—τοὺς Ἕλληνας

440. ἄμοτον] ἀμότως ἀπληρώτως, ἀφ' οὗ καὶ μοτά τὰ ἐπιτιθέμενα τοῖς κοίλοις τραύμασιν ὀθόνια πρὸς ἀναπλήρωσιν τῆς σαρκός A=

444. μέσσῳ] μεταξὺ Τρώων καὶ Ἑλλήνων

447. ῥινούς] βύρσας, τὰς ἀσπίδας 449. ἔπληντο] ἐπλησίαζον

457. Ἀντίλοχος] ὁ υἱὸς τοῦ Νέστορος

ἕλεν] ἐφόνευσεν πῶς Αἴας ἢ Διομήδης οὐκ ἀριστεύει πρῶτος; καί φασιν, ὅτι Πύλιοι πρῶτοι συνέρρηξαν, ἢ ὅτι, ἐπεὶ ὁ Ἀντίλοχος ἄλκιμός τε καὶ ταχὺς ὑπόκειται,⟨εἰκότως καὶ φονεύει πρῶτος⟩. ἐμοὶ δὲ δοκεῖ ἀπ' ἐλάσσονον ἦρ[χθαι] τὸν ποιητὴν τὸ τῆς τύχης αἰνισσόμενον κρ[άτος] A=

458. Θαλυσιάδην] Θαλυσίου παῖδα

464. Ἀβάντων] τῶν Εὐβοέων

465. λελιημένος] προθυμούμενος 466. μίνυνθα] ἐπ' ὀλίγον

468. τά] ἅτινα 472. ἐδνοπάλιζεν] ἐφόνευεν

483. εἱαμενῇ] ἡ γῇ καταλελειμμένῃ ἀδεσπότῳ ἢ καθύδρῳ τόπῳ A+

484. ἀτάρ τε οἱ—ἐπ' ἀκροτάτῃ] αὐτῆς κορυφῇ

πεφύασιν] ἀντὶ τοῦ βεβλαστηκότες εἰσίν

487. ἀζομένη] ξηραινομένη

488. ἐξενάριξεν] ἐσκύλευσεν rec.

492. βουβῶνα] τὸν περὶ τὴν γαστέρα τόπον

ἐτέρωσε] εἰς ἕτερον μέρος

493. ἤριπε δ' ἀμφ' αὐτῷ] ἔπεσε περὶ νεκρῷ

494. τοῦ] τοῦ Αἴαντος

497. ἕ] ἑαυτόν κεκάδοντο] ἔφευγον

2. συλλαβεῖν AD ‖ 15. adpinxit sec. figuram, qua τὸ τῶν βαρβάρων θορυβῶδες inlustratur ‖ 23. supplevi ex AD

Digitized by Google

501. ἑτάροιο] ἕνεκα

506. νεκρούς] τοὺς ἰδίους B+ 507. προτέρω] ἔμπροσθε

508. Περγάμου] ἐκ τῆς ἀκροπόλεως A+

509. εἴκετε] ὑποχωρεῖτε

511. ταμεσίχροα] τέμνοντα τὸν χρῶτα

517. Ἀμαρυγκείδην Διώρεα] Ἀμαρύγκου παῖδα Διώρην

520. Ἰμβρασίδης] παῖς Ἰμβράσου Αἰνόθεν] ἀπὸ τῆς Αἴνου

522. ἀπηλοίησεν] παντελῶς ἀπέκοψεν

526. χολάδας τὰ ἔντερά φησιν, ἐπειδὴ εἰς αὐτὰ συρρεῖ ἡ ξανθὴ χολή, τοῦτο μηχανησαμένης τῆς φύσεως πρὸς τὸ διαθερμαίνεσθαι αὐτὰ τῇ δριμύτητι αὐτῆς πρὸς τὴν ἀπόκρισιν τῶν περιττωμάτων· ἤμελλε γὰρ ψυχρὰ ὄντα τῇ κράσει ἀργὰ μένειν καὶ μηδέποτε ποιεῖν τὴν ἀπόκρισιν. τοιαῦτα γὰρ τὰ νευρώδη πάντα A+

527. ἀπεσσύμενον] ἀπαλλαττόμενον, ἀπερχόμενον

529. ἀγχίμολον] ἐκ τοῦ σύνεγγυς, μετ' οὐ πολύ

533. ⟨ἀκρόκομοι⟩] ἤτοι ἄκρως κομῶντες ἢ οἱ μὴ κομῶντες ἄγαν μηδὲ πάλιν ἐψιλωμένοι τὴν κεφαλήν

534. μέγαν] εὐμεγέθη

535. πελεμίχθη] ἤτοι τοῖς πέλ[ας] καὶ τοῖς οἰκείοις ἐμίχθη

539. ἔργον] τὸν πόλεμον

## E.

4. δαῖε] ἐδαίετο ἦν καὶ ἀφαιρέσει τῆς $\bar{\epsilon}$ καὶ ἀποκοπῇ τῆς $\overline{\tau o}$ "δαῖε"

9. ἀφνειός] οἷον ἀπενεός, ὁ μὴ πενόμενος

12. οἱ] ἀντὶ τοῦ Διομήδει
ἀποκρινθέντε] τοῦ οἰκείου πλήθους

19. μεταμάζιον] μετὰ τῶν μαζῶν
ὦσε] ἀπέωσε καὶ κατέβαλεν 21. περιβῆναι] περιμαχῆσαι

26. κατάγειν] ἐμφαίνει, ὅτι ἐν κοιλοτέρῳ τόπῳ ἦν τὸ ναύσταθμον B+

30. Ἄρης σημαίνει ε'· τὸν πόλεμον, ὡς τὸ "ἵνα ξυνάγωμεν Ἄρηα" (Il. 2. 381), τὸν σωματικὸν θεόν, ὡς τὸ "Ἆρες Ἄρες βροτολοιγέ" (31), τὸ τραῦμα, "ἔνθα γίνετ' Ἄρης ἀλεγεινὸς διζυροῖσι βροτοῖσι" (Il. 13. 569), τὸν σίδηρον, ὡς τὸ "αἵματος ἆσαι Ἄρηα ταλαύρινον" (289), τὸ κυρίον ὄνομα Ἄρητος, ὡς τὸ "Ἄρητον δέ κατ' αὖθι λίπον δεδαϊγμένον" (Il. 17. 535)

36. ἠιόεντι] τῷ αἰγιαλοὺς καὶ ὄχθους ἔχοντι

37. ἕλε] ἐφόνευεν

44. Τάρνης] πόλις Λυδίας, ἡ νῦν Σάρδεις καλουμένη AB=

7. ἀπὸ τοῦ ‖ 11. διάκρισιν D ‖ 17. μήτε ut D ‖ 25. Διομήδους, cf. D ‖ 34. ὄν. Ἄρης Ἄρητος ὡς τὸ Ἄρητα ‖ κ' αὐτόθι

Digitized by Google

47. στυγερός] μισητός  54. ἐκηβολίαι] αἱ εὐστοχίαι A+

70. πύκα] ἐπιμελῶς

73. ⟨"ἰνίον"⟩] τὸ κοῖλον τοῦ τένοντος· κέκληται δὲ οὕτω διὰ τὸ εἶναι νευρῶδες. ἢ πλατὺ καὶ παχὺ νεῦρον τὸ καθῆκον ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν αὐχένα AB=

74. ἀν᾽ ὀδόντας—τάμε] διιὼν ἀνέταμε τοὺς ὀδόντας B+

75. ψυχρόν] ἢ τὸν τῇ ἀληθείᾳ ψυχρὸν ὄντα, ἢ τὸν ψύχους αἴτιον ἤτοι θανάτου A+

78. ἀρητήρ] ἱερεύς  81. ἀπὸ—ἔξεσε] ⟨οὐκ⟩ ἀπέκοψεν B+

89. ἐερμέναι] ἀσφαλισμέναι, περιπεφραγμέναι

90. ἕρκεα] τείχεα, περιφράγματα

92. κάλ᾽] καλά  95. Λυκάονος—υἱός] ὁ Πάνδαρος

96. πρὸ ἕθεν] πρὸ αὐτοῦ  99. διὰ—ἔπτατο] διῆλθεν

100. παλάσσετο] ἐμολύνετο ἐβρέχετο

104. δηθ᾽] ἐπὶ πολύ

τρεῖς ἰδέαι βελουλκίας, ἐξολκὴ ἐκτομὴ καὶ διωσμός rec.

113. στρεπτοῖο] τοῦ ἁλυσιδωτοῦ, τοῦ εὐστρέπτου

117. φῖλαι] φίλησον  124. μάχεσθαι] μάχου A=

125. ἐν—ῆκα] ἐνέθηκα

126. ἔχεσκε σακέσπαλος] εἶχεν ὁ πάλλων τὸ σάκος

128. ἠμὲν θεόν] τὸν ὄντως

ἄνδρα] τὸν μεταβαλλόμενον εἰς ἄνδρα

129. θεός] οὕτω λανθάνων ἐν ἀνθρώπου μορφῇ A+

132. ⟨οὐτάμεν⟩] διὰ τί μίαν τὴν Ἀφροδίτην; διὰ τὸ προειρηκέναι τὸν Δία "τῷ δ᾽ αὖτε φιλομειδὴς Ἀφροδίτη αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνει" (Il. 4. 10, 1), τουτέστι τῷ Ἀλεξάνδρῳ A=

134. ἐξαῦτις] ἐκ δευτέρου  138. χραύσῃ] ἀμύξῃ rec.

144. ἕλεν] ἐφόνευσεν  147. ἐέργαθεν] ἐχώρισεν, ἀπέκοψεν

149. ὀνειροπόλοιο] ὀνειροκρίτου

150. ⟨τοῖσι⟩] οἷστισι μὴ ἐπανιοῦσι τοῦ πολέμου ὁ γέρων ἔκρινε τοὺς ὀνείρους· ἔστι γὰρ ἓν τῶν ἀμφιβόλων· ἤτοι γε ἐμαντεύσατο ὡς οὐκ ἐπανερχομένοις, ἢ ἐν ἤθει λέγεται ἀντὶ τοῦ 'οὐ προεῖπε διὰ τῶν ὀνείρων, ὅτι ἀναιρεθήσονται' A=B+  155. ἐξαίνυτο] ἀφείλετο

158. δατέοντο] διεμερίζοντο  164. βῆσε] κατεβίβασεν

167. ἄν τε μάχην] ἀνά τε τήν

175. ὅς τις ὅδε κρατέει] ὅστις ποτέ ἐστιν οὗτος rec.

178. ἱρῶν] ἕνεκα τῶν θυσιῶν

182. αὐλώπιδι] αὐλίσκον ἐχούσῃ, καθ᾽ ὃν πήγνυται ὁ λόφος, ἵν᾽ ᾖ εἶδος περικεφαλαίας· φάλοι δέ εἰσιν οἱ κατὰ μέτωπον τῆς περικεφαλαίας χρυσοῖ ἧλοι, ἢ ἀστερίσκοι

7. τῆς ἀληθείας ‖ 9. supplevi ex B ‖ 32. ἐπανελευσομένοις D ‖ λέλεκται AD

Digitized by Google

186. εἰλυμένος] κεκαλυμμένος 187. κιχήμενον] κατειληφός

192. ἐπιβαίην] ἐγώ 195. πέπτανται] ἥπλωνται

196. ὀλύρας] εἶδος κριθώδους καρποῦ

200. ἀρχεύειν Τρώεσσι] ἤτοι τῶν Ζέλειαν πόλιν Τροίας οἰκούντων A+ ἀρχεύειν] ἡγεῖσθαι rec.

203. ἀνδρῶν εἰλομένων] Τρώων συγκλειομένων

208. ἤγειρα] ἠρέθισα 210. τῷ] ἐκείνῳ

218. μηδ' οὕτως ἀγόρευε] μηδαμῶς οὕτω λέγε A=

224. πόλινδε] εἰς τήν A=

226. σιγαλόεντα] τὰ κατέχοντα τοὺς ἵππους καὶ ἐμποιοῦντα τούτοις σιγὴν καὶ ἠρεμίαν 228. τόνδε] τὸν Διομήδην

233. ματήσετον] ματαίαν ἔχωσι τὴν προθυμίαν

234. τεόν] τὸν σόν

240. ἐμμεμαῶτα] προθυμούμενον A= ἔχον] ἤλαυνον A=

258. εἴ γ' οὖν ἕτερός γε φύγῃσιν] εἰ δή τις αὐτῶν διαφύγῃ, τῶν δύο rec. A+

264. μετ' ἐυκνημῖδας] πρὸς τούς A=

265. τῆς γάρ τοι γενεῆς] εἰσὶν οἱ ἵπποι Τρωΐ] τῷ

266. ποινήν] ἀντέκτισιν, δωρεάν

267. ὑπ' ἠῶ τ' ἠέλιόν τε] περιφραστικῶς ὑπὸ τὸ φῶς τοῦ κόσμου A=

270. γενέθλη] γέννα rec. A= 271. ἀτίταλλε] ἀνέτρεφεν A=

276. τόν] τὸν Διομήδην

Λυκάονος ἀγλαὸς υἱός] ὁ Πάνδαρος

287. ἤμβροτες οὐδ' ἔτυχες] ἀντιφραστικῶς ἀπέτυχες σφῶι] ὑμᾶς

289. ἆσαι] κορέσαι πληρῶσαι rec. A—

ταλαύρινον] ὑπομονητικόν A+

291. ζητεῖται, πῶς Διομήδους μὲν ἀκοντίσαντος πεζοῦ, Πανδάρου δὲ ἀπὸ ἅρματος, οὕτως ἐκ τοῦ κοιλοτέρου φερόμενον τὸ δόρυ κατωφερῆ πεποίηκε τὴν τρῶσιν· ἔστι δὲ λέγειν, ὅτι πρῶτον μὲν ⟨Ἀθηνᾶ⟩ ἦν ἡ κατευθύνουσα αὐτό, ᾗ ἦν δυνατὸν τοῦτο ποιῆσαι, ἔπειθ' ὅτι προεπινεύσας ὁ Πάνδαρος ἕνεκα τοῦ θεάσασθαι, εἰ καιρίως τέτρωται ὁ Διομήδης, οὕτως ἐβλήθη διὰ τῆς ῥινὸς τὴν γλῶσσαν· οἱ δέ, ὅτι ἐν ἀνωμάλοις τόποις μαχομένων εἰκὸς τὰ μὲν ἅρματα ἐν χθαμαλωτέροις τρέχειν, τοὺς δὲ πεζοὺς ἀπὸ μετεώρου μάχεσθαι A= ⁊ ἔτεμε δὲ τὴν γλῶσσαν αὐτοῦ, ὅτι ἐπιώρκησε καὶ ὅτι δι' αὐτῆς ἐμεγαλαύχει

296. αὖθι] ἐπὶ τὸν αὐτὸν τόπον 298. οἱ] αὐτοῦ A+

299. ἀλκί] ἀπὸ ὀρθῆς τῆς ἄλξ, ὡς ⟨πλακί⟩ ἀπὸ τῆς πλάξ

302. χερμάδιον λάβε χειρί] χειροπληθῆ λίθον rec.

308. ὦσε δ' ἀπό] ἀπέσυρε ῥινόν] τὸ δέρμα A=

12. ἔχωσι D: ἔχων ‖ 15. δή A: μή ‖ 21. ἀνέτρεφεν D: ἀντέτρεφεν ‖ 29. τρῶσιν AD: πτῶσιν ‖ supplevi ex AD ‖ 30, 31. προσεπινεύσας ut AD ‖ 31. καιρίως AD: καὶ μή ‖ 37. supplevi ex D ‖ 39. ἀπέσυρε D: ὑπέσυρε

Digitized by Google

ὅ γ' ἥρως] ὁ Αἰνείας

309. ἐρείσατο] ἐπερείσθη

311. ἔνθα] τότε ἀπόλοιτο] ἤτοι ἀπώλετο

313. βουκολέοντι] νέμοντι βοῦς A= 315. πτύγμα] δίπλωμα

324. ἐκ δ' ἔλασεν] παρέλκει τὸ "δέ"

327. ἥρως] ὁ Σθένελος

329. Τυδείδην μέθεπε] ἐπὶ τόν κρατερώνυχας] τούς

330. ἐμμεμαώς] εὐπρόθυμος 332. τάων] ἦν ἡ Ἀφροδίτη

334. ὀπάζων] διώκων A+ 335. ἐπορεξάμενος] ἐκτείνας A=

337. ἀβληχρήν] ἀσθενῆ

εἶθαρ—ἀντετόρησεν] εὐθέως καὶ παραχρῆμα διῆλθεν

343. ἰάχουσα] βοήσασα κάββαλεν] ἀπέρριψεν

350. ἐὰν πάλιν ἔλθῃς εἰς τὸν πόλεμον, τηνικαῦτά σε κακῶς διαθήσομαι, ὥστε σὲ καὶ ἄλλοθί που πόλεμον ἀκούσασαν εὐλαβηθῆναι

356. ἠέρι] ὁμίχλῃ· ἤτοι ἀόρατος ἦν

359. κόμισαι] ἐπιμελείας ἀξίωσον

366. ἀέκοντε πετέσθην] ἀπροθύμως ἔτρεχον rec.

369. παρὰ—βάλεν] παρέθηκε τοῖς ἵπποις

371. τῆς Διώνης λέγουσιν εἶναι θυγατέρα τὴν Ἀφροδίτην, διότι, ἐπεὶ Ἀφροδίτη ἐστὶν ἡ συνάγουσα τὸ ἄρρεν καὶ θῆλυ δύναμις, διὰ τὸ ἀφρώδη τὰ σπέρματα τῶν ζῴων εἶναι Ἀφροδίτη ὀνομασθεῖσα, διὰ τοῦτο καὶ Διώνης λέγεται εἶναι θυγάτηρ· διερὸν γὰρ τὸ δίυγρον· ἐξ ὑγρότητος δὲ ⟨τῆς⟩ ἐν τῇ συνουσίᾳ τὰ ζῷα (Cornut. Th. c. 24 p. 45 L.)

379. οὐ γὰρ—φύλοπις] ἔστιν ἡ

387. κεράμῳ] ἀγγείῳ, πίθῳ

388. ἄτος] ὦ ἔστι ῥῆμα δηλοῦν τὸ πληρῶ, ὁ μέλλων ἄσω, ἐξ αὐτοῦ ἄτος, καὶ κατὰ στέρησιν ἄατος, καὶ κράσει τῶν δύο $\overline{\alpha\alpha}$ εἰς $\overline{\alpha}$ μακρὸν ἆτος

400. ἠλήλατο] ἐνεπέπηκτο

403. αἴσυλα] ἄδικα, ⟨ἀ⟩αίσυλά τινα ὄντα, τὰ εὐτελήματα τῆς αἴσης, ὅ ἐστι τοῦ καθήκοντος

417. κατηπιόωντο] κατεπραΰνοντο

424. τῶν] ἀπὸ τούτων 425. καταμύξατο] κατεξέθη

473. ἐξέμεν] φυλάξειν

486. ὤρεσσι] ταῖς γυναιξί, παρὰ τὸ συνεζεῦχθαι τοῖς ἀνδράσιν· ἔνθεν καὶ συνωρὶς τὸ συνεζευγμένον τῶν ἵππων ὄχημα ὧρες αἱ γυναῖκες, ἀπὸ τοῦ δαρίζειν ἢ συναραρέναι· ἔνθεν καὶ ξυνωρὶς παρὰ τὸ ξυνηρμόσθαι· ἔστι δὲ ὄαρ καὶ συναλ⟨ο⟩ιφῇ ὦρ B+

5. ἔλασσε ‖ 11. ad 339 ἄμβροτον] ὢν: omisi ‖ 12. κάμβαλεν ‖ 22. διερὸν Corn.: δυϊκῶς ‖ 26. ἄω pro ὦ coni. W ‖ 30. supplevi ex Et. M. ‖ 33. post τούτων rasura 4 litterarum ‖ 34. φυλάξαι

Digitized by Google

501. *κρίνῃ*] *διαχωρίζῃ* 504. *ἐπέπληγον*] *ἀνεκίνουν*

505. *ὑπὸ δ' ἔστρεφον ἡνιοχῆες*] *δι' ὑποστροφῆς*

506. *ἰθύς*] *κατ' εὐθεῖαν* *νύκτα*] *ἀορασίαν*

508. *χρυσαόρου*] *τοῦ χρυσοφασγάνου*

521. *ἰωκάς*] *κραυγὰς ἀπειλὰς ἢ τὰς ἐν τῷ πολέμῳ διώξεις* rec.

524. *ἀτρέμας*] *ἡσυχῇ*

553. *ἀρνυμένω*] *ἀντικαταλλασσομένω τούτοις*

554. *οἵω τώ γε λέοντε δύω*] *οὗτοι δὲ ὁποῖο λέοντες δύω*

555. *ταρφέσιν ὕλης*] *πυκνώμασιν, ἀπὸ τοῦ τείρειν τὴν ἀφὴν ἢ ἀπὸ* ⟨*τοῦ*⟩ *ταράσσειν τὰ φάη*

557. *ὄφρα*] *ἕως* 559. *τοίω*] *τοιοῦτοι*

567. *πόνοιο*] *τῆς ἐνεργείας τοῦ πολέμου*

568. *τὼ μέν*] *οὗτοι μέν*

574. *τώ*] *τούτους* *δειλώ*] *τοὺς ἀθλ*⟨*ί*⟩*ους*

584. *ἤλασε*] *ἔκρου*⟨*σ*⟩*ε* *κόρσην*] *κυρίως ὁ κρόταφος*

586. "*κύμβαχος*" *τὸ σκεπάζον τὸ βρέγμα, παρὰ τὸ κῦφον, τουτέστι τὸ περιφερές· κύμβη γὰρ ἡ κεφαλή*

588. *ὄφρ' ἵππω*] *ἕως οἱ* *πλήξαντε*] *τύψαντες*

589. *ἵμασε*] *μάστιξε*

592. *Ἐνυώ ἐστιν ἡ ἐνιεῖσα θυμὸν καὶ ἀλκὴν τοῖς μαχομένοις· ἢ κατὰ εὐφημισμὸν ἀπὸ τοῦ ἥκιστα ἐνηῆς καὶ ἐπιεικῆς εἶναι* (Cornut. c. 21 p. 40 L.)

599. *ἀφρῷ*] *ὀνοματοποιία ὁ τρόπος· ἀπὸ τοῦ ψόφου τοῦ ἐν τοῖς ὕδασι γινομένου* rec.

605. *τετραμμένοι*] *βλέποντες* rec.

612. Παισός *πόλις* Τροίας, *ἣν ἐν ἄλλοις* Ἀπαισὸν *προσηγόρευεν* (Il. 2. 828)

618. *ἐπὶ δούρατ' ἔχευαν*] *δαψιλῶς ἐπέπεμψαν· ἡ μεταφορὰ ἀπὸ τοῦ ὑγροῦ*

623. *ἀμφίβασιν*] *τὴν ὑπερμάχεσιν*

626. ⟨*χασσάμενος*⟩ *πελεμίχθη*] *κατὰ ἀναστροφὴν εἴρηται ἀντὶ τοῦ πελεμιχθεὶς ἀνεχάσατο* rec.

628. Τληπόλεμον] *τῶν* Ἀχαιῶν *ἦν*

629. Σαρπηδόνι] *τῶν* Τρώων *ἦν* 644. *ἄλκαρ*] *ἀλέξημα* rec.

654. ⟨Ἄιδι⟩ *κλυτοπώλῳ*] *οὗ κλυτὴ ἡ ἐπιπώλησις, οἷον ἀκουστὴ διὰ τὰς ἐπὶ τοῖς θανοῦσιν οἰμωγάς* AB+

661. ⟨*μαιμώωσα*⟩] *ἤτοι τοῦ αἵματος γευστικῶς ἔχουσα, ἢ* "*μαιμώωσα*" *ὀξέως ὁρμῶσα* A+

1. *διαχωρίζει* ‖ 7. *ἀντικαταλασσ̃ μοί τούτους* legi ‖ 9. *πυκνώμασι* D: *-τα* ‖ 10. supplevi ex D ‖ 21. *εὐφημησμὸν* ‖ *ἐνηῆς καὶ ἐπιεικῆς* Corn.: *εὐνῆς καὶ ἐπιεικείας* legi ‖ 32. *εἴρηται* D: *εἰς τὸ* ‖ 36. *ἡ* D: *ὡς* ‖ *ἐπιπώλησις* D: *ἐπιπόλησις* ‖ 38, 39. supplementi instar ad schol. primae manus addita ‖ 38. *ἤτοι* post *μ.* omisi

666. ἐπιβαίῃ] περιπατήσῃ 672. Διὸς υἱόν] τὸν Σαρπηδόνα

676. τῷ ῥα] διὸ δή rec.

683. ὀλοφυδνόν] οἰκτρόν rec. B+

698. ⟨κεκαφηότα⟩] κάπος τὸ πνεῦμα· ἔνθεν καὶ κῆπος ὁ περιπνεόμενος πάντοθεν ⟨τόπος⟩ A+

701. ⟨αἰέν⟩] διὰ παντὸς καὶ οἷον κατ' ὀλίγον rec.

708. Ὕλῃ] πόλις τῆς Βοιωτίας A+

709. κεκλιμένος] παρακείμενος B+

715. ὑπέστημεν] ὑπεσχέθημεν

722. καμπύλα] τοὺς εὐκαμπεῖς κύκλα] τροχούς A=

723. ⟨ὀκτάκνημα⟩] ὀκτώραβδα, ὀκτὼ κνήμας ἔχοντα. §. κνῆμαι δέ εἰσιν αἱ κατὰ τῶν τροχῶν ῥάβδοι ἐμπεπηγμέναι πρὸς τῇ χοινικ⟨ίδ⟩ι AB=

τὰ ἐπάνω τῶν τροχῶν σιδηρᾶ, ἃ καὶ κανθοί καλοῦνται, οἱ ἔξωθεν τῶν τροχῶν σιδηροῖ ἢ χαλκοῖ κύκλοι add. rec.

ἄξων ἐστὶ τὸ εἰς τὰς χοινικίδας ἐμβαλλόμενον ἑκατέρου τροχοῦ AB=

726. πλῆμναι] αἱ χοινικίδες A+

περίδρομοι ἀμφοτέρωθεν] στρογγύλοι, περιφερεῖς

729. ῥυμὸς ξύλον μέσον ἕως τοῦ ζυγοῦ, ὃ ἕλκει τὸν δίφρον· ζυγὸς τὸ ἐπικείμενον τοῖς νώτοις τῶν ἵππων· κνῆμαι αἱ ῥάβδοι αἱ ἀπὸ τῆς χοινικίδος μέχρι τοῦ τροχοῦ· τροχὸς δέ ἐστιν ἡ ἀψίς, ἣ λέγεται καὶ ἴτύς, ᾗ αἱ κνῆμαι τῆς χοινικίδος ἐμπήγνυνται· πλῆμναι αἱ χοινικίδες, ἐν αἷς στρέφεται ὁ ἄξων· ἄξων τὸ ξύλον τὸ ἀπὸ τροχοῦ εἰς τροχόν, δεχόμενον τὰς περόνας· ἄντυγες τὰ ἐπὶ τοῦ δίφρου ἡμικύκλια· ἀστράβη τὸ ξύλον τὸ ὀρθόν, ὃ κρατεῖ ὁ ἡνίοχος πρὸς τὸ μὴ ἐκπίπτειν αὐτοῦ, ὅ τινες βαρβαρίζοντες καλοῦσιν ἀστραπήν rec. AB+

734. ἑανόν] λεπτόν, τρυφερόν

738. θυσσανόεσσαν] κροσσοὺς ἔχουσαν πανταχοῦ

739. ἐστεφάνωτο] περιεκυκλοῦ⟨το⟩

741. πελώρου] τέρατος 744. πρυλέεσσι] πεζοῖς A+

747. ὀβριμοπάτρη] ὄβριμον καὶ ἰσχυρὸν πατέρα ἔχουσα

750. τῇς] αἷς, ταῖς Ὥραις ἐπιτέτραπται] ἐγκεχείρισται

751. ἀνακλῖναι] ἀνακαλύψαι ἐπιθεῖναι] κατακλεῖσαι

761. ἀνέντες] ἀναπείσαντες

763. ἐξαποδίωμαι] ἀποδιώξω 777. ἀνέτειλε] ἀνέφυσεν rec.

4. κάπος τὸ scripsi: κάφος τὸ AD, κάπτω ‖ 5. supplevi ex AD ‖ post πάντοθεν add. rec. παρὰ τὸ κάπτω τὸ πνέω ‖ 10. ἀκαμπεῖς ‖ 12, 13. πρὸς τῇ χοινικίδι Et. M.: πρὸ τῆς χοίνικος ‖ 15. σ. οἱ χ. ‖ 18. χοινικίδες A: χοινικίαι ‖ 20. ante ῥυμὸς 30 fere litterae et post 5 evanidae ‖ 24. στρέφεται D: εἰσδέχεται ‖ 29. κροσσοὺς D: κυσσὰ ‖ πανταχοῦ D: πάντων ‖ 30. ἐστεφανόωντο textus ‖ 34. καὶ κλεῖσαι ‖ 36. ἀποδ. D: ὑποδ. ‖ ἀνεφύησεν ut D

Digitized by Google

778. ἴθμαθ'] τὰ ἴχνη, τὰ βήματα. παρὰ τὸ εἶμι ἴμα, ὡς τίθημι θέμα, καὶ πλεονασμῷ τοῦ θ̄ ἴθμα

782. εἱλόμενοι] συναθροιζόμενοι

786. αὐδήσασχ'] ἐφώνει, ἐβόα rec. 796. τελαμῶνος] ἱμάντος

799. ἱππείου—ζυγοῦ] τοῦ τῶν ἵππων

800. ἠ̃ ὀλίγον] οὐδὲ ὀλίγον rec.

810. προφρονέως] προθύμως rec.

811. πολυᾶιξ] πολυόρμητος 823. ἀλήμεναι] ἀθροισθῆναι

830. σχεδίην] ἐκ τοῦ σύνεγγυς ἅζεο] σέβου

832–4. ἑρμηνεύει ὡσανεὶ τὸ "ἀλλοπρόσαλλον" (831)

858. ἔδαψε] διέτεμεν rec.

860. ἐννεάχιλοι] θ̄ χιλιάδες δεκάχιλοι] δέκα χιλιάδες

864. ἐρεβεννὴ—ἀήρ] ἀορασία

879. προτιβάλλεαι] ἐπιπλήσσεις

886. νεκάδεσσιν] νεκροκοιτίοις 893. σπουδῇ] μόγις

894. ἐννεσίῃσιν] συμβουλαῖς· ἀπὸ τοῦ ἐνίημι

901. ἐπειγόμενος] ταρασσόμενος ὀπός] ἡ πιτύα ὥσπερ ὁ ὀπὸς βαλλόμενος εἰς τὸ γάλα ὑγρὸν ὂν ταράσσει ἐκεῖνο

902. περιτρέφεται] περιπήγνυται κυκόωντι] τῷ ταράσσοντι

## Ζ.

1. φύλοπις] ἡ ἀπὸ τοῦ κατὰ φῦλα μάχεσθαι συνερχομένους ad pr. add. rec.

2. ὁτὲ μὲν τῶν Ἀχαιῶν ἀνατρεπόντων τοὺς Τρῶας, ὁτὲ δὲ ἀνατρεπομένων ὑπ' αὐτῶν A+

9. ἱπποδασείης] ἱππολόφου rec.

38. ἀτυζομένω] φοβούμενοι rec. 40. πρώτῳ] τῷ ἄκρῳ A+

60. ἄφαντοι] ἀνώνυμοι, ἀφανεῖς

62. παρειπών] παραμυθησάμενος rec.

64. τῷ πλάτει τοῦ ποδὸς πατάξας rec.

78. ἤτοι ἔγκειται ἐν τῇ ὑμετέρᾳ φροντίδι σωτηρία τῶν πραγμάτων ad pr. add. rec. A+

78, 9. ὅ⟨τ⟩ι κατὰ πάντα τὰ μέρη τῆς μάχης καὶ τῆς φρονήσεως ὑμεῖς διαφέρετε rec.

81. πρὶν ⟨— πεσέειν⟩] αὐτούς

83. ἐποτρύνητον] παροξύνητε

94. ἦνις] ἕνος ὁ ἐνιαυτός, παρώνυμον ἕνις καὶ τροπῇ τοῦ ε̄ εἰς η̄

15. νεκροκοιτυίαις || 18. ταράσσει W ex l. 20 : πάσσει || 20. περιστρέφεται textus || ὑπὸ ante τῷ delevi ut D || 29. παραμυθησάμενος D : παρακυθισάμενος || 30. πατάσσας || 36. ἐποτρύνετον textus



Digitized by Google

97. μήστωρα φόβοιο] τὸν δυνάμενον ἐργάσασθαι τοῖς ἐναντίοις φυγήν rec.

108. φάν] ᾠήθησαν rec. 112. ἀνέρες] ἀνδρεῖοι

ἔστε] γενήσεσθε rec. 117. αὐχένα] τόν

118. θέεν] περιέτρεχεν 125. προβέβηκας] προελήλυθας

131. δήν] ἐπὶ πολύ 132. μαινομένοιο] μανιοποιοῦ A +

133. σεῦε] ἐδίωκε ἠγάθεον] ἄγαν θεῖον

Νυσήιον] ὄρος Θρᾴκης A +

151. ⟨ἴσασιν⟩] ἰσῶ ἰσήσω, καὶ παραγωγὸν ἴσημι, ὅθεν ἐγένετο τὸ ἴσαμεν κοινὸν ἴσμεν—τὸ γὰρ Δωρικὸν ἴσαμες ἐκ τοῦ ἴσαμεν κοινοῦ —ἴσατε καὶ ἴστε καὶ "ἴσασιν·" ἴσαντι δὲ ἐκ τούτου Δωρικόν

153. κέρδιστος] συνετώτατος A +

157. ἐμήσατο] εἰργάσατο rec. 160. τῷ] τῷ Βελλεροφόντῃ

169. πτυκτῷ] ἠσφαλισμένῳ

194. τέμενος] ἀποτετμημένην γῆν

195. φυταλιῆς] ἀμπελοφόρου ἀρούρης] σιτοφόρου

201. ⟨πεδίον τὸ Ἀλήιον⟩] οὕτω πεδίον τῆς Κιλ⟨ικ⟩ίας καλούμενον ἀπὸ τῆς τοῦ Βελ⟨λ⟩εροφόντου ἄλης, ὅ ἐστι πλάνης rec. A +

202. πάτον] τὴν πεπατημένην ὁδόν, τουτέστι τὴν λεωφόρον rec.

219. φοίνικι] φοινικῷ χρώματι 225. τόν] "τῶν"

226. ⟨ἔγχεα ἀλλήλων ἀλεώμεθα⟩] ἤτοι ἐκκλίνωμεν ἀλλήλοις ἀφιέναι τὰ δόρατα rec. B =

241. ⟨πολλῇσι δὲ κήδε' ἐφῆπτο⟩] πολλαὶ αὐτῶν ἐν κακώσει ἐγένοντο rec.

243. αἰθούσῃσι] διὰ τὴν τοῦ ἡλίου βολήν rec. A +

245. ⟨δεδμημένοι⟩] ᾠκοδομημένοι ⟨ἢ⟩ δεδαμασμένοι

⟨"μνηστῇσι"⟩] ὅ ἐστι ταῖς ἐκ μνηστείας γεγαμημέναις rec.

252. θυγατρῶν] τῶν ἐχουσῶν ἄνδρας

258. μελιηδέα] μελίφρονα rec. ἐνείκω] πέμψω, κομίσω

262. ἔτῃσιν] πολίταις rec. B =

265. ⟨ἀπογυιώσῃς⟩] βλάψῃς μοι τὰ μέλη rec.

268. ⟨αἵματι καὶ λύθρῳ⟩] τῷ μετὰ κονιορτοῦ αἵματι rec.

274. ⟨ὑποσχέσθαι⟩] ὑπόσχου rec.

288. ⟨θάλαμον—⟩ κηώεντα] γυναικωνῖτιν rec.

292. ⟨ἀνήγαγεν⟩] τὸν εἰς τὴν Ἴλιον πλοῦν ἀνάπλουν καὶ ἀναγωγὴν εἴρηκεν ὁ ποιητής rec. A +

320. ⟨περὶ—θέε⟩] κύκλῳ περιέκειτο rec.

πόρκης] κρίκος ὁ συνέχων τὸν σίδηρον πρὸς τὸ ξύλον τοῦ δόρατος A +

10. κοινὸν post ἴσμεν: traiecit W || 18. τῆς τοῦ scripsi: τούτου || ἄλ^ε || 19. γῆν post λ. del. W || 26, 27. scholia cohaerent: discrevi || 34. γυναικωνίτην

Digitized by Google

321. ἔποντα] διέποντα, ἐπιμελούμενον

329. δέδηε] διακέκαυται

336. ἄχει προτραπέσθαι] τὸ ἄχος παραμυθήσασθαι

339. ⟨ἐπαμείβεται⟩] ἐξ ἀμοιβῆς παραγίνεται, ἐναλλὰξ πρὸς ἄλλον καὶ ἄλλον χωρεῖ rec. ἄνδρας] ἀνδρείους

344. δᾶερ] ἀνδρὸς ἀδελφέ
ὀκρυοέσσης] κακῆς ταλαιπώρου. §. ἢ τραχείας καὶ φρικτῆς add. rec.

346. προφέρουσα] ἄγουσα. §. πόρρω φέρουσα add. rec.

352. ἔμπεδοι] ἀσφαλεῖς, βέβαιοι 358. ἀοίδιμοι] ἐπὶ κακίᾳ

367. ὑπότροπος] ἐξ ὑποστροφῆς ἀνεληλυθώς

376. εἰ δ' ἄγε] ἄγε δή rec.

378. εἰνατέρων] ἀνδρὸς ἀδελφῶν· ὁμοίως δὲ καὶ ἀνδρὸς ἀδελφὴ γάλως λέγεται

381. ὀτρηρή] δραστική, συνεργός, προστάτις rec.

389. ἅμα] αὐτῇ τῇ Ἀνδρομάχῃ τιθήνη] ἡ τροφός

396. ὑληέσσῃ] συμφύτῳ τόπῳ

400. κόλπον] ἤτοι τὴν ἀγκάλην A +

407. δαιμόνιε] μακάριε ἢ γενναῖε rec.
φθίσει] διαφθερεῖ rec.

412. θαλπωρή] χαρά, ἡδονή, παραμυθία

417. ἐξενάριξε] ἐσκύλευσε A = 419. σῆμα] τάφον A =

433. ἐρινεόν] τὴν ἀγρίαν συκῆν

434. ⟨ἀμβατός ἐστι πόλις καὶ ἐπίδρομον ἔπλετο τεῖχος⟩] ἀνάβασιν ἔχει ἡ ὁδὸς ἡ πρὸ τῶν τειχῶν αὐτῶν οὖσα, ἐν ᾗ ἔστιν ἐπιδραμεῖν πρὸς τὸ τεῖχος

462. νέον] νεαρόν 511. ἓ γοῦνα] ἑαυτοῦ γόνατα

513. ἠλέκτωρ] ἥλιος ἐπιθετικῶς, ὅτι ἀλέκτρους ἡμᾶς ποιεῖ ἀνισταμένους ἐκ τῆς κοίτης· ἢ ὅτι λαμπρός, παρὰ τὸ ἤλεκτρον

515. εὖτε] ὁπότε 518. κατερύκω] κατέχω

## Η.

1. πυλέων] τῶν πυλῶν B = φαίδιμος] ὁ λαμπρός

36. πῶς μέμονας] τίνι τρόπῳ διαλογίζῃ

56. ἱδρύνθησαν] ἐπαύθησαν τοῦ πολεμεῖν

63. ἐχεύατο] ἐχύθη

96. ἀπειλητῆρες] καυχηταὶ ἀπειλεῖν μόνον εἰδότες A +

97. αἰνόθεν αἰνῶς] ἐκ ⟨δεινοῦ δεινῶς⟩· τῶν δεινῶν δεινότερα AB +

11. ἀνεληλύτως ‖ 15. δραστικός ‖ 25. ἐν ᾧ ‖ 32. τῶν πυλέων ‖ λαμπρὸς D: διπλασιασμός ‖ 36. καυχηταί A: καυχησταί ‖ 37. supplevi ex D

Digitized by Google

100. *αὖθι*] *αὐτόθι* *ἀκήριοι*] *ἄψυχοι*

*ἀκλεέες ἦν, καὶ ἐκβολῇ τοῦ ε̄ ἐγένετο "ἀκλεές·" ἢ ἀκλεεῖς, καὶ ἐκβολῇ τοῦ ῑ "ἀκλεές"*

108. *δεξιτερῆς ἕλε χειρός*] *εἰς πλάτος ὡμίλει*

128. *γενεήν*] *πατέρας* *τόκον*] *παῖδας*

133. Κελάδοντι] *ἢ διὰ τὸν ἦχον τοῦ ῥεύματος* ad pr. add. sec.

138. ⟨*κορυνήτην*⟩] *κορύνῃ ἤτοι ῥάβδῳ μαχόμενον. κορύνη δέ ἐστι ῥόπαλον ἀμυντήριον ἑτερορρεπές, ἐξ ἑνὸς μέρους ῥοπὴν ἔχον καὶ βάρος*

156. *λέγεται "παρήορος" καὶ* ⟨*ὁ*⟩ *παρεζευγμένος ἐκτὸς τοῦ ζυγοῦ ἵππος καὶ ὁ ἄφρων* A +

168. *'Ανδραιμονίδης*] *υἱὸς 'Ανδραίμονος*

171. *διαμπερές*] *ἀντικρὺς καὶ φανερῶς*

197. *δίηται*] *ἐκφοβήσει, διώξει*

206. *νώροπι*] *ἐκ τοῦ νη̄ στερητικοῦ μορίου καὶ τοῦ ὁρῶ τὸ βλέπω, δηλονότι τῷ περιλάμπ⟨ρ⟩ῳ, τῷ τοῦ ὁρᾶν στερίσκοντι*

216. *πάτασσεν*] *ἐν παλμῷ καὶ κινήσει ἦν*

221. *ὕλῃ*] *συνδένδρῳ* 226. *οἰόθεν οἶος*] *μόνος πρὸς μόνον*

235. *ἀφαυροῦ*] *ἀσθενοῦς*

241. *σταδίῃ*] *ἤτοι τῇ συστάδην μάχῃ*

254. *ἐκλίνθη*] *ἐξέκλινε πρὸς ἑαυτόν* . *ἀλεύατο*] *ἐξέφυγεν*

262. *τμήδην*] *τμητικῶς*

298. ⟨*ἀγῶνα*⟩] *τὸν ναὸν δηλονότι· λέγεται δὲ καὶ ἐπὶ τόπου, οὗ ὁ ἀγών* B ~

315. *ἄρσενα*] *διὰ τὸ δυνατόν*

*πενταέτηρον*] *διὰ τὸ παχύτερον*

330. *ὀξύς*] *διὰ τὸ διὰ μιᾶς ὥρας πολλοὺς σφαγιάσαι*

336. *ἀμφὶ πυρήν*] *ἀπὸ τῆς πυρᾶς* *ἕνα*] *καθ' ἕνα*

353. *ὤφελεν εἰπεῖν 'ἐὰν μὴ ῥέζωμεν' καὶ εἶπεν 'ἵνα μὴ ῥέξωμεν·' ἔλαβε δὲ σύνδεσμον ἀντὶ συνδέσμου*

366. *θεόφιν—ἀτάλαντος*] *τοῖς θεοῖς ἴσος*

380. *τελέεσσιν*] *τοῖς τάγμασιν*

390. *ὡς*] "*ὅς.*" §. *τοῦτο καθ' αὑτὸν νοητέον εἰπεῖν τὸν 'Ιδαῖον*

416. *ἀπέειπε*] *ἐξεῖπε* 418. *ὕλην*] *ἤτοι ξυλαγωγίαν*

433. *οὔτ' ἄρ πω*] *οὐδέπω*

447. *ἐνίψει*] *κυρίως μὲν ἐπιπλήξει, νῦν δὲ ἀντὶ τοῦ ἐρεῖ λέξει*

463. *ἀμαλδύνηται*] *ἀφανίζηται* 478. *σφίν*] *τοῖς Ἕλλησιν*

16. *καὶ* ante *π.* delevi || 20. *κατὰ* ante *συστ.* del. W

Digitized by Google

Θ.

2. Ζεύς] ἡ εἱμαρμένη

14. βέρεθρον] οἱ Μακεδόνες ζέρεθρον γράφουσιν

23. πρόφρων] μετὰ προθυμίας

43. ἕλω τὸ λαμβάνω· ὁ δεύτερος ἀόριστος εἷλον· ὁ παθητικὸς εἱλ[όμην]· τὸ τρίτον εἵλετο καὶ συγκοπῇ καὶ ἐκβολῇ τοῦ ῑ ἕλτο· τροπῇ τοῦ λ̄ εἰς ν̄ καὶ πλεονασμῷ τοῦ γ̄ "γέντο"

48. Γάργαρον] ἀκρωτήριον Ἴδης

Γάργαρον, τὸ ἀκρωτήριον τῆς Ἴδης, ἤτοι ἀπὸ τοῦ γαργαρίζειν καὶ ἀναδιδόναι τὰ ὕδατα ἢ ἀπὸ μεταφορᾶς τοῦ ἐν τοῖς στόμασιν ἡμῶν γαργαρεῶνος, τῆς λεγομένης σταφυλῆς· καὶ γὰρ τὸ σῶμα τοῦτο ἀπὸ παχέος εἰς ὀξὺ καὶ λεπτὸν λήγει. τρία δέ εἰσιν ἀκρωτήρια τῆς Ἴδης Λεκτὸν Γάργαρον Φαλάκρη (cf. ad Il. 14. 284) A+

59. ὀρυμαγδός] γράφεται καὶ "ὀρυγμαδός"

61. ῥινούς] τὰς βύρσας 64. εὐχωλή] καύχησις

66. ἠώς] πρωία 70. κῆρε] μοίρας

τανηλεγέος] μακροκοιμήτου 80. οὖρος] φύλαξ

104. ⟨ἠπεδανός⟩] ἀσθενής, οἱονεὶ ἀπεδανός, ὁ μὴ δυνάμενος δι' ὑπερβολὴν ἀσθενείας ἐν τῷ πέδῳ, ὅ ἐστι τῷ ἐδάφει, στῆναι· ἔμπεδος γὰρ λέγεται ὁ ἐν τῷ πέδῳ δι' ἰσχὺν ἑστὼς βεβαίως AB+

109. τούτω] τοὺς σοὺς ἵππους

κομείτων] θεραπευέτωσαν τώδε—νῶι] τοὺς ἐμοὺς—ἡμεῖς

118. ἰθύς] ἐπ' εὐθείας

135. προ⟨σ⟩ληπτέον κεραυνοῦ· ὅπου γὰρ ἂν κεραυνὸς πέσῃ, ὡς θεῖον ὄζει ἐν ἐκείνῳ τῷ τόπῳ A=

139. φόβονδε] εἰς φυγήν 140. ὅ τοι] ὅτι σοι

ἀλκή] βοήθεια 164. εἴξαντος] φυγόντος

165. γυναῖκας] τὰς ἡμετέρας

178. ἀβληχρά] ⌈βλη⌋χρὸν τὸ ἀσθενές, καὶ κατὰ ⌈ἐπίτασιν⌋ τοῦ ᾱ ἀβληχρόν, καὶ οἱ ἰατροὶ βληχροὺς πυρετοὺς τοὺς μικροτάτους

ἐρύξει] ἐπισχήσει

179. ἵπποι] ἐμοί 188. προτέροισι] τῶν ἄλλων ἵππων

196. τούτω] τὸν Νέστορα καὶ τὸν Διομήδη

197. αὐτονυχί] διφορεῖται παρὰ τοῖς παλαιοῖς

206. Ζῆ] γράφεται καὶ "Ζεύς"

215. εἰλομένων] συναθρ⟨ο⟩ιζομένων εἶλει] συνήθρ⟨ο⟩ιζεν

221. πορφύρεον] πορφυροῦν φᾶρος] ἱμάτιον A+

223. ἧ ῥ' ἐν μεσσάτῳ ἔσκε] αἰτία, διὰ τί ἔστη εἰς τὴν νῆα τοῦ Ὀδυσσέως

10. στόμασιν A: σώμασιν ut D Et. M. ‖ 19. ἐδάφει D: -φ ‖ 24. supplevi ex A ‖ 31. ἐπισχήσει D: legi ἐπέχει ‖ 34. διαφορεῖται ‖ 38. ἔστι ἐ' νῆα

γεγωνέμεν] ὥστε 235. τάχα] ταχέως

236. τινά] ἄλλον 237. ἀπηύρας] ὡς ἐμέ

239. ἔρρων] ἐπὶ φθορᾷ παραγενόμενος A +

243. αὐτούς] ἡμᾶς 257. Φραδμονίδην] Φράδμονος παῖδα

295. αὐτούς] Τρῶας 327. ὀκριόεντι] ἀκριόεις καὶ ὀκριόεις

338. συὸς ἀγρίου] συάγρου δηλονότι· ἐπισημειωτέον δέ, ὅτι τὰ τοιαῦτα ὀνόματα διῃρημένως λέγει, ὡς καὶ τὸ "ἄγριον αἶγα" (Il. 3. 24, 15. 271)

341. ὦπαζε] ἐδίωκεν· λέγεται καὶ ἐπὶ τοῦ παρέχειν

349. Γοργοῦς] ὡς Σαπφώ Σαπφοῦς, οὕτω καὶ Γοργώ Γοργοῦς A +

352. Ἀττικῶς νώ, Δωρικῶς ἄμμες, Αἰολικῶς ἄμμε A +

367. πυλάρταο] ἰσχυρῶς συναρμόζοντος καὶ κλείοντος τὰς πύλας A +

378. προφανεῖσα] σπάνιον τοῦτο παρὰ τῷ ποιητῇ A +

392. ἐπεμαίετο] ἔπλησσεν 395. ἀνακλῖναι] ἀνακαλύψαι

399. πάλιν τρέπε μηδ' ἔα ἄντην ἔρχεσθαι] ἐκ παραλλήλου τὸ αὐτό

405. μάρπτῃσι] καταλάβῃ 423. ἀδεές] ἄφοβε

429. τῶν] τῶν βροτῶν

434. κάπῃσιν] παρὰ τὸ ἐπ' αὐταῖς ἱσταμένους τοὺς ἵππους κάπτειν, ὅ ἐστιν ἐσθίειν A =

437. μίγδα] ἀναμεμιγμένως 439. ἐξίκετο] κατέλαβεν

441. πετάσ⟨σ⟩ας] ἁπλώσας 443. πελεμίζετο] ἐκινεῖτο

444. ἀμφίς] χωρίς 449. τοῖσιν] οἷστισιν

450. ἡ τοῦ πάντων μείζονος θεοῦ χείρ, φησί, τηλικαύτη ὑπάρχει, ὡς μηδὲ ὑπὸ τῶν θεῶν δύνασθαι καταγωνισθῆναι A =

453. μέρμερα] μερίμνης ἄξια

457. ⟨ἐπέμυξαν⟩] μεμυκόσι τοῖς χείλεσι ἐγόγγυσαν

474. ναῦφι] ταῖς ναυσίν 479. Ἰάπετος] οὐρανία κίνησις
Κρόνος] ἀστήρ

480. ⟨Ὑπερίονος Ἠελίοιο⟩] ἤτοι ὅτι Ὑπερίονός ἐστι καὶ Θείας παῖς, ὡς Ἡσίοδος (Theog. 371), ἢ ὑπερίων ὁ ὑπεράνω ἡμῶν ἰὼν καὶ περιπολῶν τὸν κόσμον· διὰ τούτου γὰρ τὰ ὅλα συνέχεται A +

483. κύντερον] χαλεπώτερον

491. καθαρῷ] τόπῳ νεκύων] ἢ ἀπό

503. δόρπα—ἐφοπλισόμεσθα] δεῖπνα ἑτοιμάσωμεν

505. βόας καὶ ἴφια μῆλα] μετάληψις ὁ τρόπος ἐστίν. §. τὸ "ἴφια" εὐτραφῆ ἢ τὰ ἰσχυρά, δηλονότι τὰ ἰσχυροποιοῦντα τοὺς ἀνθρώπους A ~

513. ὡς] ὅπως βέλος] τραῦμα A + πέσσῃ] θεραπεύσῃ

10. Σαμπφώ Σαμπφοῦς || 11. Ἀττικὸν || νῶι || 13. προφανεῖσας in textu rec. || 18. ἐπ' scripsi: ἐν ut D || 21. πολεμίζετ' || 29. Θείας D Et. M. Hesiodus: θεᾶς || 30. ἰὼν A Et. M.: ὢν ut D || 35. ὁ τρόπος εντ` τοῦ ἵνα τραφῇ ‡ || 38. θεραπεύσοι

Digitized by Google

520. ⟨θηλύτεραι δὲ γυναῖκες⟩] αἱ πρὸς τὰ ἀφροδίσια καταφορώτεραι ὡς πρὸς σύγκρισιν τῶν ἀλόγων ζῴων· τὰ μὲν γὰρ ἄλλα ὡρισμένον ἔχουσι καιρὸν ἐν ᾧ μίγνυνται, αὗται δὲ διηνεκέως πλησιάζουσιν A=

524, 5. ὁ νοῦς τοιοῦτος· περὶ μὲν τῶν νῦν καὶ σήμερόν μοι ὁ λόγος συντετέλεσται καὶ οὐδὲν παραλέλειπται, περὶ δὲ τῶν εἰς αὔριον ὑπὸ τὴν ἕω μηνύσω A= 527. κηρεσσιφορήτους] μοιροφορήτους

528. κῆρες] κακαὶ μοῖραι 535. διαείσεται] διαγνώσεται

563. πεντήκοντα] ἄνδρες

564. ἐρεπτόμενοι] ἐκ τῆς ἔρας, ὅ ἐστι τῆς γῆς ἀνασπωμένης

## I.

7. κορθύεται] κορυφοῦται ἢ σωρεύεται· κόρθυς γὰρ ὁ σωρὸς καλεῖται A—

φῦκος] χόρτον 30. τετιηότες] λυπούμενοι A=

34. ἀναφορὰν ἔχει ταῦτα [ἐπὶ τὰ] ῥηθέντα παρὰ τοῦ Ἀγαμέμνονος ἐν τῇ δʹ ῥαψῳδίᾳ (370, 1) "ὤ μοι, Τυδέος υἱὲ δαΐφρονος ἱπποδάμοιο, τί πτήσσεις, τί δ' ὀπιπεύεις πολέμοιο γεφύρας;" A+

56. πάλιν] τὰ ἐναντία σοι οὐ τέλος ἵκεο μύθων] ἐπέθηκας A=

οὐ τέλος ἵκεο μύθων] τὰ μὲν γὰρ πρὸς τὸν βασιλέα δεόντως εἴρηκας, τὰ δὲ τῆς συμβουλῆς καὶ φυλακῆς ἐνέλειψας A+

63. ἀφρήτωρ—] ἢ πρὸς τὸν Ἀχιλλέα ἢ πρὸς τὸν Ἀγαμέμνονα

φρατρίαν καὶ συγγένειαν μὴ ἔχων. φρατρία δέ ἐστι τὸ τρίτον μέρος φυλῆς A=

100. φάσθαι] βουλεύεσθαι

102. σέο δ' ἕξεται] ἤτοι ἐν τῇ σῇ ἐξουσίᾳ ἔργον τοῦτο δοκιμάσαι, ἤτοι τὸ τῶν λόγων κατόρθωμα σὸν ἔσται· εἰς σὲ γὰρ ἀνενεχθήσεται A=

106. ἐξ ἔτι τοῦ] ἀπ' ἐκείνου τοῦ χρόνου A=

διογενές] ὦ. §. "διογενεῦς"

τὸ "διογενεῦς" περισπᾶν δεῖ· συναίρεσιν γὰρ ἔπαθεν, ἐπεὶ τὸ ἐντελές ἐστι διογενέος

109. ἀπεμυθεόμην] ἀπηγόρευον A+

115. ψεῦδος] ἀντὶ ⟨τοῦ⟩ ψευδῶς, ὄνομα ἀντὶ ἐπιρρήματος A=

122. ἀπύρους] ἀναθεματικούς A+

123. "αἴθωνας" τοὺς πρὸς πῦρ ἐπιτηδείους καὶ λεγομένους ἐμπυριβήτας A—

125. ἀλήιος] ἐνδεής, ἄνευ λείας, ἐλλιπὴς βοσκημάτων· λεία γὰρ κυρίως ἡ τῶν βοσκημάτων κτῆσις

130. ἐξελόμην] ὡς ἐξαιρέτους ἔλαβον

παρὰ Λεσβίοις ἀγὼν ἄγεται κάλλους γυναικῶν ἐν τῷ τῆς

4. παρὰ μὲν ‖ 5. δὲ τὴν ‖ 7. διαείσεται textus ‖ 14. supplevi ex AD ‖ 26. ἀπ' AD: δι' ‖ 27. τοῦ post ὦ omisi ‖ 33. καὶ scripsi: ἢ

Digitized by Google

Ἥρας τεμένει λεγόμενος καλλιστεῖα. ἡ δὲ Λέσβος νῆσός ἐστιν ἐν τῷ Αἰγαίῳ πελάγει πόλεις ἔχουσα ε´ Ἄντισσαν Ἔρεσσον Μήθυμναν Πύρραν Μιτυλήνην A=

131. τάς] ἐπανάληψις 145. Λαοδίκη] ἡ καὶ Ἠλέκτρα

Ἰφιάνασσα] ἡ καὶ Ἰφιγένεια

146. ἀνάεδνον] ἄνευ ἕδνων

ἕδνα τὰ ἀπὸ τοῦ ἀνδρὸς φερόμενα, ⟨οὐ⟩ τὰ ἀπὸ τῆς γυναικός

147. μείλια] ἐκμειλίσσοντα τοὺς ἄνδρας. τὴν προῖκα δὲ λέγει τὴν ἡδέως διατιθεμένην κατὰ ψυχήν A+

153. ἠμαθόεντος] ψαμμώδους

156. λιπαράς] λιπαροποιούς· καὶ Ἡσίοδος (Opp. 227) περὶ τῆσδε "τοῖσι τέθηλε πόλις, λαοὶ δ' ἀνθοῦσιν ἐν αὐτῇ"

159. ἔχθιστος] ὁ Ἅιδης

171. εὐφημῆσαι] εὔφημον καὶ εὔτακτον φθέγξασθαι· οὐδὲ γὰρ ἐπὶ τοῦ ὑμνῆσαι εὕρηται παρὰ τῷ Ὁμήρῳ

180. δενδίλλων ἐς ἕκαστον] δινῶν τοὺς ἄλλους εἰς ἕνα ἕκαστον

181. πειρᾶν] πειράζειν

187. "ζυγόν" τὸν πῆχυν τῆς κιθάρας, ᾧ ἔγκεινται οἱ κόλ⟨λ⟩αβοι· οὕτω δὲ λέγονται οἱ πάσσαλοι, ὧν ἐξάπτονται αἱ χορδαί, παρὰ τὸ κεκολλῆσθαι A=

199. προτέρω] εἰς τοὔμπροσθεν A+

206. ⟨κρεῖον⟩] ἤτοι κρεωδόχον ἀγγεῖον A+

πυρὸς αὐγῇ] τῷ πυρὶ δηλονότι

208. ἀλοιφῇ] τῷ λίπει 213. στορέσας] καταστρώσας

214. ἔθος τοῦτο τοῖς στρατιώταις, ἐπὰν ἴδωσι θερμανθέντων τῶν κρεῶν ζωμὸν ἀναπηδῶντα, τηνικαῦτα αἴρειν τὸ ὀπτώμενον καὶ ἅλατι ἐπιπάσσειν, ἵνα ὁ ζωμὸς ἐντὸς κατέχηται ὀπτώμενος ὑπὸ τοῦ ἅλατος

κρατευτάων] ἢ τῶν λίθων A+

215. ἐλεοῖσιν] μαγειρικαῖς τραπέζαις AB+

241. ⟨στεῦται⟩] παρὰ τὸ στῆθος, οἷον ἐν τοῖς στήθεσι διανοεῖται—ἐκεῖ γὰρ τὸ λογιστικόν, ὥς φησιν οὗτος "στῆθος δὲ πλήξας" (Od. 20. 17)—ἢ παρὰ τὸ στῶ στεύω, ὡς ἀθλῶ ἀεθλεύω, στεύεται καὶ συγκοπῇ "στεῦται"

324. κακῶς δ' ἄρα οἱ πέλει αὐτῇ] ἤτοι ἄσιτος αὐτὴ τυγχάνει

326. διέπρησσον] διήνυον

327. ὀάρων] ἐκ τοῦ ἄρω τὸ ἁρμόζω κατὰ μετάθεσιν ὄαρ

ὀάρων ἕνεκα σφετεράων] ἤτοι τῆς Ἑλένης

330. τάων] Αἰολικόν πασέων] Ἰωνικόν

8. ἐκμειλίσσονται || 9. τὰ κατὰ D || 12. an τῆς δίκης pro τῆσδε? || 14. ἄτακτον || 16. δινῶν Et. M.: δινεύων || 22. κρεωδόχον Et. M., κρεοδόχον A: κρεῶδες ἔχον || 26. ἀναποδῶνται || ουλατι legi || 27. ἐκτὸς || συπτόμενος || ουλατος || 31. λογιστικὸν Et. M.: λοξὸν || πλῆξεν

355. οἷον] ἅπαξ A= 358. νηήσας] σωρεύσας A=

378. τίω—καρὸς αἴσῃ] ἢ ἐν τάξει θανάτου ἡγοῦμαι, ἤ, ὡς ἔνιοι, ἐν τάξει μισθοφόρου, ὡς ἄτιμον· πρῶτοι γὰρ Κᾶρες ἐπὶ μισθῷ ἐστρατεύθησαν καὶ ἔδοξαν εἶναι ἀτιμόταται rec. A+

398. ἀγήνωρ] ἀνδρεῖος

402. ἐκτῆσθαι] κεκτῆσθαι ὤφειλεν, ἀλλά ἐστι τῶν Ἀττικῶν, οἱ δὲ Ἀττικοὶ ἐκβάλλουσι τὸ σύμφωνον

404. ⟨ἀφήτορος⟩] ἢ ὁμοφήτορος, ὁμοίως πᾶσι προφητεύοντος καὶ μαντευομένου, τῷ τε πένητι καὶ πλουσίῳ A+

425. τοῦτό φησιν, ὅτι ματαία ἐστὶν αὐτοῖς γνώμη αὕτη, ἣν ἐποίησαν οἱ Ἕλληνες πέμψαντες ὑμᾶς πρέσβεις πρός με ὡς δυναμένους πεῖσαι AB=

433. ⟨ἀναπρήσας⟩] ἀναφυσήσας ἢ ἀθρόως ἀναβαλών

440. νήπιον] σμικρότατον

φασίν, ὅτι δώδεκα ἐτῶν ἦν ὁ Ἀχιλλεύς, ὅτε ἦλθεν εἰς Τροίαν

444. ὡς] διό 445. ὑποσταίη] ὑπόσχοιτο A=

448. Ὀρμενίδαο] Ὀρμένου παιδός

449. διφορεῖται γραφή, καὶ παλλακή καὶ παλλακίς

452. προμιγῆναι] πρὸ τοῦ πατρός A+

453. τῇ πιθόμην καὶ ἔρεξα] σεμνῶς

470. εἰνάνυχες] ἐπὶ θ′ νύκτας A=

491. ἐν νηπιέῃ ἀλεγεινῇ] ἐν τῇ παιδοτροφίᾳ τῇ χαλεπῇ

493. ὅ] ὅτι A+ γόνον] παιδίον

497. τὸ ἐπιχείρημα ἀπὸ μείζονος 519. ὑπέστη] ὑπέσχετο

524. ἐπευθόμεθα] ἠκούομεν. §. δώροις πειθόμενοι A=

532. διαπραθέειν] πορθῆσαι

533. τοῖσι] τοῖς Καλυδωνίοις 534. γουνῷ] τῷ γονίμῳ τόπῳ

535. Οἰνεύς] βασιλεὺς Καλυδωνίων 538. δῖον γένος] ὦ

540. ἔθων] ἐξ ἔθους ποιῶν, ἐθάς, καταστάς A ~

541. προθέλυμνα] ἢ πρόρ⟨ρ⟩ιζα A+ 546. ἐπέβησε] ὁ χοῖρος

547. ⟨ἣ δ' ἀμφ' αὐτῷ⟩] ἤτοι ἀμφὶ ἑαυτῷ ὁ χοῖρος. ψιλοῦται δέ, διότι οὐδέποτε συνθέτῳ ἀντωνυμίᾳ χρῆται ὁ ποιητής

θῆκε] ὁ χοῖρος 551. κακός] γράφεται "κακῶς"

553. καὶ ἄλλων] οἷον σοῦ

562. Ἀλκυόνην] πρὸς ἀντιδιαστολὴν τοῦ ὀρνέου, ἣν φαμεν ἀλκυόνα

563. οἶτον] συμφοράν A=

567. ⟨κασιγνήτοιο φόνοιο⟩] ἤτοι διὰ τὸν φόνον τοῦ ἀδελφοῦ— ἀπέκτεινε γὰρ Μελέαγρος τοὺς μήτρωας—ἢ ἀντὶ τοῦ ὑπὲρ κασιγνη-

4. ἀτιμώτατοι ‖ 15. Ἀ. ὅταν ‖ 18. διαφορεῖται ‖ 20. σεμνότης ‖ 28. ad v. 538 ἰοχέαιρα] omisi ἢ ‖ 29. ποιῶν scripsi: ποιμιν legi ‖ 39. μήτρωας W: ἥρωας

Digitized by Google

τικοῦ φόνου· οὐ γὰρ εἷς ἦν ὁ ἀνῃρημένος τῆς Ἀλθαίας ἀδελφός, ἀλλὰ πλείους, Ἴφικλος Πολυφόντης Φάνης Εὐρύπυλος Πλήξιππος A+

568. ⟨ἀλοία⟩] ἔπληττεν· ἐξ οὗ καὶ πατραλοίας ὁ τὸν πατέρα τύπτων. εὔχονται δὲ οἱ ἥρωες τοῖς μὲν οὐρανίοις θεοῖς ἄνω τὰς χεῖρας ἀνίσχοντες (Il. 8. 347), τοῖς δὲ θαλασσίοις εἰς τὴν θάλασσαν (Il. 1. 351), τοῖς δὲ καταχθονίοις κόπτοντες τὴν γῆν A+

608. αἴσῃ] βουλήσει 610. δρώρῃ] κινῆται

622. κλισίης] τῆς σκηνῆς 636. ποινήν] ἀντέκτισιν

638. οἴης] ἡ μόνης, ἡ ὁποίας κατ' εἰρωνείαν

639. θυμόν] ψυχήν

645. πάντα μοι καθεστηκότως ἔδοξας εἰρηκέναι A—

646. ⟨οἰδάνεται κραδίη⟩] ἐκ μεταφορᾶς τῆς φλεγμονῆς, ὅπερ οἴδημα καλοῦμεν

647. ἀσύφηλον] ἀδόκιμον 648. μετανάστην] φυγάδα

657. σπείσαντες] θύσαντες 668. Ἐνυῆος] υἱὸς Διονύσου A=

684. παραμυθήσασθαι] προτρέψασθαι 686. ἕθεν] ἐκείνου

695. τετιηότες] λυπούμενοι A=

698. ὄφελες] τῶν Ἰώνων· καὶ οὐκ αὔξεται

## K.

Αὕτη ἡ ῥαψῳδία ἐπιγράφεται Νυκτεγερσία διὰ τὸ νύκτωρ ἐπαναστάντας τοὺς πρώτους τῶν Ἑλλήνων κατασκόπους πέμψαι γνώμῃ Νέστορος Διομήδη καὶ Ὀδυσσέα A=

2. εἰκότως "εὗδον·" ἀμφότερα γὰρ ὕπνου ἀγωγά, καὶ ὁ ἐκ τῆς μάχης κάματος καὶ ἡ ἐπὶ τῇ ἥττῃ δυσθυμία

⟨παννύχιοι⟩] οὐχὶ δι' ὅλης τῆς νυκτός, ἀλλὰ τὸ πλεῖστον μέρος τῆς νυκτός. εἴωθε γὰρ ὁ Ὅμηρος τὸ "παννύχιοι" καὶ "πανημέριοι" τιθέναι καὶ ἐπὶ τῶν κατὰ μέρος· "παννύχιοι μὲν ἔπειτα καρηκομόωντες Ἀχαιοί" (Il. 7. 476)· "οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο" (Il. 1. 472) B—

8. ἠέ ποθι] ἢ δή A— πευκεδανοῖο] πικροῦ rec. A+

12. ἀπορία] πῶς ἐντὸς τοῦ τείχους ⌈ὑπάρχω⌋ν ὁ Ἀγαμέμνων ⌈τὰ πυρὰ⌋ ἐθαύμαζε, τὴν ⌈ἀρχὴν⌋ μηδὲ βλέπων ⌈αὐτὰ διὰ τοῦ τείχους; καὶ ῥητέον, ὅτι ὁ βασιλεὺς ὑψηλοτάτην εἶχε σκηνήν, ἵν' εὐχερῶς θεωρεῖν πάντα δύνηται⌋ A=

13. ἀνθρώπων] ᾀδόντων 16. ὑψόθ' ἐόντι Διί] ὀδυρόμενος A=

24. ποδηνεκές] μέχρι ποδῶν καθῆκον

2. Πολυφάντης ut AD || 3. οὗ scripsi: ῦ legi || 7. κινεῖται || 11. καθηκόντως D || 20. διὰ τὸ omittit A || 30. ἠὲ in textu novavit sec.: ἢ pr. || 31, 32. supplevi ex A quae bibliopega resecuit || 32, 33. etiam λύσιν positam fuisse λύσις ab eadem altera manu adscriptum testimonio est; supplevi itidem ex A || 35. ᾀδόντων W: ἀκόντων

Digitized by Google

44. ⟨κερδαλέης⟩] παρὰ τὴν κερδώ, ὅ ἐστι τὴν ἀλώπεκα· ἔστι δὲ πανουργότατον τὸ ζῷον A +

46. ἱεροῖσιν] θύμασιν    47. αὐδήσαντος] τινός

50. αὔτως] μάτην    54. ῥίμφα] ταχέως

56. τέλος] τάγμα A =    57. τοῖο] τούτου

58. σημαίνει] προστάττει    59. μάλιστα] ἐξαιρέτως

65. ἀβροτάξομεν] ἀποτύχωμεν A =    67. ᾗ] ὅπου

⟨ἐγρήγορθαι⟩] τὰ εἰς θαι λήγοντα ἀπαρέμφατα, ἔχοντα πρὸ τοῦ θ ἀμετάβολον, παροξύνονται, κεκάρθαι ἐσπάρθαι τετίλθαι· ἀλλ' ὅτι τὰ παραληγόμενα τῇ ορ συλλαβῇ Αἰολικά ἐστιν, ὡς ἔφθορθαι μέμορθαι, προπαροξύνονται A +    ἐγρήγορθαι] Αἰολικόν

ἄνωχθι] μεταπλασμός· ἄνωγε γὰρ ἦν

69. μεγαλίζεο θυμῷ] ἐπαίρου τῇ διανοίᾳ A +

71. ἵει] ἔπεμψε A =    84. οὐρήων] τῶν φυλάκων A =

94. ἀλαλύκτημαι] τεθορύβημαι

96. δραίνεις] ἐπινοεῖς, δρᾶσαι δύνασαι A =

100. σχεδόν] ἐγγύς A =

106. κήδεσι μοχθήσειν] κακοῖς ἐνταλαιπωρήσειν

110. ταχύν] τὸν τοῦ Ὀιλέως    Φυλέος—υἱόν] ἤτοι τὸν Μέγητα A =

113. ἑκαστάτω οὐδὲ μάλ' ἐγγύς] ἑρμηνευτικόν

127. ἵνα] ἀντὶ τοῦ ἐκεῖ A =

133. περονήσατο] ἤτοι πόρπῃ συνέλαβεν

φοινικόεσσαν] πυρρὰν τῷ χρώματι A —

134. οὔλη] τρυφερά rec.    142. ἀμβροσίην] γλυκεῖαν

153. σαυρωτῆρος] τοῦ κρόσφου

⟨σαυρωτὴρ⟩ τὸ σιδηρο⟨ῦ⟩ν, ὅπου πήγνυται τὸ δόρυ, παρὰ τὸ σταυροῦσθαι καὶ ὀρθοῦσθαι ἐπ' αὐτοῦ τὸ δόρυ, σταυρωτήρ τις ὤν A ~

159. ἀωτεῖς] ἀπανθίζῃ· ἄωτος γὰρ τὸ ἀπάνθισμα A +

160. ⟨θρωσμῷ⟩] τόπος ἐστὶν ὑψηλὸς ἐν τῷ πεδίῳ πρὸ τῆς Ἰλίου, ὃς ὀνομαστικῶς καλεῖται θρωσμός, ὡς καὶ ἕτερος Καλλικολώνη, ᾧ στρατοπέδῳ ἐχρῶντο οἱ Τρῶες, εἴ ποτε τῆς πόλεως ἔξω τάσσοιντο A =

173. ἐπὶ ξυροῦ—ἀκμῆς] ἤτοι ἐπὶ ὀξύτητος κινδύνου A +

188. νύκτα φυλασσομένοισι κακήν] κακὴν φυλακὴν κατὰ νύκτα διάγουσιν

189. τέτραφθ'] τετραμμένοι ἦσαν, ἀπέβλεπον A +

198. ἐκδιαβάντες ὀρυκτήν] γράφεται "εὖ διαβάντες ὀρυκτήν"

200. ἀπετράπετ'] ἀπετρέπετο

206. ἐσχατόωντα] ἔσχατον ὑπολειπόμενον

1. κερδώ A : κερδῷον || 10. Αἰολικὰ scripsi, cf. A : ὀλίγα legi || 14. ad v. 80 κεφαλήν] καί superscriptum : omisi || 20. φερμηνευτικόν || 33. κατὰ W : καὶ || 34. διαγάγωσιν || 37. ἀνετρέπετο alterum

Digitized by Google

207. φῆμιν] γράφεται καὶ "φῆμιν" καὶ "φήμην·" καὶ φήμη μέν ἐστιν ὁ θεῖος λόγος, φῆμις δὲ ὁ παρ' ἡμῖν λεγόμενος λόγος. ὃν ἄρα ἐπιφημίξομεν καὶ λαλήσομεν

212. ἀσκηθής] ἀβλαβής A+

216. τῇ μὲν κτέρας οὐδὲν ὅμοιον] ᾗ οὐδὲν κτῆμα ὅμοιον διὰ τὴν πρᾶξιν

καλῶς τὸ "ὑπόρρηνον," ἵνα καὶ τὴν πορείαν ἔγκαρπον ποιήσωνται A+

223. θαλπωρή] ἡδονή A+

226. βράσσων] βραχύτερος, ἐλάσσων, ἢ ταρασσόμενος καὶ ἀκαταστατῶν μεταφορικῶς A+

λεπτή] ἀσθενής 238. ὀπάσσεαι] προλάβῃς

251. ἄνεται] ἀνύεται A+

252. προβέβηκε] προκεχώρηκεν εἰς δύσιν

258. ταυρείην] δερματίνην A=

ἄλ⟨λ⟩οφον] μὴ ἔχουσαν προμετώπ⟨ι⟩ον A+

καταῖτυξ] πάντα τὰ εἰς ⟨υξ⟩ συστέλλουσι τὸ ῡ A+

265. πῖλος ἀρήρει] τὸ πεπιλημένον ἔριον ἐνέκειτο A−

267. ἐξέλετο] ἀφείλετο

277. ὀρνιθά φασι καὶ τὸν ὄρνιν, φασὶ δὲ καὶ τὸ σημεῖον τοῦ μέλλοντος. ὧδε γοῦν τὸ σημεῖον τοῦ μέλλοντος ὀφείλεις νοεῖν

285. σπεῖο] ἕπου, συνακολούθησον A−

286. πρὸ 'Αχαιῶν] πρὸ τῶν λοιπῶν 'Ελλήνων

292. ἤνιν] ἐνιαυσιαίαν· ἔτος γὰρ ὁ ἐνιαυτός A−

306. οἵ κεν ἀριστεύωσι] 'Ελληνικοὺς δηλονότι

317. μοῦνος] τηλύγετος 324. ἅλιος] μάταιος

325. τόφρα] ἕως ⟨τούτου⟩ διαμπερές] μέχρι τέλους

335. κτιδέην κυνέην] τὴν ἐξ ἰκτίδος δέρματος πεποιημένην. ἰκτὶς δὲ ζῷον ὀρνιθοφάγον καὶ πανοῦργον, μεῖζον μὲν γαλῆς, παραπλήσιον δὲ καὶ δασύτερον A+

350. ἀφραδίῃσιν] ἀνοίαις A= 351. οὖρα] ὅρια, ὁρμήματα A=

357. δουρηνεκές] δόρατος βολήν, δόρατος μῆκος A=

361. κεμάδα] νεογνόν, τέκνον ἐλάφου ἐπείγετον] διώκουσιν

362. μεμηκώς] ποιὰ φωνὴ τῶν λαγώων διωκομένων

364. λαοῦ] τοῦ Τρωικοῦ ἀποτμήξαντε] χωρίσαντε

365. φυλάκεσσιν] τοῖς παρὰ τοῖς Ἕλλησιν

368. ἐπευξάμενος] ⟨κ⟩αυχησάμενος

373. ὑπὲρ ὦμον] διελθοῦσα 375. βαμβαίνων] τρέμων AB+

5. ἧς οὐδὲν ‖ 10. βραδύτερος ut A ‖ 17. supplevi ex A ‖ 20. σημεῖον non certum ‖ 27. supplevi ex D ‖ 29, 30. παραπλήσιον A: παρὰ πλῆθος ‖ 33. νεογνὸν non certum ‖ 37. supplevi ex A

Digitized by Google

393. ἅρματα] ἤτοι ἅρμα. ἀντὶ ἑνικοῦ τῷ πληθυντικῷ ἐχρή⟨σα⟩το

408. ὁ "δαί" σύνδεσμος ὁ διὰ τοῦ ᾱ καὶ διὰ τοῦ ῑ γραφόμενός ἐστι μὲν συμπλεκτικός, μόνοις δὲ τοῖς πυσματικοῖς συντάσσεται. καὶ ἀπορεῖ ὁ Ἀπολλώνιος οὕτω λέγων (cf. de Constr. p. 77 B.), ὡς οἱ μὲν παραπληρωματικὸν θέλουσιν αὐτὸν εἶναι ἰσοδυναμοῦντα τῷ δή, ὅτε παρέλκει, οἱ ⟨δὲ⟩ περὶ Ἀρίσταρχόν φασιν ἰσοδυναμεῖν αὐτὸν τῷ δέ τῷ διὰ τοῦ ε̄ ψιλοῦ γραφομένῳ καὶ εἶναι συμπλεκτικόν· διόπερ ἐν τοῖς "πῶς δαὶ τῶν ἄλλων Τρώων" δυνάμενος ἀποστρέψαι μὲν τὸ δέ, ἵν' ᾖ ὁ δέ συμπλεκτικὸς συναληλιμμένος, δασῦναι δὲ τὴν α̅ι̅ δίφθογγον καὶ πληθυντικὸν ἄρθρον ἐκδέχεσθαι—δεῖται γὰρ τοῦ ἄρθρου ἡ σύνταξις —τοῦτο μὲν οὐ πεποίηκε, ψιλῶς δὲ τὸν "δαί" προήγαγε καθ' ἓν μέρος λόγου, σύνδεσμον ἐκδεχόμενος συμπλεκτικόν, γιγνώσκων τὸ τοῦ ποιητοῦ ἰδίωμα, ὡς ἐλλειπτικὸς μέν ἐστι τῶν ἄρθρων, τούτῳ ⟨δὲ⟩ συνδέσμῳ μετὰ τῶν πυσματ⟨ικ⟩ῶν κέχρηται

416. φλοίσβου] τῆς ταραχῆς τοῦ πολέμου

417. κεκριμένη] ἐπιλελεγμένη A=

428. ⟨ἀγκυλότοξοι⟩] ἀ⟨γ⟩κύλη εἶδος ἀκοντίου, τὸ λεγόμενον ῥηκτάριον

434. νεήλυδες] νεωστὶ ἐληλυθότες A+ 435. βασιλεύς] Θρᾳκῶν τῷ Ῥήσῳ χρησμός, ὥς φασιν, ἦν δεδομένος, ὅτι, εἰ αὐτὸς γεύσεται τοῦ ὕδατος καὶ οἱ ἵπποι αὐτοῦ τοῦ Σκαμάνδρου πίωσι ⟨καὶ⟩ τῆς αὐτόθι νομῆς, ἀκαταμάχητος ἔσται εἰς τὸ παντελές· ὁ δὲ νυκτὸς ἔφθασεν εἰς τὴν Τροίαν καὶ οὐκ ἔφθασε γεύσασθαι τοῦ ὕδατος· καὶ διὰ τοῦτο ἐφονεύθη A+

450. εἶσθα] παραγενήσῃ, ἥξεις, ἐλεύσῃ A—

463. ⟨ἐπιβωσόμεθα⟩] ἐπιβοησόμεθα ἦν, καὶ τροπῇ τοῦ η̄ καὶ ο̄ εἰς ω̄ μέγα γίνεται "ἐπιβωσόμεθα"

466. μυρίκην] θαμνῶδες φυτόν A= δέελον] εὔγνωστον A+

485. ἀσημάντοισιν] μὴ ἔχουσι τοὺς ἐπιστατοῦντας γράφεται "ἀσημάντορσιν" rec.

493. ἀήθεσσον] ἀηθεῖς ἦσαν αὐτῶν A=

497. Οἰνείδαο] ὁ τοῦ Οἰνέως ἔκγονος Διομήδης

499. σὺν δ' ἤειρεν] συνέδησεν A=

502. ῥοίζησεν] ἀνάρθρως ἐφώνησεν, ὃ ἡμεῖς συρίζειν φαμέν A+

503. κύντατον] χαλεπώτατον 510. πεφοβημένος] φεύγων

513. ἐπεβήσετο] καὶ ὁ Διομήδης καὶ ὁ Ὀδυσσεύς
κόψε] ἐκτύπει 526. σκοπόν] τὸν Δόλωνα

542. ἠσπάζοντο] περιεπλέκοντο 546. σφῶε] ὑμῖν

3. πυσματικοῖς Cram. An. Par. III 13 et 284: πύσμασι || 6. supplevi ex Cram. An. || 11. δαὶ Cram. An.: δὲ || 13, 14. supplevi ex Cram. An. || 15. ταῖς ταραχαῖς || 21. supplevi ex AD || 22. γεύσονται post νομῆς supplet D || 25. παραγενήσει || 29, 30. γρ. ἀσημάντοροι

547. ἐοικότες] παρόμοιοι 550. ἐνόησα] ἤκουσα
576. ⟨ἀσαμίνθους⟩] τὰς λεκάνας, παρὰ τὸ τὴν ἄσην μινύθειν καὶ ἐλαττοῦν A +

## Λ.

3. Ἔριδα] τὴν σωματοειδῆ θεάν
4. πολέμοιο τέρας] ἤτοι τὸν πόλεμον A +
6. γεγωνέμεν] ὥστε 11. ὄρθια] ὀρθῶς, μεγάλως A =
21. οὕνεκα] ὅτι 24. τοῦ δέ] θώρακος
μέλανος] ἀπὸ χρώματος μέλανος
26. ὀρωρέχατο] ἐξετέταντο A +
31. ἀορτήρεσσιν] λώροις τοῖς ἀπαιωροῦσι τὸ ξίφος A =
32. ἀμφιβρότην] τὴν μεγάλην, τὴν παρασκέπουσαν τὸν βροτόν
θοῦριν] τὴν κούφην, τὴν εὐκίνητον A +
35. μέλανος κυάνοιο] ἀπό
45. ἐγδούπησαν] πλεονασμὸς τοῦ γ̄, ἵν' ᾖ τραχυτέρα ἡ φωνή
50. ῥώοντο] ὥρμων A = ἠῶθι] τῆς ἀνατολῆς A =
51. μεθ' ἱππήων] μετὰ τῶν ἵππων B + 53. ἐέρσας] δρόσους
62. οὔλιος ἀστήρ] ὀλέθριος, ἵν' ᾖ ὁ Κύων A =
71. μνώοντο] μνήμην ἐποιοῦντο rec.
88. ἄδος] ἑῶ, παραγωγὸν ἕδω καὶ ἥδω, ἀφ' οὗ καὶ "ἄδος"
90. τῆμος] τότε, καθ' ἣν ὥραν 95. μετώπιον] κατά
100. παμφαίνοντας] ἤτοι γυμνά περίδυσε] ἢ ἀφείλετο A +
104. παρέβασκε] παραβάτης ἦν A = ὣ] δυϊκῶς
105. ἐν κνημοῖσι] ταῖς προβάσεσιν
κνημοῖσι δίδη μόσχοισι] ἐξοχαῖς ἔδησεν 106. ἀποίνων] διά
109. σπερχόμενος] σπουδάζων
122. μενεχάρμην] τὸν ὑπομένοντα τὴν μάχην, πολεμικόν A =
124. Ἀλεξάνδροιο] παρά A =
147. ὅλμον δ' ὣς ἔσσευε] ὅλμου δὲ δίκην εἴασεν αὐτὸν ῥίψας κυλίεσθαι· ὅλμος δέ ἐστι κοιλὸς λίθος, εἰς ὃν κόπτουσιν ὄσπρια καὶ ἄλλα τινά A =
155. ἀξύλῳ] ἢ τῇ πολυξύλῳ κατ' ἐπίτασιν A +
160. κεινά] κενά 166. οἱ δέ] οἱ Τρῶες
169. ἀάπτους] ἀπτοήτους 172. οἱ δέ] οἱ Τρῶες
173. νυκτὸς ἀμολγῷ] τῷ μεσονυκτίῳ, ὅτε οὐδεὶς μολ⟨ίσκ⟩ει A +
180. περὶ πρὸ γάρ] περισσῶς γάρ A =
183. πιδηέσσης] τῆς πολυύδρου, τῆς πολλοὺς πίδακας ἐχούσης

7. ad v. 13 νέεσθαι] omisi παρά (vel παρό) ‖ 9. μελανους alterum legi ‖ 20. ad ἄδος superscripsit rec. κόρος ‖ 22. ἤτοι pro ἢ coni. W ‖ ἢ scripsi: καί ‖ 23. δυϊκῶς non certum: sumpsi ex D ‖ 28. παρά A: περί ‖ 32. ἤτοι pro ἢ τῇ coni. W ‖ 35. supplevi ex AD ‖ schol. iteravit rec. in margine

Digitized by Google

216. ἀρτύνθη] παρεσκευάσθη 218. ἔσπετε] εἴπετε
219. ὅς τις δή] τίς δή
221. Ἀντηνορίδης] ὁ υἱὸς τοῦ Ἀντήνορος
223. Κισσῆς] ὁ rec.
224. μητροπάτωρ] μητρόθεν πάππος αὐτοῦ A=
249. πρεσβυγενής] γεραίτερος γὰρ οὗτος ἦν
251. εὐράξ] πλευράξ φησιν ἦν, ἤτοι ἐκ πλαγίου, ἀμφοτέρωθεν τῶν πλευρῶν· ἀφαιρέσει γοῦν τοῦ π̄ καὶ λ̄ ἐγένετο "εὐράξ" A—
297. ὑπεραέι] ἐμπνεούσῃ 307. τρόφι] τρόφιμον
324. κυδοίμεον] ἐθορύβουν A+ 349. προΐει] κατὰ τοῦ Ἕκτορος
350. τιτυσκόμενος] καταστοχαζόμενος A=
353. τρίπτυχος] τρεῖς πτύχας ἔχουσα
354. ἀπέλεθρον] πολλὴν γῆν 360. ἐξέλασε] ἐξέδραμεν
374. αἴνυτο] ἀφῃρεῖτο A=
377. ταρσὸν—ποδός] τὸ πλατὺ τοῦ ποδός A=
διὰ δ' ἀμπερές] διελθών
387. ταρφέες ἰοί] πυκνοί, συνεχεῖς rec.
393. τοῦ δέ] τούτου, οὗ τὸ βέλος μου ἐπαύρῃ rec.
ἀμφίδρυφοι] ἐξεσμένοι ἀμφοτέρωθεν
395. οἰωνοί] ὄρνεα 410. ᾗ τε] κἄν τε
413. ἔλσαν] συνέκλεισαν συνεκέκλεισαν A+
415. ξυλόχοιο] ξυλώδους 416. γναπτῇσι] ἐπικαμπέσι A=
417. ἀμφί] αὐτόν κόμπος] κτύπος
423. καθ' ἵππων ἀίξαντα] ἐκ τῶν ἵππων καταπηδήσαντα
430. πολύαινε] μυθολόγε καὶ φλυαρέ A+
ἆτε] ἀκόρεστε 431. ἐπεύξεαι] καυχήσῃ
Ἱππασίδησι] τοῖς παισὶν Ἱππάσου
438. ἔγκασι] ἐ⟨γ⟩κάτοισι
453. καθαιρήσουσι] κατακαλύψουσι 457. χροός] τοῦ ἰδίου
477. ὀρώρῃ] ἰσχύῃ κινῆται A— 480. λῖν] λέοντα
ἔδει μὲν γράφειν περισπωμένως τὸ "λῖν," ὡς μῦς μῦν, Ἀριστάρχῳ δὲ ἐπείσθη ἡ παράδοσις ὀξύνοντι A+
484. νηλεὲς ἦμαρ] τὸν θάνατον
493. ὀπαζόμενος] ἐπειγόμενος, ἀφ' οὗ πληρούμενος A+
495. ἀφυσγετόν] συρφετόν, ἀκαθαρσίαν rec. A+
500. βοή] ταραχή
522. Ἕκτορι παρβεβαώς] ἡνιοχῶν παρὰ τῷ Ἕκτορι
525. ἐπιμίξ] ἀναμεμιγμένοι A= 532. λιγυρῇ] τῇ ὀξυφώνῳ
535. πεπάλακτο] ἐβέβρεκτο 536. ὀπλέων] ὀνύχων A=

5. μητρόθεν W: μητρὸς ὁ ‖ 16. δι' ὅλου A pro διελθών ‖ 26. ἅτ' ‖ 30. ἰσχύει κινεῖται ‖ 39. ἐβέβρυκτο

ῥαθάμιγγες] αἱ ῥανίδες A=

539. μίνυνθα δὲ χάζετο δουρός] οὐδὲ ὀλίγον δὲ ὑπεχώρει τῷ δόρατι

540. ἐπεπωλεῖτο] οὕτω γράφεται παρὰ τῷ ποιητῇ· γίνεται δὲ ἐκ τοῦ πέλω πωλῶ, ὡς στρέφω στρωφῶ

541. χερμαδίοισιν] νόει, ὅτι εἶχε ἐπάνω τοῦ ἅρματος λίθους

548. με⟨σ⟩σαύλοιο] τῆς ἐπαύλεως

552. πρήσσει] πράσ⟨σ⟩ει, ἀνύει A—

θαμέες] ὡς ὀξὺς ὀξέος, οὕτω καὶ θαμὺς θαμέος

555. ἠῶθεν] ἕωθεν, ὄρθρου A—

ἀπὸ νόσφιν ἔβη] ἤτοι ἐχωρίσθη A= τετιηότι] λελυπημένῳ A=

559. νωθής] ἀργός A+ 561. βίη] ἰσχύς

νηπίη] ἀσθενής 568. τρωπάσκετο] ἐτρέπετο A=

588. ἐλελιχθέντες] ἐπιστραφέντες A=

νηλεὲς ἦμαρ] τὴν ἀνηλεῆ ἡμέραν

594. ἀντίος] κατὰ πρόσωπον

601. ἰῶκα—δακρυόεσσαν] τὴν δίωξιν τὴν αἰτίαν δακρύων A+

621. ἀπεψύχοντο] ἐξήραινον 630. χάλκεον] "χάλκειον"

ποτῷ ὄψον] ἤτοι ποτικὸν ὄψον, ὅ ἐστι προσφάγιον δίψους παρασκευαστικόν A—

631. ἀλφίτου] ἤτοι ἄρτου A= 639. κνῆ] ἔκοψε A=

640. κνήστι] τῇ μαχαίρᾳ 642. ἀφέτην] ἤτοι ἀφῆκαν

647. ἑτέρωθεν] ἐκ τοῦ ἑτέρου μέρους 649. ὅ] ὅστις

669. γναμπτοῖσι] τοῖς καμπτομένοις

673. γράφεται "Ἤλιδι" καὶ δασεῖα καὶ ψιλή· καὶ εἰ μέν ἐστι δασεῖα, γίνεται ἀπὸ τοῦ ἁλίζω τὸ συναθροίζω· ἐτελοῦντο γὰρ ἐκεῖ τὰ Ὀλύμπια καὶ συνηθροίζετο λαὸς πολύς· διὰ γοῦν τὸ ἁλίζω γράφεται δασεῖα· εἰ δὲ ψιλή, φαμὲν ὅτι τὸ η πρὸ τοῦ λ̄ ψιλοῦται

679. συβόσεια] χοιροφόρβια πλατέα] μεγάλα

684. τύχε] κατέτυχεν

685. κήρυκες δ' ἐλίγαινον] οἱ τῶν Πυλίων κήρυκες ὀξέως ἐπεκαλοῦντο τούτους, οἷς ὀφειλόμενον ἦν ἐν τῇ Ἤλιδι, δραμεῖν, ὡς ἀφαρπασθέντων αὐτῶν τῶν θρεμμάτων rec.

686. ἴμεν] πορεύεσθαι 688. Ἐπειοί] οἱ Ἠλεῖοι A+

694. ταῦθ'] διά

704. ἄσπετα πολλά] ἐκ παραλλήλου τὸ αὐτό

705. ἀτεμβόμενος] στερισκόμενος A= ἴσης] τιμῆς

711. αἰπεῖα] ὑψηλή 720. μετέπρεπον] ἐνέπρεπον

723. Ἀρήνης] τῆς πόλεως τῆς Πύλου A=

3. οὕτω non certum ‖ 5. ἅρματος W: αἵματος ‖ 25. γράφεται Ἤλιδι scripsi: ἐκ^T legi ‖ 32. δραμεῖν ἐν τῇ Ἤλιδι

Digitized by Google

726. ἔνδειοι] ἑσπέριοι

"ἱερόν" φησι τοῦτον ἢ διὰ τὸ θεραπεύειν ἀλφοὺς ἢ διὰ τὸ τρόφιμον ἢ διὰ τὸ ἀεὶ ῥεῖν καὶ εἶναι ἀένναον

736. Διΐ] πεπρωμένη    Ἀθήνῃ] φρονήσει

747. μελαίνῃ] παρ' ὅσον μελαίνει τὸν ἀέρα

761. θεῶν] ἀπὸ τῶν    Διΐ] τῷ

Νέστορι] τῷ    ἀνδρῶν] ἀπὸ τῶν

776. σφῶι] ὑμεῖς A=    ἔπετον] ἐνεργεῖτε A=

νῶι] ἡμεῖς    782. σφῷ] ὃ μέν, ὅτι ἐπῆλθεν

807. ἵνα σφ' ἀγορή τε θέμις τε] ὅπου αὐτοῖς τά τε ὤνια ἐπιπράσκετο καὶ τὰ δικαστήρια ἐγίνετο A+    808. ἤην] ὑπῆρχεν

809. ἀντεβόλησεν] συνήντησεν· Ὅμηρος γὰρ ἐπὶ τοῦ παρακαλεῖν οὐκ οἶδε τάττειν

832. δικαιότατος] δίκαιος    838. ἕοι] γένοιτο A+

843. βοείας] ἤτοι δέρματα βόεια

## M.

24. τῶν] τῶν ποταμῶν    ἐνοπῇ] ταραχή

35. δεδήει] ἐξῆπτο, διεγήγερτο rec.

38. ἰσχανόωντο] κατείχοντο A+

40. ὅ] Ἕκτωρ    42. βλεμεαίνων] ἀγρίως βλέπων

47. πειρητίζων] δοκιμάζων rec.    48. εἴκουσιν] ὑποχωροῦσιν

52. δειδίσσετο] ἤτοι ἄποθεν ἐφόβει

54. κρημνοί] τὰ τῆς τάφρου χείλη    ἐπηρεφέες] ὑψηλοί, μεγάλοι

56. ἠρήρει] ἥρμοστο, ἐπεπύκνωτο A—

59. εἰ τελέουσιν] ἐὰν ἐπιτελέσωσιν, ὅ ἐστι παρέλθωσιν

66. τρώσεσθαι] ἡττηθήσεσθαι A+    69. ἦ] ὄντως A=

72. ἐνιπλήξωμεν] ἐμπέσωμεν    79. πείρατα] πέρατα

93. Πάρις] ὁ Ἀλέξανδρος A=

97. αἴθωνες] διάπυροι A+    103. εἴσαντο] ἔδοξαν A+

105. τυκτῇσι βόεσσιν] ταῖς εἰργασμέναις ἀπὸ δερμάτων βοείων ἀσπίσιν A+

106. λελιημένοι] παρωρμημένοι ἔνθερμοι

117. Δευκαλίδαο] υἱοῦ Δευκαλίωνος

137. βόας αὔας] βύρσας ξηράς

141. εἵως μέν] ἕως μέν, ἤτοι πρὶν ἐλθεῖν τοὺς βαρβάρους A=

147. κολοσυρτόν] κυρίως ἐπὶ ξύλων συρομένων, ὅταν ξύλων τῶν κοπέντων ἀπὸ ὄρους συρομένων θόρυβος γίνηται. ὁ ἀπὸ κάλου, ἤτοι ξύλου, συρομένου γενόμενος θόρυβος A—

1. post ἑσπέριοι add. rec. ἔνφοβοι || 3. ἀείρειν || 9. schol. 782 non intellego || 25. παρέλθοιεν || 26. ἡττηθήσεσθαι D: ἡττηθῆναι ut A || 37. καὶ ante συρ. omisi



Digitized by Google

148. ἄγνυτον] . . . καὶ ἄγνυμι τὸ θέμα, ὅπως ἔσχε τὴν γένεσιν· ἀπὸ τοῦ ἄ⟨γ⟩ω ῥήματος, ὃ σημαίνει τὸ κλῶ, ἐκ τούτου πλεονασμῷ τοῦ ν̄ γίνεται ἀγνῶ, ἐκ τούτου ἀγνύω, ἐκ τούτου ἄγνυμι

157. ζαῆς] ἄγαν πνέων 160. ἀμφ' αὖον] κατὰ ξηρόν

ἀΰτευν] ἦχουν 161. μυλάκεσσι] τραχέσι λίθοις A=

163. ἀλαστήσας] δεινοπαθήσας A=

167. αἰόλοι] ἢ ποικίλοι ἢ εὐκίνητοι A+

177. θεσπιδαές] ὑπὸ θεῶν ἀπτόμενον A+

182. Πολυποίτης] Ἕλλην ἦν rec.

183. χαλκοπαρῄου] χαλκᾶς παραγναθίδας ἐχούσης

186. πεπάλακτο] ἐμολύνετο A=

192. αὐτοσχεδίην] ἐκ τοῦ σύνεγγυς A+

204. κόψε] ἔδακεν A+ αὐτόν] τὸν αἰετόν ἔχοντα] κατέχοντα

213. δῆμον] δημότην παρέξ] παρὰ τὸ δέον

221. ἀφέηκε] ἔρριψε 225. παρὰ ναῦφιν] ἀπὸ τῶν νηῶν rec. A=

238. οὔ τι μετατρέπομ' οὐδ' ἀλεγίζω] παραλλήλως τὸ [αὐ]τό

247. μενεδήιος] ὥστε μένειν τοὺς πολεμ⟨ί⟩ους ἐν τῇ μάχῃ

255. θέλγε νόον] "θέλγε" κατ' εὐφημισμόν

260. ἔχματα] καταστηρίγματα

265. κελευτιόωντο] παρεκελεύοντο A= 277. τώ] οἱ Αἴαντες

278. τῶν] τούτων 279. ὤρετο] ὥρμησεν A+

280. πιφαυσκόμενος] προσημαίνων A+ 283. λωτεῦντα] ἀνθοῦντα A=

286. κρύπτονται. ἐλύω, ὁ μέλλων ἐλύσω, ὁ παρατατικὸς εἴλυκα, τὸ πληθυντικὸν εἰλύμεθα εἴλυσθε εἴλυνται "εἰλύαται"

293. ἕλιξιν] τοῖς εἰλ⟨ο⟩ῦσι τοὺς πόδας ἐν τῇ πορείᾳ A+

298. σχόμενος] κατέχων 316. καυστείρης] τῆς καυστικῆς

340. ἐπῴχατο] ἤτοι ὀχεῦσι ἦσαν ἠσφαλισμέναι

344. ὅ] τοῦτο 345. τάχα] τὸ ταχέως παρὰ τῷ Ὁμήρῳ

347. ζαχρηεῖς] ἄγαν ἀνδρεῖοι 353. εἶθαρ] εὐθέως A=

366. σφῶι] ὑμεῖς 380. ὅ] ὁ λίθος

384. σὺν—ἄραξεν] συνέτριψεν 390. ἄψ] ὄπιθεν

396. βράχε] ἤχησεν 397. ἔπαλξιν] προμαχῶνα

400. ὁμαρτήσαντε] ὁμοῦ καὶ ὑπὸ τὸν αὐτὸν καιρὸν ἀφιέντες τὰ δόρατα A=

401. τελαμῶνα] κατὰ τόν 406. χώρησεν] ἀπεχώρησεν

ἐπάλξιος] ἀπό 422. ἐπιξύνῳ] ἐπικοίνῳ

423. περὶ ἴσης] περὶ τοῦ ἴσου 424. ἐπάλξεις] αἱ

429. ἀσπίδος] κατά

1. lacunam indicavi || 2. supplevi ex Et. M. || 18. εὐφημησμόν || 24. κρύπτοντο || 32. συνέτριψεν D: -εψεν legi

431. ῥαίνω, ὁ μέλλων ῥανῶ, ὁ παρακείμενος ἔρρα⟨γ⟩κα, ὁ παθητικὸς ἔρρα⟨μ⟩μαι, ὁ ὑπερσυντελικὸς ἐρράμ⟨μ⟩ην ἔρρανσο ἔρραντο, τὸ πληθυντικὸν ἐρράμ⟨μ⟩εθα ἔρρασθε ἐρραμμένοι ἦσαν, καὶ τὸ Ἰωνικὸν ἐρράνατο, καὶ τροπῇ τοῦ ν̄ εἰς δ̄ "ἐρράδατο"

444. κροσσάων] διὰ τῶν κλιμάκων   446. πρυμνός] κάτωθεν

448. ἅμαξαν] οἱ μὲν παλαιοὶ ψιλὴν γράφουσιν, ὡς ἀπὸ τοῦ τὰ πρὸς τὸν ἀμητὸν ἄγειν, ἡμεῖς δὲ γράφομεν δασεῖαν, ὡς ἀπὸ τοῦ ἅμα ἔχειν τὸν ἄξονα

451. πόκον] ἔριον   456. ἐπημοιβοί] ἀλλήλοις ἐπικείμενοι

458. ⟨εὖ διαβάς⟩] ἤτοι διασκελίσας καὶ στήσας τὸν ἕνα πόδα ὧδε καὶ τὸν ἄλλον ἐκεῖ

462. λᾶος] τοῦ   463. ὑπώπια] τὴν πρόσοψιν A=

## N.

4. καθορώμενος] ὁρῶν

5. ἀγχεμάχων] τῶν ἐκ τοῦ σύνεγγυς πολεμούντων

10. ἀλαὸς σκοπιήν] ματαίαν τὴν κατασκοπήν· ἀλαὸς γὰρ κατὰ διάλεκτον ὁ τυφλός A=

17. ⟨παιπαλόεντος⟩] ἤτοι πετρώδους καὶ σκληροῦ· παλὸν γὰρ λέγεται τὸ ξηρόν, ὅθεν καὶ παλὸς ὁ πηλός. πηλὸς γὰρ κυρίως τότε λέγεται, ὅταν ὕδατι φυρθεὶς χοῦς ξηρανθῇ. παλόν τοί[νυν], καὶ κατὰ ἀναδιπλασιασμὸν πάπα[λον], καὶ πλεονασμῷ τοῦ ῑ παίπαλον, καὶ ἐπιθετικῶς χῶρος παιπαλόεις

18. κραιπνὰ ποσὶν προβιβάς] ἐκθύμως τρέχων καὶ διὰ τοῦτο πνευστιῶν

20. τρὶς μὲν ὀρέξατ' ἰών] ἐκ τρίτου μὲν ἐξέτεινε πορευθείς

ὀρέξατο] ὥρμησεν

23. τιτύσκετο] τύκω τύσκω καὶ κατὰ ἀναδιπλασιασμὸν τιτύσκω

25. χρυσόν] χρυσῆν στολήν   περὶ χροΐ] περὶ τῷ σώματι

33. Τενέδοιο καὶ Ἴμβρου] νῆσοι πλησίον τῆς Τροίας κείμεναι A+

39. ἀολλέες] ἀπὸ τοῦ ᾱ τοῦ σημαίνοντος τὸ ὁμοῦ καὶ τοῦ εἰλεῖσθαι

41. ἄβρομοι] πολύβρομοι, πολύηχοι B+

45. ἀτειρέα] τὴν ἀκαταπόνητον rec.   48. μηδέ] οὐχί

51. ἕξουσιν] κωλύσουσιν   53. ὅ γε] αὐτός

55. σφῶιν] ὑμῖν   56. αὐτώ] ὑμᾶς

59. σκηπανίῳ] τῷ σκήπτρῳ A=B+

60. ἀμφοτέρω κεκοπώς] ἀμφοτέρους κρούσας

18. παλὸν W: παλαὸν ‖ 22. ἐπιθετικῶς scripsi: ἐντῐ //// legi ‖ 30. ᾱ τοῦ et τοῦ εἰλ. W ex Et. M.: αὐτοῦ et τὸ ‖ εἰλεῖσθαι Et. M.: ἐλεῖσθαι ‖ 36. ad v. 60 μένεος] superscriptae litterae ειμωοιμέους prorsus incertae sunt

Digitized by Google

66. *τοῖιν*] *ἐκ τούτων*

90. *μετεισάμενος*] *πρὸς αὐτοὺς ἀφικόμενος, ἢ μεταβληθεὶς*

103. *θώων*] *τῶν*

"*ἤια*" *τὰ βρώματα τὰ ἐκ τάχους ποδῶν ἡμῖν ποριζόμενα, κατὰ ἔκτασιν τοῦ ῑ Ἰωνικῶς* "*ἤια,*" *ἵνα ᾖ παρὰ τὸ ἴω τὸ πορεύομαι ἴον τὸ βρῶμα καὶ ἤιον Ἰωνικῶς καὶ τὸ πληθυντικὸν* "*ἤια*" A +

104. *ἠλάσκουσα*] *ἀλῶ ἀλάσω ἀλάσκω καὶ τροπῇ τοῦ η ἠλάσκω*

125. *κελευτιόων*] *παρακελευόμενος* 128. *Ἀθηναίη*] *ἡ φρόνησις*

130. *προθελύμνῳ*] *ἐπαλλήλῳ*

134. *ἐπτύσσοντο*] *εἰς ταὐτὸν συνήρχοντο*

137. *ὀλοοίτροχος*] *λίθος περιφερὴς ὁ ἐν τῷ τρέχειν ὀλοός, ἐπεὶ καταφερόμενος πᾶν τὸ ἐμπῖπτον βλάπτει* A +

141. *ἔμπεδον*] *συνεχῶς* 159. *τιτύσκετο*] *κατεστοχάζετο* A =

163. *σχέθ'*] *ἐκώλυσεν* 168. *οἰσόμενος*] *κομίσων* A +

178. *μελίῃ*] *εἶδος δένδρου*

199. *ῥωπήια*] *οἱ τόποι, ἔνθα φύονται ῥῶπες, ξυλάριά τινα δυνάμενα ῥέψαι ἅμα τῷ κρατῆσαι καὶ κλῖναι*

200. *γαμφηλῇσιν*] *ταῖς σιαγόσιν* 202. *κεφαλήν*] *τοῦ Ἰμβρίου*

203. *Ἀμφιμάχοιο*] *ὑπέρ* 211. *παρ' ἑταίρου*] *ἐκ τοῦ*

*ὅ*] *ὅστις* 213. *ἔνεικαν*] *ἐκόμισαν*

229. *ὅ οἱ*] *γράφεται* "*ὅτε*"

237. *συμφερτή*] *συμφορωτέρα, ὠφελιμωτέρα* *λυγρῶν*] *ἀσθενῶν*

238. *ἀγαθοῖσιν*] *τοῖς ἀνδρείοις*

239. *καὶ—ἐπισταίμεσθα*] *καὶ δυνα⟨ί⟩μεθα* rec.

241. *ἕλετο ἦν, καὶ συγκοπῇ ἕλτο, καὶ τροπῇ τοῦ λ̄ εἰς ν̄ ἕντο, καὶ προθέσει τοῦ γ̄* "*γέντο·*" *ἔστι δὲ τῶν Αἰολέων*

252. *τεῦ*] *περί τινος* B + 257. *οἰσόμενος*] *ἑαυτῷ*

276. *λεγοίμεθα*] *ἀθροιζοίμεθα, ἐπιλεγοίμεθα. ἢ ἀπὸ τοῦ λόχου· ⟨εἰ λεγοίμεθα⟩ εἰς λόχον, οὐδέ κεν ἔνθα τεόν γε μένος* (287) A +

279. *ἄλλυδις ἄλλῃ*] *ἀπὸ ἄλλου εἰς ἄλλο κατάστημα*

286. *δαΐδι καὶ ἀποκοπῇ* "*δάι*"

287. *οὐδέ κεν ἔνθα*] *οὐδαμῶς* *ὄνοιτο*] *μέμψαιτό τις*

288. *πονεύμενος*] *ἐνεργῶν*

291. *ὀαριστύν*] *συνομιλία⟨ν⟩* 298. *οἷος*] *ὁποῖος*

300. *ἐφόβησε*] *εἰς φυγὴν ἔτρεψεν*

307. *Δευκαλίδη*] *υἱὸς Δευκαλίωνος* A +

315. *μίν*] *τοῦτον*

*καὶ ἐσσύμενον πολέμοιο*] *καὶ λίαν προθυμούμενον πολεμεῖν*

5. *τοῦ η* ‖ *ἰωνικὸν* ‖ 6. *ἰωνικὸν* ‖ 7. *ἄλω* ‖ 18. *ἐμβρύου* ‖ 22. *συνφερτή* ‖ 28. *ἀθροιζώμεθα* ‖ 29. supplevi ex A ‖ 32. *μέμψοιτο*

Digitized by Google

319. *μή*] *οὐχί* 322. *ἔδοι*] *ἐσθίοι*

323. *ῥηκτός*] *τετρωμένος*

325. *ἐρίζειν*] *πρὸς τὸν Ἀχιλλέα· ποδώκης γὰρ οὗτος*

326. *νῶιν*] *ἡμῖν* 330. *οἱ δέ*] *οἱ Τρῶες*

334. *λιγέων*] *ὀξέων* *σπέρχωσιν*] *διεγείρωνται*

336. *ἄμυδις κονίης*] *ὁμοῦ μετὰ τῆς κονίης*

337. *ὁμόσε*] *εἰς τὸν αὐτὸν* ⟨*τόπον*⟩

353. *δαμναμένους*] *τοὺς Ἀχαιούς*

356. *ἀλέεινεν*] *ὁ Ποσειδῶν*

359. *πεῖραρ*] *τέλος* *ἐπαλλάξαντες*] *ἐπιπλέξαντες*

390. *βλωθρή*] *μακρά, παρὰ τὸ βλώσκειν, ὅ ἐστιν ἐπιβαίνειν*

391. *νήιον*] *ναυπηγήσιμον*

407. *κανόνε*⟨*σ*⟩*σι*] *ῥάβδοις*

409. *καρφαλέον*] *κάρφη τὰ ξηρά*
*ἐπιθρέξαντος*] *ἐπιψαύσαντος*

429. *Ἱπποδάμειαν*] *ἀδελφὴν τοῦ Αἰνείου*

440. *ἤρκει*] *ἀπεδίωκεν, ἀπῆργεν, ἐκώλυεν*

441. *αὖον*] *ξηρόν* A +

443. *οὐρίαχον*] *τὸν σαυρωτῆρα τὸ*⟨*ν*⟩ *ἐν τῷ τέλει τοῦ ἀκοντίου* A +
*πελέμιξεν*] *ἤτοι διέσεισεν*

446. *οὕτως· ἆρα δοκοῦμεν ἄξιοι ὑπάρχειν καυχᾶσθαι τρεῖς ἀνθ' ἑνὸς πεφονευκέναι, ἐπείπερ σὺ καυχᾶσαι ματαίως;* A = B +

464. *γαμβρῷ*] *τῷ Ἀλκαθόῳ*

473. ⟨*οἰοπόλῳ*⟩] *δηλονότι τῷ ἐρήμῳ, ἔνθα τις οἶος, ὅ ἐστι μόνος, πολεῖται· ἢ ἐν ᾧ πολοῦσιν οἶες* A —

488. *πλησίοι*] *οἱ παλαιοὶ ὁ πλησίος τοῦ πλησίου*

492. *κτίλον*] *τὸν κριόν*

493. *ἐκ βοτάνης*] *μετά* A +

495. ⟨*ἑοῖ*⟩] *ὥσπερ λέγομεν ὦρων ἀντὶ τοῦ ἔβλεπον καὶ πλεονασμῷ τοῦ ε ἑώρων, οὕτω καὶ οἷ ἀντὶ τοῦ αὐτῷ καὶ πλεονασμῷ τοῦ ε "ἑοῖ"*

507. *γύαλον*] *ἤτοι τὸ κοῖλον*

508. *ἀγοστῷ*] *παρὰ τὸ ἄγαν ὀστώδης εἶναι*

515. *τρέσσαι*] *φυγεῖν μετὰ δέους*

519, 20. *δι' ὤμου—ἔσχεν*] *διῆλθεν*

521. *βριήπυος*] *μεγὰ καὶ βαρὺ βοῶν*

524. *ἐελμένος*] *συγκεκλεισμένος*

533. *τὸν δέ*] *τὸν Δηίφοβον*

539. *νεουτάτου*] *νεοτρώτου*

1. *ἐσθίει* ‖ 5. *διεγείροντο* ‖ 7. supplevi ex D ‖ 16. *Αἰνείου* W : *Αἴαντος* ‖ 17. *ἐπῆργεν* ‖ 19. *σαυρωτῆρα* incertum, scripsi ex D ‖ 20. *πελέμιξεν* sec. in textu: -*ιζεν* pr.

Digitized by Google

543. "ἐάφθη" ἤτοι ἀπεκρεμάσθη. τὸ θέμα ἅπτω, ὁ μέλλων ἅψω, ὁ παρακείμενος ἧφα, ὁ παθητικὸς ἧμμαι, ὁ παθητικὸς ἀόριστος ἥφθην ἥφθης ἥφθη καὶ Ἰωνικῶς ἄφθη καὶ πλεονασμῷ τοῦ ε "ἐάφθη" A +

551. περισταδόν] ἀντὶ τοῦ περιιστάμενοι rec.

555. πολλοῖς βελέεσσιν] ἐν ἄλλαις μάχαις rec.

557. στρωφᾶτο] αὐτοῦ τὸ ἔγχος 559. τεῦ] τινός

560. τιτυσκόμενος] καταστοχαζόμενος

569. Ἄρης] τρῶσις A +

578. ἀποπλαγχθεῖσα] ἀποκρουσθεῖσα

583. ὁ δέ] ὁ Ἕλενος

⟨πῆχυν⟩] τὰ ἑκατέρωθεν μέρη τοῦ ἐν τῷ τόξῳ ⟨κέρατος⟩ πήχεις ἐλέγοντο, ὁ δὲ Ὅμηρος ἑνικῶς γράφει 'ὁ πῆχυς' rec.

584. ὁμαρτήτην] ὁμοῦ ἀφῆκαν rec.

588. ⟨πτυόφιν⟩] τῇ φι παραγωγῇ ὁ ποιητὴς Ὅμηρος κατὰ τριῶν κέχρηται πτώσεων, ἐπὶ γενικῆς δοτικῆς καὶ αἰτιατικῆς· καὶ ἐπὶ γενικῆς μὲν οὕτως "ὡς δ' ὅτ' ἀπὸ—πτυόφιν·" ἔστι γὰρ ἀπὸ τοῦ πτύον. ἐπὶ δὲ δοτικῆς "Ἕκτωρ ἶφι βίηφι" (Il. 22. 107)· ἔστι γὰρ τῇ ἑαυτοῦ ⟨βίᾳ⟩. ἐπὶ δὲ αἰτιατικῆς "ἢ ἐπὶ δεξιόφιν" (308)· ἔστι γὰρ 'ἢ ἐπὶ τὰ δεξιά.' ἢ ἐπ' εὐθείας, ὡς Ἡσίοδος (Opp. 216) "ὁδὸς—ἑτέρηφι παρελθεῖν·" ἔστι γὰρ ἑτέρα. ἐπὶ δὲ κλητικῆς Ἀλκμὰν ὁ μελοποιὸς (fr. 59 B.) οὕτω "Μῶσα, Διὸς θύγατερ ὠρανίαφι·" ἔστι γὰρ οὐρανία A +

ἀλφήν] ⟨παρὰ τὴν⟩ ἄλσιν

599. οἷος ἀώτῳ] ἐρίῳ, ἄνθει rec.

622. οὐκ ἐπιδευεῖς] ἤτοι οὐκ ἐνδεεῖς, ἀλλὰ πλήρεις

641. συλήσας] σκυλεύσας· σῦλα γὰρ τὰ σκῦλα παρὰ τοῖς παλαιοῖς

653. καταῦθι] αὐτόθι

669. θωήν] τὸ τῆς ἀστρατείας φησὶν ἐπιζήμιον

678. σθένει] ἐκείνων αὐτός] καί

682. εἰρυμέναι] εἱλκυσμέναι 684. ζαχρηεῖς] ἰσχυροί

706. τώ] τούτους οἶον] μόνον

ἐέργει] ἤτοι ῥέζει

707. ὦλκα] τὴν αὔλακα 716. ἀώτῳ] ἤτοι τῇ σφενδόνῃ

736. δεδήει] πυρόεις γὰρ καὶ καυστικὸς ὁ πόλεμος

756. Πανθοΐδην] τὸν υἱὸν Πάνθου

773. νῦν τοι σῶς αἰπὺς ὄλεθρος] ἤτοι μηδὲν ἐλλείπει σοι πρὸς ἀπώλειαν

776. ἐρωῆσαι] ὑποχωρῆσαι

3. ποιητικῶς pro Ἰωνικῶς A || 16. πτύω || 17. δοτικῇ || 18. αἰτιατικῇ || 19. παρελθεῖν A et Hesiodi codd.: -ών || 22. supplevi ex Et. M. || ἄλσιν Et. M.: ἀλ^ν legi || 28. τῆς στρατείας D, ταῖς στρατείαις || 30. ad v. 690 Πετεῶο] scholion iteratur ad Il. 4. 327 ex sec. editum || ἑλκύσματα

Digitized by Google

781. οἴω] μόνοι 782. τετυμμένοι] "τετρωμένοι"

793. Ἀσκανίης] πόλις Φρυγίας

800. ἀρηρότες] ἡρμοσμένοι

809. μακρὰ βιβάσθων] ἤτοι μεγάλα διαβαίνων Α—

813. ἤ θην] οὕτως

815. ἤ κε] ὄντως κε εὐναιομένη] ἡ ὑμή] ἡ ὑμετέρα

837. Διός] ἀ[έρ]ος

## Ξ.

1. σφόδρα συνετὸς εἰσάγεται ὁ Νέστωρ μὴ νικώμενος ὑπὸ μέθης τὸν λογίσμον Α+

[ἐζήτηται, πῶς ὁ Νέστωρ ἐπὶ τοσοῦτον πίνει χρόνον ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων τῆς Λ. καὶ ῥητέον, ὅτι οὐ τοσοῦτον χρόνον ἔπινεν, ἀλλ' Ὅμηρος] κατὰ παρέκβασιν ἀπαγγείλας τὰς πράξεις, βουληθεὶς δὲ ἐπὶ τὸν Νέστορα ⟨ἐπανελθεῖν⟩, πάλιν ἀπὸ ταύτης τῆς πράξεως ἤρξατο, ἀφ' ἧσπερ αὐτὸν κατέλιπε ποιοῦντα Α=

τὸ "πέρ" ἀντὶ τῆς καί, "πίνοντά περ ἔμπης"

7. βροτὸν αἱματόεντα] τὸν μ[ολ]υσμὸν τοῦ ἀνθρωπείου αἵματος

11. πιθανῶς ὁ νέος εἰσῆκται κεχρημένος τῇ χρυσῇ ἀσπίδι· προείρηκε γὰρ ὁ ποιητὴς "ἀλλ' ἐφομαρτεῖτ[ον καὶ] σπεύδετον, αἴ κε λά[βωμεν]" (Il. 8. 191) Α=

13. στῆ δ' ἐκτὸς κλισίης] εἰς ὑψηλὸν γὰρ τόπον ἦν ἡ σκηνή

15. ἔστι ῥῆμα ἐρίπτω, ὃ σημαίνει τὸ πίπτω, "ἤριπε δ', ὡς ὅτε τις δρῦς" (Il. 13. 389) καὶ "ποσσὶν ἐρίπτων" (Il. 15. 356) ἀντὶ τοῦ καταρρίπτων· οὗ γίνεται παθητικὸν ἐρίπτομαι ἀντὶ τοῦ καταβάλλομαι καὶ ἤριμμαι παθητικὸς παρακείμενος καὶ ἠρίμμην ὑπερσυντελικός, ἤριψο ἤριπτο, καὶ Ἀττικὸς διπλασιασμὸς ἐρήριπτο, καὶ κατὰ συστολὴν "ἐρέριπτο" Α=

16. κωφῷ] μὴ ὑπ' ἀνέμου ἐγειρομένῳ

17. ὀσσόμενον] προσημαῖνον ἢ προσδεχόμενον Α—

25. λάκε] ἦχει ἀτειρής] ὁ ἀκαταπόνητος

35. τῷ ῥα] διὸ δή

⟨προκρόσσας⟩] οἱονεὶ προκάρο⟨σ⟩σοι, παρὰ τὸ κάρα, αἱ κατὰ κεφαλὴν συντεθειμέναι ⟨καὶ⟩ οἷον τὰς κεφαλὰς καὶ τὰς ἀρχὰς ⟨ἀλλήλαις ἐπιθεῖσαι⟩· καὶ τῶν τειχῶν αἱ κεφαλαὶ καὶ αἱ ἀρχαὶ κροσσοί

1. τετρωμένοι D: τετιωμένοι legi ‖ 15. supplevi ex L, μεταβῆναι A ‖ 16. ποιοῦντα A D: πίνοντα ‖ 18. supplevi ex D ‖ 22. ἦν scripsi: ἤτοι ‖ 23. ἐρίπτω AD: ἐριπῶ ‖ 24. ποσσὶν A: χερσὶν ‖ 25–26. ἐρείπομαι—ἤρειμμαι—ἠρείμμην—ἤρειψο, cf. AD ‖ 27. δὲ post συστολὴν omisi ut AD ‖ 30. verba non certa, scripsi ex D ‖ 33–35. supplevi ex Et. M. ‖ 35. ἀρχαὶ ex Et. M.: μάχαι

Digitized by Google

36. ἃ συνέκλειον αἱ τοῦ Ἑλλησπόντου ἄκραι, τὸ Ῥοίτειον καὶ τὸ Σίγειον A=

37. αὐτῆς] περί

57. ἀλίαστον] ἄπαυστον        71. ᾔδεα] ᾔδειν

77. ὕψι] ἐφ' ὕψος        78. ἀβρότη] ἀμβροσία, θεία, ἀμβρότη

82. δρῶ τὸ βλέπω δρᾶ, ὡς μίσγω μίγδα, καὶ σύνθετον δὲ "ὑπόδρα"

84. ἀεικελίου] εὐκαταφρονήτου, εὐτελοῦς

104. ἐνιπῇ] τῇ ἐπιπλήξει

109. διὰ τί νῦν Διομήδης συμβουλεύει, καὶ οὐ Νέστωρ; καί φαμεν, ὅτι τὸ γῆρας ἐν τοῖς δεινοῖς ἐστιν ἐπισχετικόν, ἡ δὲ νεότης θαρσαλεωτέρα· ἄλλως τε καὶ Διομήδης ἐν τῇ προτέρᾳ συμβουλῇ (Il. 9. 32 sqq.) θαυμασθεὶς νῦν μᾶλλον τεθάρρηκε καὶ προήρπακε τῶν πρεσβυτέρων τοὺς λόγους A=

110. οὐ δηθὰ ματεύσομεν, αἴ κε θέλητε] οὐ πόρρω ἐπιζητήσομεν, ἐὰν θέλητε

112. γενεῆφι] τῇ ἡλικίᾳ

114. ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα καλύπτει] ὃς ἐν τῷ Θηβαϊκῷ πολέμῳ ἔθανεν

116. αἰπεινῇ] θαυμαστῇ        119. νάσθη] ἀπῳκίσθη

123. ὄρχατοι] κῆποι

125. τὰ δέ] ταῦτα δέ

129. ἔνθα δέ] ἐκεῖ δέ, μετὰ ταῦτα

ἐχώμεθα] ἤτοι ἀπεχώμεθα A+

130. ἕλκεϊ ἕλκος] τῷ τραύματι τραῦμα

131. ἐνήσομεν] ἐμβαλοῦμεν

132. θυμῷ] ἐπιθυμητικῷ        136. μετά] πρός B=

142. σίφλος ὁ ψόγος A+

σίφλος ἐστὶ τὸ ἄμορφον πρόσωπον, ἤτοι σίνος τι περὶ τὸ πρόσωπον· ἐπεὶ γὰρ ὁ Ἀχιλλεὺς εὔμορφος ἦν, ὡς οἶδε καὶ παρ' ἐκεῖνον τὸν Νιρέα (Il. 2. 673), διὰ τοῦτό φησιν, ὅτι ποιήσειεν ἐκεῖνον ὁ θεὸς ἄμορφον

147. πῶς ὁ Ποσειδῶν ὁμοιωθεὶς πρεσβύτῃ ὑπὲρ τὴν ἡλικίαν φθέγγεται; καί φαμεν, ὅτι τῇ μὲν ὄψει ἦν πρεσβύτης, τῇ δὲ φωνῇ τὴν τοῦ θεοῦ σχέσιν ἐνεδείκνυτο A=

156. αὐτοκασίγνητον] ἀδελφὸν τοῦ Διός

δαέρα] ἀνδρὸς ἀδελφόν A=

158. οἱ—θυμῷ] αὐτῷ τῷ

168. ἄνωγε μὲν προπαροξύτονον ἀντὶ τοῦ ἐκέλευσεν, "ἀνῷγε" δὲ περισπώμενον ἀντὶ τοῦ ἠνέῳξεν

5. ἐφ' D: ὑφ' || 23. ἀπεχώμεθα D: ἀπελώμεθα || 26. ἐπιθυμη[τ]

Digitized by Google

172. ἐδανῷ] συστολῇ τοῦ η εἰς ε A+
176. πεξαμένη] κτενίσασα
180. ἐνετῇσι] ἀπὸ τοῦ ἐνίεσθαι τοῖς ἱματίοις
181. θυσάνοις] κροσσοῖς
182. ἕρματα] ἐνώτια A= ἧκεν] ἐνέηκεν
λοβοῖσι] τοῖς ἁπαλοῖς τῶν ὠτίων
185. νηγατέῳ] νεωστὶ γενομένῳ 195. αὔδα] λέγε
196. εἰ δύναμαι τελέειν καὶ εἰ τετελεσμένον ἐστίν] τοῦτο ὕστερον πρότερον καὶ πρωθύστερον
202. ἐὺ τρέφον] μετ' ἐπιμελείας ἀνῆγον
203. Ῥείης] περὶ τῆς
204. ἀντὶ τοῦ κατέπεμψεν ἀφῆκεν. ἐκ τοῦ ἵημι τὸ πέμπω εἵσω εἷσα εἷσας εἷσε καὶ μετὰ τοῦ κατά προθετικοῦ "καθεῖσε," τοῦ τ̄ εἰς θ̄ τρεπομένου, ὅτι τὸ ἵημι τὸ πέμπω δασυντέον
216. ὀαριστύς] ὁμιλία
217. πάρφασις] παραλογιστική 221. ὅ τι] εἴ τι
229. ἐξ Ἀθόω] ὄρους Θρᾴκης A+
240. ὑπὸ—ήσει] ὑποθήσει
250. Διὸς υἱός] ὁ Ἡρακλῆς
Ἡρακλῆς ἀνακομιζόμενος μετὰ τὸ πορθῆσαι Τροίαν γενόμενός τε κατὰ τὸ Αἰγαῖον πέλαγος βουλήσει Ἥρας σφόδρα συνεσχέθη χειμῶνι· κατασυρεὶς δὲ εἰς Κῶν ἐκωλύθη ἐπιβῆναι τῆς νήσου ὑπὸ Εὐρυπύλου τοῦ Ποσειδῶνος βασιλεύοντος αὐτῆς· βιασάμενος δὲ ὡς λῃστὴς ἐπιβὰς ἀνεῖλε τόν τε Εὐρύπυλον καὶ τοὺς παῖδας αὐτοῦ, μιγεὶς δὲ τῇ θυγατρὶ αὐτοῦ Χαλκιόπῃ Θεσσαλὸν ἐγέννησεν A+
253. οἷ] αὐτῷ 255. μίν] τὸν Ἡρακλέα
256. ὁ δέ] ὁ Ζεύς 261. ἅζετο] ἐνετρέπετο
281. τώ] οὗτοι Ἴμβρου] νῆσος Θρᾴκης
282. πρήσσοντε] κόπτοντε
284. Λεκτόν] ἀκρωτήριον τῆς Ἴδης, κεκλημένον ἀπὸ τοῦ ἐν αὐτῷ κατακλιθῆναι Δία καὶ Ἥραν. γ' δὲ τὰ ἀκρωτήρια τῆς Ἴδης, Λεκτόν Γάργαρον Φαλάκρη (cf. ad Il. 8. 48) A+
326. Δήμητρος] τῆς
333. ἕοι] ὑπ[άρ]ξοι 344. διαδράκοι] κατοπτεῦσαι
347. νεοθηλέα ποίην] χλωρὰν βοτάνην
348. λωτόν] εἶδος χόρτου A+
349. πυκνόν] ὥστε ποιῆσαι στρῶμα
μαλακόν] ἀναπαύσιμον ἔεργε] αὐτοὺς ἀνεῖχεν

4. κροσσοῖς D: -αῖς ‖ 7. αὔδ' ‖ 13. τοῦ τ̄ scripsi: τούτου ‖ 22. κατασυρεὶς AB², κατασυρθεὶς D: κατὰ σύρης ‖ 24. καὶ ante ὡς supplent AB²D ‖ 29. explicatur πλήσσοντε ‖ 34. κατοπτεύσαι ‖ 38. ἀνεῖχεν D: ἀνεῖλεν

Digitized by Google

351. στιλπναί] στίλβουσαι, λαμπραί

362. τὸν δέ] τὸν Ποσειδῶνα

381. ἄμειβον] ἤλ⟨λ⟩ασσον  386. τῷ δέ] τῷ ἄορι

387. δέος ἰσχάνει ἄνδρας] πεποίηται γὰρ εἰς φόβον, οὐκ εἰς φόνον

404. τῇ] ὅπου A=  τελαμῶνε] οἱ ἀναφορεῖς

413. ἔσσευε] ἐκίνησεν

414. ῥιπῆς] κεραυνοῦ  ἐξερίπῃ] πέσῃ

415. θεείου] ὡς  427. εὖ ἀκήδεσεν] αὐτοῦ ἠμέλησεν

438. πλῆτο] ἐπλησίασεν, προσεπελάσθη

444. Ἠνοπίδην] τὸν υἱὸν Ἤνοπος

460. πέσεν] ὁ Προθοήνωρ  ἄγχι] πλησίον

463. ⟨λικριφίς⟩] ἤτοι πλαγίως, ἀπὸ τοῦ λίαν καὶ τοῦ κρυφίως, κατὰ τροπὴν τοῦ ῡ μακροῦ εἰς βρα[χὺ ῐ ] A~

κόμισεν] τὴν κῆρα

467. ῥῖνες] τῷ πληθυντικῷ ἀντὶ τοῦ ἑνικοῦ ἐχρήσατο

484. τῷ] διό  485. ἄρεως ἀλκτῆρα] φόνου τιμωρόν

495. ἰνίον] τοῦ νευροῦ  497. ἀπήραξεν] ἀπετίναξεν

499. φῆ] ὡς  501. εἰπέμεναι] εἴπατε A=

## Ο.

10. κῆρ ἀπινύσσων] ἐξεστηκὼς τῇ ψυχῇ καὶ οὐ διακείμενος συνετῶς, ἀλλὰ ἀσυνέτως A—

19. ἄκμονας] κανόνας καὶ ῥάβδους

ἧκα] ἐτάνυσα· ἵημι τὸ τανύω, ὁ μέλλων ἥσω, ὁ παρακείμενος "ἧκα"

23. τὸ "τεταγών" μετάπλασις· ὤφειλε γὰρ τεταγώς. σημαίνει δὲ τὸ τετινακὼς καὶ τινάξας. κανονίζεται δὲ οὕτως· τινάσσω, ὁ μέλλων τινάξω, ὁ παρακείμενος τετίναχα, ὁ μέσος τετίναγα καὶ ἐν συγκοπῇ τέταγα, ἡ μετοχὴ ὁ τεταγὼς καὶ κατὰ μετάπλασιν "τεταγών"

24. ἀνίῃ] εἴα, κατελίμπανεν

25. συνεχές λέγουσιν οἱ ῥήτορες τὸ μὴ εἰς μέρη καὶ ⟨κατὰ⟩ μέρη ὄν, ἀλλὰ ἕν τι καὶ μονώτατον· διεχές δὲ τὸ κεχωρισμένον ἀπὸ τῶν ἄλλων καὶ εἰς μέρη μεμερισμένον· ἀδιεχές οὖν λοιπὸν τὸ μὴ κεχωρισμένον, ἀλλὰ τὸ οἷον ἕν τι ὂν καὶ μονώτατον· συναιρέσει γοῦν τοῦ ῐ καὶ ε̆ εἰς η γίνεται ἀδηχές· ἐπεὶ δὲ οἶδας, ὅτι τὸ ζ̄ καὶ τὸ δ̄ συγγένειαν ἔχουσι, τρέπεται τὸ δ̄ εἰς ζ̄ καὶ γίνεται 'ἀζηχές'

12. ὁ scripsi: ὡς || 13. 'perverse schol. κρύπτειν pro κύπτειν' W

Digitized by Google

37. Στυγός] καθ' Ἡσίοδον ἱερά ἐστι πηγή, θυγάτηρ Ὠκεανοῦ (Theog. 361) A+

39. καὶ νωίτερον] καὶ ἡμῶν

40. κουρίδιον] τὸ ἐκ παρθενίας τὸ μέν] τοῦτο

42. τοῖσι] τοῖς Ἕλλησιν

43. ἐκ τοῦ ἀνάσσω ὁ παρακείμενος ἤναχα, ὁ μέσος ἤναγα, καὶ οἱ Δωριεῖς τὸν μέσον παρακείμενον μετάγουσιν εἰς ἐνεστῶτα ἀνάγω, καὶ τροπῇ τοῦ ᾱ εἰς ω̄ ἀνώγω

60. λελάθοι] εἰς λήθην ἀγάγοι

68. τοῦ] τοῦ Πατρόκλου rec.

69. ⟨παλίωξιν⟩] τὴν ἐξ ὑποστροφῆς τῶν φευγόντων δίωξιν, ὅταν οἱ πρότερον φεύγοντες ὕστερον πάλιν αὐτοὶ διώκουσι θαρρήσαντες

παρὰ νηῶν] ἀπό

81. πευκαλίμησι] πυκαλίμησι, καὶ πλεονασμῷ τοῦ ε̄

84. ὁμηγερέεσσι] συνηθροισμένοις

87. Θέμιστι] μιᾷ τῶν Τιτανίδων

90. ἀτυζομένῃ] ταρασσομένῃ A= 94. ὑπερφίαλος] ὑπερήφανος

104. μενεαίνομεν] ὀργιζόμεθα

106. ἀφήμενος] ἤτοι ἀπὸ ἡμῶν ἥμενος ἤτοι καθήμενος

109. τῷ ἔχεθ'] διὸ ἀνέχεσθε

114. καταπρηνέ⟨σ⟩σ'] ⟨κατα⟩πρηνέσσι

115. νεμεσήσετε] μέμψεσθε

139. τοῦ γε] τοῦ υἱοῦ σοῦ 140. πέφαται] ἐφονεύθη

141. ῥῦσθαι] φυλάττεσθαι 168. ποδήνεμος ὠκέα] ταχεῖα πετεινή

214. ⟨Ἑρμείω⟩] Ἑρμείεω ἦν, ἐκβολῇ δὲ τοῦ ε̄ ἐγένετο "Ἑρμείω·" καὶ γὰρ οὕτω φαμέν, ὁ Ἑρμῆς τοῦ Ἑρμείεω, ὥσπερ καὶ βορέης βορέαω, καὶ ἐκβολῇ βορε⟨ί⟩ω A+

219. πόθεσαν] ἤτοι ἐπεζήτουν αὐτόν

228. ἐτελέσθη] ἐτελειώθη

230. ἐπισσείων] ἐπαπ⟨ε⟩ιλούμενος

234. ἔργον τε ἔπος τε] πρᾶξιν καὶ βουλήν

240. νέον] νεωστί

252. οἱ μὲν τὸ "ἄιον" ἀντὶ τοῦ ἐξέπνεον, οἱ δὲ ὅτι 'ἐπεὶ ᾐσθανόμην κατὰ τὸ φίλον κῆρ·' τοῦτο γὰρ δηλοῖ τὸ "ἄιον" A—

254. ἀοσσητῆρα] βοηθόν

ἀοσσητὴρ ὁ βοηθός, ὁ μὴ περιμένων ὄσσαν καὶ φήμην· ἔθος γὰρ τοῖς παλαιοῖς τοῦτο πυνθανομένοις μαντείας βοηθεῖν

257. αἰπεινόν] ὑψηλόν

9. λελάθοι sec. in textu: -η pr. || 19. ἀφήμενος sec. in textu η in rasura scripto || 23. υἱοῦσιν legi || 24. πετεινή W: πετεσή legi || 27. suppl. W || 30. suppl. W ex paraphrasta: ἐπάνω κινῶν D

Digitized by Google

261. λειανέω] λείαν καὶ ὁμαλὴν ποιήσω

263. ἀκοστήσας] κριθιάσας

264. κροαίνων] κρουαίνων ἦν ἀντὶ τοῦ κρούων τοὺς πόδας, καὶ ἐκβολῇ τοῦ ῡ "κροαίνω⟨ν⟩"

271. ἄγριον αἶγα] ἀρσενικῶς τὴν αἶγα

274. σφί] αὐτοῖς    287. οἷον] ὁποῖον

320. κατένωπα] πρὸς ὄψιν

322. ἔθελξε] ἐγοήτευσεν, ἠπάτησεν

350. ⟨πυρὸς λελάχωσι⟩] τὴν διάπυρον ταφὴν λαχεῖν ποιήσωσι rec. A—

360. τῇ] διὰ ταύτης    364. ἄψ] πάλιν

372. πολυπύρῳ] σιτοφόρῳ    387. ἐπιβάντες] ἐπελθόντες

399. χατέοντι] χρήζοντι rec.    407. παυροτέρους περ] καί

410. στάθμη ἐστὶ ⟨σ⟩χοινίον λεπτὸν ἐρυθρῷ ἢ μέλανι χρώματι ἐχρισμένον, ᾧ κανονίζεται τὰ ξύλα A+    415. ἐείσατο] ἐφάνη

416. τώ] ὁ Αἴας καὶ Ἕκτωρ    418. τόν] τὸν Ἕκτορα

432. Κύθηρα νησίδιον τῆς Λακωνικῆς, Ἀφροδίτης ἱερόν, ὅθεν καὶ Κυθέρειαν ἐπιθετικῶς ὀνομάζουσι τὴν θεόν A =

459. αἴνυτο] ἐλάμβανεν    463. ὅς] ὁ Ζεύς

467. μήδεα κείρει] καὶ τὴν προθυμίαν

479. τετραθέλυμνον] τετράπτυχον, τέσσαρας θέσεις ἔχον ἐπαλλήλους

508. χορόν] ἤτοι χορείαν rec.

512. στρεύγεσθαι] ἤτοι ταλαιπωρεῖσθαι καὶ ὃ ἡμεῖς κατὰ στράγγα λέγομεν ῥέειν

517. πρυλέων] πεζῶν    518. Κυλλήνιον] Ἀρκάδα rec.

520. Μέγης] Ἕλλην οὗτος

528. Φυλείδαο] τοῦ υἱοῦ Φυλέως

530. γυάλοισιν] τοῖς κεκοιλωμένοις ἢ τοῖς σώμασιν

535. τοῦ δέ] τοῦ Δόλοπος

537. πᾶς] ὁ λόφος

544. ἐεισάσθην] ἔω τὸ ὁρμῶ, ὁ μέλλων ἔσω, ὁ ἀόριστος εἶσα, ὁ μέσος εἰσάμην εἴσω εἴσατο, καὶ ἐείσατο Ἰωνικῶς, τὸ δυϊκὸν ἐεισάμεθα ἐείσασθον "ἐεισάσθην"

546. Ἱκεταονίδην] τὸν υἱὸν Ἱκετάονος

554. ἐντρέπεται] οἷον ἐντροπὴν ἐπὶ τὸ βέλτιον λαμβάνει rec.

557. κατάκρης] ἐν μέρος λόγου

607. ἀφλοισμός] οἱονεὶ ἀφρισμός τις, τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον καὶ πλεονασμῷ τοῦ ō "ἀφλοισμός" B+

2. κριθαριάσας ‖ 9. ποιήσουσι ‖ 14. ἢ A : καὶ ‖ 36. βέλτιον D : βέλτιστον ‖ 38. οἱονεὶ ante τρ. scriptum : traiecit W ‖ τις W : τῆς ‖ τροπῆς

Digitized by Google

613. ἔπορνυε] ἔπεμπε rec.

615. πειρητίζων] ἀπόπειραν ποιούμενος

621. προσερεύγεται] μετὰ ἤχου φέρεται, πρό⟨σ⟩εισιν rec.

639. οὗτος ὁ Κοπρεὺς ἦν κῆρυξ Εὐρυσθέως τοῦ τῶν Ἀργείων βασιλέως, ὃς τὰς παρὰ Εὐρυσθέως ἐντολὰς ἔλεγε τῷ Ἡρακλεῖ τῶν ἄθλων ἕνεκα ἔξω τῆς πόλεως μένοντι· δεδοικὼς γὰρ αὐτὸν οὐκ εἴα ἔνδον εἰσελθεῖν A =

640. ἀγγελίης] ἤτοι ἄγγελος

643. νόον] κατά    πρώτοισι] τοῖς

654. τοὶ δέ] οἱ Τρῶες    ἐπέχυντο] ἐπηνέχθησαν

668. νέφος ἀχλύος] τὴν ἧτταν νόει    Ἀθήνη] ὡς φωσφόρος

672. ὅσοι] τῶν Ἑλλήνων

685. ἴκρια] οἱ μὲν "ἰκρία" γράφουσιν, ὁ δὲ Ὅμηρος προπαροξυτόνως "ἴκρια"

691. ἔθνος] πλῆθος    700. ἔφασαν] ὑπελάμβανον

708. τοί γε] οἱ Ἕλληνες καὶ οἱ Τρῶες

741. τῷ ἐν χερσὶ φόως] ἤτοι ἐν τῷ μάχεσθαι καὶ ἡ σωτηρία B +

## Π.

1. ἐυσέλμοιο] τῆς καλοκαθέδρου, ἀπὸ τοῦ σέλμα τὸ κάθημα, ἐξ οὗ καὶ σέλ⟨λ⟩ας καὶ σε⟨λ⟩λίον

3. θερμὰ χέων] θερμὰ γάρ εἰσιν ἐξερχόμενα

⟨παρὰ τὸ⟩ θέρω τὸ θερμαίνω θέρεν τε καὶ τέρεν γίγνεται, ὥσπερ τὸ τεθερμασμένον καὶ οἱονεὶ διακεχυμένον

18. ὑπερβασίης] παραβασίας B +

47. λίτεσθαι] παρακαλεῖν    57. κτεάτι⟨σ⟩σα] ἐκτησάμην A +

78. περιάγνυται] περιρ⟨ρ⟩ήγνυται    85. οἵ] οὗτοι A =

108. πελεμίξαι] διασεῖσαι    114. δόρυ] τό

116. ἀντικρύ] ἐξ ἐναντίας    ἀπάραξε] ἀπέκοψεν

120. ὅ] ὅτι    μήδεα] βουλεύματα

134. ἀστερόεντα] ἢ λαμπρόν

143. Πηλιάδα] τὴν ἐκ Πηλίου ὄρους

152. ἵει] ἀφίει

159. παρήιον] τὸ πληθυντικὸν αἱ παρειαί

172. αὐτός] ὁ Πάτροκλος    176. ἀκάμαντι] τῷ γενναίῳ

180. χορῷ] ἐν τῷ χορεύειν    181. κρατύς] ὁ ἰσχυρός

223. χιτώνων] οἷον τὸ ὑποκάμισον

19. σέλμα A: σέλλα Et. M., σέλω ‖ 20-22. supplevi ex Et. M. ‖ 22. τε scripsi: δὲ ‖ 23. τεθερμασμένον Et. M.: τεθραμμένον ‖ 33. πληθυντικὸν non certum ‖ 36. ὑπομάμυσον

Digitized by Google

227. ὅτε μὴ Διὶ πατρί] εἰ μή. ἔστι δὲ ῥητορικὴ ἡ φράσις

228. θεείῳ] θείῳ 243. ἦ ῥα] ὅτι ὄντως

244. εἰ] "ἤ"

264, 5. ἔχοντες πρόσσω πᾶς πέτεται] καινοπρεπὲς τὸ σχῆμα

302. ἐρωή] ἀναβολή

304. ⟨προτροπάδην⟩] ἠπειγμένως, ἢ τὸν οἰκεῖον αὐχένα δεικνύντες

315. μυών] συνέλευσις τῶν νευρῶν

324. ἀπὸ μυώνων] ἀπὸ τῆς συνθέσεως καὶ τῆς συμπλοκῆς τῶν νευρῶν

331. κλόνον] συστροφήν

338. ἱπποκόμου] τῆς ἱπποτρίχου

339. ἐρραίσθη] διεφθάρη, ἐκλάσθη

341. παρηέρθη] ἀπεκρεμάσθη 347. κέασσε] συνέκλασεν

349. τὸ δέ] τὸ αἷμα

356. τὸ "ἐπέχραον" ἀντὶ τοῦ προσεπέλασαν τοὺς χρῶτας αὐτῶν οἱ λύκοι τοῖς χρωσὶ τῶν ἀρνῶν, ἤτοι προσέμιξαν· οἱ δὲ τῶν λέξεων παραφρασταὶ τὸ "ἐπέχραον" ἀντὶ τοῦ ἐπῆλθον ἡρμήνευσαν. §. ἀπὸ δὲ θέματος τοῦ χράω τὸ προσπελάζω ὁ μέλλων χράσω, ὁ ἀόριστος ἔχραον, τὸ τρίτον τῶν πληθυντικῶν ἔχραον καὶ μετὰ τῆς ἐπί προθέσεως "ἐπέχραον"

359. ἰδρείῃ] ἐμπειρίᾳ 364. Ὀλύμπου] τοῦ ὄρους

365. αἰθέρος] τοῦ καθαροῦ ἀέρος

372. σφεδανόν] σπεδανόν 375. τανύοντο] ἔτρεχον

392. ἐπὶ κάρ] ὅ ἐστιν ἐπὶ κεφαλήν· κάρην⟨ον⟩ γάρ ἐστι καὶ κατὰ ἀποκοπὴν κάρη καὶ ἀποκοπῇ πάλιν τοῦ η̄ "κάρ" A+

405. γναθμὸν δεξιτερόν] τὴν δεξιὰν σιαγόνα

410. καδ' δ' ἄρ' ἐπὶ στόμ' ἕωσε] κατέρριψεν

412. ἄνδιχα] διχῶς κεάσθη] ἐκλάσθη

422. ⟨πόσε φεύγετε νῦν; θοοί ἐστε⟩] ἢ οὕτω "νῦν θοοί ἐστε" ἤτοι ταχεῖς εἰς τὸ φεύγειν

437. θείω] κατάθωμαι

456. ταρχύσουσι] ἀπὸ τοῦ τάριχος γίνεσθαι ἐν τεθνηκόσιν

κασίγνητοι] οἱ συγγενεῖς· ἀπὸ γὰρ ⟨τῆς⟩ ἱστορίας ἀδελφὸς αὐτοῦ οὐχ εὑρίσκεται

459. ψιάδας] ῥανίδας λεπτάς

468. ἔβραχε] ἤχησε αἴσθων] ἀποπνέων A+

470. κρίκε δὲ ζυγά] ἤχησεν ὁ ζυγός A=

542. εἴρυτο] ἐρύετο 545. ἀεικίσσωσι] ὑβρίσωσιν

19. ἔχρασα τὸ || 23. σπεδανόν scripsi ex Et. M.: σπευδανόν || 32. τάρυχος || 33. ἱστορίας suppleto ⟨τῆς⟩ W: ἱστ legi

Digitized by Google

548. *κατὰ κρῆθεν*] *κατὰ κρατός* 554. *λάσιον*] *συνετόν*

558. *τὸ μὲν* "*ἐσήλατο*" *ἀντὶ τοῦ ἐπήδησεν· ἐπὶ τοῦ* "*Εκτορος δὲ* (Il. 12. 438) *κρεῖσσον—οὗτος γὰρ ἐπήδησεν εἰς τὸ τεῖχος—ἐπὶ δὲ τοῦ Σαρπηδόνος τὸ ἐσάλευσεν· εἶπε γὰρ ὄπιθεν τὸ* "*Σαρπηδὼν δ' ἄρ' ἔπαλξιν λαβών*" (ib. 397) A+

586. *ἐκ τοῦ ἰθύ καὶ τοῦ μένος* '*Ιθαμένης καὶ* '*Ιθαιμένης, οὗ τὸ μένος ἐστὶν ἰθύ. σημαίνει δὲ τὸ ὄνομα τὸν πολεμικώτατον*

589. *ὅσ⟨σ⟩η*] *ὁπόση* *αἰγανέης*] *ἀκοντίου*

614. *πελεμίχθη*] *ἐσείσθη*

617. *τρία εἴδη ὀρχήσεως πυρρίχη, σίκιννις, ἥτις ἐστὶν ἱερατική, καὶ κορδακισμὸς αἰσχρός τις ὢν καὶ μᾶλλον κωμικῷ ἁρμόδιος* rec. A+

640. *εἴλυτο*] *ἐκεκάλυπτο*

685. *μετεκίαθε*] *ἐπεδίωκεν*

695. Μεγάδην] *ἤτοι* Μέγου *παῖδα*

714. *ἀλῆναι*] *συστραφῆναι*

723. *ἀπερωήσειας*] *ὑποχωρήσειας* 745. *εἰρωνικῶς*

766. *πελεμιζέμεν*] *σείειν ταράσσειν*

767. *κράνειαν*] *κρανέαν*

775. *στροφάλιγγι κονίης*] *τῇ συστροφῇ τῆς γῆς*

776. *σημείωσαι τὸν στίχον, ὅτι ὅλος δακτυλικός*

787. *ἔνθα*] *τότε* 793. *βάλε*] *ἔρριψεν*

796. *πάρος*] *πρῶτον* 803. *τερμιόεσσα*] *ἡ ποδήρης*

806. *μετάφρενον*] *τό*

807. *Δάρδανος ἀνήρ*] *ὁ ἀπὸ Δαρδάνου καταγόμενος*

810. *βῆσεν*] *κατεβίβασεν* 813. *δάμασσε*] *ἐφόνευσε*

822. *ἀχάχω ἦν ὡς ἀπὸ τοῦ ἄχω· διὰ δὲ τὸ κακόφωνον ἐξεβλήθη τὸ* $\bar{\chi}$ *καὶ ἐτέθη τὸ* $\bar{\kappa}$

## Ρ.

4. *πόρτακι*] *νεογνῇ βοΐ. πόρτις ἡ μικρὰ βοῦς, παρὰ τὸ ἄρτι εἰς πορείαν ἰέναι καὶ νομήν*

5. *κινυρή*] *ἀδυρτική, θρηνητική* A+ *πρίν*] *πρὸ τοῦ*

9. Πάνθου *υἱός*] *ὁ* Εὔφορβος A=

*ἐυμμελίης*] *ἤτοι ὁ καλὰ μέλη ἔχων καὶ εὔμορφος, ἢ ὁ εὖ τῇ μελίᾳ χρώμενος, πολεμικὸς ἀνδρεῖος ἰσχυρότατος*

20–3. *ὁμοίωσις ἐξ ἀνομοίων*

25. *ὑπέμεινε*] *ἐπὶ τόπου* 35. *γνωτόν*] *ἀδελφόν*

10. 'debebat *σατυρική*' W || 14. *ἤτοι* W: *ἢ τοῦ* || 16. *ὑποχωρήσειας* D: *ὑπεχώρησας* || ante *εἰρ.* non extrico *προκα* . . ., *ὁ Πάτροκλος* coni. W || ad v. 747 *τήθεα διφῶν*] superscriptum videtur *χυβευων*, at litterae valde incertae || 22. *ποδήρης* D: *ποδάρκης* legi || 26. *ἀκάχω ἔνι ὡς*

36. χήρωσας—γυναῖκα] χήραν ἐποίησας τὴν γυναῖκα

37. ἄρητον] ἢ βλαβερὸν ἢ ἐπάρατον A ~

39. ἐνείκας] ἀπενείκας

40. ⟨Φρόντιδι⟩] πρὸς ἀντιδιαστολὴν τοῦ φροντίς

52. ἐσφήκωντο] ἐσφιγμένοι ἦσαν A + 54. ὅθ'] ὅπου

58. ἐξέστρεψε] ἐξερρίζωσεν

95. περιστείωσι] περιστήκωσι γὰρ ἦν, καὶ ἀποβολῇ τοῦ κ̄ "περιστήωσι"

105. ⟨κακῶν δέ κε φέρτατον εἴη⟩] ἐκ τῶν πολλῶν κακῶν τοῦτο ἄμεινον· δύο γὰρ κακῶν προκειμένων τὸ μὴ χεῖρον βέλτιον A +

134. νήπι' ἄγοντι] τοὺς σκύμνους ἐπιφερομένῳ

136. ἐπισκύνιον] τὸ τοῦ προσώπου δέρμα A ~

155. τὸ θέμα φῶ, φήσω, ὁ παρακείμενος πέφηκα, ὁ παθητικὸς πέφημαι, τὸ δεύτερον πέφησαι, ὁ μετ' ὀλίγον μέλλων πεφήσομαι πεφήσῃ "πεφήσεται"

156. ἐνείη] ἐνυπῆρχεν 157. ἄτρομον] ἄφοβον

165. θεράποντες] δηλαδὴ τοῦ Ἀχιλλέως. ἔστι δὲ ὑπερβατόν

166. ἐτάλασσας] ὑπέμεινας A + 180. ἠέ] εἰ ἄρα

193. τὰ ἅ] τὰ ἴδια

197. ὥσπερ τὸ στάς στάντος, οὕτω καὶ τὸ "γηράς" γηράντος

201. καταθύμιος] ἤτοι εἰς νοῦν λαμβανόμενος

205, 6. ἀπὸ κρατός τε καὶ ὤμων εἶλευ] ἀφεῖλεν

207. ποινήν] ἀμοιβήν A= 218. οἰωνιστήν] τὸν μάντιν

220. περικτιόνων] τῶν περιοικούντων

221. πληθὺν διζήμενος] πλήθους δεόμενος

226. λαούς] τοὺς ἡμετέρους 228. δαριστύς] ἀρετή

230. εἴξῃ δέ οἱ] ἀποχωρήσῃ αὐτῷ

250. δήμια] τὰ δημόσια σημαίνουσιν] κελεύουσιν

277. μίνυνθα] οὐδὲ ὀλίγον 285. μετεισάμενος] μετελθών

297. αὐλόν] ἢ τὴν ὀπήν

314. θώρηκος γύαλον] κατὰ περίφρασιν τὸν θώρακα rec.

338. ἔτι γάρ τις] ὥς τις

354. ἔρχατο πάντῃ] ἤτοι περιπεφραγμένοι ἦσαν

371. αἰθέρι] αἰθρίᾳ καθαρᾷ, ἀέρι ἀνεφέλῳ

373. μεταπαυόμενοι δὲ μάχοντο] ἐκ διαδοχῆς δὲ ἐπολέμουν

414. ὡς ἠθοποιίαν ἐνταῦθα ποιεῖται ὁ ποιητὴς λέγων, ποίους λόγους ⟨ἂν⟩ εἶπον οἱ Ἕλληνες ὑπερμαχοῦντες τοῦ Πατρόκλου καὶ ποίους οἱ Τρῶες

1. ἐποίησε ‖ 26. ἀμέτρους ‖ 27. εἴξει ‖ ἀποχωρήσει ‖ 28. δημόσια D: δήμεια ‖ 34. καὶ ante ἀν. omisi

Digitized by Google

431. ἀρειῇ] ἀρῇ ἤν, καὶ πλεονασμῷ τῆς ει̅ "ἀρειῇ"
443. ⟨σφῶι δόμεν⟩] ὑμεῖς ἐδόθητε
446. ⟨οὐ μὲν γάρ τι πού ἐστιν διζυρώτερον ἀνδρός⟩] ὑπερβολή·
457. κονίην] τήν ἀπὸ—βαλόντε] ἀποβαλόντες
469. Αὐτόμεδον] ὡς τὸ "'Αγάμεμνον·" ἔστι δὲ Αἰολικόν
νηκερδέα] τὰ ἀνωφελῆ
492. εἰλυμένω ὤμους] ἐσκεπασμένοι τούς
493. αὔησιν] ξηραῖς
637. ἀκηχέδαται] λυποῦνται. ⟨ἀπὸ τοῦ⟩ ἀκάχω
640. εἴη] πορευθείη 643. 'Αχαιῶν] ἐκ τῶν
677. ἀ⟨μ⟩φικόμῳ] δασεῖ
694. κατέστυγε] ἤτοι ἐστύγνασεν A +
⟨κατέστυγε⟩] στυγῶ τὸ μισῶ καὶ στυγῶ τὸ φρίσσω. ὧδε γοῦν οὐ τοῦτο ἐμφαίνει, ἀλλὰ τὸ ἐστύγνασεν
709. μίν] τὸν 'Αχιλλέα 710. μάλα περ] καί
726. πρὸ κούρων] ἔμπροσθεν 727. ἕως] μέχρι τινός B=
741. ἀζηχής] συνεχής
742. ἀμφιβαλόντες] ἀμφερείσαντες
748. ὑλήεις] ὁ ξυλώδης πεδίοιο] διά
πεδίοιο διαπρύσιον τετυχηκώς] παρ' ὅλον τὸ πεδίον παρατεταμένως διήκων
750. ἄφαρ] ταχέως 760. περί τ' ἀμφί τε] πανταχόθεν

## Σ.

3. ὀρθοκραιράων] ὀρθὰς κεραίας ἐχουσῶν, ὀρθοπρύμνων. κεραία δὲ καλεῖται τὸ ἐπάνω τοῦ ἱστοῦ δεδεμένον πλάγιον ξύλον, οὗ ἐξάπτεται ἡ ὀθόνη A +
8. μὴ δή μοι τελέσωσι] δέδοικα
17. θερμά] ὡς ἀπὸ βάθους κατερχόμενα
33. ὁ δέ] ὁ 'Αχιλλεύς κυδάλιμον] κατά
50. ἀργύφεον] οἱονεὶ λευκόν. ἀργόφεον κατὰ Αἰολεῖς τροπῇ τοῦ ο̅ εἰς υ̅, δηλονότι οὗ ἡ φαῦσις ἀργή, τουτέστι λευκή
54. δυσαριστοτόκεια] ἐπὶ κακῷ ἄριστον τόκον γεννήσασα AB +
57. γουνῷ] γονίμῳ τόπῳ AB + 66. σφίσι] Ὅμηρος ι̅ γράφει
68. ⟨ἐπισχερώ⟩] ἤτοι κατὰ τάξιν, ἐκ μεταφορᾶς τῆς χειρὸς παρόσον ταύτης τὰ δάκτυλα κατὰ τάξιν εἰσίν· ἢ ἀπὸ τῆς ἐπί προθέσεως καὶ τοῦ σχέσις, ἤτοι ἀλλήλων ἐξηρτημέναι. σχέσις δέ, ὅταν τὸ ἓν τοῦ ἑτέρου ἐξέχηται

1. ἀρῇ W: ἀρή ‖ 5. τὸν 'Αγαμέμνονα ‖ 10. ad v. 663 superscriptum ὡς ὁ θερμός ‖ 11. suppl. sec. in textu ‖ 30. ἀργόφεον κατὰ scripsi: ἀργόφεκτα ‖ 31. ἡ scripsi: κ. legi ‖ 35. ταῦτα ‖ 36. ἀλλήλαις



Digitized by Google

100. ἐμεῖο] χεῖρας

108. ἐφέηκε] παρώρμηκε 109. ὅς τε] ὁ χόλος

110. ⟨ἠύτε καπνός⟩] ζέσις γὰρ τοῦ περὶ καρδίαν αἵματος ⟨ὁ θυμὸς δι'⟩ ὄρεξιν ἀντιλυπήσεως AB+

124. ἐφείην] ἀναγκάσαιμι 136. νεῦμαι] πορεύομαι

138. πάλιν] εἰς τοὐπίσω υἱος] ἐκ τοῦ

147. ἐνείκαι] κομίσαι 176. ἕ] αὐτόν, τὸν Ἕκτορα

178. σέβας] αἰδώς σέ] σοῦ

180. ᾐσχυμμένος] καταισχυνόμενος τὸ πρόσωπον, μὴ τὸ οἰκεῖον σῴζων κάλλος

198. αὔτως] οὕτως ὡς ἔχεις

204. ὤμοις] αὐτοῦ αἰγίδα] φόβον

205. νέφος] τὸ σκυθρωπόν

206. φλόγα παμφανόωσαν] τὸ φρικῶδες καὶ φοβερόν

208. τήν] περὶ ἥν δήιοι] πολέμιοι

209. οἵ τε] οἱ πολεμούμενοι κρίνονται] δοκιμάζονται

211. πυρσοί] οἱ φανοί rec.

⟨ἐπήτριμος⟩ ἤτοι συχνὸς καὶ ἀλλεπάλ⟨λ⟩ηλος· ὥσπερ γὰρ τὸ ἐπηετανός ἀπὸ τοῦ ἔτος ἐτανός καὶ ἐπηετανός, οὕτω καὶ τὸ ἐπήτριμος ἀπὸ τοῦ τρίον τοῦ σημαίνοντος τὸ πολλόν καὶ μετὰ ταῦτα τριμός ἤτριμος καὶ ἐπήτριμος

212. ἰδέσθαι] ὥστε 213. νηυσίν] ταῖς

219. ἀριζήλη φωνή] μεγάλη γίνεται

221. ἀριζήλη φωνή] ἄγαν ἔκδηλος

223. ὀρίνθη] ἐταράχθη 224. ὄχεα] ἐπί

245. μέδεσθαι] φροντίσαι 256. εἰμέν] ἐσμέν

258. ῥηίτεροι πολεμίζειν] εὐκαταγωνιστότεροι

275. πύλαι] νῦν τὰ οἰκοδομήματα 278. τῷ] τῷ Ἀχιλλεῖ

286. ἀλήμεναι] συστραφῆναι

287. ἐελμένοι] συγκεκλεισμένοι

292. περνάμεν'] πιπρασκέμεναι ἵκει] ἀφίκετο

294. ἔλσαι] συγκλεῖσαι 300. ἀνιάζει] ἀνιᾶται

302. τῶν] τῶν Τρώων

317. ⟨χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου⟩] ἢ τὰς χεῖρας τοῦ Πατρόκλου θέμενος ἐν τοῖς ἑαυτοῦ στήθεσιν AB+

319. ἐλαφηβόλος] θηρευτής ἁρπάσῃ] ἀπὸ μέρους τὸ πᾶν

329. ἄμφω] ἀμφοτέρους ἡμῶν

ἐρεῦσαι] ἐρυθρὰν τῷ αἵματι ποιῆσαι A=

335. σοῖο φονῆος] τοῦ 338. τόφρα] τέως

3, 4. supplevi ex AB ‖ 4. ὄρεξιν ἀντ. separata ab antecedentibus: coniunxi ut AB ‖ 7. κομίσαι ‖ 20. τρίον scripsi: τρίω ‖ 25. ἔτι ante ἐπὶ omisi

Digitized by Google

342. πιείρας] πλουσίας

348. γάστρην] τὴν κοίλην τῆς γαστρός

351. ἀλείφατος] ἀλείμματος. ἄλειφα⟨ρ⟩ ἀλείφατος, ὡς δέλεαρ δελέατος

ἐννεώροιο] ἐνναετοῦς

352. "λιτί" ἢ λιτῷ καὶ ἀποικίλ⟨τ⟩ῳ. ἔστι δὲ μεταπλασμός Α+

359. ἐγένοντο] ἐγεννήθησαν

362. ⟨μέλλει βροτὸς ἀνδρὶ τελέσσαι⟩] καθ' οὗ ἂν ὀργισθῇ, καὶ ἐκπληρῶσαι· ἢ 'καὶ μὴν ἄνθρωπος ἀνθρώπῳ κακὸν κατασκευάζει καὶ ποιεῖ'

371. κυλλοποδίων] ὁ χωλός        375. κύκλα] τροχούς Α=

376. αὐτόματοι] οὗτοι οἱ τρίποδες αὐτοὶ ἀφ' ἑαυτῶν

δυσέατ'] ἔλθοιεν        377. ἠδέ] καί

379. δεσμούς] τοὺς ἥλους, καθὸ συμβάλλουσι καὶ συνδεσμοῦσι τὰ ὦτα τοῦ τρίποδος

380. ἰδυίῃσιν] ταῖς ἐπιστημονικαῖς

396. μητρός] τῆς Ἥρας        397. κρύψαι] ἀφανίσαι

401. πόρπας] περόνας        γναμπτάς] ἐπικαμπεῖς

ἕλικας] ἑλικοειδεῖς        ὅρμους] περιτραχήλ⟨ι⟩α

409. ὅπλα] τὰ χαλκευτικὰ ἐργαλεῖα

410. ⟨"πέλωρ⟩ αἴητον" μέγα τέρας, δηλονότι οἷον οὐκ ἄλλο. ἀπὸ τοῦ ἔω τὸ ὑπάρχω ἐτόν ἔητον ἄητον καὶ προ⟨σ⟩θέσει τοῦ ῑ "αἴητον" οἱ δέ φασιν "αἴητον" τὸ μέγιστον, οἷον ἡ γῆ ἀπὸ τοῦ αἶα ἡ γῆ Α+

411. ῥώοντο] ἐκινοῦντο        418. νεήνισιν] νεωτέραις

421. ἐποίπνυον] ἐνήργουν, ἐπορεύοντο

432. ἀλλάων] τῶν λοιπῶν        ἁλιάων] τῶν θαλασσίων

446. ἔφθιεν] ἔτηκεν

460. ὅ] ὅς        ἀπώλεσε] ταῦτον

470. χοάνοισ⟨ι⟩] τοῖς χωνευτηρίοις

471. εὔπρηστον] εὐφύσητον

472. παρέμμεναι] ἤτοι συμπαρεῖναι

474. ἀτειρέα] τὸν ἀκαταπόνητον

480. τρίπλακα] τρίπτυχα Β=        μαρμαρέην] στίλβουσαν

τελαμῶνα] ἀναφορέα

486. Ὑάδας] ἄστρα τινὰ κείμενα πλησίον τῶν Πληιάδων, ἢ ὡς ἐοικότα τῷ Υ ἢ ὡς σημαντικαὶ βροχῶν ἀπὸ τοῦ ὕω τὸ βρέχω Α+

488. ἥ τ' αὐτοῦ στρέφεται] περὶ τὸν βόρειόν ἐστι πόλον ἀεὶ φαινομένη

489. ἄμμορος—λοετρῶν] ἀντὶ τοῦ ἄδυτος

6. ἠλίτῳ ‖ supplevi ex A ‖ 13. ἔλθοιεν scripsi, at prorsus incertae litterae ‖ 21. τέρας scripsi ex pr.: βάρος legi ‖ 36. βροχῶν scripsi: βρο^χ

491. τῇ] τῇ μιᾷ πόλει
492. δαΐδων] φωτῶν, λαμπάδων 493. ἠγίνεον] ἦγον
494. ἐδίνεον] ἀνεστρέφοντο
500. πιφαύσκων] διασαφῶν 501. ἴστορι] μάρτυρι A +
πεῖραρ] τὸ τέλος 505. ἔχον] ὑπῆρχον
515. ἀνέρες οὓς ἔχε γῆρας] γέροντες 519. ὀλίζονες] ὀλίγοι
539. ὡμίλευν] ἀνεστρέφοντο
542. τρίπολον] τρὶς ἠροτριασμένον
543. ἐλάστρεον] ἤλαυνον
544. τέλσον] τέλος ἦν, καὶ κατὰ μετάθεσιν τέλσο καὶ προ⟨σ⟩θέσει τοῦ ν̄ "τέλσον," ἤτοι τέλος
546. στρέψασκον] ἤτοι ἐστρέφοντο ὄγμους] τοὺς αὔλακας
548. μελαίνετο] βαθεῖα ἐφαίνετο ἀρηρομένῃ] ἠροτριασμένῃ
550. τέμενος] χωρίον ἔριθοι] γεωργοί
551. ὀξείας] ἠκονημένας
553. ἀμαλλοδετῆρες] οἱ δραγματοδέται
561. ἀλωήν] ἄμπελον 563. εἱστήκει] ἡ ἄμπελος
κάμαξι] χαρακώμασι ἀργυρέῃσιν] βασταζομέναις
564. ἀμφί] ἔθηκε 568. ταλάροισι] καλαθίσκοις
570. ⟨λίνον⟩] ἢ τὴν κόρδαν 571. ῥήσσοντες] κροτοῦντες
572. ἰυγμῷ] συριγμῷ A = 582. τώ] οἱ λέοντες,
587. νομόν] νομήν 588. οἰῶν] προβάτων
ἀργεννάων] λευκῶν
596. εἵατο] ἐνεδέ⟨δυ⟩ντο ἐυννήτους] εὖ νενησμένους
ἐλαίῳ] ὡς 600. ἄρμενον] ἡρμοσμένον A +
601. πειρήσεται] πεῖραν ποιούμενος κινήσειεν
θέῃσιν] γράφεται "θέλῃσιν"
602. θρέξασκον] ἐν κύκλῳ ἔτρεχον

## Τ.

3. θεοῦ] τοῦ Ἡφαίστου 9. πρῶτα] τὴν ἀρχήν
11. καλά] τὸ καλός μακρὸν παρὰ τῷ Ὁμήρῳ
21. ἐπιεικές] πρέπον 26. ἀεικίσσωσι] ἀφανίσωσι
43. οἰήια νηῶν] τὰ πηδάλια 45. οἵ] οὗτοι
46. δηρόν] καίτοι γε τρεῖς ἡμέρας· ἀλλὰ διὰ τὴν δυστυχίαν τῶν Ἑλλήνων τοῦτό φησιν
50. πρώτῃ ἀγορῇ] τῇ προεδρίᾳ 61. τῷ κ'] καὶ οὕτως
68. ⟨ἀσκελέως⟩] τουτέστιν ἀμεταβάτως· ἐκ μεταφορᾶς τῶν σκε-

16. ἀμαλλοδοτῆρες

Digitized by Google

λῶν, ὅταν τις ἱστάμενος μὴ ἀποσκελίσῃ ἀλλ' ἱστῆται βεβηκὼς ἐν ἑνὶ τόπῳ· ἢ πολυσκελέως· ἢ σκληρῶς· ἐξ οὗ τὸ σκελετός τὸ κοῦφον λείψανον

83. ἐνδείξομαι] ἤτοι τὴν ἀπότασιν τῶν λόγων πρὸς αὐτὸν ποιήσομαι A + B =

91. ἀᾶται] βλάπτει 93. πίλναται] ἐπιβαίνει, προσπελάζει

115. ἤδη] ἠπίστατο 117. ἐκύει] κατὰ γαστρὸς εἶχεν

149. κλοτοπεύειν] ὑποκλέπτειν τὸν καιρόν

150. ἄρεκτον] ἄπρακτον 151. Ἀχιλῆα] ἐμὲ τόν

157. οὐκ ὀλίγον χρόνον] οὐ πρὸς βραχὺν χρόνον

167. τοῦτό ἐστιν ὃ φασιν οἱ ῥήτορες ἐκ τοῦ ἐναντίου

209. κατὰ—ἱείη] εἰσέλθοι 229. νηλέα] ἀταπείνωτον

230. λίπωνται] καταλειφθῶσιν

239. Φυλείδην] τὸν τοῦ Φυλέως υἱόν

240. Κρειοντιάδην] τὸν τοῦ Κρείοντος υἱόν

242. ⟨ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον⟩] τοῦτό ἐστι τὸ λεγόμενον 'ἅμ' ἔπος ἅμ' ἔργον' (Zenob. I 77)

247. ῥητορικώτατον τὸ "στήσας"

250. ἄντην] γράφεται "αὐδήν" rec.

261. μή] οὐ μέν] μήν ἐπενεῖκαι] ἠβουλήθην

263. ἀπροτίμαστος] ἢ ἀνύβριστος

266. στόμαχον] τὸν γούργουρον

270. διδῶ διδοῖς καὶ τοῦ θα ἐπεκτάσει ⟨"δίδοισθα"⟩

273. ἀμήχανος] ἄβουλος 287. δειλῇ] ἀθλίᾳ rec.

299. δαίσειν] ποιήσειν 303. αὐτόν] τὸν Ἀχιλλέα

324. χήτει τοιοῦδ' ἀνδρός] ἐμοῦ. §. τὸ χῆτος

330. σέ] τὸν Πάτροκλον 343. μέμβλετ'] μέλλει

387. σύριγγος] τῆς δορατοθήκης.

398. ἠλέκτωρ Ὑπερίων] Ἥλιος 405. ἤμυσε] ἔκλινε A +

421. μόρος] μοῖρα

## Υ.

4. Θέμιστι] Θέμις Θέμιτος καὶ προσθέσει τοῦ σ

9. πίσεα ποιήεντα] τὰ ὑδρηλὰ καὶ βοτανώδη χωρία, ἀπὸ τοῦ εἶναι ἐν αὐτοῖς ὕδωρ ὥστε ποτίσαι

30. "ὑπὲρ μόρον" παρὰ τὸ μεμοιραμένον καὶ τὸ δέον

31. ἀλίαστον] χαλεπόν 33. ἀγῶνα] ἄθροισιν

51. λαίλαπι ἶσος] διὰ τὸ σκοτεινὸν τοῦ πολέμου

1. ἵσταται βεβακὼς ‖ 2. pro κοῦφον coni. W σκληρὸν ‖ 6. ἐπιβαίνει scripsi ex D, at incertum ‖ 12. εἰσέλθῃ ‖ 23. τὸ θε//// ἐπέκτασις

Digitized by Google

78. Ἄρηα] τὸ ξίφος

92. Λυρνησσόν] πόλις τῶν Ὑποπλακίων Θηβῶν rec.

Πήδασον] πόλις ἐν Ἑλλησπόντῳ rec.

96. ⟨Λέλεγας⟩] τοὺς ἐν Ἑ⟨λ⟩λησπόντῳ ἀπὸ τῆς Θεσσαλίας πρώτους κατοικοῦντας rec.

122. δευέσθω] προσδείσθω rec. 123. πάρος] νῦν

129. θεῶν] ἤτοι ἡμῶν αὐτῶν ὀμφῆς] θείας φωνῆς

137. "πάτου" ἤτοι τῆς πατουμένης

140. ὀρεῖται] γενήσεται 162. θοῦριν] ἤτοι τὴν θουροποιόν

168. ⟨ἐάλη⟩].... οὕτως ἐκ τοῦ ἀλάω ἀλῶ ἄλημι, ὁ μέλλων ἀλήσω, ὁ β' ἀόριστος ὤφειλεν εἶναι ἥλην, Ἰωνικῶς δὲ ἄλην καὶ κατὰ πρόθεσιν τοῦ ε̄ ἐάλην ἐάλης "ἐάλη"

172. μένει] τῇ δυνάμει 189. σεῦα] ἐδίωκον

190. μετετροπαλίζεο] ἐπε⟨σ⟩τρέφου

195. σὲ ῥύεσθαι] τὸν Δία θυμῷ] τῇ ψυχῇ

196. βάλλεαι] καὶ στρέφεις

202. ⟨αἴσυλα⟩] αἴσυλον τὸ μάταιον. παρὰ τὸ ᾱ στερητικὸν καὶ τὸ συλῶ τὸ σκυλεύω ἄσυλον, καὶ πλεονασμῷ τοῦ ῑ αἴσυλον· οὐχ αἱρετόν γὰρ φρονοῦντι συληθῆναι, πρᾶγμα ἀνωφελές

207. ἁλοσύδνης] τῆς θαλασ⟨σ⟩ίας

218. ὑπωρείας] τὰ κάτω μέρη τῶν ὀρῶν

221. ἵπποι—βουκολέοντο] παρὰ χρῆσιν

222. ἀταλῇσιν] ἁπαλαῖς

230 sqq.

Ζεύς
Δάρδανος
Ἐριχθόνιος
Τρώς

| | |
|---|---|
| Ἶλος | Ἀσσάρακος |
| Λαομέδων | Κάπυς |
| Πρίαμος | Ἀγχίσης |
| Ἕκτωρ | Αἰνείας |

234. ἀνηρείψαντο] ἀνήρπασαν A +

247. οὐδ' ἂν ναῦς ἑκατὸν καθέδρας ἔχουσα τὸ βάρος τῶν ὀνειδῶν φέροι

248. στρεπτή] εἰς ἔπαινον καὶ εἰς ψόγον

255. ἐτεά] ἀληθῆ 268. ἐρύκακε] ἤτοι τὸ ⟨ἔγχος⟩

272. ἔσχετο] ἐσχέθη 276. ῥινός] δέρμα

311. ἐρύσσεαι] καταθήσεις 328. ἶξε] ἐκάθισεν

8. ἤτοι πάτου τῆς πάτου αργης legi, at αργης incertum ‖ 10. lacunam indicavi, quia dimidia scholii pars partim bibliopegae culpa resectum deperiit, partim legi hodie ob evanidas litteras non potest; de argumento cf. Et. M. s. v. ‖ 19. φρονοῦντι W: φθονοῦντα ‖ 35. ἔπαινον incertum ‖ 38. κατενθήσεις

Digitized by Google

335. ἀναχωρῆσαι] ἤτοι ἀναχώρει
339. οὐ μὲν γάρ τις ἄλλος—ἐξεναρίξει] μέ
362. στιχός] διά 376. προμάχιζε] προπολέμει
385. Τμώλῳ] ὄρος Λυδίας
Ὕδης] ἡ νῦν καλουμένη Σάρδεις
387. κεάσθη] ἐσχίσθη 388. ἐπεύξατο] ἐκαυχήσατο
391. Γυγαίῃ] ἀπὸ Γύγου τινός A + 401. καθ' ἵππων] κατὰ τῶν
402. ἔθεν] αὐτοῦ 403. ἤρυγεν] ποιὰ λέξις, ἤτοι ἐμυκήσατο A —
404. ἄνακτα] τὸν Ποσειδῶνα A +
412. θυμός ἐστι⟨ν ὁ⟩ μεταξὺ τῶν κλειδῶν κείμενος ὑμήν
415. ἤντετο] ὑπήντα 418. λιασθείς] κυλισθεὶς χωρισθείς
424. ἀνέπαλτο] λίαν 425. ἐσεμάσσατο] ἐμαλάκισεν
⟨ἐσεμάσσατο θυμόν⟩] τὸν κατὰ τοῦ Ἀγαμέμνονος· μαλακὸν μὲν γὰρ τῷ Ἀγαμέμνονι ἐποίησεν, ἑαυτῷ δὲ τραχύν, ᾗ ἔνυξεν, ἤτοι κείμενον τὸν θυμόν μου κατὰ τῶν Τρώων καὶ ἀνενέργητον ὄντα ἔνυξεν
427. πτώσσοιμεν] δειλιῷμεν 482. τῆλε] μακράν
αὐτῇ] σύν 492. εἰλυφάζει] εἰλεῖ, συστρέφει A —
496. τριβέμεναι] ἀλοᾶν κρῖ] κριθά
ἐυκτιμένῃ] εὐκατασκεύῳ ἀλωῇ] ἅλωνι
497. λεπτά] τὰ κριθά 499. στεῖβον] κατεπάτουν
501. ἅς] αἷς ῥαθάμιγγες] αἱ ῥανίδες
502. ἐπισσώτρων] τῶν τροχῶν 503. ἀάπτους] τὰς ἀπτοήτους

## Φ.

3. διατμήξας] διαχωρίσας 4. οἱ ἄλλοι] οἱ Ἕλληνες
6. οἵ γε] οἱ Τρῶες 7. πρόσθε] αὐτῶν τῶν Τρώων
ἐρυκέμεν] ὥστε
20. ἀεικής] ἀπρεπὴς ἀνδράσιν, ἤτοι γυναικώδης
23. πιπλᾶσι] γράφεται "πιμπλᾶσι"
25. δεινοῖο] γράφεται καὶ ἰῶτα, τοῦ δίνας ἔχοντος
40. ἐπέρασσε] ἐπώλησεν· περᾶν γὰρ τὸ πωλεῖν παρ' Ὁμήρῳ
64. ὥρμαινε] διενοεῖτο
70. ἐκ τοῦ ἄω τὸ κορέννυμι γίνεται ἆσαι τὸ κορέσαι καὶ πλεονασμῷ τῆς με⟨ν⟩ "ἄμμεναι" τὸ κορεσθῆναι
79. ἑκατόμβοιον] ἑκατὸν βοῶν τιμήν ἦλφον] εὗρον
80. ἐλύμην] ἐλυτρωσάμην 97. μίν] τὸν Ἀχιλλέα
105. περί] ἤτοι περισ⟨σ⟩οτέρως
123. ἀπολιχμήσονται] ἀπολείξουσιν

7. μετὰ τῶν || 32. ἄωτο τὸ κ. || ἆσαι scripsi : ἄνω || 36. περισοτέρους

141. Ἀξιός] ποταμὸς Παιονίας 146. δαϊκταμένων] ὑπὲρ τῶν
152. Πηλεγόνος] τοῦ 157. Ἀξιοῦ] ποταμοῦ
162. ἁμαρτῇ] ταῖς δύο χερσίν 194. κρείων] ὁ μείζων
204. ἑρεπτόμενοι] κατεσθίοντες 213. βαθέης] ἀπό
217. μέρμερα] μεμεριμνημένα 248. θεός] Ξάνθος
255. ὕπαιθα—τοῖο] ἐκ πλαγίου τοῦ πολεμίου
λιασθείς] χωρισθείς ἐκκλίνας rec.
260. ψηφῖδες] μικραὶ λιθάδες
262. προαλεῖ] κατωφερεῖ. παρὰ τὸ ἀλίζεσθαι, ὅ ἐστιν ἀθροίζεσθαι, ὥστε σημαίνειν τὸ ⟨"κατειβόμενον—χώρῳ ἐνὶ προαλεῖ"⟩ καταφερόμενον εἰς τὴν γῆν A +
ἄγοντα] τὸν ὑδραγωγοῦντα 267. φοβέουσι] διώκουσι A =
274. ἔπειτα δὲ καί τι πάθοιμι] ἤτοι τι ἄλλο δεῖ με παθεῖν
282. ἐρχθέντα] πνιγέντα A = συφορβόν] χοιροβόσκον
283. ἔναυλος] χειμάρρους A + ἀποέρσῃ] ⟨ἀπο⟩πνίξῃ
314. φιτρῶν] τῶν 319. χέραδος] τό· ἢ "χεράδος" A +
321. ἀλλέξαι] συναθροῖσαι ἄσιν] ἰλύν
329. ἀποέρσειε] ⟨ἀπο⟩πνίξειεν A =
336. κῆαι] καύσειεν. ἦν γὰρ ⟨ἂν τὸ⟩ "κῆαι" ἀπαρέμφατον περισπωμένως A ~
338. ἵει] ἔμβαλ⟨λ⟩ε A = 345. σχέτο] ἐπεσχέθη
346. νεοαρδέ' ἀλφήν] νεοπότιστον γῆν 347. μίν] ἐπ' αὐτόν
ὅς τις ἐθείρῃ] ὅστις ἔθος ἔχει σκάπτειν
359. καὶ αὐτίκα] καὶ πάλιν 361. φῆ] οὕτως ἔφη ὁ ποταμός
363. σιάλοιο] ὁ ἥμερος χοῖρος
364. ἀμβολάδην] ἀναβάλλων ἤτοι ἀναβράζων A —
366. ἔθελεν] ἠδύνατο A + B = τεῖρε] κατεπόνει
367. Ἡφαίστοιο] τοῦ βίηφι] βιαίως
369. ἔχραε κήδειν] σφοδρῶς ἐπῆλθεν, ὥστε κήδειν
382. καλὰ ῥέεθρα] κατά 386. ἄητο] ὥρμητο
395. ἄητον] μέγιστον 397. οὐτάμεναι] ἐμέ
421. κυνάμυια] ἡ Ἀφροδίτη 436. ἔοικεν] ἤτοι πρέπει
445. σημαίνων] καὶ ἄρχων 453. σύν] σοι
457. ὑποστάς] ὑποσχόμενος
460. πρόχνυ] παντελῶς. πρόγνυ ἦν καὶ τροπῇ τοῦ $\bar{\gamma}$ εἰς $\bar{\chi}$ A +
462. μυθήσαιο] εἴποις 479. Διὸς παράκοιτις] ἡ Ἥρα

3. ad v. 181 χολάδες] **haec figura superscripta est**




10, 11. καταφέρεσθαι ‖ 15. πνίξει ‖ 19. κῆε textus ‖ κάεται post καυσ. omisi ‖ 21. supplevi ex A

489. ἔμαρπτεν] συνελάβετο   490. σκαιῇ] τῇ χειρί
494. ἴρηκος] ψιλόν. καὶ ἔστι τῶν Ἰώνων
500. πρόφρασσα] προθύμως A=
537. ἄνεσάν τε πύλας καὶ ἀπῶσαν ὀχῆας] πρωθύστερον τοῦτο
557. ἄλλῃ] ἀλλαχοῦ   560. ἂν] παρέλκει
563. πόλιος] ἀπό   571. ἀλείς] ⟨συ⟩στραφείς A=
600. ἑκάεργος] ὁ Ἀπόλλων

## Χ.

2. ⟨πίον⟩] εἶπε γὰρ ἄνωθεν (Il. 21. 541), ὅτι "καρχαλέοι" ἦσαν
12. ἄλεν] συνεστράφησαν A=   ἐλιάσθης] ἐπλανήθης rec.
15. πάντων] συγκριτικόν   25. τὸν δέ] τὸν Ἀχιλλέα
27. ἀρίζηλοι] ἤτοι ἀρίδηλοι, τροπῇ τοῦ δ̄ εἰς ζ̄ A+
41. σχέτλιος] ἄδικος   43. ἀπὸ—έλθοι] ἀπέλθοι
44. εὖνιν] ἐστερημένον   45. περνάς] πιπράσκων A=
58. φίλης αἰῶνος] θηλυκῶς ἡ αἰών   62. ἑλκηθείσας] αἰχμαλώτους
66. αὐτόν] ἐμέ   69. οὖς] κύνας
71. κείσονται] πεσοῦνται
73. πάντα δὲ καλὰ θανόντι περ] καὶ κατὰ πολύ
80. ἀνιεμένη] γυμνοῦσα AB+
88. ἄνευθε δέ σε μέγα νῶιν] πολὺ ἀφ' ἡμῶν
117. ἅμα] ὁμοῦ   130. εἴδομεν] μάθωμεν
141. ὕπαιθα] ἔμπροσθεν B+   λεληκώς] λάκω τὸ φωνῶ
142. ἑλέειν] λαβεῖν   ἕ] αὐτόν
145. οἱ δέ] ὁ Ἀχιλλεὺς καὶ ὁ Ἕκτωρ
ἐρινεόν] τόπος πολλῶν ἐρινεῶν περιεκτικός
147. κρουνώ] τούς   149. ὕδατι λιαρῷ] τῷ χειμῶνι
184. πρόφρονι] προθύμῳ   185. ἐρώει] ἀποπαύου
189. δίηται] διώκῃ   198. ποτί] πρό⟨ς⟩
199. φεύγοντα] τόν   διώκειν] ὁ διώκων
200. ὅ] ὁ διωκόμενος   τόν] τὸν διώκοντα
205. καρήατι] τὸ κάρηαρ τοῦ καρήατος
209. ἐτίταινε] ἐξέτεινεν   216. νῶι] ἡμᾶς B=
251. δῖον] τινὲς τὴν "δῖον" ἤτοι τὴν ἔνδοξον
261. τινὲς γράφουσιν '"ἄλαστε" ἤτοι δεινὰ καὶ ἀνεπίληστα εἰργασμένε' rec. B—
280. ἠείδεις] ἐπέγνως   ἦτοι] καίτοι

2. ad v. 497 Λητώ] πρό superscriptum: omisi ‖ 6. supplevi ex A ‖ 11. ante συγκρ. legi ὑχ` ‖ 20. ad v. 102 superscripsit rec. μάχην: omisi ‖ 28. διώκει ‖ 34. ad v. 261 ἄλαστε] πλάνας superscriptum: omisi

Digitized by Google

282. μένεος] τὸ ōς μακρόν· καταπεραιοῖ γὰρ εἰς μέρος λόγου

285. ἄλευαι] παραφυλάττου 301. ἀλέη] ἀποφυγή

322. τοῦ] τοῦ Ἕκτορος ἄλλο τόσον] ἤτοι τὸ λοιπὸν σῶμα

325. λαυκανίην] ⟨τὸ⟩ κατὰ τὸν λαιμόν, ἀπὸ τοῦ ἀπολαύω

328. ἀσφάραγον] ὅλον τὸν φάρυγγα· ὠνόμασε δὲ αὐτὸν οὕτω, μιμούμενος τὸν ἦχον τὸν γινόμενον ἐν αὐτῷ κατὰ τὴν φωνήν A— μελίη] ἡ 329. μίν] αὐτόν

332. ἐμέ] ἐμοῦ 333. ἀοσσητήρ] σωτήρ

336. ἑλκήσουσι] ἔστι ἕλκω ἑλκήσω 337. τόν] τὸν Πάτροκλον

346. αὐτόν] ἐμέ ἀνείη] ἀναπείσειεν A=

347. ὠμ'] ἤτοι ὠμά 348. ὣς] οὕτως A+

349. νήριτ'] πολλὰ ἀσύγκριτα

356. προτιόσσομαι] προορῶ B+

373. ἀμφιφάασθαι] ψηλαφᾶσθαι rec.

379. ⟨ἐπειδή⟩] ἴαμβον ἀντὶ σπονδαίου ἐδέξατο ὁ ποιητής· τὸ γὰρ "ἐπεί" ἴαμβος

406. λιπαρήν] πλουσίαν 431. βείομαι] βιώσομαι

432. ὅ] ὅστις 441. δίπλακα] τὸ λεγόμενον δίμοτον

468. χέε] ἔρριψε δέσματα] τὰ δεσμά

σιγαλόεντα] τὰ ποικίλα 472. πόρε] ὁ Ἕκτωρ

473. εἰνατέρες] αἱ τῶν ἀδελφῶν γυναῖκες A=B+

476. ἀμβλήδην] ἀναβάλλεσθαι τὸ προοιμιάζεσθαι

489. ἀπουρίσσουσιν] ἀφαιρήσουσιν B+

502. νηπιαχεύων] νηπιευόμενος

507. οἶος] μόνος ὁ Ἕκτωρ ἔρυσο] ἔσῳζες

## Ψ.

29. τάφον] ἐπιτάφιον δεῖπνον A+

30. ὀρέχθεον] ποιόν τινα ἦχον ἀπετέλουν

37. χωόμενον] ἤτοι συγκεχυμένον A=B+

46, 7. ⟨ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε ἵξετ' ἄχος κραδίην⟩] ἐπεὶ οὐκ ἄν μοι ἄλλο γε τοιοῦτον συμβήσεται κακόν

68. ὑπὲρ κεφαλῆς] ἔνθα τὸ λογιστικόν

75. ὀλοφύρομαι] ἵνα 81. εὐηγενέων] τῶν εὐγενῶν

85. Ὀπόεντος] τῆς 87. κατέκτανον] ἐγώ

88. ἀστραγάλοισι] τοῖς κόττοις

90. σὸν θεράποντα] τὸν δραστήριον φίλον

6. ἐπ' || φωνήν incertum || 10. ἀναπείσειεν scripsi: ἀνέπεισεν || 28. scholii pr. ad v. 34 verbis παιδιὰ δέ τις ἐν κοτύλῃ λέγεται superscripsit sec. τὰ λεγόμενα εἶπα εἰπετά || 35. κοτζίοις, at cf. Sophoclis lex. neograecum s.v. κόττος

Digitized by Google

91. δμῇ] ἡ αὐτή  94. ἠθείῃ] θεία

107. ἔικτο] ὡμοίωτο  θέσκελον] θείως

111. οὐρῆας] τὰ λεγόμενα μουλαροφορτηγά

115. σειράς] ⟨σ⟩χοίνους

116. πολλά] τοπία  ἄναντα] ἀνωφερῆ B=

κάταντα] κατωφερῆ B=  πάραντα] ὁμαλά

δόχμια] πλάγια B=

121. ἔκδεον] ἐδέσμουν  ταί] αἱ ἡμίονοι

122. ἐλδόμεναι] προθυμούμεναι  ῥωπήια] τὰ φρύγανα

130. χαλκὸν ζώννυσθαι] σίδηρον καθοπλίζεσθαι

136. κάρη] τοῦ Πατρόκλου  144. ἄλλως] μάτην rec. A+

159. ὅπλεσθαι] εὐτρεπίσαι  160. κήδεος] φροντίδος ἄξιος A=

169. δρατά] τὰ νεκρά

177. σιδήρεον] ἰσχυρόν  νέμοιτο] καίοι

186. ῥοδόεντι—ἐλαίῳ] τῷ ῥοδελαίῳ λεγομένῳ

187. ἀποδρύφοι] ἀποξέοι  ἑλκυστάζων] ὁ Ἀχιλλεύς A=

190. μένος] τό

191. σκήλειε] σκελετὸν ποιήσειε, ξηράναι A+

ἀμφὶ περὶ χρόα ἴνεσιν] τὸν ἀμφὶ τοῖς νεύροις χρόα

195. βορέῃ καὶ ζεφύρῳ] συγγενεῖς οὗτοι

197. φλεγεθοίατο] φλέξαιεν  200. οἱ μέν] οἱ ἄνεμοι

216. πυρῇ] τῇ μεγάλῃ πυρᾷ  226. ἐρέων] μηνύων

233. οἱ δέ] Ἕλληνες  234. μίν] τὸν Ἀχιλλέα

240. ἀριφραδέα—τέτυκται] εὐεπίγνωστα ὑπάρχουσι τὰ ὀστᾶ

243. ⟨δίπλακι⟩ δημῷ] ἴσως γὰρ ἦν καὶ κάτω τῶν ὀστῶν λίπος καὶ ἄνω τῶν ὀστῶν

257. χεύαντες] ἀναχωματίσαντες

261. πολιόν] τὸν ἔντιμον, τὸν χρησιμεύοντα εἰς πόλιν

263. θῆκε] τί δὲ ἔθηκεν;

266. βρέφος] ἔμβρυον  276. περί] ὑπέρ A=

292. αὐτόν] τὸν Αἰνείαν  299. εὐρυχόρῳ] τῇ

310. τῷ] διὰ τοῦτο  315. μήτι] "μήτει"

μέγ' ἀμείνων] τῇ βουλῇ  318. μήτι] "μήτει"

329. λᾶε] λίθοι  ἐρηρέδαται] στηρίζουσιν

330. ἀμφίς] ἀμφότερωθεν  331. τεῦ] τινός

333. καὶ νῦν τέρματ' ἔθηκε] κατὰ τὸ σιωπώμενον

τέρματα] καμπτούς

335. κλινθῆναι] κάμφθητι  336. τοῖιν] τῶν ἵππων rec.

337. κένσαι] κεντῆσαι  εἶξαί τε οἱ] ἐπιδοῦναι αὐτῷ

3. δεόμενα || terminatio τηγα incerta || 18. ξηράνῃ || 19. χρῶτα D || 25. ἂν ante ἦν omisi || 32. μήτηι || 34. στηρίζουσιν scripsi : ἐλίξουσιν

Digitized by Google

338. ἐν τῷ καμπτῆρί σοι ὁ ἀριστερὸς ἵππος οὕτως ἐμπελασάτω ἀκριβῶς, ὥστε τὴν ἔξωθεν περιφέρειαν τοῦ τροχοῦ δόξαι ψαύειν τῆς χοινικίδος· τοῦτο δὲ πάσχειν δοκεῖ ὁ παρὰ τὸν καμπτῆρα τροχός A=

339. πλήμνη] τῇ χοινικίδι 340. ἐπαυρεῖν] ψαῦσαι

348. τούς] ἵππους 350. πείρατα] τὰ τέλη

358. τέρματα] τὸν καμπτόν 367. μετὰ πνοιῇς] ἐν ταῖς

374. ἄψ] εἰς τοὐπίσω

376. Φηρητιάδαο] Φερητιάδαο τοῦ Εὐμήλου

377. μετεξέφερον] ἐπέτρεχον 380. πνοιῇ] τῶν ἵππων

387. ἐβλάφθησαν] ἐνεποδίσθησαν

388. ἐλεφαίρω τὸ ἀπατῶ παρὰ τὸ ἔλπω ἐλπαίρω παραγωγόν, καὶ πλεονασμῷ τοῦ ε̄ καὶ τροπῇ τοῦ π̄ εἰς φ̄ ἐλεφαίρω, κυρίως τὸ ταῖς ἐλπίσιν ἀπατᾶν

ἐλεφηράμενος] δι' ἀπάτης βλάψας A=B ~

392. ἦξε] ἔκλασεν 393. ἐλύσθη] προσειλκύσθη

⟨ἐξεκυλίσθη⟩] ἀπὸ τοῦ εἴλω εἰλύω, ἀπελάσει τοῦ ῑ rec. συνεστράφη ταῖς ἡνίαις rec.

395. περιδρύφθη] ἐξέσθη 396. θρυλίχθη] ἐθραύσθη A=

403. σφῶι] ὑμᾶς αὐτούς

409. λείπεσθε] ὑστερίζετε φέριστοι] ὦ

411. σφῶιν] ὑμῖν A+

418. ὀλίγον χρόνον] διὰ τὸ πολὺ γῆρας rec.

424. παρακλίνας] πλησιάσας

440. ἔτυμον] ἀληθῶς πεπνῦσθαι] σώφρονα εἶναι rec.

441. ἄεθλον] τὸ ἔπαθλον

454. τόσον] ὅλον B+ φοῖνιξ] πυρρός A=

459. παροίτεροι] ἔμπροσθεν 481. εὔληρα] χαλινά

484. ἀπηνής] σκληρός 520. ὃ δέ] ὁ τροχός

523. δίσκουρα] ἤτοι περιορισμὸν δίσκου

544. ἄεθλον] τὸ ἔπαθλον 553. τήν] τὴν ἵππον

587. ἄνσχεο] ἀνάσχου 589. ὑπερβασίαι] ὑπερηφανίαι

590. νόος] αὐτοῦ λεπτή] ἀσθενής

598. ἐέρση] δρόσος 609. τοί] σοί

613. ὃ δέ] ὁ Μενέλαος 618. τῇ] λαβέ

622. ἀκοντιστύν] ἀκοντίου ἀγῶνα

630. κρείοντα] βασιλέα

638. Ἀκτορίωνε] οἱ καὶ Μολιονίδαι

639. βαλόντε] δύο γὰρ ἦσαν 643. ὥς] οὕτως

652. ἐπέκλυε] ἤκουσε 653. πυγμαχίης] πυγμικῆς

11. ἐλπήρω || 13. ἀπατᾶσθαι legi || 16. ῑ scripsi : η̄ || 32. ad v. 594 superscriptum παρό : omisi || 38. βαλόντε sec. : -ες pr.

Digitized by Google

660. φ̔] ᾧτινι 683. ζῶμα] ὡς περίσκελος νόει
688. γενύων] τῶν σιαγόνων 689. ὤρνυτο] ἐφώρμησε
690. παπτήναντα] προδεδειχότα
691. ὑπήριπε] κατηνέχθη 692. φρικός] πνοῆς
699. αὐτοί] οἱ φίλοι αὐτοῦ 705. ἕ] αὐτήν
712. ὡς δέ] παρέλκει τὸ "δέ" ἀμείβοντες] δοκοί
724. ἀνάειρε] ἀνακούφισον 726. κόψε] ἔκρουσεν A+
727. στήθεσσιν] τοῦ Αἴαντος
744. Φοίνικες] οἱ καὶ Σιδόνιοι
πόντον] τὴν μεγάλην θάλασσαν
748. οὗ ἑτάροιο] ὑπὲρ τοῦ Πατρόκλου
759. ἔκφερε] προέδραμεν
761. στήθεος ἄγχι] ἐπί κανών] κάλαμος
765. οἷ κεφαλῆς] τοῦ Αἴαντος
767. ἱεμένῳ] τῷ 'Οδυσσεῖ
792. ἐριδδήσασθαι] ἐξισωθῆναι, ἁμιλληθῆναι
805. ὀρεξάμενος χρόα] ἐφαψάμενος τοῦ χρωτός
806. ⟨ἐνδίνων⟩] τῶν ἐντὸς τῶν ὅπλων μελῶν B+
815. πάντας] τούς
826. διαφέρει σόλος καὶ δίσκος· ὁ μὲν γὰρ δίσκος πλατύς ἐστι καὶ κυκλοτερής, ὁ δὲ σόλος στρογγύλος καὶ σφαιροειδής A+
832. οἷ] τοῦ ἀεθλευσαμένου
886. ⟨ἤμονες ἄνδρες⟩] ἀκοντισταὶ ἄνδρες. ἀπὸ τοῦ ἵημι τὸ πέμπω A+

## Ω.

6. ἀνδροτῆτα] τὴν ἀνδρείαν 8. πείρων] διαπερῶν
11. τοτὲ δέ] ἄλλοτε δέ
15. ἕλκεσθαι δησάσκετο] εἷλκε δήσας
30. μαχλοσύνην] χαλῶ χαλός καὶ πλεονασμῷ τῆς μα συλλαβῆς καὶ συγκοπῇ μαχλός καὶ τὸ θηλυκὸν μαχλή
33. σχέτλιοι] ἀγνώμονες δηλήμονες] βλαπτικοί
52. ἄμεινον] ἐπωφελές 53. νεμεσσηθῶμεν] μεμψώμεθα
60. ἀτίτηλα] ἐπεμελήθην
ἐκ τοῦ ἀταλός ἀπαλός τις ὤν· [καὶ] τὸ μὲν ἀπαλός δασύνεται, τὸ δὲ ἀταλός ψιλοῦται
63. φόρμιγγα] ἐννεάχορδον ἕταρε] φίλε
74. ἀλλ' εἰ] ἀλλ' εἴθε B=
76. λάχῃ] τύχῃ

32. μεμψώμεθα W: μεμυμύμεθα || 36. ἐννεάχορδον scripsi, ἐπαείδων coni. W: ἐναειδρων legi

Digitized by Google

79. ⟨μείλανι πόντῳ⟩] Μέλας, οὕτω ὀνομαζόμενος

80. βυσσόν] βυθόν  100. εἶξε] ἀπεχώρησεν

102. ἐπέε⟨σ⟩σι] τοῖς λόγοις  ὤρεξε] ἐνεχείρισεν

104. κηδομένῃ] λυπουμένῃ  131. βέῃ] ζήσεις· βιώσῃ

134. ἑέ] ἑαυτόν A+  148. οἷον] ὄντα μόνον

163. ἐντυπάς] ἐπίρρημα· ἤτοι ἐντυπωδῶς, δηλονότι τύπον μόνον σῴζων ἀνθρώπου

177. οἷον] μόνον σε

190. ⟨πείρινθα⟩] ὃ καὶ εἰς τὴν 'Οδυσσείαν (6. 70) ὑπερτερίαν καλεῖ, διὰ τὸ μὴ ὑπεράν[ω] ἐκείνου κεῖσθαι ἄλλο

208. κλαίωμεν] αἴ  210. μίν] αὐτόν

213. προσφῦσα] προσενδακοῦσα

221. θυοσκόοι] οἱ διὰ τῶν θυσιῶν κοοῦντες, τουτέστι νοοῦντες τὰ μέλλοντα A ~

227. ἐξ ἔρον εἵην] πληρώσαιμι  228. ἀνέῳγεν] ἠνέῳξεν

229. ἔξελε] ἤτοι ὡς ἐξαιρέτους ἔλαβεν

232. στήσας] σταθμήσας

235. ἐξεσίην ἐλθόντι] εἰς πρεσβείαν ἐλθόντι· ἀπὸ τῆς ἔξ προθέσεως καὶ τοῦ εἶμι τὸ ἔρχομαι

241. ⟨ἦ ὀνόσασθε⟩] γράφεται "ἦ ο⟨ὔ⟩νεσθε" A+

⟨ἦ ὀνόσασθ', ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν⟩] ἤτοι ἐπὶ ταῖς ἐμαῖς συμφοραῖς εὐφραίνεσθε

248. ὁμόκλα] ἐνεκέλευσεν  253. κατηφόνες] ἐπονείδιστοι

266. ἡμιονείην] ἔστι γὰρ καὶ βοείη

268. καδ' δ' ἀπὸ πασσαλόφι] ἀπὸ δὲ τῶν πασσάλων

ᾕρεον] ἔλαβον  ἡμιόνειον] ἐπιτήδειον ἡμιόνοις

272. πέζῃ] τῇ ἀρχῇ τοῦ ῥυμοῦ  ἕστορι] πα⟨τ⟩τάλῳ AB+

274. ὑπὸ γλωχῖνα δ' ἔκαμψαν] ἤτοι ἐποίησαν θηλέαν, ἥτις ἐξαν[a] ἔχει καὶ γωνίαν

280. ἀτίταλλεν] ἔτρεφεν  292. οἱ αὐτῷ] τῷ Διί

316. περκνόν] μέλανα AB=

318. ἐυκλήῃς] εὐκλείστοις A=  γράφεται "ἐυκληῖσ' ἀραρυῖα" A+

341. μίν] αὐτόν  345. κρατύς] ἰσχυρός

347. αἰσυμνητῆρι] γράφεται "αἰσυητῆρι" A+

349. οἵ] ὁ κῆρυξ καὶ ὁ Πρίαμος

385. ἐπεδεύετ'] ἐνδεὴς ἦν

388. καλά] κάλλιστα  ἀπότμου] δυστυχοῦς

395. εἷα] ἡμᾶς

399. καλῶς "ἕβδομος." εἷς γάρ ἐστι τῶν ἑπτὰ πλανήτων

4. βιώσῃ scripsi: βιέῃ || 10. ἄλλο W: ἄν || 19. ἴημι

Digitized by Google

407. εἶς] ὑπάρχεις 417. ἀκηδέστως] ἀφροντίστως
418. αἰσχύνει] αἰκίζει θείοιο] γράφεται "θηοῖο"
419. αἷμα] τό
νένιπται] κεκάθαρται 421. ἐτύπη] ἐτρώθη
425. ἐναίσιμα] καθήκοντα 453. σταυροῖσιν] σκόλοψιν
454. ἐπιρρήσεσκον] ἐπέβαλλον
514. ἀπὸ—ἦλθε] ἀπῆλθεν ἵμερος] τοῦ κλαίειν
529. ἀμμίξας] ἀναμίξας, συμμίξας
540. ⟨παναώριον⟩] ἢ τὸν πάνυ πρὸ ὥρας μέλλοντα ἀποθανεῖν, ἢ τὸν πανάμορφον, ἢ τὸν παντελῶς ὄντα δι' ὥρας ἤτοι φροντίδος
544. Λέσβος] ἡ ἕδος] τό
⟨Μάκαρος ἕδος⟩] ἔκτισε τὴν Λέσβον Μάκαρ ὁ Κρινάκου καὶ ἐβασίλευσεν αὐτῆς A=
551. ⟨πρὶν καὶ κακὸν ἄλλο πάθησθα⟩] οἷον πολλὰ μὲν κακὰ πάθοις, ἀναστήσαις δ' αὐτὸν οὐδαμῶς· τοῦτο γὰρ ἀδύνατον A+
555. λῦσον] πώλησον 570. ἀλίτωμαι] παραβῶ
584. ἐρύσαιτο] κατάσχοι 589. τόν] τὸν Ἕκτορα
608. φῆ] ἔφη τεκέειν] τὴν Λητώ
616. ἐρρώσαντο] ἐχόρευον 617. κήδεα πέσσει] λύπας ἔχει
642. πεπάσμην] ἐγευσάμην 646. οὖλας] μαλακάς
ἕσασθαι] σκεπάσασθαι
662. ⟨ἐέλμεθα⟩] ἀπὸ τοῦ εἴλω καὶ κατὰ διαλύσιν τῆς $\overline{\epsilon\iota}$ διφθόγγου εἰς δύο ε̄ 'ἐέλσω'
ἐέλμεθα] συγκεκλείσμεθα
720. ⟨ἀοιδούς⟩] ἦσαν δὲ οὗτοι Κλεῖτος καὶ [Ἐπι]μήδης A=
729. ἐπίσκοπος] ὁ φύλαξ τῆς πόλεως αὐτήν] τὴν πόλιν
755. ῥυστάζεσκεν] εἵλκυεν 757. ἐρσήεις] ἀνθηρός A=
767. ἀσύφηλον] τὸ βλαπτικόν. ἀπὸ τοῦ ἆσαι τὸ βλάψαι καὶ τοῦ φηλεῖν τὸ ἀπατᾶν ἀσόφηλον, οἱονεὶ τὸ βλαπτικόν
787. ὑπάτῃ] τῇ ἀνωτέρᾳ.

25. evanida supplevi ex AD.



Digitized by Google

Digitized by Google

# Clarendon Press, Oxford.

A SELECTION OF

# BOOKS

PUBLISHED FOR THE UNIVERSITY BY

**HENRY FROWDE,**

AT THE OXFORD UNIVERSITY PRESS WAREHOUSE,

AMEN CORNER, LONDON.

ALSO TO BE HAD AT THE

CLARENDON PRESS DEPOSITORY, OXFORD.

[*Every book is bound in cloth, unless otherwise described.*]

---

## LEXICONS, GRAMMARS, ORIENTAL WORKS, &c.

ANGLO-SAXON.—*An Anglo-Saxon Dictionary*, based on the MS. Collections of the late Joseph Bosworth, D.D., Professor of Anglo-Saxon, Oxford. Edited and enlarged by Prof. T. N. Toller, M.A. (To be completed in four parts.) Parts I-III. A—SAR. 4to. 15*s*. each.

ARABIC.—*A Practical Arabic Grammar.* Part I. Compiled by A. O. Green, Brigade Major, Royal Engineers, Author of 'Modern Arabic Stories.' Second Edition, Enlarged and Revised. Crown 8vo. 7*s*. 6*d*.

CHINESE.—*A Handbook of the Chinese Language.* By James Summers. 1863. 8vo. half bound, 1*l*. 8*s*.

—— *A Record of Buddhistic Kingdoms*, by the Chinese Monk FÂ-HIEN. Translated and annotated by James Legge, M.A., LL.D. Crown 4to. cloth back, 10*s*. 6*d*.

ENGLISH.—*A New English Dictionary, on Historical Principles:* founded mainly on the materials collected by the Philological Society. Edited by James A. H. Murray, LL.D., with the assistance of many Scholars and men of Science. Vol. I. A and B. Imperial 4to. half Morocco, 2*l*. 12*s*. 6*d*.

Part IV, Section II, C—CASS. Beginning of Vol. II, 5*s*.



Digitized by Google

ENGLISH.—*An Etymological Dictionary of the English Language.* By W. W. Skeat, Litt.D. *Second Edition.* 1884. 4to. 2*l.* 4*s.*

——Supplement to the First Edition of the above. 4to. 2*s.* 6*d.*

—— *A Concise Etymological Dictionary of the English Language.* By W. W. Skeat, Litt.D. *Third Edition.* 1887. Crown 8vo. 5*s.* 6*d.*

GREEK.—*A Greek-English Lexicon*, by Henry George Liddell, D.D., and Robert Scott, D.D. Seventh Edition, Revised and Augmented throughout. 1883. 4to. 1*l.* 16*s.*

—— *A Greek-English Lexicon*, abridged from Liddell and Scott's 4to. edition, chiefly for the use of Schools. Twenty-first Edition. 1884. Square 12mo. 7*s.* 6*d.*

—— *A copious Greek-English Vocabulary*, compiled from the best authorities. 1850. 24mo. 3*s.*

—— *A Practical Introduction to Greek Accentuation*, by H. W. Chandler, M.A. Second Edition. 1881. 8vo. 10*s.* 6*d.*

HEBREW.—*The Book of Hebrew Roots*, by Abu 'l-Walîd Marwân ibn Janâh, otherwise called Rabbî Yônâh. Now first edited, with an Appendix, by Ad. Neubauer. 1875. 4to. 2*l.* 7*s.* 6*d.*

—— *A Treatise on the use of the Tenses in Hebrew.* By S. R. Driver, D.D. Second Edition. 1881. Extra fcap. 8vo. 7*s.* 6*d.*

—— *Hebrew Accentuation of Psalms, Proverbs, and Job.* By William Wickes, D.D. 1881. Demy 8vo. 5*s.*

—— *A Treatise on the Accentuation of the twenty-one so-called Prose Books of the Old Testament.* By William Wickes, D.D. 1887. Demy 8vo. 10*s.* 6*d.*

ICELANDIC.—*An Icelandic-English Dictionary*, based on the MS. collections of the late Richard Cleasby. Enlarged and completed by G. Vigfússon, M.A. With an Introduction, and Life of Richard Cleasby, by G. Webbe Dasent, D.C.L. 1874. 4to. 3*l.* 7*s.*

—— *A List of English Words the Etymology of which is illustrated by comparison with Icelandic.* Prepared in the form of an APPENDIX to the above. By W. W. Skeat, Litt.D. 1876. stitched, 2*s.*

—— *An Icelandic Primer*, with Grammar, Notes, and Glossary. By Henry Sweet, M.A. Extra fcap. 8vo. 3*s.* 6*d.*

—— *An Icelandic Prose Reader*, with Notes, Grammar and Glossary, by Dr. Gudbrand Vigfússon and F. York Powell, M.A. 1879. Extra fcap. 8vo. 10*s.* 6*d.*

LATIN.—*A Latin Dictionary*, founded on Andrews' edition of Freund's Latin Dictionary, revised, enlarged, and in great part rewritten by Charlton T. Lewis, Ph.D., and Charles Short, LL.D. 1879. 4to. 1*l.* 5*s.*

Digitized by Google

MELANESIAN.—*The Melanesian Languages.* By R. H. Codrington, D.D., of the Melanesian Mission. 8vo. 18*s.*

SANSKRIT.—*A Practical Grammar of the Sanskrit Language*, arranged with reference to the Classical Languages of Europe, for the use of English Students, by Sir M. Monier-Williams, M.A. Fourth Edition. 8vo. 15*s.*

—— *A Sanskrit-English Dictionary*, Etymologically and Philologically arranged, with special reference to Greek, Latin, German, Anglo-Saxon, English, and other cognate Indo-European Languages. By Sir M. Monier-Williams. M.A. 1888. 4to. 4*l.* 14*s.* 6*d.*

—— *Nalopákhyánam.* Story of Nala, an Episode of the Mahá-Bhárata: the Sanskrit text, with a copious Vocabulary, and an improved version of Dean Milman's Translation, by Sir M. Monier-Williams, M.A. Second Edition, Revised and Improved. 1879. 8vo. 15*s.*

—— *Sakuntalā.* A Sanskrit Drama, in Seven Acts. Edited by Sir M. Monier-Williams, M.A. Second Edition, 1876. 8vo. 21*s.*

SYRIAC.—*Thesaurus Syriacus:* collegerunt Quatremère, Bernstein, Lorsbach, Arnoldi, Agrell, Field, Roediger: edidit R. Payne Smith, S.T.P. Fasc. I-VI. 1868-83. sm. fol. each, 1*l.* 1*s.* Fasc. VII. 1*l.* 11*s.* 6*d.*

Vol. I, containing Fasc. I-V, sm. fol. 5*l.* 5*s.*

—— *The Book of Kalīlah and Dimnah.* Translated from Arabic into Syriac. Edited by W. Wright, LL.D. 1884. 8vo. 21*s.*

## GREEK CLASSICS, &c.

*Aristophanes:* A Complete Concordance to the Comedies and Fragments. By Henry Dunbar, M.D. 4to. 1*l.* 1*s.*

*Aristotle: The Politics*, with Introductions, Notes, etc., by W. L. Newman, M.A., Fellow of Balliol College, Oxford. Vols. I. and II. Medium 8vo. 28*s.*

*Aristotle: The Politics*, translated into English, with Introduction, Marginal Analysis, Notes, and Indices, by B. Jowett, M.A. Medium 8vo. 2 vols. 21*s.*

*Catalogus Codicum Graecorum Sinaiticorum.* Scripsit V. Gardthausen Lipsiensis. With six pages of Facsimiles. 8vo. *linen*, 25*s.*

*Heracliti Ephesii Reliquiae.* Recensuit I. Bywater, M.A. Appendicis loco additae sunt Diogenis Laertii Vita Heracliti, Particulae Hippocratei De Diaeta Libri Primi, Epistolae Heracliteae. 1877. 8vo. 6*s.*

*Herculanensium Voluminum* Partes II. 1824. 8vo. 10*s.*



Digitized by Google

*Fragmenta Herculanensia.* A Descriptive Catalogue of the Oxford copies of the Herculanean Rolls, together with the texts of several papyri, accompanied by facsimiles. Edited by Walter Scott, M.A., Fellow of Merton College, Oxford. Royal 8vo. *cloth*, 21*s.*

*Homer:* A Complete Concordance to the Odyssey and Hymns of Homer; to which is added a Concordance to the Parallel Passages in the Iliad, Odyssey, and Hymns. By Henry Dunbar, M.D. 1880. 4to. 1*l.* 1*s.*

—— *Scholia Graeca in Iliadem.* Edited by Professor W. Dindorf, after a new collation of the Venetian MSS. by D. B. Monro, M.A., Provost of Oriel College. 4 vols. 8vo. 2*l.* 10*s.* Vols. V and VI. *In the Press.*

—— *Scholia Graeca in Odysseam.* Edidit Guil. Dindorfius. Tomi II. 1855. 8vo. 15*s.* 6*d.*

*Plato: Apology*, with a revised Text and English Notes, and a Digest of Platonic Idioms, by James Riddell, M.A. 1878. 8vo. 8*s.* 6*d.*

—— *Philebus*, with a revised Text and English Notes, by Edward Poste, M.A. 1860. 8vo. 7*s.* 6*d.*

—— *Sophistes and Politicus*, with a revised Text and English Notes, by L. Campbell, M.A. 1867. 8vo. 18*s.*

—— *Theaetetus*, with a revised Text and English Notes, by L. Campbell, M.A. Second Edition. 8vo. 10*s.* 6*d.*

—— *The Dialogues*, translated into English, with Analyses and Introductions, by B. Jowett, M.A. A new Edition in 5 volumes, medium 8vo. 1875. 3*l.* 10*s.*

—— *The Republic*, translated into English, with an Analysis and Introduction, by B. Jowett, M.A. Medium 8vo. 12*s.* 6*d.*

*Thucydides:* Translated into English, with Introduction, Marginal Analysis, Notes, and Indices. By B. Jowett, M.A. 2 vols. 1881. Medium 8vo. 1*l.* 12*s.*

## THE HOLY SCRIPTURES, &c.

STUDIA BIBLICA.—Essays in Biblical Archæology and Criticism, and kindred subjects. By Members of the University of Oxford. 8vo. 10*s.* 6*d.*

---

ENGLISH.—*The Holy Bible in the earliest English Versions*, made from the Latin Vulgate by John Wycliffe and his followers: edited by the Rev. J. Forshall and Sir F. Madden. 4 vols. 1850. Royal 4to. 3*l.* 3*s.*

Digitized by Google

**[Also reprinted from the above, with Introduction and Glossary by W. W. Skeat, Litt. D.**

ENGLISH.—*The Books of Job, Psalms, Proverbs, Ecclesiastes, and the Song of Solomon:* according to the Wycliffite Version made by Nicholas de Hereford, about A.D. 1381, and Revised by John Purvey, about A.D. 1388. Extra fcap. 8vo. 3*s*. 6*d*.

—— *The New Testament in English,* according to the Version by John Wycliffe, about A.D. 1380, and Revised by John Purvey, about A.D. 1388. Extra fcap. 8vo. 6*s*.]

---

—— *The Holy Bible:* an exact reprint, page for page, of the Authorised Version published in the year 1611. Demy 4to. half bound, 1*l*. 1*s*.

—— *The Psalter, or Psalms of David, and certain Canticles,* with a Translation and Exposition in English, by Richard Rolle of Hampole. Edited by H. R. Bramley, M.A., Fellow of S. M. Magdalen College, Oxford. With an Introduction and Glossary. Demy 8vo. 1*l*. 1*s*.

—— *Lectures on the Book of Job.* Delivered in Westminster Abbey by the Very Rev. George Granville Bradley, D.D., Dean of Westminster. Crown 8vo. 7*s*. 6*d*.

—— *Lectures on Ecclesiastes.* By the same Author. Crown 8vo. 4*s*. 6*d*.

GOTHIC.—*The Gospel of St. Mark in Gothic,* according to the translation made by Wulfila in the Fourth Century. Edited with a Grammatical Introduction and Glossarial Index by W. W. Skeat, Litt. D. Extra fcap. 8vo. 4*s*.

GREEK.—*Vetus Testamentum* ex Versione Septuaginta Interpretum secundum exemplar Vaticanum Romae editum. Accedit potior varietas Codicis Alexandrini. Tomi III. Editio Altera. 18mo. 18*s*. The volumes may be had separately, price 6*s*. each.

—— *Origenis Hexaplorum* quae supersunt; sive, Veterum Interpretum Graecorum in totum Vetus Testamentum Fragmenta. Edidit Fridericus Field, A.M. 2 vols. 1875. 4to. 5*l*. 5*s*.

—— *The Book of Wisdom:* the Greek Text, the Latin Vulgate, and the Authorised English Version; with an Introduction, Critical Apparatus, and a Commentary. By William J. Deane, M.A. Small 4to. 12*s*. 6*d*.

—— *Novum Testamentum Graece.* Antiquissimorum Codicum Textus in ordine parallelo dispositi. Accedit collatio Codicis Sinaitici. Edidit E. H. Hansell, S.T.B. Tomi III. 1864. 8vo. 24*s*.

—— *Novum Testamentum Graece.* Accedunt parallela S. Scripturae loca, etc. Edidit Carolus Lloyd, S.T.P.R. 18mo. 3*s*.

**On writing paper, with wide margin, 10*s*.**

Digitized by Google

GREEK.—*Novum Testamentum Graece* juxta Exemplar Millianum. 18mo. 2*s*. 6*d*. On writing paper, with wide margin, 9*s*.

—— *Evangelia Sacra Graece.* Fcap. 8vo. limp, 1*s*. 6*d*.

—— *The Greek Testament*, with the Readings adopted by the Revisers of the Authorised Version:—

(1) Pica type, with Marginal References. Demy 8vo. 10*s*. 6*d*.
(2) Long Primer type. Fcap. 8vo. 4*s*. 6*d*.
(3) The same, on writing paper, with wide margin, 15*s*.

—— *The Parallel New Testament*, Greek and English; being the Authorised Version, 1611; the Revised Version, 1881; and the Greek Text followed in the Revised Version. 8vo. 12*s*. 6*d*.

*The Revised Version is the joint property of the Universities of Oxford and Cambridge.*

—— *Canon Muratorianus:* the earliest Catalogue of the Books of the New Testament. Edited with Notes and a Facsimile of the MS. in the Ambrosian Library at Milan, by S. P. Tregelles, LL.D. 1867. 4to. 10*s*. 6*d*.

—— *Outlines of Textual Criticism applied to the New Testament.* By C. E. Hammond, M.A. Fourth Edition. Extra fcap. 8vo. 3*s*. 6*d*.

HEBREW, etc.—*Notes on the Hebrew Text of the Book of Genesis.* With Two Appendices. By G. J. Spurrell, M.A. Crown 8vo. 10*s*. 6*d*.

—— *The Psalms in Hebrew without points.* 1879. Crown 8vo. Price reduced to 2*s*., in stiff cover.

—— *A Commentary on the Book of Proverbs.* Attributed to Abraham Ibn Ezra. Edited from a MS. in the Bodleian Library by S. R. Driver, M.A. Crown 8vo. paper covers, 3*s*. 6*d*.

—— *The Book of Tobit.* A Chaldee Text, from a unique MS. in the Bodleian Library; with other Rabbinical Texts, English Translations, and the Itala. Edited by Ad. Neubauer, M.A. 1878. Crown 8vo. 6*s*.

—— *Horae Hebraicae et Talmudicae*, a J. Lightfoot. A new Edition, by R. Gandell, M.A. 4 vols. 1859. 8vo. 1*l*. 1*s*.

LATIN.—*Libri Psalmorum* Versio antiqua Latina, cum Paraphrasi Anglo-Saxonica. Edidit B. Thorpe, F.A.S. 1835. 8vo. 10*s*. 6*d*.

—— *Old-Latin Biblical Texts: No. I.* The Gospel according to St. Matthew from the St. Germain MS. ($g_1$). Edited with Introduction and Appendices by John Wordsworth, D.D. Small 4to., stiff covers, 6*s*.

—— *Old-Latin Biblical Texts: No. II.* Portions of the Gospels according to St. Mark and St. Matthew, from the Bobbio MS. (k), &c. Edited by John Wordsworth, D.D., W. Sanday, M.A., D.D., and H. J. White, M.A. Small 4to., stiff covers, 21*s*.

Digitized by Google

LATIN.—*Old-Latin Biblical Texts: No. III.* The Four Gospels, from the Munich MS. (q), now numbered Lat. 6224 in the Royal Library at Munich. With a Fragment from St. John in the Hof-Bibliothek at Vienna (Cod. Lat. 502). Edited, with the aid of Tischendorf's transcript (under the direction of the Bishop of Salisbury), by H. J. White, M.A. Small 4to. stiff covers, 12*s.* 6*d.*

OLD-FRENCH.—*Libri Psalmorum* Versio antiqua Gallica e Cod. MS. in Bibl. Bodleiana adservato, una cum Versione Metrica aliisque Monumentis pervetustis. Nunc primum descripsit et edidit Franciscus Michel, Phil. Doc. 1860. 8vo. 10*s.* 6*d.*

## FATHERS OF THE CHURCH, &c.

*St. Athanasius: Historical Writings*, according to the Benedictine Text. With an Introduction by William Bright, D.D. 1881. Crown 8vo. 10*s.* 6*d.*

—— *Orations against the Arians.* With an Account of his Life by William Bright, D.D. 1873. Crown 8vo. 9*s.*

*St. Augustine: Select Anti-Pelagian Treatises,* and the Acts of the Second Council of Orange. With an Introduction by William Bright, D.D. Crown 8vo. 9*s.*

*Canons of the First Four General Councils* of Nicaea, Constantinople, Ephesus, and Chalcedon. 1877. Crown 8vo. 2*s.* 6*d.*

—— *Notes on the Canons of the First Four General Councils.* By William Bright, D.D. 1882. Crown 8vo. 5*s.* 6*d.*

*Cyrilli Archiepiscopi Alexandrini in XII Prophetas.* Edidit P. E. Pusey, A.M. Tomi II. 1868. 8vo. cloth, 2*l.* 2*s.*

—— *in D. Joannis Evangelium.* Accedunt Fragmenta varia necnon Tractatus ad Tiberium Diaconum duo. Edidit post Aubertum P. E. Pusey, A.M. Tomi III. 1872. 8vo. 2*l.* 5*s.*

—— *Commentarii in Lucae Evangelium* quae supersunt Syriace. E MSS. apud Mus. Britan. edidit R. Payne Smith, A.M. 1858. 4to. 1*l.* 2*s.*

—— Translated by R. Payne Smith, M.A. 2 vols. 1859. 8vo. 14*s.*

*Ephraemi Syri*, Rabulae Episcopi Edesseni, Balaei, aliorumque Opera Selecta. E Codd. Syriacis MSS. in Museo Britannico et Bibliotheca Bodleiana asservatis primus edidit J. J. Overbeck. 1865. 8vo. 1*l.* 1*s.*

Digitized by Google

*Eusebius' Ecclesiastical History*, according to the text of Burton, with an Introduction by William Bright, D.D. 1881. Crown 8vo. 8*s*. 6*d*.

*Irenaeus: The Third Book of St. Irenaeus*, Bishop of Lyons, against Heresies. With short Notes and a Glossary by H. Deane, B.D. 1874. Crown 8vo. 5*s*. 6*d*.

*Patrum Apostolicorum*, S. Clementis Romani, S. Ignatii, S. Polycarpi, quae supersunt. Edidit Guil. Jacobson, S.T.P.R. Tomi II. Fourth Edition, 1863. 8vo. 1*l*. 1*s*.

*Socrates' Ecclesiastical History*, according to the Text of Hussey, with an Introduction by William Bright, D.D. 1878. Crown 8vo. 7*s*. 6*d*.

## ECCLESIASTICAL HISTORY, BIOGRAPHY, &c.

*Ancient Liturgy of the Church of England*, according to the uses of Sarum, York, Hereford, and Bangor, and the Roman Liturgy arranged in parallel columns, with preface and notes. By William Maskell, M.A. Third Edition. 1882. 8vo. 15*s*.

*Baedae Historia Ecclesiastica.* Edited, with English Notes, by G. H. Moberly, M.A. 1881. Crown 8vo. 10*s*. 6*d*.

*Bright (W.). Chapters of Early English Church History.* 1878. 8vo. 12*s*.

*Burnet's History of the Reformation of the Church of England.* A new Edition. Carefully revised, and the Records collated with the originals, by N. Pocock, M.A. 7 vols. 1865. 8vo. *Price reduced to* 1*l*. 10*s*.

*Councils and Ecclesiastical Documents relating to Great Britain* and Ireland. Edited, after Spelman and Wilkins, by A. W. Haddan, B.D., and W. Stubbs, M.A. Vols. I. and III. 1869–71. Medium 8vo. each 1*l*. 1*s*.

Vol. II. Part I. 1873. Medium 8vo. 10*s*. 6*d*.

Vol. II. Part II. 1878. Church of Ireland; Memorials of St. Patrick. Stiff covers, 3*s*. 6*d*.

*Hamilton (John, Archbishop of St. Andrews), The Catechism of.* Edited, with Introduction and Glossary, by Thomas Graves Law. With a Preface by the Right Hon. W. E. Gladstone. 8vo. 12*s*. 6*d*.

*Hammond (C. E.). Liturgies, Eastern and Western.* Edited, with Introduction, Notes, and Liturgical Glossary. 1878. Crown 8vo. 10*s*. 6*d*.

**An Appendix to the above.** 1879. Crown 8vo. paper covers, 1*s*. 6*d*.

*John, Bishop of Ephesus. The Third Part of his Ecclesiastical History.* [In Syriac.] Now first edited by William Cureton, M.A. 1853. 4to. 1*l*. 12*s*.

—— Translated by R. Payne Smith, M.A. 1860. 8vo. 10*s*.

Digitized by Google

*Leofric Missal, The*, as used in the Cathedral of Exeter during the Episcopate of its first Bishop, A.D. 1050–1072; together with some Account of the Red Book of Derby, the Missal of Robert of Jumièges, and a few other early MS. Service Books of the English Church. Edited, with Introduction and Notes, by F. E. Warren, B.D. 4to. half morocco, 35*s.*

*Monumenta Ritualia Ecclesiae Anglicanae.* The occasional Offices of the Church of England according to the old use of Salisbury, the Prymer in English, and other prayers and forms, with dissertations and notes. By William Maskell, M.A. Second Edition. 1882. 3 vols. 8vo. 2*l.* 10*s.*

*Records of the Reformation.* The Divorce, 1527–1533. Mostly now for the first time printed from MSS. in the British Museum and other libraries. Collected and arranged by N. Pocock, M.A. 1870. 2 vols. 8vo. 1*l.* 16*s.*

*Shirley* (*W. W.*). *Some Account of the Church in the Apostolic Age.* Second Edition, 1874. Fcap. 8vo. 3*s.* 6*d.*

*Stubbs* (*W.*). *Registrum Sacrum Anglicanum.* An attempt to exhibit the course of Episcopal Succession in England. 1858. Small 4to. 8*s.* 6*d.*

*Warren* (*F. E.*). *Liturgy and Ritual of the Celtic Church.* 1881. 8vo. 14*s.*

## ENGLISH THEOLOGY.

*Bampton Lectures*, 1886. *The Christian Platonists of Alexandria.* By Charles Bigg, D.D. 8vo. 10*s.* 6*d.*

*Butler's Works*, with an Index to the Analogy. 2 vols. 1874. 8vo. 11*s.*

**Also separately,**

*Sermons*, 5*s.* 6*d.* *Analogy of Religion*, 5*s.* 6*d.*

*Greswell's Harmonia Evangelica.* Fifth Edition. 8vo. 9*s.* 6*d.*

*Heurtley's Harmonia Symbolica:* Creeds of the Western Church. 1858. 8vo. 6*s.* 6*d.*

*Homilies appointed to be read in Churches.* Edited by J. Griffiths, M.A. 1859. 8vo. 7*s.* 6*d.*

*Hooker's Works*, with his life by Walton, arranged by John Keble, M.A. Seventh Edition. *Revised by R. W. Church, M.A., D.C.L., Dean of St. Paul's, and F. Paget, D.D.* 3 vols. medium 8vo. 36*s.*

*Hooker's Works*, the text as arranged by John Keble, M.A. 2 vols. 1875. 8vo. 11*s.*

*Jewel's Works.* Edited by R. W. Jelf, D.D. 8 vols. 1848. 8vo. 1*l.* 10*s.*

Digitized by Google

*Pearson's Exposition of the Creed.* Revised and corrected by E. Burton, D.D. Sixth Edition, 1877. 8vo. 10*s*. 6*d*.

*Waterland's Review of the Doctrine of the Eucharist*, with a Preface by the late Bishop of London. Crown 8vo. 6*s*. 6*d*.

—— *Works*, with Life, by Bp. Van Mildert. A new Edition, with copious Indexes. 6 vols. 1856. 8vo. 2*l*. 11*s*.

*Wheatly's Illustration of the Book of Common Prayer.* A new Edition, 1846. 8vo. 5*s*.

*Wyclif. A Catalogue of the Original Works of John Wyclif*, by W. W. Shirley, D.D. 1865. 8vo. 3*s*. 6*d*.

—— *Select English Works.* By T. Arnold, M.A. 3 vols. 1869–1871. 8vo. 1*l*. 1*s*.

—— *Trialogus.* With the Supplement now first edited. By Gotthard Lechler. 1869. 8vo. 7*s*.

## HISTORICAL AND DOCUMENTARY WORKS.

*British Barrows*, a Record of the Examination of Sepulchral Mounds in various parts of England. By William Greenwell, M.A., F.S.A. Together with Description of Figures of Skulls, General Remarks on Prehistoric Crania, and an Appendix by George Rolleston, M.D., F.R.S. 1877. Medium 8vo. 25*s*.

*Clarendon's History of the Rebellion* and Civil Wars in England. Re-edited from a fresh Collation of the Original MS. in the Bodleian Library, with Marginal Dates, and Occasional Notes, by W. Dunn Macray, M.A., F.S.A. In six volumes, crown 8vo. *cloth*, 2*l*. 5*s*.

*Clarendon's History of the Rebellion* and Civil Wars in England. Also his Life, written by himself, in which is included a Continuation of his History of the Grand Rebellion. With copious Indexes. In one volume, royal 8vo. 1842. 1*l*. 2*s*.

*Clinton's Epitome of the Fasti Hellenici.* 1851. 8vo. 6*s*. 6*d*.

—— *Epitome of the Fasti Romani.* 1854. 8vo. 7*s*.

*Corpvs Poeticvm Boreale.* The Poetry of the Old Northern Tongue, from the Earliest Times to the Thirteenth Century. Edited, classified, and translated, with Introduction, Excursus, and Notes, by Gudbrand Vigfússon, M.A., and F. York Powell, M.A. 2 vols. 1883. 8vo. 42*s*.

*Earle (J., M.A.). A Handbook to the Land-Charters, and other Saxonic Documents.* Crown 8vo. *cloth*, 16*s*.

Digitized by Google

*Freeman (E. A.). History of the Norman Conquest of England;* its Causes and Results. In Six Volumes. 8vo. 5*l.* 9*s.* 6*d.*

—— *The Reign of William Rufus and the Accession of* Henry the First. 2 vols. 8vo. 1*l.* 16*s.*

*Gascoigne's Theological Dictionary* ("Liber Veritatum"): Selected Passages, illustrating the condition of Church and State, 1403–1458. With an Introduction by James E. Thorold Rogers, M.A. Small 4to. 10*s.* 6*d.*

*Johnson (Samuel, LL.D.), Boswell's Life of;* including Boswell's Journal of a Tour to the Hebrides, and Johnson's Diary of a Journey into North Wales. Edited by G. Birkbeck Hill, D.C.L. In six volumes, medium 8vo. With Portraits and Facsimiles of Handwriting. Half bound, 3*l.* 3*s.* (See p. 21.)

*Magna Carta,* a careful Reprint. Edited by W. Stubbs, D.D. 1879. 4to. stitched, 1*s.*

*Passio et Miracula Beati Olaui.* Edited from a Twelfth-Century MS. in the Library of Corpus Christi College, Oxford, by Frederick Metcalfe, M.A. Small 4to. stiff covers, 6*s.*

*Protests of the Lords,* including those which have been expunged, from 1624 to 1874; with Historical Introductions. Edited by James E. Thorold Rogers, M.A. 1875. 3 vols. 8vo. 2*l.* 2*s.*

*Rogers (J. E. T.). History of Agriculture and Prices in* England, A.D. 1259–1793.

Vols. I—VI (1259–1702). 8vo. 7*l.* 2*s.*

—— *The First Nine Years of the Bank of England.* 8vo. 8*s.* 6*d.*

*Stubbs (W., D.D.). Seventeen Lectures on the Study of Medieval and Modern History,* &c., delivered at Oxford 1867–1884. Crown 8vo. 8*s.* 6*d.*

*Sturlunga Saga,* including the Islendinga Saga of Lawman Sturla Thordsson and other works. Edited by Dr. Gudbrand Vigfússon. In 2 vols. 1878. 8vo. 2*l.* 2*s.*

*York Plays.* The Plays performed by the Crafts or Mysteries of York on the day of Corpus Christi in the 14th, 15th, and 16th centuries. Now first printed from the unique MS. in the Library of Lord Ashburnham. Edited with Introduction and Glossary by Lucy Toulmin Smith. 8vo. 21*s.*

---

*Manuscript Materials relating to the History of Oxford.* Arranged by F. Madan, M.A. 8vo. 7*s.* 6*d.*

*Statutes of the University of Oxford,* codified in the year 1636 under the authority of Archbishop Laud. Edited by the late J. Griffiths, D.D., with an Introduction on the History of the Laudian Code, by C. L. Shadwell, M.A., B.C.L. 4to. 1*l.* 1*s.*

Digitized by Google

*Statutes made for the University of Oxford, and for the Colleges* and Halls therein, by the University of Oxford Commissioners. 1882. 8vo. 12*s.* 6*d.*

*Statutes supplementary to the above*, approved by the Queen in Council, 1882–1888. 8vo. 2*s.* 6*d.*

*Statuta Universitatis Oxoniensis.* 1888. 8vo. 5*s.*

*The Oxford University Calendar for the year* 1888. Crown 8vo. 4*s.* 6*d.*

The present Edition includes all Class Lists and other University distinctions for the eight years ending with 1887.

**Also, supplementary to the above, price 5s. (pp. 606),**

*The Honours Register of the University of Oxford.* A complete Record of University Honours, Officers, Distinctions, and Class Lists; of the Heads of Colleges, &c., &c., from the Thirteenth Century to 1883.

*The Examination Statutes for the Degrees of B.A., B. Mus., B.C.L., and B.M.* Revised to the end of Michaelmas Term, 1887. 8vo. sewed, 1*s.*

*The Student's Handbook to the University and Colleges of Oxford.* Ninth Edition. Crown 8vo. 2*s.* 6*d.*

## MATHEMATICS, PHYSICAL SCIENCE, &c.

*Acland (H. W., M.D., F.R.S.). Synopsis of the Pathological Series in the Oxford Museum.* 1867. 8vo. 2*s.* 6*d.*

*Annals of Botany.* Edited by Isaac Bayley Balfour, M.A., M.D., F.R.S., Sydney H. Vines, D.Sc., F.R.S., and William Gilson Farlow, M.D., Professor of Cryptogamic Botany in Harvard University, Cambridge, Mass., U.S.A., and other Botanists. Royal 8vo. Vol. I., half morocco, 1*l.* 16*s.*

Vol. II. No. 1. *Just Published.*

*Burdon-Sanderson (J., M.D., F.R.SS. L. and E.). Translations of Foreign Biological Memoirs.* I. Memoirs on the Physiology of Nerve, of Muscle, and of the Electrical Organ. Medium 8vo. 21*s.*

*De Bary (Dr. A.). Comparative Anatomy of the Vegetative Organs of the Phanerogams and Ferns.* Translated and Annotated by F. O. Bower, M.A., F.L.S., and D. H. Scott, M.A., Ph.D., F.L.S. With 241 woodcuts and an Index. Royal 8vo., half morocco, 1*l.* 2*s.* 6*d.*

Digitized by Google

*De Bary (Dr. A.) Comparative Morphology and Biology of the Fungi Mycetozoa and Bacteria.* Authorised English Translation by Henry E. F. Garnsey, M.A. Revised by Isaac Bayley Balfour, M.A., M.D., F.R.S. With 198 Woodcuts. Royal 8vo., half morocco, 1*l*. 2*s*. 6*d*.

—— *Lectures on Bacteria.* Second improved edition. Authorised translation by H. E. F. Garnsey, M.A. Revised by Isaac Bayley Balfour, M.A., M.D., F.R.S. With 20 Woodcuts. Crown 8vo. 6*s*.

*Goebel (Dr. K.). Outlines of Classification and Special Morphology of Plants.* A New Edition of Sachs' Text Book of Botany, Book II. English Translation by H. E. F. Garnsey, M.A. Revised by I. Bayley Balfour, M.A., M.D., F.R.S. With 407 Woodcuts. Royal 8vo. half morocco, 21*s*.

*Müller (J.). On certain Variations in the Vocal Organs of the Passeres that have hitherto escaped notice.* Translated by F. J. Bell, B.A., and edited, with an Appendix, by A. H. Garrod, M.A., F.R.S. With Plates. 1878. 4to. paper covers, 7*s*. 6*d*.

*Price (Bartholomew, M.A., F.R.S.). Treatise on Infinitesimal Calculus.*

Vol. I. Differential Calculus. Second Edition. 8vo. 14*s*. 6*d*.

Vol. II. Integral Calculus, Calculus of Variations, and Differential Equations. Second Edition, 1865. 8vo. 18*s*.

Vol. III. Statics, including Attractions; Dynamics of a Material Particle. Second Edition, 1868. 8vo. 16*s*.

Vol. IV. Dynamics of Material Systems; together with a chapter on Theoretical Dynamics, by W. F. Donkin, M.A., F.R.S. 1862. 8vo. 16*s*.

*Pritchard (C., D.D., F.R.S.). Uranometria Nova Oxoniensis.* A Photometric determination of the magnitudes of all Stars visible to the naked eye, from the Pole to ten degrees south of the Equator. 1885. Royal 8vo. *s*. 6*d*.

—— *Astronomical Observations* made at the University Observatory, Oxford, under the direction of C. Pritchard, D.D. No. 1. 1878. Royal 8vo. paper covers, 3*s*. 6*d*.

*Rigaud's Correspondence of Scientific Men of the 17th Century,* with Table of Contents by A. de Morgan, and Index by the Rev. J. Rigaud, M.A. 2 vols. 1841–1862. 8vo. 18*s*. 6*d*.

*Rolleston (George, M.D., F.R.S.). Forms of Animal Life.* A Manual of Comparative Anatomy, with descriptions of selected types. Second Edition. Revised and enlarged by W. Hatchett Jackson, M.A. Medium, 8vo. cloth extra, 1*l*. 16*s*.

—— *Scientific Papers and Addresses.* Arranged and Edited by William Turner, M.B., F.R.S. With a Biographical Sketch by Edward Tylor, F.R.S. With Portrait, Plates, and Woodcuts. 2 vols. 8vo. 1*l*. 4*s*.

*Sachs (Julius von). Lectures on the Physiology of Plants.* Translated by H. Marshall Ward, M.A. With 445 Woodcuts. Royal 8vo. half morocco, 1*l*. 11*s*. 6*d*.

Digitized by Google

*Westwood (J. O., M.A., F.R.S.).* *Thesaurus Entomologicus Hopeianus*, or a Description of the rarest Insects in the Collection given to the University by the Rev. William Hope. With 40 Plates. 1874. Small folio, half morocco, 7*l.* 10*s.*

## The Sacred Books of the East.

TRANSLATED BY VARIOUS ORIENTAL SCHOLARS, AND EDITED BY F. MAX MÜLLER.

[Demy 8vo. cloth.]

Vol. I. The Upanishads. Translated by F. Max Müller. Part I. The *Kh*ândogya-upanishad, The Talavakâra-upanishad, The Aitareya-âra*n*yaka, The Kaushîtaki-brâhma*n*a-upanishad, and The Vâ*g*asaneyi-sa*m*hitâ-upanishad. 10*s.* 6*d.*

Vol. II. The Sacred Laws of the Âryas, as taught in the Schools of Âpastamba, Gautama, Vâsish*th*a, and Baudhâyana. Translated by Prof. Georg Bühler. Part I. Âpastamba and Gautama. 10*s.* 6*d.*

Vol. III. The Sacred Books of China. The Texts of Confucianism. Translated by James Legge. Part I. The Shû King, The Religious portions of the Shih King, and The Hsiâo King. 12*s.* 6*d.*

Vol. IV. The Zend-Avesta. Translated by James Darmesteter. Part I. The Vendîdâd. 10*s.* 6*d.*

Vol. V. The Pahlavi Texts. Translated by E. W. West. Part I. The Bundahi*s*, Bahman Ya*s*t, and Shâyast lâ-shâyast. 12*s.* 6*d.*

Vols. VI and IX. The Qur'ân. Parts I and II. Translated by E. H. Palmer. 21*s.*

Vol. VII. The Institutes of Vish*n*u. Translated by Julius Jolly. 10*s.* 6*d.*

Vol. VIII. The Bhagavadgîtâ, with The Sanatsu*g*âtîya, and The Anugîtâ. Translated by Kâshinâth Trimbak Telang. 10*s.* 6*d.*

Vol. X. The Dhammapada, translated from Pâli by F. Max Müller; and The Sutta-Nipâta, translated from Pâli by V. Fausböll; being Canonical Books of the Buddhists. 10*s.* 6*d.*

Digitized by Google

**Vol. XI. Buddhist Suttas.** Translated from Pâli by T. W. Rhys Davids. 1. The Mahâparinibbâna Suttanta; 2. The Dhamma-*k*akka-ppavattana Sutta; 3. The Tevigga Suttanta; 4. The Akankheyya Sutta; 5. The *K*etokhila Sutta; 6. The Mahâ-sudassana Suttanta; 7. The Sabbâsava Sutta. 10*s*. 6*d*.

**Vol. XII. The *S*atapatha-Brâhma*n*a,** according to the Text of the Mâdhyandina School. Translated by Julius Eggeling. Part I. Books I and II. 12*s*. 6*d*.

**Vol. XIII. Vinaya Texts.** Translated from the Pâli by T. W. Rhys Davids and Hermann Oldenberg. Part I. The Pâtimokkha. The Mahâvagga, I-IV. 10*s*. 6*d*.

**Vol. XIV. The Sacred Laws of the Âryas,** as taught in the Schools of Âpastamba, Gautama, Vâsish*th*a and Baudhâyana. Translated by Georg Bühler. Part II. Vâsish*th*a and Baudhâyana. 10*s*. 6*d*.

**Vol. XV. The Upanishads.** Translated by F. Max Müller. Part II. The Ka*th*a-upanishad, The Mu*nd*aka-upanishad, The Taittirîyaka-upanishad, The B*ri*hadâra*n*yaka-upanishad, The *S*vetasvatara-upanishad, The Pras*n*a-upanishad, and The Maitrâya*n*a-Brâhma*n*a-upanishad. 10*s*. 6*d*.

**Vol. XVI. The Sacred Books of China.** The Texts of Confucianism. Translated by James Legge. Part II. The Yî King. 10*s*. 6*d*.

**Vol. XVII. Vinaya Texts.** Translated from the Pâli by T. W. Rhys Davids and Hermann Oldenberg. Part II. The Mahâvagga, V-X. The *K*ullavagga, I-III. 10*s*. 6*d*.

**Vol. XVIII. Pahlavi Texts.** Translated by E. W. West. Part II. The Dâ*d*istân-î Dînîk and The Epistles of Mânûs*k*îhar. 12*s*. 6*d*.

**Vol. XIX. The Fo-sho-hing-tsan-king.** A Life of Buddha by Asvaghosha Bodhisattva, translated from Sanskrit into Chinese by Dharmaraksha, A.D. 420, and from Chinese into English by Samuel Beal. 10*s*. 6*d*.

**Vol. XX. Vinaya Texts.** Translated from the Pâli by T. W. Rhys Davids and Hermann Oldenberg. Part III. The *K*ullavagga, IV-XII. 10*s*. 6*d*.

**Vol. XXI. The Saddharma-pu*nd*arîka;** or, the Lotus of the True Law. Translated by H. Kern. 12*s*. 6*d*.

**Vol. XXII. *G*aina-Sûtras.** Translated from Prâkrit by Hermann Jacobi. Part I. The Â*k*ârâṅga-Sûtra. The Kalpa-Sûtra. 10*s*. 6*d*.

Digitized by Google

Vol. XXIII. The Zend-Avesta. Translated by James Darmesteter. Part II. The Sîrôzahs, Yasts, and Nyâyis. 10*s.* 6*d.*

Vol. XXIV. Pahlavi Texts. Translated by E. W. West. Part III. Dînâ-î Maînôg-î Khirad, *S*ikand-gûmânîk, and Sad-Dar. 10*s.* 6*d.*

**Second Series.**

Vol. XXV. Manu. Translated by Georg Bühler. 21*s.*

Vol. XXVI. The *S*atapatha-Brâhma*n*a. Translated by Julius Eggeling. Part II. 12*s.* 6*d.*

Vols. XXVII and XXVIII. The Sacred Books of China. The Texts of Confucianism. Translated by James Legge. Parts III and IV. The Lî *K*î, or Collection of Treatises on the Rules of Propriety, or Ceremonial Usages. 25*s.*

Vols. XXIX and XXX. The G*ri*hya-Sûtras, Rules of Vedic Domestic Ceremonies. Translated by Hermann Oldenberg.

Part I (Vol. XXIX), 12*s.* 6*d.* *Just Published.*
Part II (Vol. XXX). *In the Press.*

Vol. XXXI. The Zend-Avesta. Part III. The Yasna, Visparad, Âfrînagân, and Gâhs. Translated by L. H. Mills. 12*s.* 6*d.*

The following Volumes are in the Press:—

Vol. XXXII. Vedic Hymns. Translated by F. Max Müller. Part I.

Vol. XXXIII. Nârada, and some Minor Law-books. Translated by Julius Jolly. [*Preparing.*]

Vol. XXXIV. The Vedânta-Sûtras, with *S*ankara's Commentary. Translated by G. Thibaut. [*Preparing.*]

*** *The Second Series will consist of Twenty-Four Volumes.*

Digitized by Google

# Clarendon Press Series.

## I. ENGLISH, &c.

*An Elementary English Grammar and Exercise Book.* By O. W. Tancock, M.A. Second Edition. Extra fcap. 8vo. 1*s.* 6*d.*

*An English Grammar and Reading Book*, for Lower Forms in Classical Schools. By O. W. Tancock, M.A. Fourth Edition. Extra fcap. 8vo. 3*s.* 6*d.*

*Typical Selections from the best English Writers*, with Introductory Notices. Second Edition. In 2 vols. Extra fcap. 8vo. 3*s.* 6*d.* each.
Vol. I. Latimer to Berkeley. Vol. II. Pope to Macaulay.

*Shairp (J. C., LL.D.). Aspects of Poetry;* being Lectures delivered at Oxford. Crown 8vo. 10*s.* 6*d.*

---

*A Book for the Beginner in Anglo-Saxon.* By John Earle, M.A. Third Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

*An Anglo-Saxon Reader.* In Prose and Verse. With Grammatical Introduction, Notes, and Glossary. By Henry Sweet, M.A. Fourth Edition, Revised and Enlarged. Extra fcap. 8vo. 8*s.* 6*d.*

*A Second Anglo-Saxon Reader.* By the same Author. Extra fcap. 8vo. 4*s.* 6*d.*

*An Anglo-Saxon Primer, with Grammar, Notes, and Glossary.* By the same Author. Second Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

*Old English Reading Primers;* edited by Henry Sweet, M.A.
I. Selected Homilies of Ælfric. Extra fcap. 8vo., stiff covers, 1*s.* 6*d.*
II. Extracts from Alfred's Orosius. Extra fcap. 8vo., stiff covers, 1*s.* 6*d.*

*First Middle English Primer, with Grammar and Glossary.* By the same Author. Extra fcap. 8vo. 2*s.*

*Second Middle English Primer.* Extracts from Chaucer, with Grammar and Glossary. By the same Author. Extra fcap. 8vo. 2*s.*

*A Concise Dictionary of Middle English*, from A.D. 1150 to 1580. By A. L. Mayhew, M.A., and W. W. Skeat, Litt.D. Crown 8vo. half roan, 7*s.* 6*d.*

*A Handbook of Phonetics*, including a Popular Exposition of the Principles of Spelling Reform. By H. Sweet, M.A. Ext. fcap. 8vo. 4*s.* 6*d.*



Digitized by Google

*Elementarbuch des Gesprochenen Englisch.* Grammatik, Texte und Glossar. Von Henry Sweet. *Second Edition.* Extra fcap. 8vo., stiff covers, 2s. 6d.

*History of English Sounds from the earliest Period.* With full Word-Lists. By Henry Sweet, M.A. Demy 8vo. 14s.

*Principles of English Etymology.* First Series. *The Native Element.* By W. W. Skeat, Litt.D. Crown 8vo. 9s.

*The Philology of the English Tongue.* By J. Earle, M.A. Fourth Edition. Extra fcap. 8vo. 7s. 6d.

*An Icelandic Primer*, with Grammar, Notes, and Glossary. By Henry Sweet, M.A. Extra fcap. 8vo. 3s. 6d.

*An Icelandic Prose Reader*, with Notes, Grammar, and Glossary. By G. Vigfússon, M.A., and F. York Powell, M.A. Ext. fcap. 8vo. 10s. 6d.

*The Ormulum;* with the Notes and Glossary of Dr. R. M. White. Edited by R. Holt, M.A. 1878. 2 vols. Extra fcap. 8vo. 21s.

*Specimens of Early English.* A New and Revised Edition. With Introduction, Notes, and Glossarial Index.

Part I. By R. Morris, LL.D. From Old English Homilies to King Horn (A.D. 1150 to A.D. 1300). Second Edition. Extra fcap. 8vo. 9s.

Part II. By R. Morris, LL.D., and W. W. Skeat, Litt.D. From Robert of Gloucester to Gower (A.D. 1298 to A.D. 1393). Third Edition. Extra fcap. 8vo. 7s. 6d.

*Specimens of English Literature*, from the 'Ploughmans Crede' to the 'Shepheardes Calender' (A.D. 1394 to A.D. 1579). With Introduction, Notes, and Glossarial Index. By W. W. Skeat, Litt.D. Fourth Edition. Extra fcap. 8vo. 7s. 6d.

---

*The Vision of William concerning Piers the Plowman*, in three Parallel Texts; together with *Richard the Redeless.* By William Langland (about 1362–1399 A.D.). Edited from numerous Manuscripts, with Preface, Notes, and a Glossary, by W. W. Skeat, Litt.D. 2 vols. 8vo. 31s. 6d.

*The Vision of William concerning Piers the Plowman*, by William Langland. Edited, with Notes, by W. W. Skeat, Litt.D. Fourth Edition Extra fcap. 8vo. 4s. 6d.

*Chaucer.* I. *The Prologue to the Canterbury Tales;* the Knightes Tale; The Nonne Prestes Tale. Edited by R. Morris, LL.D. Sixty-sixth thousand. Extra fcap. 8vo. 2s. 6d.

—— II. *The Prioresses Tale; Sir Thopas; The Monkes Tale; The Clerkes Tale; The Squieres Tale,* &c. Edited by W. W. Skeat, Litt.D. Third Edition. Extra fcap. 8vo. 4s. 6d.

Digitized by Google

*Chaucer.* III. *The Tale of the Man of Lawe;* The Pardoneres Tale; The Second Nonnes Tale; The Chanouns Yemannes Tale. By the same Editor. *New Edition, Revised.* Extra fcap. 8vo. 4*s.* 6*d.*

—— IV. *Minor Poems.* By the same Editor. Extra fcap. 8vo. *Just ready.*

*Gamelyn, The Tale of.* Edited with Notes, Glossary, &c., by W. W. Skeat, Litt.D. Extra fcap. 8vo. Stiff covers, 1*s.* 6*d.*

*Minot (Laurence). Poems.* Edited, with Introduction and Notes, by Joseph Hall, M.A., Head Master of the Hulme Grammar School, Manchester. Extra fcap. 8vo. 4*s.* 6*d.*

*Spenser's Faery Queene.* Books I and II. Designed chiefly for the use of Schools. With Introduction and Notes by G. W. Kitchin, D.D., and Glossary by A. L. Mayhew, M.A. Extra fcap. 8vo. 2*s.* 6*d.* each.

*Hooker. Ecclesiastical Polity, Book I.* Edited by R. W. Church, M.A. Second Edition. Extra fcap. 8vo. 2*s.*

## *OLD ENGLISH DRAMA.*

*The Pilgrimage to Parnassus* with *The Two Parts of the Return from Parnassus.* Three Comedies performed in St. John's College, Cambridge, A.D. MDXCVII–MDCI. Edited from MSS. by the Rev. W. D. Macray, M.A., F.S.A. Medium 8vo. Bevelled Boards, Gilt top, 8*s.* 6*d.*

*Marlowe and Greene. Marlowe's Tragical History of Dr. Faustus,* and *Greene's Honourable History of Friar Bacon and Friar Bungay.* Edited by A. W. Ward, M.A. *New and Enlarged Edition.* Extra fcap. 8vo. 6*s.* 6*d.*

*Marlowe. Edward II.* With Introduction, Notes, &c. By O. W. Tancock, M.A. Extra fcap. 8vo. Paper covers, 2*s.* Cloth 3*s.*

## *SHAKESPEARE.*

*Shakespeare.* Select Plays. Edited by W. G. Clark, M.A., and W. Aldis Wright, M.A. Extra fcap. 8vo. stiff covers.

| | |
|---|---|
| The Merchant of Venice. 1*s.* | Macbeth. 1*s.* 6*d.* |
| Richard the Second. 1*s.* 6*d.* | Hamlet. 2*s.* |

Edited by W. Aldis Wright, M.A.

| | |
|---|---|
| The Tempest. 1*s.* 6*d.* | Midsummer Night's Dream. 1*s.* 6*d.* |
| As You Like It. 1*s.* 6*d.* | Coriolanus. 2*s.* 6*d.* |
| Julius Cæsar. 2*s.* | Henry the Fifth. 2*s.* |
| Richard the Third. 2*s.* 6*d.* | Twelfth Night. 1*s.* 6*d.* |
| King Lear. 1*s.* 6*d.* | King John. 1*s.* 6*d.* |

*Shakespeare as a Dramatic Artist;* a popular Illustration of the Principles of Scientific Criticism. By R. G. Moulton, M.A. Crown 8vo. 5*s.*



Digitized by Google

*Bacon.* I. *Advancement of Learning.* Edited by W. Aldis Wright, M.A. Third Edition. Extra fcap. 8vo. 4*s.* 6*d.*

—— II. *The Essays.* With Introduction and Notes. By S. H. Reynolds, M.A., late Fellow of Brasenose College. *In Preparation.*

*Milton.* I. *Areopagitica.* With Introduction and Notes. By John W. Hales, M.A. Third Edition. Extra fcap. 8vo. 3*s.*

—— II. *Poems.* Edited by R. C. Browne, M.A. 2 vols. Fifth Edition. Extra fcap. 8vo. 6*s.* 6*d.* Sold separately, Vol. I. 4*s.*; Vol. II. 3*s.*

**In paper covers:—**

Lycidas, 3*d.* L'Allegro, 3*d.* Il Penseroso, 4*d.* Comus, 6*d.*

—— III. *Paradise Lost.* Book I. Edited by H. C. Beeching. Extra fcap. 8vo. stiff cover, 1*s.* 6*d.*; in white Parchment, 3*s.* 6*d.*

—— IV. *Samson Agonistes.* Edited with Introduction and Notes by John Churton Collins. Extra fcap. 8vo. stiff covers, 1*s.*

*Bunyan.* I. *The Pilgrim's Progress, Grace Abounding, Relation of the Imprisonment of Mr. John Bunyan.* Edited, with Biographical Introduction and Notes, by E. Venables, M.A. 1879. Extra fcap. 8vo. 5*s.* In ornamental Parchment, 6*s.*

—— II. *Holy War, &c.* Edited by E. Venables, M.A. In the Press.

*Clarendon. History of the Rebellion. Book VI.* Edited by T. Arnold, M.A. Extra fcap. 8vo. 4*s.* 6*d.*

*Dryden. Select Poems.* Stanzas on the Death of Oliver Cromwell; Astræa Redux; Annus Mirabilis; Absalom and Achitophel; Religio Laici; The Hind and the Panther. Edited by W. D. Christie, M.A. Second Edition. Extra fcap. 8vo. 3*s.* 6*d.*

*Locke's Conduct of the Understanding.* Edited, with Introduction, Notes, &c., by T. Fowler, D.D. Second Edition. Extra fcap. 8vo. 2*s.*

*Addison. Selections from Papers in the Spectator.* With Notes. By T. Arnold, M.A. Extra fcap. 8vo. 4*s.* 6*d.* In ornamental Parchment, 6*s.*

*Steele. Selections from the Tatler, Spectator, and Guardian.* Edited by Austin Dobson. Extra fcap. 8vo. 4*s.* 6*d.* In white Parchment, 7*s.* 6*d.*

*Pope.* With Introduction and Notes. By Mark Pattison, B.D.

—— I. *Essay on Man.* Extra fcap. 8vo. 1*s.* 6*d.*

—— II. *Satires and Epistles.* Extra fcap. 8vo. 2*s.*

*Parnell. The Hermit.* Paper covers, 2*d.*

*Gray. Selected Poems.* Edited by Edmund Gosse. Extra fcap. 8vo. Stiff covers, 1*s.* 6*d.* In white Parchment, 3*s.*

—— *Elegy and Ode on Eton College.* Paper covers, 2*d.*

Digitized by Google

*Goldsmith. Selected Poems.* Edited, with Introduction and Notes, by Austin Dobson. Extra fcap. 8vo. 3*s*. 6*d*. In white Parchment, 4*s*. 6*d*.

—— *The Traveller.* With Notes by G. Birkbeck Hill, D.C.L. Extra fcap. 8vo. Paper covers, 1*s*.

—— *The Deserted Village.* Paper covers, 2*d*.

*Johnson.* I. *Rasselas.* Edited, with Introduction and Notes, by G. Birkbeck Hill, D.C.L. Extra fcap. 8vo. Bevelled boards, 3*s*. 6*d*. In white Parchment, 4*s*. 6*d*.

—— II. *Rasselas; Lives of Dryden and Pope.* Edited by Alfred Milnes, M.A. (London). Extra fcap. 8vo. 4*s*. 6*d*.

*Lives of Dryden and Pope.* Stiff covers, 2*s*. 6*d*.

—— III. *Life of Milton.* Edited, with Notes, etc., by C. H. Firth, M.A. Extra fcap. 8vo. *cloth*, 2*s*. 6*d*. *Stiff cover*, 1*s*. 6*d*.

—— IV. *Vanity of Human Wishes.* With Notes, by E. J. Payne, M.A. Paper covers, 4*d*.

—— V. *Wit and Wisdom of Samuel Johnson.* Edited by G. Birkbeck Hill, D.C.L. Crown 8vo. 7*s*. 6*d*.

—— VI. *Boswell's Life of Johnson. With the Journal of a Tour to the Hebrides.* Edited, with copious Notes, Appendices, and Index, by G. Birkbeck Hill, D.C.L., Pembroke College. With Portraits and Facsimiles. 6 vols. Medium 8vo. *Half bound*, 3*l*. 3*s*.

*Cowper.* Edited, with Life, Introductions, and Notes, by H. T. Griffith, B.A.

—— I. *The Didactic Poems of* 1782, with Selections from the Minor Pieces, A.D. 1779–1783. Extra fcap. 8vo. 3*s*.

—— II. *The Task, with Tirocinium,* and Selections from the Minor Poems, A.D. 1784–1799. Second Edition. Extra fcap. 8vo. 3*s*.

*Burke. Select Works.* Edited, with Introduction and Notes, by E. J. Payne, M.A.

—— I. *Thoughts on the Present Discontents; the two Speeches on America.* Second Edition. Extra fcap. 8vo. 4*s*. 6*d*.

—— II. *Reflections on the French Revolution.* Second Edition. Extra fcap. 8vo. 5*s*.

—— III. *Four Letters on the Proposals for Peace with the Regicide Directory of France.* Second Edition. Extra fcap. 8vo. 5*s*.

*Keats. Hyperion,* Book I. With Notes by W. T. Arnold, B.A. Paper covers, 4*d*.

*Byron. Childe Harold.* Edited, with Introduction and Notes, by H. F. Tozer, M.A. Extra fcap. 8vo. 3*s*. 6*d*. In white Parchment, 5*s*.

Digitized by Google

*Scott. Lay of the Last Minstrel.* Edited with Preface and Notes by W. Minto, M.A. With Map. Extra fcap. 8vo. Stiff covers, 2*s.* Ornamental Parchment, 3*s.* 6*d.*

—— *Lay of the Last Minstrel.* Introduction and Canto I, with Preface and Notes, by the same Editor. 6*d.*

## II. LATIN.

*Rudimenta Latina.* Comprising Accidence, and Exercises of a very Elementary Character, for the use of Beginners. By John Barrow Allen, M.A. Extra fcap. 8vo. 2*s.*

*An Elementary Latin Grammar.* By the same Author. Fifty-Seventh Thousand. Extra fcap. 8vo. 2*s.* 6*d.*

*A First Latin Exercise Book.* By the same Author. Fourth Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

*A Second Latin Exercise Book.* By the same Author. Extra fcap. 8vo. 3*s.* 6*d.*

A Key to First and Second Latin Exercise Books, in one volume, price 5*s.* Supplied to *Teachers only* on application to the Secretary of the Clarendon Press.

*Reddenda Minora,* or Easy Passages, Latin and Greek, for Unseen Translation. For the use of Lower Forms. Composed and selected by C. S. Jerram, M.A. Extra fcap. 8vo. 1*s.* 6*d.*

*Anglice Reddenda,* or Extracts, Latin and Greek, for Unseen Translation. By C. S. Jerram, M.A. Third Edition, Revised and Enlarged. Extra fcap. 8vo. 2*s.* 6*d.*

*Anglice Reddenda.* Second Series. By the same Author. Extra fcap. 8vo. 3*s.*

*Passages for Translation into Latin.* For the use of Passmen and others. Selected by J. Y. Sargent, M.A. Seventh Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

*Exercises in Latin Prose Composition;* with Introduction, Notes and Passages of Graduated Difficulty for Translation into Latin. By G. G. Ramsay, M.A., LL.D. Second Edition. Extra fcap. 8vo. 4*s.* 6*d.*

*Hints and Helps for Latin Elegiacs.* By H. Lee-Warner, M.A. Extra fcap. 8vo. 3*s.* 6*d.*

*First Latin Reader.* By T. J. Nunns, M.A. Third Edition. Extra fcap. 8vo. 2*s.*

*Caesar. The Commentaries* (for Schools). With Notes and Maps. By Charles E. Moberly, M.A.

*The Gallic War.* Second Edition. Extra fcap. 8vo. 4*s.* 6*d.*
*The Gallic War.* Books I, II. Extra fcap. 8vo. 2*s.*
*The Civil War.* Extra fcap. 8vo. 3*s.* 6*d.*
*The Civil War.* Book I. Second Edition. Extra fcap. 8vo. 2*s.*

Digitized by Google

*Cicero.* *Speeches against Catilina.* By E. A. Upcott, M.A., Assistant Master in Wellington College. In one or two Parts. Extra fcap. 8vo. 2*s.* 6*d.*

—— *Selection of interesting and descriptive passages.* With Notes. By Henry Walford, M.A. In three Parts. Extra fcap. 8vo. 4*s.* 6*d.*

Each Part separately, limp, 1*s.* 6*d.*

Part I. Anecdotes from Grecian and Roman History. Third Edition.
Part II. Omens and Dreams: Beauties of Nature. Third Edition.
Part III. Rome's Rule of her Provinces. Third Edition.

—— *De Senectute.* Edited, with Introduction and Notes, by L. Huxley, M.A. In one or two Parts. Extra fcap. 8vo. 2*s.*

—— *Selected Letters* (for Schools). With Notes. By the late C. E. Prichard, M.A., and E. R. Bernard, M.A. Second Edition. Extra fcap. 8vo. 3*s.*

—— *Select Orations* (for Schools). In Verrem I. De Imperio Gn. Pompeii. Pro Archia. Philippica IX. With Introduction and Notes by J. R. King, M.A. Second Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

—— *In Q. Caecilium Divinatio*, and *In C. Verrem Actio Prima.* With Introduction and Notes, by J. R. King, M.A. Extra fcap. 8vo. limp, 1*s.* 6*d.*

—— *Speeches against Catilina.* With Introduction and Notes, by E. A. Upcott, M.A. In one or two Parts. Extra fcap. 8vo. 2*s.* 6*d.*

*Cornelius Nepos.* With English Notes. By Oscar Browning, M.A. Third Edition. Revised by W. R. Inge, M.A. (In one or two Parts.) Extra fcap. 8vo. 3*s.*

*Horace.* *Selected Odes.* With Notes for the use of a Fifth Form. By E. C. Wickham, M.A. In one or two Parts. Extra fcap. 8vo. *cloth*, 2*s.*

*Livy.* *Selections* (for Schools). With Notes and Maps. By H. Lee-Warner, M.A. Extra fcap. 8vo. In Parts, limp, each 1*s.* 6*d.*

Part I. The Caudine Disaster. Part II. Hannibal's Campaign in Italy. Part III. The Macedonian War.

—— Books V–VII. With Introduction and Notes. By A. R. Cluer, B.A. Second Edition. Revised by P. E. Matheson, M.A. (In one or two Parts.) Extra fcap. 8vo. 5*s.*

—— Books XXI, XXII, and XXIII. With Introduction and Notes. By M. T. Tatham, M.A. Extra fcap. 8vo. 4*s.* 6*d.*

—— Book XXII. By the same Editor. Extra fcap. 8vo. 2*s.* 6*d.*

*Ovid.* Selections for the use of Schools. With Introductions and Notes, and an Appendix on the Roman Calendar. By W. Ramsay, M.A. Edited by G. G. Ramsay, M.A. Third Edition. Extra fcap. 8vo. 5*s.* 6*d.*

Digitized by Google

*Ovid. Tristia.* Book I. The Text revised, with an Introduction and Notes. By S. G. Owen, B.A. Extra fcap. 8vo. 3*s*. 6*d*.

*Plautus. Captivi.* Edited by W. M. Lindsay, M.A. Extra fcap. 8vo. (In one or two Parts.) 2*s*. 6*d*.

—— *The Trinummus.* With Notes and Introductions. (Intended for the Higher Forms of Public Schools.) By C. E. Freeman, M.A., and A. Sloman, M.A. Extra fcap. 8vo. 3*s*.

*Pliny. Selected Letters* (for Schools). With Notes. By the late C. E. Prichard, M.A., and E. R. Bernard, M.A. Extra fcap. 8vo. 3*s*.

*Sallust.* With Introduction and Notes. By W. W. Capes, M.A. Extra fcap. 8vo. 4*s*. 6*d*.

*Tacitus. The Annals.* Books I–IV. Edited, with Introduction and Notes (for the use of Schools and Junior Students), by H. Furneaux, M.A. Extra fcap. 8vo. 5*s*.

—— *The Annals.* Book I. With Introduction and Notes, by the same Editor. Extra fcap. 8vo. limp, 2*s*.

*Terence. Andria.* With Notes and Introductions. By C. E. Freeman, M.A., and A. Sloman, M.A. Extra fcap. 8vo. 3*s*.

—— *Adelphi.* With Notes and Introductions. (Intended for the Higher Forms of Public Schools.) By A. Sloman, M.A. Extra fcap. 8vo. 3*s*.

—— *Phormio.* With Notes and Introductions. By A. Sloman, M.A. Extra fcap. 8vo. 3*s*.

*Tibullus and Propertius. Selections.* Edited by G. G. Ramsay, M.A. Extra fcap. 8vo. (In one or two vols.) 6*s*.

*Virgil.* With Introduction and Notes. By T. L. Papillon, M.A. Two vols. Crown 8vo. 10*s*. 6*d*. The Text separately, 4*s*. 6*d*.

—— *Bucolics.* Edited by C. S. Jerram, M.A. In one or two Parts. Extra fcap. 8vo. 2*s*. 6*d*.

—— *Aeneid* I. With Introduction and Notes, by C. S. Jerram, M.A. Extra fcap. 8vo. limp, 1*s*. 6*d*.

—— *Aeneid* IX. Edited, with Introduction and Notes, by A. E. Haigh, M.A., late Fellow of Hertford College, Oxford. Extra fcap. 8vo. limp, 1*s*. 6*d*. In two Parts, 2*s*.

---

*Avianus, The Fables of.* Edited, with Prolegomena, Critical Apparatus, Commentary, etc. By Robinson Ellis, M.A., LL.D. Demy 8vo. 8*s*. 6*d*.

*Catulli Veronensis Liber.* Iterum recognovit, apparatum criticum prolegomena appendices addidit, Robinson Ellis, A.M. 1878. Demy 8vo. 16*s*.

—— *A Commentary on Catullus.* By Robinson Ellis, M.A. 1876. Demy 8vo. 16*s*.

Digitized by Google

*Catulli Veronensis Carmina Selecta,* secundum recognitionem Robinson Ellis, A.M. Extra fcap. 8vo. 3*s.* 6*d.*

*Cicero de Oratore.* With Introduction and Notes. By A. S. Wilkins, Litt. D.
Book I. Second Edition. 1888. 8vo. 7*s.* 6*d.* Book II. 1881. 8vo. 5*s.*

—— *Philippic Orations.* With Notes. By J. R. King, M.A. Second Edition. 1879. 8vo. 10*s.* 6*d.*

—— *Select Letters.* With English Introductions, Notes, and Appendices. By Albert Watson, M.A. Third Edition. Demy 8vo. 18*s.*

—— *Select Letters.* Text. By the same Editor. Second Edition. Extra fcap. 8vo. 4*s.*

—— *pro Cluentio.* With Introduction and Notes. By W. Ramsay, M.A. Edited by G. G. Ramsay, M.A. 2nd Ed. Ext. fcap. 8vo. 3*s.* 6*d.*

*Horace.* With a Commentary. Volume I. The Odes, Carmen Seculare, and Epodes. By Edward C. Wickham, M.A. Second Edition. 1877. Demy 8vo. 12*s.*

—— A reprint of the above, in a size suitable for the use of Schools. In one or two Parts. Extra fcap. 8vo. 6*s.*

*Livy,* Book I. With Introduction, Historical Examination, and Notes. By J. R. Seeley, M.A. Second Edition. 1881. 8vo. 6*s.*

*Ovid. P. Ovidii Nasonis Ibis.* Ex Novis Codicibus edidit, Scholia Vetera Commentarium cum Prolegomenis Appendice Indice addidit, R. Ellis, A.M. 8vo. 10*s.* 6*d.*

*Persius. The Satires.* With a Translation and Commentary. By John Conington, M.A. Edited by Henry Nettleship, M.A. Second Edition. 1874. 8vo. 7*s.* 6*d.*

*Juvenal. XIII Satires.* Edited, with Introduction and Notes, by C. H. Pearson, M.A., and Herbert A. Strong, M.A., LL.D., Professor of Latin in Liverpool University College, Victoria University. In two Parts. Crown 8vo. Complete, 6*s.*

*Also separately,* Part I. Introduction, Text, etc., 3*s.* Part II. Notes, 3*s.* 6*d.*

*Tacitus. The Annals.* Books I–VI. Edited, with Introduction and Notes, by H. Furneaux, M.A. 8vo. 18*s.*

---

*King (J. E., M.A.) and C. Cookson, M.A. The Principles of Sound and Inflexion,* as illustrated in the Greek and Latin Languages. 1888. 8vo. 18*s.*

*Nettleship (H., M.A.). Lectures and Essays* on Subjects connected with Latin Scholarship and Literature. Crown 8vo. 7*s.* 6*d.*

—— *The Roman Satura.* 8vo. sewed, 1*s.*

—— *Ancient Lives of Vergil.* 8vo. sewed, 2*s.*

Digitized by Google

*Papillon (T. L., M.A.). A Manual of Comparative Philology.* Third Edition, Revised and Corrected. 1882. Crown 8vo. 6*s.*

*Pinder (North, M.A.). Selections from the less known Latin* Poets. 1869. 8vo. 15*s.*

*Sellar (W. Y., M.A.). Roman Poets of the Augustan Age.* VIRGIL. New Edition. 1883. Crown 8vo. 9*s.*

—— *Roman Poets of the Republic.* New Edition, Revised and Enlarged. 1881. 8vo. 14*s.*

*Wordsworth (J., M.A.). Fragments and Specimens of Early* Latin. With Introductions and Notes. 1874. 8vo. 18*s.*

## III. GREEK.

*A Greek Primer*, for the use of beginners in that Language. By Charles Wordsworth, D.C.L. Seventh Edition. Extra fcap. 8vo. 1*s.* 6*d.*

*A Greek Testament Primer.* An Easy Grammar and Reading Book for the use of Students beginning Greek. By the Rev. E. Miller, M.A. Extra fcap. 8vo. 3*s.* 6*d.*

*Easy Greek Reader.* By Evelyn Abbott, M.A. In one or two Parts. Extra fcap. 8vo. 3*s.*

*Graecae Grammaticae Rudimenta* in usum Scholarum. Auctore Carolo Wordsworth, D.C.L. Nineteenth Edition, 1882. 12mo. 4*s.*

*A Greek-English Lexicon*, abridged from Liddell and Scott's 4to. edition, chiefly for the use of Schools. Twenty-first Edition. 1886. Square 12mo. 7*s.* 6*d.*

*Greek Verbs, Irregular and Defective.* By W. Veitch. Fourth Edition. Crown 8vo. 10*s.* 6*d.*

*The Elements of Greek Accentuation* (for Schools): abridged from his larger work by H. W. Chandler, M.A. Extra fcap. 8vo. 2*s.* 6*d.*

A SERIES OF GRADUATED GREEK READERS:—

*First Greek Reader.* By W. G. Rushbrooke, M.L. Second Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

*Second Greek Reader.* By A. M. Bell, M.A. Extra fcap. 8vo. 3*s.* 6*d.*

*Fourth Greek Reader; being Specimens of Greek Dialects.* With Introductions, etc. By W. W. Merry, D.D. Extra fcap. 8vo. 4*s.* 6*d.*

*Fifth Greek Reader.* Selections from Greek Epic and Dramatic Poetry, with Introductions and Notes. By Evelyn Abbott, M.A. Extra fcap. 8vo. 4*s.* 6*d.*

*The Golden Treasury of Ancient Greek Poetry:* being a Collection of the finest passages in the Greek Classic Poets, with Introductory Notices and Notes. By R. S. Wright, M.A. Extra fcap. 8vo. 8*s.* 6*d.*

Digitized by Google

*A Golden Treasury of Greek Prose*, being a Collection of the finest passages in the principal Greek Prose Writers, with Introductory Notices and Notes. By R. S. Wright, M.A., and J. E. L. Shadwell, M.A. Extra fcap. 8vo. 4*s*. 6*d*.

*Aeschylus. Prometheus Bound* (for Schools). With Introduction and Notes, by A. O. Prickard, M.A. Second Edition. Extra fcap. 8vo. 2*s*.

—— *Agamemnon.* With Introduction and Notes, by Arthur Sidgwick, M.A. Third Edition. In one or two parts. Extra fcap. 8vo. 3*s*.

—— *Choephoroi.* With Introduction and Notes by the same Editor. Extra fcap. 8vo. 3*s*.

—— *Eumenides.* With Introduction and Notes, by the same Editor. In one or two Parts. Extra fcap. 8vo. 3*s*.

*Aristophanes.* In Single Plays. Edited, with English Notes, Introductions, &c., by W. W. Merry. D.D. Extra fcap. 8vo.

I. The Clouds, Second Edition, 2*s*.
II. The Acharnians, Third Edition., In one or two parts, 3*s*.
III. The Frogs, Second Edition. In one or two parts, 3*s*.
IV. The Knights. In one or two parts, 3*s*.

*Cebes. Tabula.* With Introduction and Notes. By C. S. Jerram, M.A. Extra fcap. 8vo. 2*s*. 6*d*.

*Demosthenes. Orations against Philip.* With Introduction and Notes, by Evelyn Abbott, M.A., and P. E. Matheson, M.A. Vol. I. Philippic I. Olynthiacs I–III. In one or two Parts. Extra fcap. 8vo. 3*s*.

*Euripides. Alcestis* (for Schools). By C. S. Jerram, M.A. Extra fcap. 8vo. 2*s*. 6*d*.

—— *Hecuba.* With Notes by C. H. Russell. *In the Press.*

—— *Helena.* Edited, with Introduction, Notes, etc., for Upper and Middle Forms. By C. S. Jerram, M.A. Extra fcap. 8vo. 3*s*.

—— *Heracleidae.* Edited with Introduction and Notes by C. S. Jerram, M.A. Extra fcap. 8vo. 3*s*.

—— *Iphigenia in Tauris.* Edited, with Introduction, Notes, etc., for Upper and Middle Forms. By C. S. Jerram, M.A. Extra fcap. 8vo. cloth, 3*s*.

—— *Medea.* By C. B. Heberden, M.A. In one or two Parts. Extra fcap. 8vo. 2*s*.

*Herodotus*, Book IX. Edited, with Notes, by Evelyn Abbott, M.A. In one or two Parts. Extra fcap. 8vo. 3*s*.

*Herodotus, Selections from.* Edited, with Introduction, Notes, and a Map, by W. W. Merry, D.D. Extra fcap. 8vo. 2*s*. 6*d*.

Digitized by Google

*Homer. Odyssey,* Books I–XII (for Schools). By W. W. Merry, D.D. Fortieth Thousand. (In one or two Parts.) Extra fcap. 8vo. 5*s.*

Books I, and II, *separately*, each 1*s.* 6*d.*

—— *Odyssey,* Books XIII–XXIV (for Schools). By the same Editor. Second Edition. Extra fcap. 8vo. 5*s.*

—— *Iliad,* Book I (for Schools). By D. B. Monro, M.A. Second Edition. Extra fcap. 8vo. 2*s.*

—— *Iliad,* Books I–XII (for Schools). With an Introduction, a brief Homeric Grammar, and Notes. By D. B. Monro, M.A. Second Edition. Extra fcap. 8vo. 6*s.*

—— *Iliad,* Books VI and XXI. With Introduction and Notes. By Herbert Hailstone, M.A. Extra fcap. 8vo. 1*s.* 6*d.* each.

*Lucian. Vera Historia* (for Schools). By C. S. Jerram, M.A. Second Edition. Extra fcap. 8vo. 1*s.* 6*d.*

*Lysias. Epitaphios.* Edited, with Introduction and Notes, by F. J. Snell, B.A. (In one or two Parts.) Extra fcap. 8vo. 2*s.*

*Plato. Meno.* With Introduction and Notes. By St. George Stock, M.A., Pembroke College. (In one or two Parts.) Extra fcap. 8vo. 2*s.* 6*d.*

*Plato. The Apology.* With Introduction and Notes. By St. George Stock, M.A. (In one or two Parts.) Extra fcap. 8vo. 2*s.* 6*d.*

*Sophocles.* For the use of Schools. Edited with Introductions and English Notes By Lewis Campbell, M.A., and Evelyn Abbott, M.A. *New and Revised Edition.* 2 Vols. Extra fcap. 8vo. 10*s.* 6*d.*

Sold separately, Vol. I, Text, 4*s.* 6*d.*; Vol. II, Explanatory Notes, 6*s.*

*Sophocles.* In Single Plays, with English Notes, &c. By Lewis Campbell, M.A., and Evelyn Abbott, M.A. Extra fcap. 8vo. limp.

Oedipus Tyrannus, Philoctetes. New and Revised Edition, 2*s.* each.
Oedipus Coloneus, Antigone, 1*s.* 9*d.* each.
Ajax, Electra, Trachiniae, 2*s.* each.

—— *Oedipus Rex:* Dindorf's Text, with Notes by the present Bishop of St. David's. Extra fcap. 8vo. limp, 1*s.* 6*d.*

*Theocritus* (for Schools). With Notes. By H. Kynaston, D.D. (late Snow). Third Edition. Extra fcap. 8vo. 4*s.* 6*d.*

*Xenophon. Easy Selections* (for Junior Classes). With a Vocabulary, Notes, and Map. By J. S. Phillpotts, B.C.L., and C. S. Jerram, M.A. Third Edition. Extra fcap. 8vo. 3*s.* 6*d.*

—— *Selections* (for Schools). With Notes and Maps. By J. S. Phillpotts, B.C.L. Fourth Edition. Extra fcap. 8vo. 3*s.* 6*d.*

—— *Anabasis,* Book I. Edited for the use of Junior Classes and Private Students. With Introduction, Notes, etc. By J. Marshall, M.A., Rector of the Royal High School, Edinburgh. Extra fcap. 8vo. 2*s.* 6*d.*

Digitized by Google

*Xenophon. Anabasis*, Book II. With Notes and Map. By C. S. Jerram, M.A. Extra fcap. 8vo. *2s.*

—— *Anabasis*, Book III. Edited with Introduction, Analysis, Notes, etc., by J. Marshall, M.A. Extra fcap. 8vo. *2s. 6d.*

—— *Cyropaedia*, Book I. With Introduction and Notes by C. Bigg, D.D. Extra fcap. 8vo. *2s.*

—— *Cyropaedia*, Books IV and V. With Introduction and Notes by C. Bigg, D.D. Extra fcap. 8vo. *2s. 6d.*

—— *Hellenica*, Books I, II. With Introductions and Notes by G. E. Underhill, M.A., Fellow and Tutor of Magdalen College. Extra fcap. 8vo. *cloth*, *3s.*

---

*Aristotle's Politics.* With an Introduction, Essays, and Notes. By W. L. Newman, M.A., Fellow of Balliol College. Vols. I and II. Medium 8vo. *28s.*

*Aristotle. On the History of the Process by which the Aristotelian Writings arrived at their present form.* An Essay by Richard Shute, M.A., late Student of Christ Church; with a Brief Memoir of the Author. 8vo. *7s. 6d.*

*Aristotelian Studies.* I. On the Structure of the Seventh Book of the Nicomachean Ethics. By J. C. Wilson, M.A. 8vo. stiff, *5s.*

*Aristotelis Ethica Nicomachea*, ex recensione Immanuelis Bekkeri. Crown 8vo. *5s.*

*Demosthenes and Aeschines.* The Orations of Demosthenes and Æschines on the Crown. With Introductory Essays and Notes. By G. A. Simcox, M.A., and W. H. Simcox, M.A. 1872. 8vo. *12s.*

*Head (Barclay V.). Historia Numorum: A Manual of Greek Numismatics.* Royal 8vo. half-bound. *2l. 2s.*

*Hicks (E. L., M.A.). A Manual of Greek Historical Inscriptions.* Demy 8vo. *10s. 6d.*

*Homer. Odyssey*, Books I–XII. Edited with English Notes, Appendices, etc. By W. W. Merry, D.D., and the late James Riddell, M.A. 1886. Second Edition. Demy 8vo. *16s.*

*Homer. A Grammar of the Homeric Dialect.* By D. B. Monro, M.A. Demy 8vo. *10s. 6d.*

*Polybius.* Selections from Polybius. Edited by J. L. Strachan-Davidson, M.A., Fellow and Tutor of Balliol College. With three Maps. Medium 8vo. buckram, *21s.*

*Sophocles.* The Plays and Fragments. With English Notes and Introductions, by Lewis Campbell, M.A. 2 vols.

Vol. I. Oedipus Tyrannus. Oedipus Coloneus. Antigone. 8vo. *16s.*
Vol. II. Ajax. Electra. Trachiniae. Philoctetes. Fragments. 8vo. *16s.*

Digitized by Google

## IV. FRENCH AND ITALIAN.

*Brachet's Etymological Dictionary of the French Language.* Translated by G. W. Kitchin, D.D. Third Edition. Crown 8vo. 7*s.* 6*d.*

—— *Historical Grammar of the French Language.* Translated by G. W. Kitchin, D.D. Fourth Edition. Extra fcap. 8vo. 3*s.* 6*d.*

**Works by GEORGE SAINTSBURY, M.A.**

*Primer of French Literature.* Extra fcap. 8vo. 2*s.*

*Short History of French Literature.* Crown 8vo. 10*s.* 6*d.*

*Specimens of French Literature, from Villon to Hugo.* Crown 8vo. 9*s.*

---

### *MASTERPIECES OF THE FRENCH DRAMA.*

*Corneille's Horace.* Edited, with Introduction and Notes, by George Saintsbury, M.A. Extra fcap. 8vo. 2*s.* 6*d.*

*Molière's Les Précieuses Ridicules.* Edited, with Introduction and Notes, by Andrew Lang, M.A. Extra fcap. 8vo. 1*s.* 6*d.*

*Racine's Esther.* Edited, with Introduction and Notes, by George Saintsbury, M.A. Extra fcap. 8vo. 2*s.*

*Beaumarchais' Le Barbier de Séville.* Edited, with Introduction and Notes, by Austin Dobson. Extra fcap. 8vo. 2*s.* 6*d.*

*Voltaire's Mérope.* Edited, with Introduction and Notes, by George Saintsbury. Extra fcap. 8vo. cloth, 2*s.*

*Musset's On ne badine pas avec l'Amour*, and *Fantasio.* Edited, with Prolegomena, Notes, etc., by Walter Herries Pollock. Extra fcap. 8vo. 2*s.*

The above six Plays may be had in ornamental case, and bound in Imitation Parchment, price 12*s.* 6*d.*

---

*Perrault's Popular Tales.* Edited from the Original Editions, with Introduction, etc., by Andrew Lang, M.A. Extra fcap. 8vo., paper boards, 5*s.* 6*d.*

*Sainte-Beuve. Selections from the Causeries du Lundi.* Edited by George Saintsbury, M.A. Extra fcap. 8vo. 2*s.*

*Quinet's Lettres à sa Mère.* Selected and edited by George Saintsbury, M.A. Extra fcap. 8vo. 2*s.*

*Gautier, Théophile. Scenes of Travel.* Selected and Edited by George Saintsbury, M.A. Extra fcap. 8vo. 2*s.*

*L'Éloquence de la Chaire et de la Tribune Françaises.* Edited by Paul Blouët, B.A. Vol. I. Sacred Oratory. Extra fcap. 8vo. 2*s.* 6*d.*

Digitized by Google

**Edited by GUSTAVE MASSON, B.A.**

*Corneille's Cinna.* With Notes, Glossary, etc. Extra fcap. 8vo. *cloth*, 2*s*. Stiff covers, 1*s*. 6*d*.

*Louis XIV and his Contemporaries;* as described in Extracts from the best Memoirs of the Seventeenth Century. With English Notes, Genealogical Tables, &c. Extra fcap. 8vo. 2*s*. 6*d*.

*Maistre, Xavier de. Voyage autour de ma Chambre.* Ourika, by *Madame de Duras;* Le Vieux Tailleur, by *MM. Erckmann-Chatrian;* La Veillée de Vincennes, by *Alfred de Vigny.;* Les Jumeaux de l'Hôtel Corneille, by *Edmond About;* Mésaventures d'un Écolier, by *Rodolphe Töpffer.* Third Edition, Revised and Corrected. Extra fcap. 8vo. 2*s*. 6*d*.

—— *Voyage autour de ma Chambre.* Limp, 1*s*. 6*d*.

*Molière's Les Fourberies de Scapin,* and *Racine's Athalie.* With Voltaire's Life of Molière. Extra fcap. 8vo. 2*s*. 6*d*.

*Molière's Les Fourberies de Scapin.* With Voltaire's Life of Molière. Extra fcap. 8vo. stiff covers, 1*s*. 6*d*.

*Molière's Les Femmes Savantes.* With Notes, Glossary, etc. Extra fcap. 8vo. *cloth*, 2*s*. Stiff covers, 1*s*. 6*d*.

*Racine's Andromaque,* and *Corneille's Le Menteur.* With Louis Racine's Life of his Father. Extra fcap. 8vo. 2*s*. 6*d*.

*Regnard's Le Joueur,* and *Brueys and Palaprat's Le Grondeur.* Extra fcap. 8vo. 2*s*. 6*d*.

*Sévigné, Madame de, and her chief Contemporaries, Selections from the Correspondence of.* Intended more especially for Girls' Schools. Extra fcap. 8vo. 3*s*.

---

*Dante.* Selections from the Inferno. With Introduction and Notes. By H. B. Cotterill, B.A. Extra fcap. 8vo. 4*s*. 6*d*.

*Tasso. La Gerusalemme Liberata.* Cantos i, ii. With Introduction and Notes. By the same Editor. Extra fcap. 8vo. 2*s*. 6*d*.

## V. GERMAN.

*Scherer (W.). A History of German Literature.* Translated from the Third German Edition by Mrs. F. Conybeare. Edited by F. Max Müller. 2 vols. 8vo. 21*s*.

*Max Müller.* The German Classics, from the Fourth to the Nineteenth Century. With Biographical Notices, Translations into Modern German, and Notes. By F. Max Müller, M.A. A New Edition, Revised, Enlarged, and Adapted to Wilhelm Scherer's 'History of German Literature,' by F. Lichtenstein. 2 vols. crown 8vo. 21*s*.

Digitized by Google

*GERMAN COURSE.* **By HERMANN LANGE.**

*The Germans at Home;* a Practical Introduction to German Conversation, with an Appendix containing the Essentials of German Grammar. Third Edition. 8vo. 2*s*. 6*d*.

*The German Manual;* a German Grammar, Reading Book, and a Handbook of German Conversation. 8vo. 7*s*. 6*d*.

*Grammar of the German Language.* 8vo. 3*s*. 6*d*.

*German Composition;* A Theoretical and Practical Guide to the Art of Translating English Prose into German. Ed. 2. 8vo. 4*s*. 6*d*.

*German Spelling;* A Synopsis of the Changes which it has undergone through the Government Regulations of 1880. Paper covers, 6*d*.

---

*Lessing's Laokoon.* With Introduction, English Notes, etc. By A. Hamann, Phil. Doc., M.A. Extra fcap. 8vo. 4*s*. 6*d*.

*Schiller's Wilhelm Tell.* Translated into English Verse by E. Massie, M.A. Extra fcap. 8vo. 5*s*.

## *GERMAN CLASSICS.*

*With Biographical, Historical, and Critical Introductions, Arguments (to the Dramas), and Complete Commentaries.*

**Edited by C. A. BUCHHEIM, Phil. Doc. Professor in King's College, London.**

*Lessing:*

(*a*) *Nathan der Weise.* A Dramatic Poem. 4*s*. 6*d*.
(*b*) *Minna von Barnhelm.* A Comedy. 3*s*. 6*d*.

*Goethe:*

(*a*) *Egmont.* A Tragedy. 3*s*.
(*b*) *Iphigenie auf Tauris.* A Drama. 3*s*.

*Schiller:*

(*a*) *Wilhelm Tell.* A Drama. Large Edition. With a Map. 3*s*. 6*d*.
(*b*) *Wilhelm Tell.* School Edition. With a Map. 2*s*.
(*c*) *Historische Skizzen.* With a Map. 2*s*. 6*d*.

*Heine:*

(*a*) *Prosa:* being Selections from his Prose Writings. 4*s*. 6*d*.
(*b*) *Harzreise.* Cloth, 2*s*. 6*d*.; paper covers, 1*s*. 6*d*.

*Modern German Reader.* A Graduated Collection of Extracts from Modern German Authors:—

Part I. Prose Extracts. With English Notes, a Grammatical Appendix, and a Complete Vocabulary. Fourth Edition. 2*s*. 6*d*.

Part II. Extracts in Prose and Poetry. With English Notes and an Index. Second Edition. 2*s*. 6*d*.

---

Digitized by Google

*Becker* (the Historian):
*Friedrich der Grosse.* Edited, with Notes, an Historical Introduction, and a Map. 3*s.* 6*d.*

*Niebuhr:*
*Griechische Heroen-Geschichten* (Tales of Greek Heroes). Edited, with English Notes and a Vocabulary, by Emma S. Buchheim. Second, Revised Edition. *cloth,* 2*s.*

*An Old High German Primer.* With Grammar, Notes, and Glossary. By Joseph Wright, Ph.D. Extra fcap. 8vo. 3*s.* 6*d.*

*A Middle High German Primer.* With Grammar, Notes, and Glossary. By Joseph Wright, Ph.D. Extra fcap. 8vo. 3*s.* 6*d.*

## VI. MATHEMATICS, PHYSICAL SCIENCE, &c.

### By LEWIS HENSLEY, M.A.

*Figures made Easy:* a first Arithmetic Book. Crown 8vo. 6*d.*

*Answers to the Examples in Figures made Easy,* together with two thousand additional Examples, with Answers. Crown 8vo. 1*s.*

*The Scholar's Arithmetic.* Crown 8vo. 2*s.* 6*d.*

*Answers to the Examples in the Scholar's Arithmetic.* 1*s.* 6*d.*

*The Scholar's Algebra.* Crown 8vo. 2*s.* 6*d.*

*Aldis* (*W. S., M.A.*). *A Text-Book of Algebra: with Answers to the Examples.* Crown 8vo. 7*s.* 6*d.*

*Baynes* (*R. E., M.A.*). *Lessons on Thermodynamics.* 1878. Crown 8vo. 7*s.* 6*d.*

*Chambers* (*G. F., F.R.A.S.*). *A Handbook of Descriptive Astronomy.* Third Edition. 1877. Demy 8vo. 28*s.*

*Clarke* (*Col. A. R., C.B., R.E.*). *Geodesy.* 1880. 8vo. 12*s.* 6*d.*

*Cremona* (*Luigi*). *Elements of Projective Geometry.* Translated by C. Leudesdorf, M.A. 8vo. 12*s.* 6*d.*

*Donkin. Acoustics.* Second Edition. Crown 8vo. 7*s.* 6*d.*

*Etheridge* (*R.*). *Fossils of the British Islands, Stratigraphically arranged.* Part I. PALAEOZOIC. 4to. 1*l.* 10*s.* *Just ready.*

*Euclid Revised.* Containing the Essentials of the Elements of Plane Geometry as given by Euclid in his first Six Books. Edited by R. C. J. Nixon, M.A. Crown 8vo.

**Sold separately as follows,**

Book I. 1*s.* Books I, II. 1*s.* 6*d.*
Books I–IV. 3*s.* 6*d.* Books V, VI. 3*s.*



Digitized by Google

*Euclid.—Geometry in Space.* Containing parts of Euclid's Eleventh and Twelfth Books. By the same Editor. Crown 8vo. 3*s.* 6*d.*

*Galton (Douglas, C.B., F.R.S.). The Construction of Healthy Dwellings.* Demy 8vo. 10*s.* 6*d.*

*Hamilton (Sir R. G. C.), and J. Ball. Book-keeping.* New and enlarged Edition. Extra fcap. 8vo. limp cloth, 2*s.*

Ruled Exercise books adapted to the above may be had, price 2*s.*

*Harcourt (A. G. Vernon, M.A.),* and *H. G. Madan, M.A. Exercises in Practical Chemistry.* Vol. I. Elementary Exercises. Fourth Edition. Crown 8vo. 10*s.* 6*d.*

*Maclaren (Archibald). A System of Physical Education:* Theoretical and Practical. Extra fcap. 8vo. 7*s.* 6*d.*

*Madan (H. G., M.A.). Tables of Qualitative Analysis.* Large 4to. paper, 4*s.* 6*d.*

*Maxwell (J. Clerk, M.A., F.R.S.). A Treatise on Electricity and Magnetism.* Second Edition. 2 vols. Demy 8vo. 1*l.* 11*s.* 6*d.*

—— *An Elementary Treatise on Electricity.* Edited by William Garnett, M.A. Demy 8vo. 7*s.* 6*d.*

*Minchin (G. M., M.A.). A Treatise on Statics* with Applications to Physics. Third Edition, Corrected and Enlarged. Vol. I. *Equilibrium of Coplanar Forces.* 8vo. 9*s.* Vol. II. *Statics.* 8vo. 16*s.*

—— *Uniplanar Kinematics of Solids and Fluids.* Crown 8vo. 7*s.* 6*d.*

*Phillips (John, M.A., F.R.S.). Geology of Oxford and the Valley of the Thames.* 1871. 8vo. 21*s.*

—— *Vesuvius.* 1869. Crown 8vo. 10*s.* 6*d.*

*Prestwich (Joseph, M.A., F.R.S.). Geology, Chemical, Physical, and Stratigraphical.* In two Volumes.

Vol. I. Chemical and Physical. Royal 8vo. 25*s.*
Vol. II. Stratigraphical and Physical. With a new Geographical Map of Europe. Royal 8vo. 36*s.*

*Rolleston (George, M.D., F.R.S.). Forms of Animal Life.* A Manual of Comparative Anatomy, with descriptions of selected types. Second Edition. Revised and enlarged by W. Hatchett Jackson, M.A. Medium, 8vo. cloth extra, 1*l.* 16*s.*

*Smyth. A Cycle of Celestial Objects.* Observed, Reduced, and Discussed by Admiral W. H. Smyth, R.N. Revised, condensed, and greatly enlarged by G. F. Chambers, F.R.A.S. 1881. 8vo. 12*s.*

*Stewart (Balfour, LL.D., F.R.S.). An Elementary Treatise on Heat,* with numerous Woodcuts and Diagrams. Fifth Edition. Extra fcap. 8vo. 7*s.* 6*d.*

Digitized by Google

*Vernon-Harcourt (L. F., M.A.). A Treatise on Rivers and Canals,* relating to the Control and Improvement of Rivers, and the Design, Construction, and Development of Canals. 2 vols. (Vol. I, Text. Vol. II, Plates.) 8vo. 21*s.*

—— *Harbours and Docks;* their Physical Features, History, Construction, Equipment, and Maintenance; with Statistics as to their Commercial Development. 2 vols. 8vo. 25*s.*

*Walker (James, M.A.). The Theory of a Physical Balance.* 8vo. stiff cover, 3*s.* 6*d.*

*Watson (H. W., M.A.). A Treatise on the Kinetic Theory of Gases.* 1876. 8vo. 3*s.* 6*d.*

*Watson (H. W., D. Sc., F.R.S.), and S. H. Burbury, M.A.*

I. *A Treatise on the Application of Generalised Coordinates to the Kinetics of a Material System.* 1879. 8vo. 6*s.*

II. *The Mathematical Theory of Electricity and Magnetism.* Vol. I. Electrostatics. 8vo. 10*s.* 6*d.*

*Williamson (A. W., Phil. Doc., F.R.S.). Chemistry for Students.* A new Edition, with Solutions. 1873. Extra fcap. 8vo. 8*s.* 6*d.*

## VII. HISTORY.

*Bluntschli (J. K.). The Theory of the State.* By J. K. Bluntschli, late Professor of Political Sciences in the University of Heidelberg. Authorised English Translation from the Sixth German Edition. Demy 8vo. half bound, 12*s.* 6*d.*

*Finlay (George, LL.D.). A History of Greece* from its Conquest by the Romans to the present time, B.C. 146 to A.D. 1864. A new Edition, revised throughout, and in part re-written, with considerable additions, by the Author, and edited by H. F. Tozer, M.A. 7 vols. 8vo. 3*l.* 10*s.*

*Fortescue (Sir John, Kt.). The Governance of England:* otherwise called The Difference between an Absolute and a Limited Monarchy. A Revised Text. Edited, with Introduction, Notes, and Appendices, by Charles Plummer, M.A. 8vo. half bound, 12*s.* 6*d.*

*Freeman (E.A., D.C.L.). A Short History of the Norman Conquest of England.* Second Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

*George (H. B., M.A.). Genealogical Tables illustrative of Modern History.* Third Edition, Revised and Enlarged. Small 4to. 12*s.*

*Hodgkin (T.). Italy and her Invaders.* Illustrated with Plates and Maps. Vols. I—IV, A.D. 376–553. 8vo. 3*l.* 8*s.*



Digitized by Google

*Hughes (Alfred). Geography for Schools.* With Diagrams.
Part I. Practical Geography. Crown 8vo. 2*s.* 6*d.*

Part II. General Geography. *In preparation.*

*Kitchin (G. W., D.D.). A History of France.* With numerous Maps, Plans, and Tables. In Three Volumes. *Second Edition.* Crown 8vo. each 10*s.* 6*d.*

Vol. I. Down to the Year 1453.
Vol. II. From 1453–1624. Vol. III. From 1624–1793.

*Lucas (C. P.). Introduction to a Historical Geography of the British Colonies.* With Eight Maps. Crown 8vo. 4*s.* 6*d.*

*Payne (E. J., M.A.). A History of the United States of America.* In the Press.

*Ranke (L. von). A History of England,* principally in the Seventeenth Century. Translated by Resident Members of the University of Oxford, under the superintendence of G. W. Kitchin, D.D., and C. W. Boase, M.A. 1875. 6 vols. 8vo. 3*l.* 3*s.*

*Rawlinson (George, M.A.). A Manual of Ancient History.* Second Edition. Demy 8vo. 14*s.*

*Ricardo. Letters of David Ricardo to Thomas Robert Malthus* (1810–1823). Edited by James Bonar, M.A. Demy 8vo. 10*s.* 6*d.*

*Rogers (J. E. Thorold, M.A.). The First Nine Years of the Bank of England.* 8vo. 8*s.* 6*d.*

*Select Charters and other Illustrations of English Constitutional History,* from the Earliest Times to the Reign of Edward I. Arranged and edited by W. Stubbs, D.D. Fifth Edition. 1883. Crown 8vo. 8*s.* 6*d.*

*Stubbs (W., D.D.). The Constitutional History of England,* in its Origin and Development. Library Edition. 3 vols. demy 8vo. 2*l.* 8*s.*

Also in 3 vols. crown 8vo. price 12*s.* each.

—— *Seventeen Lectures on the Study of Medieval and Modern History,* &c., delivered at Oxford 1867–1884. Crown 8vo. 8*s.* 6*d.*

*Wellesley. A Selection from the Despatches, Treaties, and* other Papers of the Marquess Wellesley, K.G., during his Government of India. Edited by S. J. Owen, M.A. 1877. 8vo. 1*l.* 4*s.*

*Wellington. A Selection from the Despatches, Treaties, and* other Papers relating to India of Field-Marshal the Duke of Wellington, K.G. Edited by S. J. Owen, M.A. 1880. 8vo. 24*s.*

*A History of British India.* By S. J. Owen, M.A., Reader in Indian History in the University of Oxford. In preparation.

Digitized by Google

## VIII. LAW.

*Alberici Gentilis*, I.C.D., I.C., De Iure Belli Libri Tres. Edidit T. E. Holland, I.C.D. 1877. Small 4to. half morocco, 21*s.*

*Anson* (*Sir William R., Bart., D.C.L.*). *Principles of the English Law of Contract, and of Agency in its Relation to Contract.* Fifth Edition. Demy 8vo. 10*s.* 6*d.*

—— *Law and Custom of the Constitution.* Part I. Parliament. Demy 8vo. 10*s.* 6*d.*

*Bentham* (*Jeremy*). *An Introduction to the Principles of Morals and Legislation.* Crown 8vo. 6*s.* 6*d.*

*Digby* (*Kenelm E., M.A.*). *An Introduction to the History of the Law of Real Property.* Third Edition. Demy 8vo. 10*s.* 6*d.*

*Gaii Institutionum Juris Civilis Commentarii Quattuor;* or, Elements of Roman Law by Gaius. With a Translation and Commentary by Edward Poste, M.A. Second Edition. 1875. 8vo. 18*s.*

*Hall* (*W. E., M.A.*). *International Law.* Second Ed. 8vo. 21*s.*

*Holland* (*T. E., D.C.L.*). *The Elements of Jurisprudence.* Fourth Edition. Demy 8vo. 10*s.* 6*d.*

—— *The European Concert in the Eastern Question*, a Collection of Treaties and other Public Acts. Edited, with Introductions and Notes, by Thomas Erskine Holland, D.C.L. 8vo. 12*s.* 6*d.*

*Imperatoris Iustiniani Institutionum Libri Quattuor;* with Introductions, Commentary, Excursus and Translation. By J. E. Moyle, B.C.L., M.A. 2 vols. Demy 8vo. 21*s.*

*Justinian, The Institutes of*, edited as a recension of the Institutes of Gaius, by Thomas Erskine Holland, D.C.L. Second Edition, 1881. Extra fcap. 8vo. 5*s.*

*Justinian, Select Titles from the Digest of.* By T. E. Holland, D.C.L., and C. L. Shadwell, B.C.L. 8vo. 14*s.*

**Also sold in Parts, in paper covers, as follows:—**

Part I. Introductory Titles. 2*s.* 6*d.* Part II. Family Law. 1*s.*
Part III. Property Law. 2*s.* 6*d.* Part IV. Law of Obligations (No. 1). 3*s.* 6*d.*
Part IV. Law of Obligations (No. 2). 4*s.* 6*d.*

*Lex Aquilia.* The Roman Law of Damage to Property: being a Commentary on the Title of the Digest 'Ad Legem Aquiliam' (ix. 2). With an Introduction to the Study of the Corpus Iuris Civilis. By Erwin Grueber, Dr. Jur., M.A. Demy 8vo. 10*s.* 6*d.*

Digitized by Google

*Markby* (*W., D.C.L.*). *Elements of Law* considered with reference to Principles of General Jurisprudence. Third Edition. Demy 8vo. 12*s.* 6*d.*

*Stokes* (*Whitley, D.C.L.*). The Anglo-Indian Codes.
Vol. I. *Substantive Law.* 8vo. 30*s.*
Vol. II. *Adjective Law.* In the Press.

*Twiss* (*Sir Travers, D.C.L.*). The Law of Nations considered as Independent Political Communities.

Part I. On the Rights and Duties of Nations in time of Peace. A new Edition, Revised and Enlarged. 1884. Demy 8vo. 15*s.*

Part II. On the Rights and Duties of Nations in Time of War. Second Edition, Revised. 1875. Demy 8vo. 21*s.*

## IX. MENTAL AND MORAL PHILOSOPHY, &c.

*Bacon's Novum Organum.* Edited, with English Notes, by G. W. Kitchin, D.D. 1855. 8vo. 9*s.* 6*d.*

—— Translated by G. W. Kitchin, D.D. 1855. 8vo. 9*s.* 6*d.*

*Berkeley. The Works of George Berkeley, D.D.*, formerly Bishop of Cloyne; including many of his writings hitherto unpublished. With Prefaces, Annotations, and an Account of his Life and Philosophy, by Alexander Campbell Fraser, M.A. 4 vols. 1871. 8vo. 2*l.* 18*s.*

*The Life, Letters*, &c. 1 vol. 16*s.*

—— *Selections from.* With an Introduction and Notes. For the use of Students in the Universities. By Alexander Campbell Fraser, LL.D. Third Edition. Crown 8vo. 7*s.* 6*d.*

*Fowler* (*T., D.D.*). *The Elements of Deductive Logic*, designed mainly for the use of Junior Students in the Universities. Ninth Edition, with a Collection of Examples. Extra fcap. 8vo. 3*s.* 6*d.*

—— *The Elements of Inductive Logic*, designed mainly for the use of Students in the Universities. Fourth Edition. Extra fcap. 8vo. 6*s.*

—— *and Wilson* (*J. M., B.D.*). *The Principles of Morals* (Introductory Chapters). 8vo. *boards*, 3*s.* 6*d.*

—— *The Principles of Morals.* Part II. (Being the Body of the Work.) 8vo. 10*s.* 6*d.*

**Edited by T. FOWLER, D.D.**

*Bacon. Novum Organum.* With Introduction, Notes, &c. 1878. 8vo. 14*s.*

*Locke's Conduct of the Understanding.* Second Edition. Extra fcap. 8vo. 2*s.*

Digitized by Google

*Danson* (*J. T.*). *The Wealth of Households.* Crown 8vo. 5*s.*

*Green* (*T. H., M.A.*). *Prolegomena to Ethics.* Edited by A. C. Bradley, M.A. Demy 8vo. 12*s.* 6*d.*

*Hegel. The Logic of Hegel;* translated from the Encyclopaedia of the Philosophical Sciences. With Prolegomena by William Wallace, M.A. 1874. 8vo. 14*s.*

*Hume's Treatise of Human Nature*; reprinted from the Original Edition, and edited by L. A. Selby-Bigge, M.A., Fellow and Lecturer of University College. Crown 8vo. 9*s.*

*Lotze's Logic*, in Three Books; of Thought, of Investigation, and of Knowledge. English Translation; Edited by B. Bosanquet, M.A., Fellow of University College, Oxford. Second Edition. 2 vols. Crown 8vo. 12*s.*

—— *Metaphysic,* in Three Books; Ontology, Cosmology, and Psychology. English Translation; Edited by B. Bosanquet, M.A. Second Edition. 2 vols. Crown 8vo. 12*s.*

*Martineau* (*James, D.D.*). *Types of Ethical Theory.* Second Edition. 2 vols. Crown 8vo. 15*s.*

—— *A Study of Religion: its Sources and Contents.* 2 vols. 8vo. 24*s.*

*Rogers* (*J. E. Thorold, M.A.*). *A Manual of Political Economy,* for the use of Schools. Third Edition. Extra fcap. 8vo. 4*s.* 6*d.*

*Smith's Wealth of Nations.* A new Edition, with Notes, by J. E. Thorold Rogers, M.A. 2 vols. 8vo. 1880. 21*s.*

## X. FINE ART.

*Butler* (*A. J., M.A., F.S.A.*) *The Ancient Coptic Churches of Egypt.* 2 vols. 8vo. 30*s.*

*Head* (*Barclay V.*). *Historia Numorum. A Manual of Greek* Numismatics. Royal 8vo. *half morocco,* 42*s.*

*Hullah* (*John*). *The Cultivation of the Speaking Voice.* Second Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

*Jackson* (*T. G., M.A.*). *Dalmatia, the Quarnero and Istria;* with Cettigne in Montenegro and the Island of Grado. By T. G. Jackson, M.A., Author of 'Modern Gothic Architecture.' In 3 vols. 8vo. With many Plates and Illustrations. *Half bound,* 42*s.*

Digitized by Google

*Ouseley* (*Sir F. A. Gore, Bart.*). *A Treatise on Harmony.* Third Edition. 4to. 10*s.*

—— *A Treatise on Counterpoint, Canon, and Fugue,* based upon that of Cherubini. Second Edition. 4to. 16*s.*

—— *A Treatise on Musical Form and General Composition.* Second Edition. 4to. 10*s.*

*Robinson* (*J. C., F.S.A.*). *A Critical Account of the Drawings by Michel Angelo and Raffaello in the University Galleries, Oxford.* 1870. Crown 8vo. 4*s.*

*Troutbeck* (*J., M.A.*) *and R. F. Dale, M.A. A Music Primer* (for Schools). Second Edition. Crown 8vo. 1*s.* 6*d.*

*Tyrwhitt* (*R. St. J., M.A.*). *A Handbook of Pictorial Art.* With coloured Illustrations, Photographs, and a chapter on Perspective by A. Macdonald. Second Edition. 1875. 8vo. half morocco, 18*s.*

*Upcott* (*L. E., M.A.*). *An Introduction to Greek Sculpture.* Crown 8vo. 4*s.* 6*d.*

*Vaux* (*W. S. W., M.A.*). *Catalogue of the Castellani Collection of Antiquities in the University Galleries, Oxford.* Crown 8vo. 1*s.*

---

*The Oxford Bible for Teachers,* containing Supplementary Helps to the Study of the Bible, including Summaries of the several Books, with copious Explanatory Notes and Tables illustrative of Scripture History and the characteristics of Bible Lands; with a complete Index of Subjects, a Concordance, a Dictionary of Proper Names, and a series of Maps. Prices in various sizes and bindings from 3*s.* to 2*l.* 5*s.*

*Helps to the Study of the Bible,* taken from the Oxford Bible for Teachers, comprising Summaries of the several Books, with copious Explanatory Notes and Tables illustrative of Scripture History and the Characteristics of Bible Lands; with a complete Index of Subjects, a Concordance, a Dictionary of Proper Names, and a series of Maps. Crown 8vo. *cloth,* 3*s.* 6*d.*; 16mo. *cloth,* 1*s.*

---

LONDON: HENRY FROWDE,
Oxford University Press Warehouse, Amen Corner,

OXFORD: CLARENDON PRESS DEPOSITORY,
116 High Street.

---

☞ *The* Delegates of the Press *invite suggestions and advice from all persons interested in education; and will be thankful for hints, &c. addressed to the* Secretary to the Delegates, *Clarendon Press, Oxford.*

Digitized by Google

UNIV. OF MICH
OCT 29 1908

Digitized by Google

DO NOT REMOVE
OR
MUTILATE CARD

Digitized by Google